-807 4 13d

*N821
T394dh
1495/8
De-Acd. 2004
06-0463
a14086
Burrage Estate
Aug. 1941
Chicago Botanic Garden
2002

THEOPHRASTI DE PLANTARVUM HISTORIA LIBER PRIMUS.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ ΤΟ Α.

ΤΩΝ φυτῶν τὰς διαφορὰς καὶ τὴν ἄλλην φύσιν ληπτέον, κατά τε τὰ μέρη, καὶ τὰ πάθη, καὶ τὰς γενέσεις, καὶ τοὺς βίους· ἤθη γὰρ καὶ πράξεις οὐκ ἔχουσιν ὥσπερ τὰ ζῷα· εἰσὶ δὲ αἱ μὲν κατὰ τὴν γένεσιν καὶ τὰ πάθη καὶ τοὺς βίους, εὐθεωρητότεραι καὶ ῥᾴους· αἱ δὲ κατὰ τὰ μέρη, πλείους ἔχουσι ποικιλίας· αὐτὸ γὰρ τοῦτο πρῶτον οὐχ ἱκανῶς ἀφώρισται, τὸ ποῖα δεῖ μέρη, καὶ μὴ μέρη καλεῖν· ἀλλ' ἔχει τινὰ ἀπορίαν· τὸ μὲν οὖν μέρος, ἅτε ἐκ τῆς ἰδίας φύσεως ὄν, ἀεὶ δοκεῖ διαμένειν ἢ ἁπλῶς ἢ ὅταν γένηται· καθάπερ ἐν τοῖς ζώοις τὰ ὕστερον γενησόμενα· πλὴν εἴ τι διὰ νόσον ἢ γῆρας ἢ πήρωσιν ἀποβάλλει· τῶν δὲ ἐν τοῖς φυτοῖς ἔνια τοιαῦτ' ἐστὶν, ὥστ' ἐπέτειον ἔχειν τὴν οὐσίαν· οἷον ἄνθος, βρύον, φύλλον, καρπόν· ἁπλῶς ὅσα πρὸ τῶν καρπῶν, ἢ ἅμα γίνεται τοῖς καρποῖς· ἔτι δὲ αὐτὸς ὁ βλαστός· ἀεὶ γὰρ ἐπίφυσιν λαμβάνει τὰ δένδρα κατ' ἐνιαυτὸν, ὁμοίως ἔν τε τοῖς ἄνω καὶ ἐν τοῖς περὶ τὰς ῥίζας· ὥστ' εἰ μέν τις ταῦτα θήσει μέρη, τό τε πλῆθος ἀόριστον ἔσται, καὶ οὐδέποτε τὸ αὐτὸ τῶν μορίων· εἰ δ' αὖ μὴ μέρη, συμβήσεται δι' ὧν τέλεια γίνεται καὶ φαίνεται, ταῦτα μὴ εἶναι μέρη· βλαστάνοντα γὰρ καὶ θάλλοντα καὶ καρπὸν ἔχοντα, πάντα καλλίω καὶ τελειότερα καὶ δοκεῖ καὶ ἔστιν· αἱ μὲν οὖν ἀπορίαι σχεδὸν εἰσὶν αὗται. τάχα δὲ οὐχ ὁμοίως

D

ἀπαιτα ζητητέον, οὔτε ἐν τοῖς ἄλλοις οὐθ᾽ ὅσα πρὸς τὴν γένεσιν. αὐτά τε τὰ γινόμενα, μέρη θετέον· οἷον τοὺς καρπούς. οὐδὲ γὰρ τὰ ἔμβρυα τῶν ζώων. εἰ δὲ τῇ ὥρᾳ, ὄψιν τοῦτο καὶ μάλιστα, οὐδὲν σημεῖον· ἐπεὶ καὶ τῶν ζώων εὐθενεῖ κυόμενα. πολλὰ δὲ καὶ τὰ μέρη κατ᾽ ἐνιαυτὸν ἀποβάλλει. καθάπερ οἵ τε ἔλαφοι τὰ κέρατα, καὶ τὰ φωλεύοντα τὰ πτερὰ καὶ τρίχας τετράποδα. ὥστ᾽ οὐθὲν ἄτοπον· ἄλλως τε καὶ ὅμοιον τῷ φυλλοβολεῖν τὸ πάθος. ὡσαύτως δ᾽ οὐδὲ τὰ πρὸς τὴν γένεσιν· ἐπεὶ καὶ ἐν τοῖς ζώοις τὰ μὲν, συνεκτίκτεται, τὰ δ᾽ ἀποκαθαίρεται καθάπερ ἀλλότρια τῆς φύσεως. ἔοικε δὲ παραπλησίως καὶ τὰ περὶ τὴν βλάστησιν ἔχειν. ἡ γὰρ βλάστησις, γενέσεως χάριν ἐστὶ τῆς τελείας. ὅλως δὲ καθάπερ εἴπομεν, οὐδὲ πάντα ὁμοίως ἐπὶ τῶν ζώων ληπτέον. διὸ καὶ ὁ ἀριθμὸς ἀόριστος. πανταχῇ γὰρ βλαστικόν, ἅτε καὶ πανταχῇ ζῶον. ὥστε ταῦτα μὲν οὕτως ὑποληπτέον οὐ μόνον εἰς τὰ νῦν, ἀλλὰ καὶ τῶν μελλόντων χάριν. ὅσα γὰρ μὴ οἷόν τε ἀφομοιοῦν, περιεργάζεσθαι λίχαν πάντως. ἵνα μὴ καὶ τὴν οἰκείαν ἀποβάλλωμεν θεωρίαν. ἡ δ᾽ ἱστορία τῶν φυτῶν ἐστιν ὡς ἁπλῶς εἰπεῖν, ἢ κατὰ τὰ ἔξω μόρια καὶ τὴν ὅλην μορφήν, ἢ κατὰ τὰ ἐντός. ὥσπερ ἐπὶ τῶν ζώων τὰ ἐκ τῶν ἀνατομῶν. ληπτέον δ᾽ ἐν αὐτοῖς, ποῖά τε πᾶσιν ὑπάρχει ταὐτά, καὶ ποῖα ἴδια καθ᾽ ἕκαστον γένος. ἔτι δὲ τῶν αὐτῶν, ποῖα ὅμοια. λέγω δ᾽ οἷον, φύλλον, ῥίζαν, φλοιόν. οὐ δεῖ δὲ οὐδὲ τοῦτο λανθάνειν, εἴ τι κατ᾽ ἀναλογίαν θεωρητέον, ὥσπερ ἐπὶ τῶν ζώων τὴν ἀναφορὰν ποιουμένους, δῆλον ὅτι πρὸς τὰ ἐμφερέστατα καὶ τελειότατα. καὶ ἁπλῶς δὲ ὅσα τῶν ἐν φυτοῖς ἀφομοιωτέον τοῖς ἐν τοῖς ζώοις, ὡς ἄν τις ἀφομοιοῖ. ταῦτα μὲν οὖν διαιρέσθω τὸν τρόπον τοῦτον. Αἱ δὲ τῶν μερῶν διαφοραὶ σχεδὸν ὡς τύπῳ λαβεῖν εἰσὶν ἐν τρισίν. ἢ τῷ τὰ μὲν, ἔχειν, τὰ δὲ μή, καθάπερ φύλλα καὶ καρπόν. ἢ τῷ μὴ ὅμοια μηδὲ ἴσα, ἢ τρίτον, τῷ μὴ ὁμοίως. τούτων δὲ ἡ μὲν ἀνομοιότης ὁρίζεται

σχήματι.

D

χήματι· χρώματι· πυκνότητι, μανότητι, τραχύτητι· λειότητι, καὶ τοῖς ἄλλοις πάθεσιν· ἔτι δὲ ὅσαι διαφοραὶ τῶν χυλῶν. ἡ δὲ ἀνισότης ὑπεροχῇ καὶ ἐλλείψει κατὰ πλῆθος ἢ μέγεθος. ὡς δ' εἰπεῖν τύπῳ κἀκεῖνα πάντα καθ' ὑπεροχὴν καὶ ἔλλειψιν. τὸ γὰρ μᾶλλον καὶ ἧττον, ὑπεροχὴ καὶ ἔλλειψις. τὸ δὲ μὴ ὁμοίως, τῇ θέσει διαφέρει. λέγω δὲ, οἷον τὸ τοὺς καρποὺς τὰ μὲν ἐπάνω· τὰ δ' ὑποκάτω τῶν φύλλων ἔχειν, καὶ αὐτοῦ τοῦ δένδρου, τὰ μὲν ἐξ ἄκρου, τὰ δὲ ἐκ τῶν πλαγίων, ἔνια δὲ καὶ ἐκ τοῦ στελέχους· οἷον ἡ αἰγυπτία συκάμινος· καὶ ὅσα δὴ καὶ ὑπὸ γῆς φέρει καρπὸν, οἷον, ἥ τε ἀραχίδνα· καὶ τὸ ἐν αἰγύπτῳ καλούμενον οὔιγγον· καὶ εἰ τὰ μὲν ἔχει μίσχον· τὰ δὲ μή, καὶ ἐπὶ τῶν ἀνθῶν ὁμοίως· τὰ μὲν γὰρ περὶ αὐτὸν τὸν καρπὸν, τὰ δὲ, ἄλλως. ὅλως δὲ τὸ τῆς θέσεως, ἐν τούτοις καὶ τοῖς φύλλοις καὶ ἐν τοῖς βλαστοῖς ληπτέον· διαφέρει δὲ ἔνια καὶ τῇ τάξει· τὰ μὲν ὡς ἔτυχε· τῆς ἐλάτης, οἱ κλῶνες κατ' ἀλλήλους ἑκατέρωθεν, τῶν δὲ καὶ οἱ ὄζοι διὰ ἴσου τε κατ' ἀριθμὸν ἴσοι· καθάπερ τῶν τριόζων. ὥστε καὶ τὰς μὲν διαφορὰς ἐκ τούτων ληπτέον, ἐξ ὧν καὶ ὅλη μορφὴ συνδηλοῦται καθ' ἕκαστον· αὐτὰ δὲ δὴ τὰ μέρη διαριθμησαμένους· πειρατέον περὶ ἑκάστου λέγειν. ἔστι δὲ πρῶτα μὲν καὶ μέγιστα καὶ κοινὰ τῶν πλείστων, τάδε· ῥίζα, καυλὸς ἀκρέμων, κλάδος, εἰς ἃ διέλοιτ' ἄν τις ὥσπερ εἰς μέρη καθάπερ ἐπὶ τῶν ζώων· ἕκαστον γὰρ ἀνόμοιον, καὶ ἐξ ἁπάντων τούτων τὰ ὅλα· ἔστι δὲ ῥίζα μὲν, δι' οὗ τὴν τροφὴν ἐπάγεται, καυλὸς δὲ εἰς ὃ φέρεται· καυλὸν δὲ λέγω, τὸ ὑπὲρ γῆς πεφυκὸς ἐφ' ἕν· τοῦτο γὰρ κοινότατον ὁμοίως ἐπετείοις καὶ χρονίοις, ὃ ἐπὶ τῶν δένδρων καλεῖται στέλεχος· ἀκρέμονας δὲ, τοὺς ἀπὸ τούτου σχιζομένους, οὓς ἔνιοι καλοῦσιν ὄζους· κλάδον δὲ, τὸ βλάστημα, τὸ ἐκ τούτων ἐφ' ἕν· οἷον μάλιστα τὸ ἐπέτειον· καὶ ταῦτα μὲν οἰκειότερα τῶν δένδρων· ὁ δὲ καυλὸς ὥσπερ εἴρηται κοινότερος· ἔχει δ' οὐ πάντα οὐδὲ τοῦτον οἷον ἔνια τῶν ποωδῶν· τὰ μὲν, ἔχει μὲν

οὐκ ἀεὶ δὲ· ἀλλ' ἐπέτειον. καὶ ὅσα χρονιώτερον ταῖς ῥίζαις. ὅλως δὲ πολύχουν τὸ τῶν φυτῶν καὶ ποικίλον· καὶ χαλεπὸν εἰπεῖν καθόλου· σημεῖον δὲ τὸ μηδὲν εἶναι κοινὸν λαβεῖν, ὃ πᾶσιν ὑπάρχει· καθάπερ τοῖς ζῴοις στόμα καὶ κοιλία· τὰ δὲ ἀναλογίᾳ ταὐτά· τὰ δ' ἄλλον τρόπον· οὔτε ῥίζαν πάντ' ἔχει· οὔτε καυλὸν· οὔτε ἀκρέμονα· οὔτε κλάδον· οὔτε φύλλον· οὔτε ἄνθος· οὔτε καρπὸν· οὔτ' αὖ φλοιὸν, ἢ μήτραν· ἢ ἶνας· ἢ φλέβας· οἷον μύκης· ὕδνον· ἐν τούτοις δὲ ἡ οὐσία καὶ ἐν τοῖς τοιούτοις, ἀλλὰ μάλιστα ταῦτα ὑπάρχει καθάπερ εἴρηται τοῖς δένδροις κἀκείνων οἰκειότερος ὁ μερισμός· πρὸς ἃ καὶ τὴν ἀναφορὰν τῶν ἄλλων ποιεῖσθαι δίκαιον· σχεδὸν δὲ καὶ τὰς ἄλλας μορφὰς ἑκάστων ταῦτα διασημαίνει· διαφέρουσι γὰρ πλήθει τε τούτων καὶ ὀλιγότητι· καὶ πυκνότητι καὶ μανότητι, καὶ τῷ ἐφ' ἓν, ἢ εἰς πλείω σχίζεσθαι τοῖς ἄλλοις τοῖς ὁμοίοις, ἔστι δὲ ἕκαστον τῶν εἰρημένων οὐχ ὁμοιομερές· λέγω δὲ ὁμοιομερὲς, ὅτι ἐκ τῶν αὐτῶν ὁτιοῦν μέρος σύγκειται τῆς ῥίζης καὶ τοῦ στελέχους· ἀλλ' οὐ λέγεται στέλεχος τὸ ληφθὲν, ἀλλὰ μόριον, ὥσπερ ἐπὶ τῶν ζῴων μέλεσιν ἔστιν, ἐκ τῶν μὲν ὁτιοῦν τῆς κνήμης ἢ τοῦ ἀγκῶνος, οὐχ ὁμώνυμον δὲ, καθάπερ σὰρξ καὶ ὀστοῦν· ἀλλ' ἀνώνυμον· οὐδὲ δὴ τῶν ἄλλων, οὐδενὸς, ὅσα μονοειδῆ τῶν ὀργανικῶν· ἁπάντων γὰρ τῶν τοιούτων, ἀνώνυμα τὰ μέρη, τῶν δὲ πολυειδῶν ὠνομασμένα, καθάπερ ποδὸς, χειρὸς, κεφαλῆς. οἷον δάκτυλος, ῥὶς, ὀφθαλμὸς· καὶ τὰ μὲν μέγιστα μέρη σχεδὸν ταῦτά ἐστιν, ἀλλὰ δὲ ἐξ ὧν ταῦτα φλοιὸς, μήτρα· ξύλα, ἢ ὅσα ἔχει μήτραν, πάντα δὲ ὁμοιομερῆ, καὶ τὰ τούτων δὲ ἔτι πρότερα, καὶ ἐξ ὧν ταῦτα ὑγρόν· ἶς· φλέψ· σὰρξ· ἀρχαὶ γὰρ αὗται, πλὴν εἴ τις λέγοι τὰς τῶν στοιχείων δυνάμεις, αὗται δὲ κοιναὶ πάντων. ἡ μὲν οὖν οὐσία· καὶ ἡ ὅλη φύσις ἐν τούτοις· ἄλλα δ' ἐστὶν, ὥσπερ ἐπέτεια μέρη τὰ πρὸς τὴν καρποτοκίαν. οἷον, φύλλον, ἄνθος· μίσχος· τοῦτο δ' ἐστὶν ᾧ συνήρτηται πρὸς τὸ φυτὸν τὸ φύλλον καὶ ὁ καρπὸς· ἔτι δὲ ἕλιξ, βρύον, οἷς ὑπάρχει. καὶ ἐπὶ πᾶσι

σπέρμα

σπέρμα τὸ τοῦ καρποῦ· καρπὸς δ' ἐστὶ τὸ συγκείμενον σπέρμα μετὰ τοῦ περικαρπίου. παρὰ δὲ ταῦτα ἐνίοις ἴδια ἄττα. καθάπερ ἡ κηκὶς δρυὸς καὶ ἡ ἕλιξ ἀμπέλου. καὶ τοῖς μὲν δένδρεσίν ἐστιν οὕτω διαλαβεῖν· τοῖς δ' ἐπετείοις, δῆλον ὡς ἅπαντα ἐπέτεια, μέχρι γὰρ τῶν καρπῶν ἡ φύσις. ὅσα δὲ ἐπετειόκαρπα καὶ ὅσα δὲ διετίζει καθάπερ σέλινον καὶ ἄλλ' ἄττα, καὶ ὅσα δὴ πλείω χρόνον ἔχει, τούτοις ἅπασιν καὶ ὁ καυλὸς ἀκολουθήσει κατὰ λόγον· ὅταν γὰρ σπερμοφορεῖν μέλλωσι, τότε ἐκκαυλίζουσιν. ὡς ἕνεκα τοῦ σπέρματος ὄντων τῶν καυλῶν. ταῦτα μὲν οὖν ταύτῃ διῃρήσθω. τῶν δὲ ἄρτι εἰρημένων μερῶν πειρατέον ἕκαστον εἰπεῖν τί ἐστιν ὡς ἐν τύπῳ λέγοντας. τὸ μὲν οὖν ὑγρὸν φανερόν· ὃ δὴ καλοῦσί τινες ἁπλῶς ἐν ἅπασιν ὀπόν. ὥσπερ καὶ Μενέστωρ· οἱ δὲ μὲν τοῖς ἄλλοις ἀνωνύμως, ἐν δέ τισιν ὀπόν. καὶ ἐν ἄλλοις δάκρυον. ἶνες δὲ καὶ φλέβες καθ' αὑτὰ μέν ἐστιν ἀνώνυμα, τῇ δὲ ὁμοιότητι μεταλαμβάνουσι τῶν ἐν τοῖς ζῴοις μορίων. ἔχει δ' ἴσως καὶ ἄλλας διαφορὰς καὶ ταῦτα. καὶ ὅλως τὸ τῶν φυτῶν γένος. πολύχουν γάρ ἐστιν ὥσπερ εἴρηκαμεν. ἀλλ' ἐπεὶ διὰ τῶν γνωρίμων μεταδιώκειν δεῖ τὰ ἀγνώριστα. γνωριμώτερα δὲ τὰ μείζω καὶ ἐμφανῆ τῇ αἰσθήσει, δῆλον ὅτι, καθάπερ ὑφήγηται, περὶ τούτων λεκτέον. ἐπαναφορὰν γὰρ ἕξομεν τῶν ἄλλων πρὸς ταῦτα. μέχρι πόσου καὶ πῶς ἕκαστα μετέχει τῆς ὁμοιότητος. εἰλημμένων δὲ τῶν μερῶν, μετὰ ταῦτα ληπτέον τὰς τούτων διαφοράς. οὕτω γὰρ ἅμα καὶ ἡ οὐσία φανερὰ καὶ ἡ ὅλη τῶν γενῶν πρὸς ἄλληλα διάστασις. ἡ μὲν οὖν τῶν μεγίστων σχεδὸν εἴρηται. λέγω δ' οἷον ῥίζης, καυλοῦ, τῶν ἄλλων. αἱ γὰρ δυνάμεις καὶ ὧν χάριν ἕκαστον ὕστερον ῥηθήσονται. ἐξ ὧν γὰρ καὶ ταῦτα καὶ τἆλλα σύγκειται, πειρατέον εἰπεῖν ἀρξαμένους ἀπὸ τῶν πρώτων. πρῶτα δέ ἐστι τὸ ὑγρὸν καὶ θερμόν. ἅπαν γὰρ φυτὸν ἔχει τινὰ ὑγρότητα καὶ θερμότητα σύμφυτον, ὥσπερ καὶ ζῷον. ὧν ὑπολειπόντων γίνεται γῆρας καὶ φθίσις. τελείως δὲ ὑπολιπόντων, θάνατος καὶ αὔανσις. ἐν μὲν τῶν

τοῖς πρώτοις ἀνώνυμος ἡ ὑγρότης· ἐν ἐνίοις δ' ὠνομασμένη· καθάπερ εἴρηται, τὸ αὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῶν ζώων ὑπάρχει· μόνη γὰρ ἡ τῶν ἐναίμων ὑγρότης ὠνόμασται· διὸ καὶ διῄρηται πρὸς τοῦτο στερήσει, τὰ μὲν γὰρ ἄναιμα· τὰ δ' ἔναιμα λέγεται· ἓν μὲν οὖν τοῦτο τὸ μέρος καὶ τὸ τούτῳ συνηρτημένον θερμόν· ἄλλα δὲ εἴδη ἕτερα τῶν ἐντὸς· ἃ καθ' αὑτὰ μέν ἐστιν ἀνώνυμα· διὰ δὲ τὴν ὁμοιότητα ἀπεικάζεται τοῖς τῶν ζώων μορίοις· ἔχουσι γὰρ ὥσπερ ἶνας· ὅ ἐστι συνεχὲς καὶ σχιστὸν καὶ ἐπὶ μήκει· ἀπαράβλαστον δὲ καὶ ἄβλαστον ἔχον φλέβας· αὗται δὲ τὰ μὲν ἄλλα ἐοίκασιν ὅμοιαι τῇ ἰνί· μείζους δὲ καὶ παχύτεραι καὶ παραβλαστὰς ἔχουσαι καὶ ὑγρότητας· ἔτι ξύλον καὶ σὰρξ· τὰ μὲν γὰρ ἔχει σάρκα, τὰ δὲ ξύλον· ἔστι δὲ τὸ μὲν ξύλον, σχιστόν· ἡ δὲ σὰρξ, πάντῃ διαιρεῖται· ὥσπερ γῆ καὶ ὅσα γῆς· μεταξὺ δὲ γίνεται ἰνὸς καὶ φλεβός, φανερὰ δὲ ἡ φύσις αὐτῆς ἐν ἄλλοις τε καὶ ἐν τοῖς τῶν περικαρπίων δέρμασι· φλοιὸς δὲ καὶ μήτρα· κυρίως μὲν λέγεται· δεῖ δὲ αὐτὰ καὶ τῷ λόγῳ διορίσαι· φλοιὸς μὲν οὖν ἐστι τὸ ἔσχατον καὶ χωριστὸν τοῦ ὑποκειμένου σώματος· μήτρα δὲ· τὸ μεταξὺ τοῦ ξύλου τρίτον ἀπὸ τοῦ φλοιοῦ· οἷον ἐν τοῖς ὀστοῖς μυελός· καλοῦσι δέ τινες τοῦτο καρδίαν· οἱ δὲ, μυελόν· τὰ μὲν οὖν μόρια σχεδὸν ἐστι τοσαῦτα· συγκεῖται δὲ τὰ ὕστερα ἐκ τῶν προτέρων· ξύλον μὲν ἐξ ἰνὸς καὶ ὑγροῦ· καὶ ἔνια σαρκός· ξυλοῦται γὰρ σκληρυνόμενα οἷον ἐν τοῖς φοίνιξι, καὶ νάρθηξι καὶ εἴ τι ἄλλο ἐκξυλοῦται· ὥσπερ αἱ τῶν ῥαφανίδων ῥίζαι· μήτρα δ' ἐξ ὑγροῦ καὶ σαρκὸς· φλοιὸς δ' ὁ μέν τις ἐκ πάντων τῶν τριῶν· οἷον, ὁ τῆς δρυὸς καὶ αἰγείρου καὶ ἀπίου· ὁ δὲ τῆς ἀμπέλου, ἐξ ὑγροῦ καὶ ἰνός· ὁ δὲ τοῦ φελλοῦ, ἐκ σαρκὸς καὶ ὑγροῦ· πάλιν δὲ ἐκ τούτων συντίθεται τὰ μέγιστα καὶ πρῶτα ῥηθέντα, καθάπερ ἂν εἰ μέλη, πλὴν οὐκ ἐκ τῶν αὐτῶν πάντα· οὐδὲ ὡσαύτως· ἀλλὰ διαφόρως· εἰλημμένων δὲ πάντων τῶν μορίων ὡς εἰπεῖν, τὰς τούτων διαφο-

ράς,

ρὰς πειρατέον ἀποδιδόναι καὶ τὰς ὅλων τῶν δένδρων καὶ φυτῶν οὐσίας. ἐπεὶ δὲ συμβαίνει σαφέστερον εἶναι τὴν μάθησιν διαιρουμένων κατὰ εἴδη καλῶς ἔχει τοῦτο ποιεῖν. ἐφ' ὧν ἐνδέχεται. πρῶτα δ' ἐστὶ καὶ μέγιστα καὶ σχεδὸν ὑφ' ὧν πάντα ἢ τὰ πλεῖστα, περιέχεται τάδε. δένδρον. θάμνος. φρύγανον. πόα. δένδρον μὲν οὖν ἐστι τὸ ἀπὸ ῥίζης μονοστέλεχες πολύκλαδον ὀζωτὸν οὐκ εὐαπόλυτον οἷον ἐλαία. συκῆ. ἄμπελος. φρύγανον δὲ, τὸ ἀπὸ ῥίζης καὶ πολυστέλεχες. καὶ πολύκλαδον. οἷον, βάτος. παλίουρος. πόα δὲ τὸ ἀπὸ ῥίζης φυλλοφόρον προϊὸν ἀστέλεχες. οὗ ὁ καυλὸς σπερμοφόρον οἷον, ὁ σῖτος. καὶ τὰ λάχανα. δεῖ δὲ τοὺς ὅρους οὕτως ἀποδέχεσθαι καὶ λαμβάνειν ὡς τύπῳ ὡς ἐπὶ τὸ πᾶν λεγομένους. ἔνια γὰρ ἴσως ἐπαλλάττειν δόξειε. τὰ δὲ, καὶ παρὰ τὴν ἀγωγὴν ἀλλοιότερα γίνεσθαι καὶ ἐκβαίνειν τῆς φύσεως. οἷον, μαλάχη τε εἰς ὕψος ἀναγομένη καὶ ἀποδενδρουμένη. συμβαίνει γὰρ τοῦτο καὶ οὐκ ἐν πολλῷ χρόνῳ. ἀλλ' ἐν ἓξ ἢ ἑπτὰ μησίν, ὥστε μῆκος καὶ πάχος δορατιαῖον γίνεσθαι διὸ καὶ βακτηρίαις αὐταῖς χρῶνται. πλείονος δὲ χρόνου γινομένου, κατὰ λόγον ἡ ἀπόδοσις. ὁμοίως δὲ καὶ ἐπὶ τῶν τεύτλων. καὶ γὰρ ταῦτα λαμβάνει μέγεθος. ἔτι δὲ μᾶλλον ἄγνος καὶ ὁ παλίουρος καὶ ὁ κιττός. ὥσθ' ὁμολογουμένως ταῦτα γίνεται δένδρα. καίτοι θαμνώδη ἐστίν. ὁ δὲ μύρρινος μὴ ἀνακαθαιρόμενος ἐκθαμνοῦται. καὶ ἡρακλεωτικὴ καρύα. δοκεῖ δὲ αὕτη καὶ τὸν καρπὸν βελτίω καὶ πλείω φέρειν ἐὰν ῥάβδους τις ἐᾷ πλείους, ὡς τῆς φύσεως θαμνώδους οὔσης. οὐ μονοστέλεχες δ' αὖ δόξειεν οὐδὲ μηλέα οὐδ' ἡ ῥοιὰ οὐδ' ἄπιος εἶναι οὐδ' ὅλως ὅσα παραβλαστικὰ ἀπὸ τῶν ῥιζῶν. ἀλλὰ τῇ ἀγωγῇ τοιαῦτα. περιαιρουμένων τῶν ἄλλων. ἔνια δὲ καὶ ἐῶσι πολυστελέχη διὰ λεπτότητα. καθάπερ ῥόαν. μηλέαν. ἐῶσι δὲ καὶ τὰς ἐλαίας. κοπάδας. καὶ τὰς συκᾶς. τάχα δ' ἄν τις φαίη, καὶ ὅλως μεγέθει καὶ μικρότητι διαιρετέον ἔνια, τὰ δὲ, ἰσχύϊ καὶ ἀσθενείᾳ.

καὶ πολυχρόνιον. ἔστι τῶν τε γὰρ φρυγανωδῶν καὶ λαχανωδῶν ἔνια μονοστελέχη, καὶ οἷον δένδρου φύσιν ἔχοντα γίνεται· καθάπερ ῥαφανὶς, πήγανον. ὅθεν καὶ καλοῦσί τινες τὰ τοιαῦτα δενδρολάχανα. τά τε λαχανώδη πάντα ἢ τὰ πλεῖστα ὅταν ἐγκαταμείνῃ, λαμβάνει τινὰς ὥσπερ ἀκρέμονας, καὶ γίνεται τὸ ὅλον ἐν σχήματι δενδρώδει, πλὴν ὀλιγοχρονιώτερα. διὰ δὴ ταῦτα ὥσπερ ἐλέγομεν, οὐκ ἀκριβολογητέον τῷ ὅρῳ, ἀλλὰ τῷ τύπῳ ληπτέον τοὺς ἀφορισμούς, ἐπεὶ καὶ τὰς διαιρέσεις ὁμοίως. οἷον, ἡμέρων, ἀγρίων, καρποφόρων, ἀκάρπων. ἀνθοφόρων. ἀνάνθων. ἀειφύλλων, φυλλοβόλων. τὰ μὲν γὰρ ἄγρια καὶ ἥμερα παρὰ τὴν ἀγωγὴν εἶναι δοκεῖ. πᾶν γὰρ ἄγριον καὶ ἥμερον φασὶν ἵππων γίνεσθαι. τυγχάνον καὶ μὴ τυγχάνον θεραπείας. ἄκαρπα δὲ καὶ κάρπιμα, καὶ καρποφόρα ἄνθη παρὰ τοὺς τόπους καὶ τὸν ἀέρα τὸν περιέχοντα. τὸν αὐτὸν δὲ τρόπον καὶ φυλλοβόλα, καὶ ἀείφυλλα. περὶ γὰρ ἐλεφαντίνην, οὐδὲ τὰς ἀμπέλους οὐδὲ τὰς συκᾶς φασὶ φυλλοβολεῖν. ἀλλ᾽ ὅμως τοῖς αὐτοῖς αἱρετέον. ἔχει γάρ τι τῆς φύσεως κοινόν, ὁμοίως ἐν δένδροις καὶ θάμνοις καὶ τοῖς φρυγανικοῖς καὶ ποώδεσιν. ὑπὲρ ὧν καὶ τὰς αἰτίας ὅταν τις λέγῃ περὶ πάντων κοινῇ δηλονότι λεκτέον, οὐχ ὁρίζοντα καθ᾽ ἕκαστον. εὔλογον δὲ καὶ ταύτας κοινὰς εἶναι πάντων. ἅμα δὲ φαίνεταί τινα καὶ ἔχειν φυσικὴν διαφορὰν εὐθὺς ἐπὶ τῶν ἀγρίων καὶ τῶν ἡμέρων, εἴπερ ἔνια μὴ δύναται ζῆν, ὥσπερ τὰ γεωργούμενα μηδ᾽ ὅλως δέχεται θεραπείαν. ἀλλὰ καὶ χείρω γίνεται. καθάπερ ἐλάτη. πεύκη. λάσιον, καὶ ἁπλῶς ὅσα ψυχροὺς τόπους φιλεῖ καὶ χιονώδεις. ὡσαύτως δὲ καὶ τῶν φρυγανικῶν καὶ ποωδῶν. οἷον κάππαρις καὶ θέρμος. ἥμερον δὲ καὶ ἄγριον δίκαιον καλεῖν, ἀναφέροντα πρός τε ταύτας καὶ ὅλως πρὸς τὸ ἡμερώτατον. ὁ δὲ ἄνθρωπος, ἢ μόνον ἢ μάλιστα ἥμερον.

Φανεραὶ δὲ καὶ κατὰ ταύτας τὰς μορφὰς αἱ διαφοραὶ τῶν ὅλων τε καὶ μορίων, οἷον λέγω, μέγεθος, καὶ σμικρότης· σκληρότης· μαλακότης, λειότης, τραχύτης φλοιοῦ, φύλλων, τῶν ἄλλων ἁπλῶς, εὐμορφία, καὶ δυσμορφία τίς· ἔτι δὲ καὶ καλλικαρπία, καὶ κακοκαρπία· πλείω μὲν γὰρ δοκεῖ τὰ ἄγρια φέρειν· ὥσπερ ἀχράς· κότινος, καλλίω δὲ τὰ ἥμερα. τοὺς χυλοὺς δ' αὐτοὺς γλυκυτέρους καὶ ἡδίους, καὶ τὸ ὅλον ὡς εἰπεῖν εὐκράτους. μᾶλλον αὗταί τε δὴ φυσικαί τινες ὥσπερ εἴρηται διαφοραί, καὶ ἔτι δὴ μᾶλλον, τῶν ἀκάρπων καὶ καρποφόρων, καὶ φυλλοβόλων καὶ ἀειφύλλων. καὶ ὅσα ἄλλα τοιαῦτα· πάντων δὲ ληπτέον ἀεὶ καὶ πρὸς τοῖς τόποις· οὐ γὰρ οὐδ' οἷόν τε ἴσως ἄλλως. αἱ δὲ τοιαῦται δόξαιεν ἂν γενικόν τινα ποιεῖν χωρισμόν· οἷον ἐνύδρων καὶ χερσαίων· ὥσπερ ἐπὶ τῶν ζώων· ἔστι γὰρ ἔνια τῶν φυτῶν, ἃ οὐ δύναται μὴ ἐν ὑγρῷ ζῆν· διῄρηται δ' ἄλλο κατ' ἄλλο γένος τῶν ὑγρῶν, ὥστε τὰ μὲν, ἐν τέλμασι, τὰ δὲ, ἐν λίμναις· τὰ δ' ἐν ποταμοῖς, τὰ δὲ, καὶ ἐν αὐτῇ τῇ θαλάττῃ φύεσθαι· τὰ μὲν ἐλάττω καὶ ἐν τῇ παρ' ἡμῖν· τὰ δὲ μείζω, περὶ τὴν ἐρυθράν· ἔνια, δὲ, ὥσπερεὶ κάθυγρα, καὶ ἕλεια, καθάπερ ἰτέα καὶ πλάτανος· τὰ δὲ οὐκ ἐν ὕδατι δυνάμενα ζῆν ἐν τούτοις, ἀλλὰ διώκοντα τοὺς ξηροὺς τόπους· τῶν δ' ἐλαττόνων, ἔστιν ἃ καὶ τοὺς αἰγιαλούς· οὐ μὴν ἀλλὰ καὶ τούτων εἴ τις ἀκριβολογεῖσθαι θέλει, τὰ μὲν, ἂν εὕροι κοινὰ καὶ ὥσπερ ἀμφίβια, καθάπερ μυρίκην, ἰτέαν, κλῆθραν· τὰ δὲ καὶ τῶν ὁμολογουμένων χερσαίων πεφυκότα ποτὲ ἐν τῇ θαλάττῃ βιοῦντα· φοίνικα, σκίλλαν, ἀνθέρικον· ἀλλὰ τὰ τοιαῦτα πάντα, καὶ ὅλως τὸ οὕτω σκοπεῖν, οὐκ οἰκείως ἐστὶ σκοπεῖν· οὐδὲ γὰρ οὐδ' ἡ φύσις οὕτως οὐδ' ἐν τοῖς τοιούτοις ἔχει τὸ ἀναγκαῖον· τὰς μὲν οὖν διαιρέσεις καὶ ὅλως

τὴν ἰσοείαν τῶν φυτῶν οὕτω ληπτέον, ἅπαντα δ' οὖν καὶ ταῦτα καὶ τἄλλα διοίσει καθάπερ εἴρηται, ταῖς τε τῶν ἄλλων μορφαῖς καὶ ταῖς τῶν μορίων διαφοραῖς· ἢ τῷ ἔχειν· τὰ δὲ μὴ ἔχειν, ἢ τῷ πλείω, τὰ δὲ ἐλάττω, ἢ τῷ ἀνομοίως· ἢ ὅσοι τὸ ποιὸν διήρηνται πρότερον· οἰκεῖον δὲ ἴσως καὶ τοὺς τόπους συμπαραλαμβάνειν, ἐν οἷς ἕκαστα πέφυκεν ἢ μὴ πέφυκε γίνεσθαι· μεγάλη γὰρ καὶ αὕτη διαφορά, καὶ οὐχ ἥκιστα οἰκεία τῶν φυτῶν, διὰ τὸ συνηρτῆσθαι τῇ γῇ καὶ μὴ ἀπολελύσθαι καθάπερ τὰ ζῷα· πειρατέον δ' εἰπεῖν τὰς κατὰ μέρος διαφορὰς ὧν καθόλου λέγοντας πρῶτον καὶ κοινῶς, εἶτα καθ' ἕκαστον ὕστερον ἐπὶ πλεῖον ὥσπερ ἀναθεωροῦντας· ἔστι δὲ τὰ μὲν ὀρθοφυῆ καὶ μακροστελέχη· καθάπερ ἐλάτη· πεύκη· κυπάριττος· τὰ δὲ σκολιώτερα καὶ βραχυστελέχη· οἷον ἰτέα· συκῆ, ῥοιά, καὶ κατὰ πάχος δὲ καὶ λεπτότητα ὁμοίως· καὶ πάλιν τὰ μέν, μονοστελέχη· τὰ δέ, πολυστελέχη, τοῦτο δὲ αὐτὸ τρόπον τινὰ ταὐτὸ τῷ παραβλαστικὰ ἢ ἀπαράβλαστα εἶναι, καὶ πολύκλαδα καὶ ὀλιγόκλαδα· καθάπερ ὁ φοῖνιξ· καὶ ἐν αὐτοῖς τούτοις, ἔτι κατὰ τὴν ἰσχὺν ἢ πάχος ἢ τὰς τοιαύτας διαφοράς· πάλιν τὰ μέν, λεπτόφλοια, καθάπερ δάφνη, φίλυρα, τὰ δέ, παχύφλοια, καθάπερ δρῦς· ἔτι τὰ μέν, λειόφλοια· καθάπερ μηλέα, συκῆ· τὰ δὲ τραχύφλοια· καθάπερ ἀγρία δρῦς φελλός· φοῖνιξ· ταῦτα δέ, νέα μὲν ὄντα λειοφλοιότερα· ἀπογηράσκοντα δέ, παχυφλοιότερα, ἔνια δὲ καὶ ῥιζόφλοια, καθάπερ ἄμπελος· τὰ δέ, καὶ ὡς περιπίπτειν οἷον ἀνδράχνη· μηλέα, κόμαρος· ἔστι δὲ καὶ τῶν μέν, σαρκώδης ὁ φλοιός· οἷον φελλοῦ· δρυός· αἰγείρου· τῶν δέ, ἰνώδης καὶ ἄσαρκος· ὁμοίως δένδρων· καὶ θάμνων· καὶ ἐπετείων· οἷον, ἀμπέλου· καλάμου· πυροῦ· καὶ τῶν μὲν πολύλοπος· οἷον φιλλύρας· ἐλάτης· ἀμπέλου· λινοσπάρτου· κρομμύων· τῶν δὲ

δὲ μονόλοπα, οἷον συκῆς, καλάμου, αἴρας, καὶ τὰ μὲν δὴ τῶν
φλοιοὺς, ἐν τούτοις αἱ διαφοραί. τῶν δὲ ξύλων αὐτῶν καὶ ὅλως
τῶν καυλῶν, οἱ μὲν εἰσὶ σαρκώδεις· οἷον δρυὸς, συκῆς, καὶ τῶν ἐ-
λαττόνων· βαλάμου τεύτλου· κωνίου, οἱ δὲ ἄσαρκοι· καθάπερ κέ-
δρου· λωτοῦ κυπαρίττου· καὶ οἱ μὲν, ἰνώδεις· τὰ μὲν γὰρ τῆς ἐ-
λάτης καὶ τοῦ φοίνικος ξύλα τοιαῦτα, τὰ δὲ μανὰ, καθά-
περ τῆς συκῆς· ὡσαύτως δὲ καὶ τὰ μὲν, φλεβώδη, τὰ δ' ἄφλε-
βα, περὶ δὲ τὰ φρυγανικὰ καὶ θαμνώδη καὶ ὅλως τὰ κλήμα-
τα· καὶ ἄλλας τις ἂν λάβοι διαφοράς· ὁ μὲν γὰρ κάλαμος,
γονατώδης· ὁ δὲ βάτος καὶ ὁ παλίουρος, ἀκανθώδη· ἡ δὲ τί-
φη καὶ ἔνια τῶν ἑλείων ἢ λιμναίων ὁμοίως ἀδιάφρακτα ἢ
ὁμαλῆ καθάπερ σχοῖνος· ὁ δὲ τοῦ κυπείρου καὶ βουτόμου καυ-
λὸς ὁμαλότητά τινα ἔχει παρὰ τούτοις· ἔτι δὲ μᾶλλον ἴσως
ὁ τοῦ μύκητος· αὗται μὲν δὴ δόξαιεν ἂν ἐξ ὧν ἡ σύνθεσις· ἡ δὲ κα-
τὰ τὰ πάθη καὶ τὰς δυνάμεις, οἷον σκληρότης, γλισχρότης,
κραυρότης, μανότης, κουφότης, βαρύτης, καὶ ὅσα ἄλλα τοι-
αῦτα· ἡ μὲν γὰρ ἰτέα καὶ χλωρὸν εὐθὺ, κοῦφον· ὥσπερ ὁ φελ-
λός, ἡ δὲ πύξος καὶ ἡ ἔβενος· οὐδὲ αὐανθέντα, καὶ τὰ μὲν σχι-
θέντα· καθάπερ ὁ τῆς ἐλάτης· τὰ δὲ ἀθραυστα μᾶλλον· οἷον
ὁ τῆς ἐλαίας· καὶ τὰ μὲν λοξά· οἷον τὰ τῆς ἀκτῆς· τὰ δὲ ὀξώδη
οἷον τὰ τῆς πεύκης καὶ ἐλάτης· δεῖ δὲ καὶ τὰς τοιαύτας ὑπο-
λαμβάνειν τῆς φύσεως· σχιστὸν μὲν γὰρ ἡ ἐλάτη διὰ τὸ εὐθυπο-
ρεῖν· ἄθραυστον δὲ ἡ ἐλαία· διὰ τὸ σκολιὸν καὶ σκληρόν· εὐκαμ-
πτον δὲ, ἡ φιλύρα· καὶ ὅσα ἄλλα· διὰ τὸ γλίσχρον ἔχειν τὴν ὑ-
γρότητα· βαρὺ δὲ, ἡ μὲν πύξος καὶ ἡ ἔβενος ὅτι πυκνά· ἡ δὲ
δρῦς ὅτι γεώδης· ὡσαύτως δὲ καὶ τὰ ἄλλα πάντα πρὸς τὴν φύσιν
πως ἀνάγεται· διαφέρουσι δὲ καὶ ταῖς μήτραις· πρῶτον μὲν εἰ ἔνια
ἔχει ἢ μὴ ἔχει· καθάπερ τινές φασιν ἄλλα τε καὶ τὴν ἀκτῆν· ἔπει-
τα ἐν αὐτοῖς ἔχουσι, τοῖς μὲν γὰρ ἐστι σαρκώδης· τοῖς δὲ ξυλώδης

τῶν δὲ ὑμενώδης· σαρκώδης μέν, οἷον ἀμπέλου, συκῆς, μηλέ-
ας, ῥοιᾶς, ἀκτῆς, νάρθηκος· ξυλώδης δέ, πίτυος, ἐλάτης, πεύ-
κης, καὶ μάλιστα αὕτη διὰ τὸ ἔνδαδος εἶναι. τούτων δ' ἔτι σκλη-
ρότεραι καὶ πυκνότεραι, κρανίας, πρίνου, δρυός, κυτίσου, συ-
καμίνου, ἐβένου, λωτοῦ. διαφέρουσι δὲ αὗται καὶ τοῖς χρώμασι·
μέλαιναι γὰρ δὴ πᾶσαι, καὶ δρυὸς ἣν καλοῦσι μελάνδρυον. ἅ-
πασαι δὲ σκληρότεραι τῶν ξύλων, διὸ καὶ ὑπομένουσι κάμπτειν.
μανότεραι δὲ αἱ μέν, αἱ δ' οὔ. ὑμενώδεις δέ. ἐν μὲν τοῖς δένδροις
οὐκ εἰσὶν ἢ σπάνιοι, ἐν δὲ τοῖς θαμνώδεσι καὶ ὅλως τοῖς ὑλήμα-
σιν, οἷον καλάμῳ καὶ νάρθηκι, καὶ τοῖς τοιούτοις εἰσίν. ἔχει
δὲ τὴν μήτραν τὰ μὲν μεγάλην καὶ φανεράν, ὡς πρῖνος, δρῦς
καὶ τὰ ἄλλα τὰ προειρημένα, τὰ δὲ ἀφανεστέραν, οἷον ἐλαία,
πύξος. οὐ γάρ ἐστιν ἀφωρισμένην οὕτω λαβεῖν ἀλλὰ καὶ φασί-
τινες οὐ κατὰ τὸ μέσον, ἀλλὰ κατὰ τὸ πᾶν ἔχειν ὥστε μὴ εἶναι
τόπον ὡρισμένον. διὸ καὶ ἔνια οὐδ' ἂν δόξειεν ὅλως ἔχειν ἐπεὶ καὶ
τοῦ φοίνικος οὐδεμία φαίνεται διαφορὰ κατ' οὐδέν. διαφέρου-
σι δὲ ταῖς ῥίζαις. τὰ μὲν γὰρ πολύρριζα καὶ ἀκρόρριζα κα-
θάπερ συκῆ, δρῦς, πλάτανος. ἐὰν γὰρ ἔχωσι τόπον ἐφ' ὅσον ἂν
προέρχονται. τὰ δὲ ὀλιγόρριζα, καθάπερ ἐλάτη, ῥοιά, μη-
λέα. τὰ δὲ μονόρριζα, καθάπερ ἐλάτη, πεύκη. μονόρρι-
ζα οὕτως, ὅτι μίαν μεγάλην εἰς κάθος ἔχει, μικρὰς δὲ ἀπὸ
ταύτης πλείους. ἔχουσι δὲ καὶ τῶν μονορρίζων ἔνια τὴν ἐκ
τοῦ μέσου μεγίστην καὶ κατὰ βάθους, ὥσπερ ἀμυγδαλαῖ. ἐ-
λαίας μικρὰν ταύτην, τάς τε ἄλλας μείζους καὶ ὡς κεκαρ-
κινωμένας. ἔτι δὲ τῶν μὲν παχεῖαι μᾶλλον, τῶν δὲ ἀνω-
μαλεῖς, καθάπερ δάφνης, ἐλαίας. τῶν δὲ πᾶσαι λεπταί,
καθάπερ ἀμπέλου. διαφέρουσι δὲ καὶ λειότητι καὶ τρα-
χύτητι καὶ πυκνότητι. πάντων γὰρ αἱ ῥίζαι μανώτεραι
τῶν ἄνω. πυκνότεραι δὲ ἄλλαι ἄλλων καὶ ξυλωδέστεραι.
καὶ αἱ μὲν ἰνώδεις, ὡς αἱ τῆς ἐλάτης, αἱ δὲ σαρκώδεις

μᾶλλον

μεγάλων ὥσπερ αἱ τῆς δρυὸς, αἱ δ' οἷον ὀζώδεις καὶ θυσανώδεις, ὥσπερ αἱ τῆς ἐλαίας· τοῦτο δὲ, ὅτι τὰς λεπτὰς καὶ μικρὰς τριχώδεις ἔχουσιν ἀθρόας· ἐπεὶ πᾶσαι γε καὶ ταύτας ἀποφύουσιν ἀπὸ τῶν μεγάλων· ἀλλ' οὐχ ὁμοίως ἀθρόας καὶ πολλάς, ἔστι δὲ καὶ τὰ μὲν βαθύρριζα, καθάπερ δρῦς· τὰ δ' ἐπιπολαιόρριζα, καθάπερ ἐλαία, ῥοιά, μηλέα, κυπάριττος, ἔτι δ' αἱ μὲν εὐθεῖαι καὶ ὁμαλεῖς, αἱ δὲ σκολιαὶ καὶ παραλλάττουσαι. τοῦτο γὰρ οὐ μόνον συμβαίνει διὰ τοὺς τόπους, τῷ μὴ εὐοδεῖν ἀλλὰ καὶ τῆς φύσεως αὐτῆς ἐστιν, ὥσπερ ἐπὶ τῆς δάφνης καὶ τῆς ἐλαίας· ἡ δὲ συκῆ ἐστι τὰ τοιαῦτα σκολιοῦται, διὰ τὸ μὴ εὐοδεῖν· ἅπασαι δ' ἔμμετροι, καθάπερ καὶ τὰ στελέχη καὶ οἱ ἀκρέμονες, καὶ εὔλογον ἀπὸ τῆς ἀρχῆς· εἰσὶ δὲ καὶ αἱ μὲν, παραβλαστικαὶ εἰς τὸ ἄνω, καθάπερ ἄμπελος, ῥόα· αἱ δὲ ἀπαράβλαστοι, καθάπερ ἐλάτης, κυπαρίττου, πεύκης· αἱ αὐταὶ δὲ διαφοραὶ καὶ τῶν φρυγανικῶν, καὶ τῶν ποωδῶν, καὶ τῶν ἄλλων, πλὴν εἰ ὅλως ἔνια μὴ ἔχει, καθάπερ ὕδνον, μύκης, πέζις, κεραύνιον, τὰ μὲν πολύρριζα, καθάπερ πυρὸς, τίφη, κριθὴ, πᾶν τὸ τοιοῦτον, καθάπερ εἰκάζουσι· τὰ δ' ὀλιγόρριζα, καθάπερ τὰ χέδροπα· σχεδὸν δὲ καὶ τῶν λαχανωδῶν τὰ πλεῖστα μονόρριζα· οἷον ῥάφανος, τεῦτλον, σέλινον, λάπαθος· πλὴν ἔνια καὶ ἐπιφυάδας ἔχει μεγάλας· οἷον τὸ σέλινον, τὸ τεῦτλον· καὶ ὡς ἀνὰ λόγον ταῦτα βαθυρριζότερα τῶν δένδρων· εἰσὶ δὲ τῶν μὲν σαρκώδεις, καθάπερ ῥαφανῖδος, γογγυλίδος, ἄρου, κρόκου· τῶν δὲ ξυλώδεις, οἷον εὐζώμου, ὠκίμου, καὶ τῶν ἀγρίων δὲ τῶν πλείστων ὅσων μὴ εὐθὺς πλείους, καὶ σχιζόμεναι, καθάπερ πυροῦ, κριθῆς, καὶ τῆς καλουμένης πόας· αὕτη γὰρ ἐν τοῖς ἐπετείοις καὶ ἐν τοῖς ποώδεσιν ἡ διαφορὰ τῶν ῥιζῶν· ὥστε τὰς μὲν εὐθὺς σχίζεσθαι πλείους ὅσαι ἐστὶν ὁμαλεῖς, τῶν δ' ἄλλων μίαν ἢ δύο τὰς μεγίστας, ἢ ἄλλας ἀπὸ τούτου· ὅλως δ' ἢ πλείους αἱ διαφοραὶ τῶν ῥιζῶν ἐν τοῖς ὑλήμασι τοῖς λαχανώδεσιν· εἰσὶ γὰρ αἱ μὲν, λαχα-

νώδεις ὥσπερ αἱ τοῦ ὠκίμου, αἱ δὲ σαρκώδεις, ὥσπερ αἱ τοῦ τεύτλου· καὶ ἔτι δὴ μᾶλλον τοῦ ἄρου καὶ ἀσφοδέλου, καὶ κρόκου, αἱ δὲ ὥσπερ ἐκ φλοιοῦ καὶ σαρκός· ὥσπερ αἱ τῶν ῥαφανίδων καὶ γογγυλίδων· αἱ δὲ, γονατώδεις ὥσπερ αἱ τῶν καλάμων καὶ ἀγρώστεως· καὶ εἴ τι καλαμῶδες· καὶ μόναι δὴ αὗται ἢ μάλιστα ὅμοιαι τοῖς ὑπὲρ γῆς· ὥσπερ γὰρ καλαμοί εἰσιν ἐρριζωμένοι ταῖς λεπταῖς. αἱ δὲ, λεπυρώδεις ἢ φλοιώδεις· οἷον ἥ τε τῆς σκύλλης καὶ τοῦ βολβοῦ καὶ ἔτι κρομμύου καὶ τῶν τούτοις ὁμοίων· ἀεὶ γὰρ ἔστι περιαιρεῖν αὐτῶν· πάντα δὲ τὰ τοιαῦτα δοκεῖ καθάπερ δύο γένη ῥιζῶν ἔχειν· τοῖς δὲ, καὶ ὅλως τὰ κεφαλοβαρῆ· καὶ κατάρριζα· τά τε σαρκώδη ταύτην καὶ φλοιώδη, καθάπερ ἡ σκύλλα, καὶ τὰ ἀπὸ ταύτης ἀπὸ πεφυκυίας, οὐ γὰρ λεπτότητι καὶ παχύτητι διαφέρουσι μόνον ὥσπερ αἱ τῶν δένδρων καὶ τῶν λαχάνων· ἀλλὰ λεῖον ἔχοντες τὸ γένος, ἐμφανέστατη δ' ἤδη ἥ τε τοῦ ἄρου καὶ ἡ τοῦ κυπείρου· ἡ μὲν γὰρ παχεῖα καὶ λεία καὶ σαρκώδης· ἡ δὲ λεπτὴ καὶ ἰνώδης· διόπερ ἀπορήσειεν ἄν τις εἰ ῥίζας τὰς τοιαύτας θετέον· ἡ μὲν γὰρ κατὰ γῆς δόξειεν ἄν· ἡ δ' ὑπεναντίως ἔχουσα ταῖς ἄλλαις, οὐκ ἂν δόξειεν· ἡ μὲν γὰρ ῥίζα λεπτοτέρα, πρὸς τὸ πόρρω· καὶ ἀεὶ εἰς ὀξύς· αἱ δὲ τῶν σκυλλῶν, καὶ τῶν βολβῶν· καὶ τῶν ἄρων ἀνάπαλιν· ἔτι δ' αἱ μὲν ἄλλαι κατὰ τὸ πλάγιον ἀφιᾶσι ῥίζας· αἱ δὲ τῶν σκύλλων καὶ τῶν βολβῶν οὐκ ἀφιᾶσιν· οὐδὲ τῶν σκορόδων καὶ τῶν κρομμύων· ὅλως δέ γε ἐν ταύταις αἱ κατὰ μέσον ἐκ τῆς κεφαλῆς ἠρτημέναι φαίνονται ῥίζαι καὶ τρέφονται, τοῦτο δ' ὥσπερ κύημα ἢ καρπός· ὅθεν καὶ οἱ ἐντεόστοις ἀλέγοντες οὐ κακῶς· ἐπὶ δὲ τῶν ἄλλων τοῦτο μὲν ἔστιν· ἐπεὶ δὲ πλεῖον ἡ φύσις ἢ κατὰ ῥίζαν, ταύτῃ ἀπορίαν ἔχει· τὸ γὰρ δὴ πᾶν λέγειν τὸ κατὰ τὴν ῥίζαν, οὐκ ὀρθόν· καὶ γὰρ ἀνάκαυλος ὁ τοῦ βολβοῦ καὶ ὁ τοῦ γηθύου· καὶ ὅλως ὅσα κατὰ βάθος ἐστὶν εἴησαν αἱ ῥίζαι καὶ τὸ ὕδνον ἤ, ὃ καλοῦσί τινες ἄσχιον· καὶ τὸ οἴτον καὶ εἴ τι ἄλλο ὑπόγειόν ἐστιν· ὧν οὐδέν ἐστι ῥίζα· δυνάμει γὰρ δεῖ φύσει

καὶ διαιρεῖν

καὶ διαιρεῖν. οὔπω τάχα δὲ τοῦτο μὲν ὀρθῶς λέγεται. ῥίζαι γὰρ οὐδὲν ἧττον ὁμοίως. ἀλλὰ διαφορά τις αὕτη τῶν ῥιζῶν. ὥστε τὴν μέν τινα, τοιαύτην εἶναι. τὴν δὲ τοιαύτην. τὸ τρέφεσθαι τὴν ἑτέραν ὑπὸ τῆς ἑτέρας. καίτοι καὶ αὐταὶ καὶ αὗται αἱ σαρκώδεις ἐοίκασιν ἕλκειν. τὰς γοῦν τῶν ἀρῶν πρὸ τοῦ βλαστάνειν τρέφουσι. καὶ γίνονται μείζους κωλυόμεναι διαθεῖναι πρὸς τὴν βλάστησιν. ἐπεὶ ὅτι γε πάντων τῶν τοιούτων ἡ φύσις ἐπὶ τὸ κάτωσε μᾶλλον ῥέπει, φανερόν. οἱ μὲν γὰρ καυλοὶ, καὶ ὅλως τὰ ἄνω, βραχέα καὶ ἀσθενῆ. τὰ κάτω δὲ καὶ μεγάλα καὶ πολλὰ καὶ ἰσχυρά. οὐ μόνον ἐπὶ τῶν εἰρημένων, ἀλλὰ καὶ ἐπὶ καλάμου καὶ ἀγρώστιδος. καὶ ὅλως ὅσα καλαμώδη καὶ τούτοις ὅμοια. καὶ ὅσα δὲ ναρθηκώδη. καὶ τούτων ῥίζαι μεγάλαι καὶ σαρκώδεις. πολλὰ δὲ καὶ τῶν ποωδῶν ἔχει τοιαύτας ῥίζας. οἷον, ἀσπάλαξ. κρόκος καὶ τὸ περδίκιον καλούμενον. καὶ γὰρ τοῦτο παχείας τε καὶ πλείους ἔχει τὰς ῥίζας ἢ φύλλα. καλεῖται δὲ περδίκιον, διὰ τὸ τοὺς πέρδικας ἐγκυλίεσθαι καὶ ὀρύττειν. ὁμοίως δὲ ἔστι τὸ ἐν αἰγύπτῳ καλούμενον οὔϊγγον. τὸ μὲν φύλλα, μεγάλα. ὁ βλαστὸς αὐτοῦ, βραχύς. ἡ δὲ ῥίζα, μακρά. ἔστι δ' ὥσπερ καρπός. διαφέρει τε καὶ ἐσθίεται. συλλέγουσι δὲ ὅταν ὁ ποταμὸς ἀποβῇ στρέφοντες βώλους. φανερώτατα δὲ ἔστι πλείστην ἔχοντα πρὸς τὰ ἄλλα διαφοράν, τὸ σίλφιον ἔστι ἡ καλουμένη μαγύδαρις. ἀμφότερα γὰρ τούτων καὶ ἁπάντων τῶν τοιούτων ταῖς ῥίζαις μᾶλλον ἡ φύσις. ταῦτα μὲν οὖν ταύτῃ ληπτέα. ἔνιαι δὲ τῶν ῥιζῶν, πλείω δόξαιεν ἂν ἔχειν διαφορὰς παρὰ τὰς εἰρημένας. οἷον αἵ τε, τῆς ἀραχίδνης, καὶ τοῦ ὁμοίου τῷ ἀράκῳ. φέρουσι γὰρ ἀμφότεραι καρπὸν, οὐκ ἐλάττω τοῦ ἄνω. καὶ μίαν μὲν ῥίζαν τὸ σαρκῶδες τοῦτο παχεῖαν ἔχει τὴν κατὰ βάθους. τὰς δὲ ἄλλας ἐφ' ὧν ὁ καρπὸς, λεπτοτέρας καὶ ἐπ' ἄκρῳ, σχιζομένας τὰ πολλὰ ἔχει. φιλεῖ δὲ μάλιστα χωρία τὰ ὕφαμμα. φύλλον δὲ οὐδέτερον ἔχει τούτων, οὐδ' ὅμοια τοῖς φύλλοις. ἀλλ' ὥσπερ ἀμφί-

καρπὸν μᾶλλόν ἐστιν. καὶ φαίνεται θαυμάσιον αἱ μὲν οὖν φύσεις καὶ αἱ δυνάμεις τοσαύτας ἔχουσι διαφοράς. αὐξάνεσθαι δὲ πάντων δοκοῦσιν αἱ ῥίζαι πρότερον τῶν ἄνω. καὶ γὰρ φύεσθαι εἰς βάθος οὐδεμία καθήκει πλέον, ἢ ὅσον ὁ ἥλιος ἐφικνεῖται. τὸ γὰρ θερμὸν, τὸ γεννῶν. οὐ μὴν ἀλλὰ ταῦτα μεγάλα συμβάλλεται πρὸς βαθυρριζίαν. καὶ ἔτι μᾶλλον πρὸς μακρορριζίαν ἡ τῆς χώρας φύσις ἐὰν ἦ κούφη καὶ μανὴ καὶ εὐδίοδος. ἐν γὰρ ταῖς τοιαύταις, πορρωτέρω καὶ μείζους αὐξήσεις. φανερὸν δὲ τῶν ἡμερωτάτων. ἔχοντα γὰρ ὕδωρ, ὅπου οὖν δυνατὸν εἰπεῖν. ἐπεὶ καὶ ὁ τόπος ἦν κενὸς καὶ μηδὲν τὸ ἀντιστατοῦν καθάπερ φρέατος ἢ ὀχετοῦ τινος, ἡ ἐν τῷ λυκείῳ ἡ πλάτανος, ἡ κατὰ τὸν ὀχετὸν ἔτι νέα οὖσα περὶ τρεῖς καὶ τριάκοντα πήχεις ἀφῆκεν, ἔχουσα τόπον ἅμα καὶ τροφήν. δόξειε δ᾽ ἂν ἡ συκῆ μακρορριζότατον εἶναι. καὶ ὅλως δὲ μᾶλλον τὰ μανὰ καὶ εὐθύρριζα. πάντα δὲ τὰ νεώτερα τῶν παλαιῶν, ἐὰν εἰς ἀκμὴν ἥκωσιν, ἤδη βαθυρριζότερα καὶ μακρορριζότερα. συμφθίνουσι γὰρ καὶ αἱ ῥίζαι τῷ ἄλλῳ σώματι. πάντων δὲ ὁμοίως οἱ χυλοὶ τοῖς φυτοῖς δριμύτεροι. τοῖς δὲ, ὡς ἐπὶ πᾶν. διὸ καὶ ἐνίων πικραί, ὧν οἱ καρποὶ γλυκεῖς. αἱ δὲ, καὶ φαρμακώδεις ἔνιαι φυτῶν. αἱ δὲ καὶ εὐώδεις. ὥσπερ αἱ τῆς ἴριος. ἴδια δὲ ῥίζης φύσις καὶ δύναμις. οἷον ἡ τῆς ἰνδικῆς συκῆς. ἀπὸ γὰρ τῶν βλαστῶν ἀφίησι, μέχρις οὗ ἂν συνάψῃ τῇ συκῇ καὶ ῥιζωθῇ. καὶ γίνεται περὶ τὸ δένδρον κύκλῳ συνεχὲς τὸ τῶν ῥιζῶν, οὐχ ἀπὸ μόνου τοῦ στελέχους, ἀλλὰ ἀφεστηκός. παραπλήσιον δὲ τούτῳ, μᾶλλον δὲ ἔτι θαυμασιώτερον, εἴ τι ἐκ τῶν φύλλων ἀφίησι ῥίζαν. οἷόν φασι περὶ ὀποῦντα πόαριον εἶναι, ὃ καὶ ἐδώδιμον εἶναι ἡδύ. τὸ δ᾽ αὖ τῆς θέρμου θαυμαστὸν μᾶλλον, ὅτι ἂν ἐν ὕλῃ βαθείᾳ σπαρῇ, διαιρεῖ τὴν ῥίζαν πρὸς τὴν γῆν, καὶ βλαστάνει διὰ τὴν ἰσχύν. ἀλλὰ δὴ τὰς μὲν τῶν ῥιζῶν διαφορὰς ἐκ τούτων θεωρητέον τῶν δένδρων. ἔτι τὰς τοιαύτας δ᾽ ἄν τις λάβοι διαφοράς.

φοράς. ἔστι γὰρ τὰ μὲν, ὀζώδη. τὰ δὲ ἄνοζα, καὶ φύσει καὶ τόπῳ. κατὰ τὸ μᾶλλον καὶ ἧττον. ἄνοζα δὲ λέγω, οὐχ ὥστε μὴ ἔχειν ὅλως. οὐδὲν γὰρ τοιοῦτο δένδρον. ἀλλ᾽ εἴπερ ἧττον ἄλλων. οἷον, σχῖνος. τίφη. κύπειρος. ὅλως ἔτι ἐπὶ τῶν λιμνωδῶν. ἄλλως τε ὀλίγους ἔχειν. φύσει μὲν. οἷον, ἀκτή. δάφνη, συκῆ. ὅλως πάντα τὰ λεόφλοια, καὶ ὅσα κοῖλα καὶ μανά. ὀζώδεις δὲ, ἐλαία. πεύκη. κότινος. τούτων δὲ, τὰ μὲν, ἐν παλισκίοις, καὶ ἀνηνέμοις. καὶ ἐφύδροις. τὰ δὲ ἐν εὐηλίοις, καὶ χειμερίοις, καὶ πνευματώδεσι, καὶ λεπτοῖς, καὶ ξηροῖς. τὰ μὲν γὰρ ἀνοζώτερα. τὰ δὲ ὀζωδέστερα τῶν ὁμογενῶν. ὅλως δὲ ὀζωδέστερα τὰ ὀρεινὰ τῶν πεδινῶν, καὶ τὰ ξηρὰ τῶν ἑλείων. ἔτι δὲ κατὰ τὴν φυτείαν τὰ μὲν πυκνὰ, ἄνοζα καὶ ὀρθά. τὰ δὲ μανά, ὀζωδέστερα καὶ σκολιώτερα. συμβαίνει γὰρ ὥστε τὰ μὲν, ἐν παλισκίῳ εἶναι, τὰ δὲ ἐν εὐηλίῳ. καὶ τὰ ἄρρενα δὲ τῶν θηλειῶν ὀζωδέστερα, ἐν οἷς ἐστιν ἄμφω. οἷον, κυπάριττος. ἐλάτη. ὀστρυΐς. κρανία. καλοῦσι γάρ τι γένος, θηλυκρανίαν. καὶ τὰ ἄγρια δὲ τῶν ἡμέρων. καὶ ἁπλῶς καὶ τὰ ὑπὸ τὸ αὐτὸ γένος, οἷον κότινος ἐλαίας. ἐρινεὸς συκῆς. καὶ ἀχρὰς ἀπίου. πάντα γὰρ ταῦτα ὀζωδέστερα. καὶ ὡς ἐπὶ τὸ πολὺ πάντα τὰ πυκνὰ τῶν μανῶν. καὶ γὰρ τὰ ἄρρενα πυκνότερα, καὶ τὰ ἄγρια. πλὴν εἴ τι διὰ πυκνότητα παντελῶς ἄνοζον ἢ ὀλιγόζον. οἷον πύξος, λωτός. εἰσὶ δὲ τῶν μὲν, ἄτακτοι καὶ ὡς ἔτυχεν οἱ ὄζοι. τῶν δὲ, τεταγμένοι καὶ τῷ διαστήματι καὶ τῷ πλήθει, καθάπερ εἴρηται. διὸ καὶ ἀξιολογώτατα ταῦτα καλοῦσι. τῶν μὲν γὰρ οἷον δι᾽ ἴσου. τῶν δὲ μεῖζον ἀεὶ τὸ πρὸς τῷ πάχει καὶ τοῦτο κατὰ λόγον ὅπερ μάλιστα ἔνδηλον καὶ ἐν τοῖς κοτίνοις καὶ ἐν τοῖς καλάμοις. τὸ γὰρ γόνυ καθάπερ ὄζος. καὶ οἱ μὲν, καλαμήλας, ὥσπερ οἱ τῶν κοτίνων. οἱ δὲ ὡς ἔτυχεν. ἔστι δὲ τὰ μὲν δίοζα. τὰ δὲ, τρίοζα. τὰ δὲ πλείους ἔχοντα. ἔνια δὲ πεντάοζα. τῆς μὲν ἐλάτης ὀρθοὶ καὶ οἱ ὄζοι καὶ οἱ κλάδοι ὥσπερ ἐμπεπηγότες. τῶν δὲ ἄλλων, οὔ. διὸ καὶ ἰσχυρότατον ἡ ἐλάτη. ἰδιώτατοι δὲ οἱ τῆς μηλέας. ὅμοιοι θηρίων προσώποις. εἷς μὲν ὁ μέγιστος. ἄλλοι δὲ

περὶ αὐτὸν μικροὶ πλείους. εἰσὶ δὲ τῶν ὄζων οἱ μὲν τυφλοί, οἱ δὲ γόνιμοι. λέγω δὲ τυφλούς, ἀφ' ὧν μηδεὶς βλαστός. οὗτοι δὲ καὶ φύσει καὶ πηρώσει γίνονται· ἢ ὅταν ἢ μὴ λυθῇ καὶ ἐκβιάζηται καὶ ἢ ἀποκοπῇ καὶ οἷον ἐπικαυθεὶς πηρωθῇ. γίνονται δὲ μᾶλλον ἐν τοῖς πάχεσι τῶν ἀκρεμόνων· ἐνίων δὲ καὶ ἐν τοῖς στελέχεσιν. ὅλως δὲ καὶ τοῦ στελέχους καὶ τοῦ κλάδου καθ' ὃ ἂν ἐπικοπῇ ἢ ἐπιτέμῃ τις, ὄζος γίνεται, καθάπερ ἂν διαιρῶν τὸ ἓν καὶ ποιῶν ἑτέραν ἀρχήν, εἴτε διὰ τὴν πήρωσιν, εἴτε δι' ἄλλην αἰτίαν. οὐ γὰρ δὴ κατὰ φύσιν τό γε ὑπὸ τῆς πληγῆς. ἀεὶ δὲ ἐν ἅπασιν οἱ κλάδοι φαίνονται πολυοζότεροι διὰ τὸ μήπω τὰ μέσα προσκυζῆσθαι· καθάπερ τῆς συκῆς οἱ νεόβλαστοι τραχύτατοι· τῆς ἀμπέλου τὰ ἄκρα τῶν κλημάτων. ὡς γὰρ ὁ ὄζος ἐν τοῖς ἄλλοις, οὕτω καὶ ὀφθαλμὸς ἐν ἀμπέλῳ, τὸ ἐν καλάμῳ γόνυ. ἐνίοις δὲ καὶ οἷον κράδαι γίνονται, καθάπερ πτελέᾳ καὶ δρυῒ, τῇ μάλιστα ἐν πλατάνῳ· ἐὰν δὲ ἐν τραχέσι καὶ ἀνύδροις τῇ πνευματώδεσι, τῇ παντελῶς. πάντως δ' ὁ πρὸς τῇ γῇ τῇ οἷον τῇ κεφαλῇ τοῦ στελέχους ἀπογηράσκων, τῶν παχυτέρων γίνεται. ἔνια δὲ καὶ ἴσχει τοὺς καλουμένους ὑποτίνων, ἢ γόγγρους, ἢ τὸ ἀνάλογον, οἷον ἡ ἐλαία. κυριώτατον γὰρ ἐπὶ ταύτης τοὔνομα· καὶ πάσχειν δοκεῖ μάλιστα τὸ εἰρημένον. καλοῦσι δέ τινες τοῦτο πρέμνον, οἱ δὲ κρότωνα, οἱ δὲ ἄλλο ὄνομα. τοῖς δ' ἀθέσι καὶ μονορρίζοις καὶ ἀπαραβλάστοις οὐ γίνεται τοῦθ' ὅλως, ἢ ἧττον. φοίνιξ δὲ παραβλαστικόν. ἡ δὲ ἐλαία καὶ ὁ κότινος καὶ τὰς κοιλότητας ἰδίας ἔχουσι τὰς ἐν τοῖς στελέχεσιν. ἔστι μὲν οὖν τὰ μὲν εἰς μῆκος αὐξητικὰ μάλιστα μόνα, οἷον ἐλάτη, φοῖνιξ, κυπάριττος, καὶ ὅλως τὰ μονοστελέχη, καὶ ὅσα μὴ πολύρριζα, μηδὲ πολύκλαδα. τὰ δὲ ὁμοίως τούτοις ἀνάλογον καὶ εἰς βάθος. ἔνια δὲ εὐθὺς σχίζεται, οἷον ἡ μηλέα. τὰ δὲ πολύκλαδα τὸ μείζω τὸν ὄγκον ἔχει τὸν ἄνω, καθάπερ ῥοά. οὐ μὴν ἀλλ' οὖν μέγιστά γε συμβάλλεται πρὸς ἕκαστον, ἡ ἀγωγή, καὶ ὁ τόπος, καὶ ἡ τροφή.

σημεῖον δὲ

σημεῖον δ' ὅτι ταῦτα πυκνὰ μὲν ὄντα, μακρὰ καὶ λεπτὰ γίνεται· μανὰ δὲ παχύτερα καὶ βραχύτερα· καὶ ἐὰν μὲν εὐθύς τις ἀφείῃ τοὺς ὄρους, βραχέα· ἐὰν δὲ ἀνακαθαίρῃ, μακρά· καθάπερ ἡ ἄμπελος. ἱκανὸν δὲ κἀκεῖνο πρὸς πίστιν, ὅτι καὶ τῶν λαχάνων ἔνια λαμβάνει δένδρου σχῆμα· καθάπερ εἴπομεν τὴν μαλάχην, καὶ τὸ τεῦτλον. ἅπαντα δὲ ἐν τοῖς οἰκείοις τόποις ἐξαύξει καὶ τὸ αὐτὸ κάλλιστον· ἐπεὶ καὶ τῶν ὁμογενῶν αὐξότερα καὶ μείζω καὶ καλλίω τὰ ἐν τοῖς οἰκείοις· οἷον, ἐλάτη ἡ μακεδονικὴ τῆς παρνασίας καὶ τῶν ἄλλων. ἅπαντα δὲ ταῦτα καὶ ὅλως ἡ ὕλη ἡ ἀγρία καλλίων καὶ πλείων τοῖς ἐν τοῖς προσβορέοις, ἢ ἐν τοῖς πρὸς μεσημβρίαν. ἔτι δὲ τὰ μὲν ἀείφυλλα, τὰ δὲ φυλλοβόλα. τῶν μὲν ἡμέρων, ἀείφυλλα, ἐλαία· φοῖνιξ· δάφνη· μύρρινος, πεύκης τι γένος· κυπάριττος· τῶν δ' ἀγρίων· ἐλάτη· πεύκη· ἄρκευθος· σμῖλαξ· θυία· καὶ ἣν ἀρκάδες καλοῦσι φελλόδρυν· φίλλυρα· κέδρος· πίτυς· μυρ-ίκη· πύξος· πρῖνος· ἀγρία· κήλαστρον· φιλύκη· ὀξυάκανθος· ἀφάρκη· ταῦτα δὲ φύεται περὶ τὸν ὄλυμπον· ἀνδράχνη· κόμαρος· τέρμινθος· ἀγρία· δάφνη· δοκεῖ δὲ ἡ ἀνδράχνη καὶ ὁ κόμαρος· τὰ μὲν κάτω φυλλοβαλεῖν· τὰ δ' ἔσχατα τῶν ἀκρεμόνων ἀείφυλλα ἔχειν· ἐπιφύειν δὲ ἀεὶ τοὺς ἀκρέμονας. Τῶν μὲν οὖν δένδρων, ταῦτα. τῶν δὲ θαμνωδῶν, κιττός· βάτος· ῥάμνος· κάλαμος· κεδρίς· ἔστι γάρ τι μικρόν, ὃ οὐ δενδροῦται· τῶν δὲ φρυγανικῶν καὶ ποωδῶν, πήγανον· ῥάφανος· ῥοδωνιά· ἰωνιά· ἀβρότονον· ἀμάρακον· ἕρπυλλος· ὀρίγανον· σέλινον· ἱπποσέλινον· μήκων· καὶ τῶν ἀγρίων εἴδη πλείω· διαμένει δὲ καὶ τούτων ἔνια τοῖς ἄκροις· τὰ δὲ ἄλλα ἀποβάλλει· οἷον, ὀρίγανον· σέλινον· ἐπεὶ καὶ τὸ πήγανον κακοῦται καὶ ἀλλάττεται· πάντα δὲ καὶ τῶν ἄλλων τὰ ἀείφυλλα· στενοφυλλότερα, καὶ ἔχοντά τινα λιπαρότητα καὶ εὐωδίαν. ἔνια δὲ οὐκ ὄντα τῇ φύσει, παρὰ τὸν τόπον ἐστὶν ἀ-

ἀείφυλλα· καθάπερ ἐλέχθη περὶ τῶν ἐν ἐλεφαντίνῃ καὶ μέμφει· κατωτέρω δὲ ἐν τῷ δέλτα μικρὸν πάνυ χρόνον διαλείπει τὸ μὴ ἀεὶ βλαστάνειν· ἐν κρήτῃ δὲ λέγεται πλάτανόν τινα εἶναι ἐν τῇ γορτυναίᾳ πρὸς σκηνῇ τινί· ἣ οὐ φυλλοβολεῖ· μυθολογοῦσι δὲ ὡς ἐπὶ ταύτῃ ἐμίγη τῇ εὐρώπῃ ὁ ζεύς· τὰς δὲ πλησίον πάσας, φυλλοβολεῖν· ἐν δὲ συβάρει δρῦς ἐστιν εὐσύνοπτος ἐκ τῆς πόλεως, ἣ οὐ φυλλοβολεῖ· φασὶ δὲ οὐ βλαστάνειν αὐτὴν ἅμα ταῖς ἄλλαις, ἀλλὰ μετὰ κύνα· λέγεται δὲ καὶ ἐν κύπρῳ πλάτανος εἶναι τοιαύτη· φυλλοβολεῖ δὲ πάντα τοῦ μετοπώρου, καὶ μετὰ τὸ μετόπωρον· πλὴν τὰ μέν, θᾶττον· τὰ δέ, βραδύτερον, ὥστε καὶ τοῦ χειμῶνος ἐπιλαμβάνειν· οὐκ ἀνάλογον δὲ αἱ φυλλοβολίαι ταῖς βλαστήσεσιν, ὥστε τὰ πρότερον βλαστήσαντα φυλλοβολεῖν· ἀλλ᾽ ἔνια πρωῒ βλαστάνει μέν, οὐθὲν δὲ προτερεῖ τῶν ἄλλων· ἀλλὰ καὶ τινῶν καὶ ὑστερεῖ· καθάπερ ἡ ἀμυγδαλῆ· τὰ δέ, ὀψὲ βλαστάνει μέν· οὐθὲν δέ, ὡς εἰπεῖν ὕστερον τῶν ἄλλων· ὥσπερ ἡ συκάμινος· δοκεῖ δὲ καὶ ἡ χώρα συμβάλλεσθαι· καὶ ὁ τόπος ὁ ἔνικμος, πρὸς τὸ διαμένειν· τὰ γὰρ ἐν τοῖς ξηροῖς καὶ ὅλως λεπτογείοις πρότερα φυλλοβολεῖ, καὶ τὰ πρεσβύτερα δὲ τῶν νέων· ἔνια δὲ καὶ πρὸ τοῦ πεπᾶναι τὸν καρπὸν ἀποβάλλει τὰ φύλλα· καθάπερ αἱ ὄψιμαι συκαῖ· καὶ ἀχράδες· τῶν δὲ ἀειφύλλων ἡ ἀποβολὴ καὶ ἡ αὔθησις κατὰ μέρος· οὐ γὰρ δὴ ταῦτα αἰεὶ διαμένει· ἀλλὰ τὰ μέν, βλαστάνει· τὰ δέ, ἀφαυαίνεται· τοῦτο δὲ περὶ τροπὰς μάλιστα γίνεται θερινάς· εἰ δὲ τινῶν καὶ μετ᾽ ἀρκτοῦρον ἢ καὶ κατὰ τἄλλων ὥραν, ἐπισκεπτέον· καὶ τὰ μὲν περὶ τὴν φυλλοβολίαν, οὕτως ἔχει· τὰ δὲ φύλλα τῶν μὲν ἄλλων δένδρων ὅμοια πάντων αὐτὰ ἑαυτοῖς· τῆς δὲ λεύκης, καὶ τοῦ κιττοῦ· καὶ τοῦ καλουμένου κρότωνος, ἀνόμοια καὶ ἑτεροσχήμονα· τὰ μὲν γὰρ νέα, περιφερῆ· τὰ δὲ παλαιότερα, γωνοειδῆ· καὶ εἰς τοῦτο ἡ μετάστασις πάντων· τοῦ δὲ κιττοῦ ἀνάπαλιν· νέου μὲν ὄντος, ἐγγωνιώτερα· πρεσβυτέρου δέ, περιφερέστερα· μεταβάλλει γὰρ καὶ οὗτος· ἴδιον δὲ καὶ τὸ τῆς ἐλαίας, καὶ τὸ τῆς φιλύρας, καὶ

τῇ πτελέᾳ, καὶ τῇ λεύκῃ συμβαῖνον· στρέφειν γὰρ δοκοῦσι τὰ ὕπτια μετὰ τροπὰς θερινάς· καὶ τούτῳ γνωρίζουσιν ὅτι πεπέρανται τροπαί· πάντα δὲ τὰ φύλλα διαφέρει, καὶ τὰ ὕπτια καὶ τὰ πρανῆ· καὶ τῶν μὲν ἄλλων τὰ ὕπτια ποωδέστερα καὶ λειότερα· τὰς γὰρ ἶνας καὶ τὰς φλέβας ἐν τοῖς πρανέσιν ἔχουσιν, ὥσπερ ἡ χεὶρ· τῆς ἐλαίας λευκότερα, καὶ ἧττον λεῖα· λεῖα δὲ καὶ τὰ τοῦ κιττοῦ· πάντα δ' ἢ τά γε πλεῖστα ἐκφανῆ ἔχει τὰ ὕπτια· καὶ ταῦτα γίνεται τῷ ἡλίῳ φανερά· καὶ στρέφεται τὰ πολλὰ πρὸς τὸν ἥλιον· διὸ καὶ οὐ ῥᾴδιον εἰπεῖν, ὁπότερον πρὸς τῷ κλωνὶ μᾶλλόν ἐστιν· ἡ μὲν γὰρ ὑπτιότης, μᾶλλον δοκεῖ ποιεῖν τὸ πρανές· ἡ δὲ φύσις οὐχ ἧττον βούλεται τὸ ὕπτιον· ἄλλως τε καὶ ἡ ἀνάκλασις διὰ τὸν ἥλιον· ἴδοι δ' ἄν τις ὅσα πυκνὰ καὶ κατάλληλα· καθάπερ ἡ τῶν μυρρίνων· οἴονται δέ τινες καὶ τὴν τροφὴν τοῖς ὑπτίοις διὰ τῶν πρανοῦς εἶναι· διὰ τὸ ἔνικμον ἀεὶ τοῦτο καὶ χνοῶδες εἶναι· οὐ καλῶς λέγοντες· ἀλλὰ τοῦτο μὲν ἴσως συμβαίνει χωρὶς τῆς ἰδίας φύσεως, καὶ διὰ τὸ μὴ ὁμοίως ἀλλοιοῦσθαι· ἡ δὲ τροφὴ διὰ τῶν φλεβῶν ἢ ἰνῶν ὁμοίως ἀμφοτέροις· δὲ ἐκ θατέρου εἰς θάτερον οὐκ εὔλογον· μὴ ἔχοντι πόρους μηδὲ βάθος διιόν· ἀλλὰ περὶ μὲν τροφῆς διὰ τίνων, ἕτερος λόγος· διαφέρουσι δὲ καὶ τὰ φύλλα πλείοσι διαφοραῖς· τὰ μὲν γάρ ἐστι πλατύφυλλα· καθάπερ ἄμπελος, συκῆ, πλάτανος· τὰ δὲ στενόφυλλα, καθάπερ ἐλαία, ῥοιά· μύρρινος· τὰ δ' ὥσπερ ἀκανόφυλλα, καθάπερ πεύκη, πίτυς, κέδρος· τὰ δ' οἷον σαρκόφυλλα (τοῦτο δ' ὅτι σαρκῶδες ἔχουσι τὸ φύλλον) οἷον κυπάριττος· μυρίκη· μηλέα· τῶν δὲ φρυγανικῶν, κνέωρος· στοιβή· καὶ τῶν ποωδῶν, ἀείζωον, τήλιον. τοῦτο δέ ἐστι πρὸς τοὺς σῆτας τοὺς ἐν τοῖς ἱματίοις, ἀγαθόν· τὰ γὰρ αὐτῶν τευτλίων ἢ ῥαφανῶν ἄλλον τρόπον σαρκώδη, καὶ τὰ τῶν πηγανίων καλουμένων· ἐν πλάτει γὰρ καὶ οὐκ ἐν στρογγυλότητι τὸ σαρκῶδες· ἔστι τῶν θαμνωδῶν δὲ ἡ μυρίκη, σαρκῶδες τὸ φύλλον ἔχει· ἔνια δὲ καὶ καλαμόφυλλα· καθάπερ ὁ φοῖνιξ· καὶ ὁ κόϊξ· καὶ

ὅσα τοιαῦτα. ταῦτα δὲ ὡς καθόλου εἰπεῖν γυμνόφυλλα. καὶ ὁ κάλαμος. καὶ ἡ κύπειρος. καὶ ὁ βούτομος. καὶ τἆλλα δὲ τῶν λιμνωδῶν, τοιαῦτα. πάντα δὲ ὥσπερ ἐκδυεῖν σύνθετα, καὶ τὸ μέσον οἷον ξόπις. ὅθεν τοῖς ἄλλοις μέγας πόρος ὁ μέσος. διαφέρουσι δὲ καὶ τοῖς σχήμασι. τὰ μὲν γὰρ περιφερῆ, καθάπερ τὰ τῆς ἀπίου. τὰ δέ, προμηκέστερα. καθάπερ τὰ τῆς μηλέας. τὰ δὲ εἰς ὀξὺ προήκοντα καὶ παρασωνίζοντα, καθάπερ τὰ τοῦ σμίλακος. καὶ τὰ μὲν ἄσχιστα καὶ οἷον πριονώδη. καθάπερ τὰ τῆς ἐλάτης. καὶ τὰ τῆς πτέριδος. τρόπον δέ τινα σχιστὰ καὶ τὰ τῆς ἀμπέλου. καὶ τὰ τῆς συκῆς. ὥσπερ ἂν εἴποι τις σκολοπώδη. ἔνια δὲ καὶ ἐντομὰς ἔχοντα. καθάπερ τὰ τῆς πτελέας, καὶ τὰ τῆς ἡρακλεωτικῆς, καὶ τῆς δρυός. τὰ δὲ καὶ παρακανθίζοντα καὶ ἐκ τοῦ ἄκρου καὶ ἐκ τῶν πλαγίων. οἷον, τὰ τῆς πρίνου. τὰ τῆς δρυὸς καὶ σμίλακος. καὶ βάτου. καὶ παλιούρου. καὶ τὰ τῶν ἄλλων ἀκανθωδῶν. ἐκ τῶν ἄκρων, κατὰ τὸ τῆς πεύκης καὶ πίτυος. καὶ ἐλάτης. ἔτι δὲ κέδρου. καὶ κεδρίας. φυλλάκανθον δ᾽ ὅλως ἐν μὲν τοῖς δένδροις οὐκ ἔστιν οὐδέν, ὧν ἡμεῖς ἴσμεν. ἐν δὲ τοῖς ἄλλοις ὕλημασιν ἐστιν. οἷον ἥτε ἀκορνα. καὶ ἡ δρυπίς, καὶ ὁ ἄκανος. καὶ σχεδὸν ἅπαν τὸ τῶν ἀκανθωδῶν γένος. ὥσπερ γὰρ φύλλον ἐστὶν ἄκανθα πᾶσιν. εἰ δὲ μὴ φύλλα τις ταῦτα θήσει, συμβαίνοι ἂν ὅλως ἄφυλλα εἶναι. ἐνίοις δὲ ἄκανθαν μὲν εἶναι, φύλλον δὲ ὅλως οὐκ ἔχειν. καθάπερ ὁ ἀσπάραγος. πάλιν δὲ ὅτι τὰ μὲν ἄμισχα, καθάπερ, τὰ τῆς σκύλλης καὶ τοῦ βολβοῦ. τὰ δὲ ἔχοντα μίσχον. καὶ τοῦ μὲν, μακρόν. οἷον ἡ ἄμπελος. καὶ ὁ κιττός. τὰ δὲ βραχὺν καὶ οἷον ἐμπεφυκότα, καθάπερ ἐλαία. καὶ οὐχ ὥσπερ ἡ τῆς πλατάνου καὶ τῆς ἀμπέλου προσηρτημένον. διαφορὰ δέ, καὶ τὸ μὴ ἐκ τῶν αὐτῶν εἶναι τὴν πρόσφυσιν. ἀλλὰ τοῖς μὲν πλείστοις ἐκ τῶν κλάδων. τοῖς δὲ καὶ ἐκ τῶν ἀκρεμόνων. τῆς δρυὸς δὲ καὶ ἐκ τοῦ στελέχους. τῶν δὲ λαχανωδῶν τοῖς πολλοῖς εὐθὺς ἐκ τῆς ῥίζης. οἷον κρομμύου. σκορόδου. κιχωρίου. ἔτι δὲ ἀσφοδέλου. σκύλλης. βολβοῦ. ἰσυριγχίου. καὶ ὅλως

τῶν βολβωδῶν

τῶν βολβωδῶν· καὶ τούτων δὲ, οὐχ ἡ πρώτη μόνον ἔκφυσις· ἀλλὰ καὶ ὅλος ὁ καυλὸς ἄφυλλον· ἐνίων δ' ὅλως γίνεται φύλλα εἰκός· οἷον, θριδακίνης, ὠκίμου, σελίνου, καὶ τῶν σιτηρῶν ὁμοίως· ἔχει δὲ ἔνια τούτων καὶ τὸν καυλὸν· εἶτα ἀκανθίζοντα, ὡς ἡ θριδακίνη· καὶ τὰ φύλλα ἀκανθώδη πάντα· καὶ τῶν θαμνωδῶν· καὶ ἔτι δὲ μᾶλλον οἷον, βάτος· παλίουρος· κοινὴ δὲ διαφορὰ πάντων ὁμοίως δένδρων καὶ τῶν ἄλλων· ὅτι τὰ μὲν, πολύφυλλα, τὰ δ' ὀλιγόφυλλα· ὡς δ' ἐπὶ τὸ πᾶν τὰ πλατύφυλλα· τὰ ὀξύφυλλα· καθάπερ μυρρίνου· τὰ δὲ, ἄτακτα πως ἔτυχε· καθάπερ σχεδὸν τὰ πλεῖστα τῶν ἄλλων ἤδη· ἴδιον δὲ ἐπὶ τῶν λαχανωδῶν· οἷον, κρομμύου, γητείου, τὸ κοιλόφυλλον· ἁπλῶς δὲ αἱ διαφοραὶ τῶν φύλλων, ἢ μεγέθει, ἢ πλήθει, ἢ σχήματι, ἢ πλατύτητι· ἢ κοιλότητι· ἢ στερεότητι· ἢ τραχύτητι· ἢ λειότητι· καὶ τῷ παρακανθίζειν· ἢ μή· ἔτι δὲ κατὰ τὴν πρόσφυσιν· ὅθεν ἢ δι' οὗ· τὸ μὲν ὅθεν, ἀπὸ ῥίζης· ἢ κλάδου· ἢ καυλοῦ· ἢ ἀκρέμονος· τὸ δὲ δι' οὗ, ἢ διὰ μίσχου· ἢ δι' αὑτοῦ· καὶ εἴδη πολλὰ ἐκ τῶν αὐτῶν· καὶ ἔνια καρποφόρα μεταξὺ περιειληφότα τὸν καρπόν· ὥσπερ ἡ ἀλεξανδρεία δάφνη ἐπιφυλλόκαρπος· αἱ μὲν οὖν διαφοραὶ τῶν φύλλων κοινοτέρως πᾶσαι εἴρηνται καὶ σχεδὸν εἰσὶν ἐν τούτοις· σύγκειται δὲ τὰ μὲν, ἐξ ἰνός, καὶ φλοιοῦ, καὶ σαρκός· οἷον, τὰ τῆς συκῆς, καὶ ἀμπέλου· τὰ δὲ ὥσπερ ἐξ ἰνὸς μόνου· οἷον τὰ καλάμου, καὶ σίτου· τὸ δὲ ὑγρὸν ἁπάντων, κοινόν· ἅπασι γὰρ ἐνυπάρχει καὶ τούτοις καὶ τοῖς ἄλλοις τοῖς ἐπετείοις, μίσχος· ἄνθος· καρπός· ἔτι ἄλλο· μᾶλλον δὲ καὶ τοῖς μὴ ἐπετείοις· οὐδὲν γὰρ ἄνευ τούτου· δοκεῖ δὲ καὶ τῶν μίσχων, τὸ μὲν, ἐξ ἰνῶν μόνων συγκεῖσθαι· καθάπερ τὰ τοῦ σίτου καὶ τοῦ καλάμου· τὰ δὲ, ἐκ τῶν αὐτῶν· ὥσπερ οἱ καυλοί· τῶν δὲ ἀνθῶν, τὸ μὲν, ἐκ φλοιοῦ καὶ φλεβὸς καὶ σαρκὸς μόνον· οἷον τὰ ἐν μέσῳ τῶν αἰρῶν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν σαρκῶν· ὁ μὲν γὰρ, ἐκ σαρκὸς καὶ ἰνός· οἱ δὲ, ἐκ σαρκὸς μόνου· οἱ δὲ, καὶ ἐκ δέρματος σύγκεινται· τὸ δὲ ὑγρὸν ἀκολουθεῖ καὶ τούτοις· ἐκ σαρκὸς μὲν καὶ ἰνός, τὸ τῶν κοκ

κυμήλων καὶ σικύων· ἐξ ὑγροῦ δὲ καὶ δέρματος, τὸ τῶν συκαμίνων καὶ τῆς ῥοᾶς· ἄλλοι δὲ κατ' ἄλλον τρόπον μεμερισμένοι· πάντων δὲ ὡς εἰπεῖν, τὸ μὲν ἔξω φλοιός· τὸ δ' ἐντὸς σάρξ· τῶν δὲ, καὶ πυρήν· ἔσχατον δ' ἐν ἅπασι τὸ σπέρμα· τοῦτο δ' ἔχει ἐν ἑαυτῷ ὑγρὸν καὶ θερμὸν σύμφυτον· ὧν ἐκλειπόντων, ἄγονα καθάπερ τὰ ᾠά· καὶ τῶν μὲν, εὐθὺς τὸ σπέρμα μετὰ τὸ περιέχον· οἷον, φοίνικος, καρύου, ἀμυγδάλης· πλείω δὲ τούτων τὰ ἐμπεριέχοντα, ὡς τὰ τοῦ φοίνικος· τῶν δὲ μεταξὺ, σὰρξ· καὶ πυρήν· ὥσπερ ἐλαίας, καὶ κοκκυμηλέας, καὶ ἑτέρων· ἔνια δὲ ἐν λοβῷ· τὰ δ' ἐν ὑμένι· τὰ δ' ἐν ἀγγείῳ· τὰ δὲ, καὶ γυμνόσπερμα τελέως· ἐν λοβῷ μὲν οὖν μόνον τὰ ἐπέτεια· καθάπερ τὰ χεδροπά, καὶ ἕτερα πλείω τῶν ἀγρίων· ἀλλὰ καὶ τῶν δένδρων ἔνια· καθάπερ ἥ τε κερωνία (ἥν τινα καλοῦσι συκῆν αἰγυπτίαν) καὶ ἡ κικὶς, καὶ ἡ κολοιτία περὶ λιπάραν· ἐν ὑμένι δὲ ἔνια τῶν ἐπετείων· ὥσπερ ὁ πυρὸς καὶ ἡ κέγχρος· ὡσαύτως δὲ καὶ ἔνια ἀγγειοσπέρματα· καὶ γυμνοσπέρματα· ἀγγειοσπέρματα μὲν, οἷον, ἥ τε μήκων· καὶ ὁ σαμήκωνι· καὶ τὸ σήσαμον ὑδιωτέρως· γυμνοσπέρματα δὲ, τῶν τε λαχάνων πολλά, καθάπερ ἄνηθον κοριάννησον· κύμινον· μάραθρον, καὶ ἕτερα πλείω· τῶν δὲ δένδρων οὐδὲν γυμνόσπερμον, ἀλλ' ἢ σαρκὶ περιεχόμενον ἢ δέρμασιν· τὰ μὲν, σπερματικοῖς· ὥσπερ ἡ βάλανος καὶ τὸ ὠοϊκόν· τὰ δὲ, ξυλώδεσιν· ὥσπερ ἡ ἀμυγδάλη, καὶ τὸ κάρυον· οὐδὲν δὲ ἐν ἀγγειόσπερμον εἰ μή τις τὸν κῶνον ἀγγεῖον θήσει, διὰ τὸ χωρίζεσθαι τῶν καρπῶν· αὐτὰ δὲ τὰ σπέρματα, τῶν μὲν εὐθὺς σαρκώδη· καθάπερ ὅσα καρυηρὰ καὶ βαλανηρά· τῶν δὲ, ἐν πυρῆνι τὸ σαρκῶδες ἔχει, καθάπερ ἐλαίας καὶ δαφνίδος· καὶ ἄλλων· τῶν δὲ ἐν πυρῆνι μόνον ἢ πυρηνώδει γε καὶ ὥσπερ ξηρά· καθάπερ τὰ κνικώδη καὶ κεγχραμιδώδη, καὶ πολλὰ τῶν λαχανηρῶν· ἐμφανέστατα δὲ τὰ τοῦ φοίνικος· οὐδὲ γὰρ

κοιλότητα

κοιλότητα ἔχει τοῦτο οὐδεμίαν. ἀλλ' ὅλον ἐξορθόν. οὐ μὴν ἀλλ' ὑγρότης δή τις καὶ θερμότης ὑπάρχει δῆλον ὅτι καὶ τούτῳ καθάπερ εἴπομεν. διαφέρουσι δὲ καὶ τῷ, τὰ μέν, ἀθρόα, μετ' ἀλλήλων εἶναι, τὰ δέ, διεστῶτα καὶ χωρίς. ὥσπερ τὰ τῆς κολοκύντης καὶ σικύας. καὶ τῶν δένδρων. ὥσπερ συκῆς. μηλέας· καὶ τῶν ἀθρόων. τὰ μέν, ἔν τινι περιέχεσθαι. καθάπερ τὰ τῆς ῥοιᾶς· καὶ τῆς ἀπίου. καὶ μηλέας. καὶ τῆς ἀμπέλου. καὶ συκῆς. τὰ δὲ μετ' ἀλλήλων μὲν εἶναι. μὴ περιέχεσθαι δὲ ὑφ' ἑνὸς ὥσπερ τὰ σταχυηρὰ τῶν ἐπετείων. εἰ μή τις θείη τὸν στάχυν ὡς περιέχον. οὕτω δ' ἔστιν καὶ ὁ βότρυς. καὶ τἄλλα τὰ βοτρυώδη. καὶ ὅσα δὴ φέρει δι' εὐβοσίαν καὶ χώρας ἀρετὴν ἀθρόους τοὺς καρπούς. ὥσπερ ἐν Συρίᾳ φασὶ καὶ ἄλλοθι τὰς ἐλαίας. ἀλλά, καὶ αὕτη δοκεῖ τις εἶναι διαφορά. τῷ τὰ μέν, ἀφ' ἑνὸς μίσχου καὶ μιᾶς προσφύσεως, ἀθρόα γίνεσθαι. καθάπερ ἐπί τε τῶν βοτρυηρῶν καὶ σταχυηρῶν εἴρηται. μὴ περιεχόμενα κοινῷ τινι γίνεσθαι, τὰ δέ, μὴ γίνεσθαι. ἐπεὶ καθ' ἕκαστόν γε λαμβάνοντι τῶν σπερμάτων ἢ τῶν περιεχόντων, ἰδίαν γε ἀρχὴν ἔχει τῆς προσφύσεως. οἷον, ἥ τε σάρξ, καὶ ἡ ῥοιά. καὶ πάλιν ὁ πυρός, καὶ ἡ κριθή. καὶ ὁ πυρήν. ἥκιστα δ' ἂν δόξειεν τὰ τῶν μήλων καὶ τὰ τῶν ἀπίων, ὅποι συμψαύει τε καὶ περιείληπται. καθάπερ ὑμένι τινὶ δερματικῷ, περὶ ὃ τὸ περικάρπιον. ἀλλ' ὅμως καὶ τούτων ἕκαστον, ἰδίαν ἀρχὴν ἔχει καὶ φύσιν. φανερώτατα δέ, τὰ κεχωρίσθαι τὰ τῆς ῥοιᾶς. ὁ γὰρ πυρὴν ἑκάστῳ προσπέφυκεν. οὐχ ὥσπερ τῶν συκῶν ἄδηλα διὰ τὴν ὑγρότητα. καὶ γὰρ τοῦτο ἔχουσι διαφοράν, καίπερ ἀμφότερα περιεχόμενα σαρκώδει τινί, καὶ τῷ τοῦτο περιειληφότι μετὰ τῶν ἄλλων. τὸ μὲν γάρ, περὶ ἕκαστον ἔχει τὴν πυρῆνα, τὸ σαρκῶδες τοῦτο τὸ ὑγρόν. αἱ δὲ κεγχραμίδες ὥσπερ κοινόν τι πᾶσι, καθάπερ καὶ τὸ γίγαρτον καὶ ὅσα τὸν αὐτὸν ἔχει τρόπον. ἀλλὰ τὰς μὲν τοιαύτας διαφο-

κοιλότητα ἔχει τοῦτο οὐδεμίαν. ἄλλος δ' ἐξορθόν· οὐ μὴν ἀλ-
ρὰς τάχ' ἄν τις λάβοι πλείους· ὧν δεῖ τὰς κυριωτάτας καὶ μά-
λιστα τῆς φύσεως μὴ ἀγνοεῖν· αἱ δὲ κατὰ χυλοὺς καὶ τὰ σχήμα-
τα καὶ τὰς ὅλας μορφάς, σχεδὸν φανεραὶ πᾶσιν ὥστε μὴ δεῖ-
σθαι λόγου πλὴν τοσοῦτον, ἢ ὅτι σχῆμα οὐδὲν περικάρπιον εὐ-
θύγραμμον, οὐδὲ γωνίας ἔχει· τῶν δὲ χυλῶν· οἱ μὲν εἰσὶν οἰνώ-
δεις, ὥσπερ ἀμπέλου· συκαμίνου· μύρτου· οἱ δὲ ἐλαιώδεις·
ὥσπερ ἐλαίας, δάφνης, καρύας, ἀμυγδάλης, πεύκης, πίτυ-
ος, ἐλάτης· οἱ δὲ μελιτώδεις· οἷον σύκου, φοίνικος, δρυὸς· βα-
λάνου· οἱ δὲ δριμεῖς· οἷον ὀριγάνου, θύμβρας· καρδάμου· νά-
πυος· οἱ δὲ πικροί· ὥσπερ ἀψινθίου· κενταυρίου· διαφέρου-
σι δὲ καὶ ταῖς εὐωδίαις· οἷον ἀννήσου· κέδριδος· ἐνίων δὲ ὑδα-
ρεῖς ἂν δόξειεν· οἷον οἱ τῶν κοκκυμηλίων· οἱ δὲ ὀξεῖς ὥσπερ
ῥοῶν· καὶ ἐνίων μήλων· ἁπάντων δὲ οἰνώδεις καὶ τοὺς ἐν τού-
τῳ τῷ γένει θετέον· ἄλλοι δὲ ἐν ἄλλοις εἴδεσιν· ὑπὲρ ὧν ἁπάν-
των ἀκριβέστερον ἐν τοῖς περὶ χυλῶν ῥητέον· αὐτάς τε τὰς
ἰδέας διαριθμουμένους ὁπόσαι· καὶ τὰς πρὸς ἀλλήλους διαφο-
ράς· καὶ τίς ἡ ἑκάστου φύσις καὶ δύναμις· ἔχει δὲ καὶ ἡ τῶν δέν-
δρων αὐτῶν ὑγρότης ὥσπερ ἐλέχθη διάφορα εἴδη· ἡ μὲν γὰρ
ἐστὶν ὀπώδης· ὥσπερ ἡ τῆς συκῆς καὶ τῆς μήκωνος· ἡ δὲ πιττώ-
δης· οἷον, ἐλαίας, τῆς πεύκης· τῶν κωνοφόρων· ἄλλη δὲ ὑδαρής· οἷ-
ον, ἀμπέλου· ἀπίου· μηλέας· καὶ τῶν λαχανωδῶν δέ, οἷον· σικύου, κο-
λοκύντης, θριδακίνης· αἱ δ', ἤδη δριμύτητά τινα ἔχουσι· καθά-
περ ἡ τοῦ θύμου· καὶ θύμβρας· αἱ δὲ καὶ εὐωδίαν· ὥσπερ αἱ τοῦ σελίνου
ἀννήθου· μαράθρου· καὶ τῶν τοιούτων· ὡς δ' ἁπλῶς εἰπεῖν, ἅπασαι κατὰ
τὴν ἰδίαν φύσιν ἑκάστου δένδρου καὶ ὡς καθόλου εἰπεῖν φυτοῦ· πᾶν γὰρ
ἔχει κρᾶσίν τινα καὶ μίξιν ἰδίαν· εἴπερ οἰκεῖα δηλονότι τυγ-
χάνει τοῖς ὑποκειμένοις καρποῖς· ὧν τοῖς πλείστοις συνεμφαίνε-
ταί τις ὁμοιότης, οὐκ ἀκριβὴς οὐδ' ἐπιφανής· ἀλλ' ἐν τοῖς περικαρπί-
οις· διὸ μᾶλλον κατεργασίαν λαμβάνει καὶ πέψιν καθαρὰν καὶ

εἰλικρινῆ

εἰλικρινὴς ἡ τοῦ χυλοῦ φύσις. δεῖ γὰρ ὥσπερ τὸ μὲν, ὕλην ὑπολαβεῖν. τὸ δὲ, εἶδος καὶ μορφήν. ἔχει δὲ αὐτὰ τὰ σπέρματα καὶ οἱ χιτῶνες οἱ περὶ αὐτὰ διαφορὰν τῶν χυλῶν. ὡς δ᾽ ἁπλῶς εἰπεῖν ἅπαντα τὰ μόρια τῶν δένδρων καὶ τῶν φυτῶν οἷον, ῥίζα. καυλός. ἀκρέμων. φύλλον. καρπὸς, ἔχει τινὰ οἰκειότητα πρὸς τὴν ὅλην φύσιν. εἰ δὲ παραλλάττει κατά τι τὰς ὀσμὰς καὶ τοὺς χυλοὺς, ὡς τὰ μὲν, εὔοσμα καὶ εὐώδη, τὰ δὲ, ἄοσμα καὶ ἄχυλα παντελῶς εἶναι τῶν τοῦ αὐτοῦ μορίων. ἐνίων γὰρ εὔοσμα τὰ ἄνθη μᾶλλον ἢ τὰ φύλλα. τῶν δὲ, ἀνάπαλιν τὰ φύλλα μᾶλλον καὶ οἱ κλῶνες. ὥσπερ τῶν στεφανωματικῶν. τῶν δὲ, οἱ καρποί. τῶν δ᾽ οὐδέτερον. ἐνίων δ᾽ αἱ ῥίζαι. τῶν δέ τι μέρος. ὁμοίως δὲ καὶ κατὰ τοὺς χυλούς. τὰ μὲν γὰρ, βρωτά. τὰ δ᾽ ἄβρωτα τυγχάνει καὶ ἐν φύλλοις καὶ περικαρπίοις. ἴδιον δὲ τοῦτο τὸ ἐπὶ τῆς φιλύρας. ταύτης γὰρ τὰ μὲν φύλλα γλυκέα, καὶ πολλὰ τῶν ζώων ἐσθίει. ὁ δὲ καρπὸς οὐδενὶ βρωτός. ἐπεὶ τό γε ἀνάπαλιν οὐδὲν θαυμαστόν. ὥστε τὰ μὲν φύλλα μὴ ἐσθίεσθαι. τοὺς δὲ καρποὺς οὐ μόνον ὑφ᾽ ἡμῶν ἀλλὰ καὶ ὑπὸ τῶν ἄλλων ζώων. ἀλλὰ καὶ περὶ τούτου καὶ τῶν ἄλλων τῶν τοιούτων ὕστερον πειρατέον θεωρεῖν τὰς αἰτίας. νῦν δὲ τοσοῦτον ἔσω δῆλον. ὅτι κατὰ πάντα τὰ μέρη πλείους εἰσὶ διαφοραὶ πολλαχῶς. ἐπεὶ καὶ τῶν ἀνθῶν, τὰ μὲν ἐστὶ χνοώδη. καθάπερ τὸ τῆς ἀμπέλου, καὶ συκαμίνου. καὶ τοῦ κιττοῦ. τὰ δὲ, φυλλώδη, καθάπερ ἀμυγδάλης. μηλέας. ἀπίου. κοκκυμηλέας. καὶ τὰ μὲν μέγεθος ἔχει. τὸ δὲ τῆς ἐλαίας φυλλῶδες ὂν, ἀμέγεθες. ὁμοίως δὲ καὶ ἐν τοῖς ἐπετείοις καὶ ποώδεσι, τὰ μὲν φυλλώδη, τὰ δὲ, χνοώδη. πάντων δὲ, τὰ μὲν, δίχροα. τὰ δὲ, μονόχροα. τὰ μὲν τῶν δένδρων τά γε πολλὰ μονόχροα καὶ λευκανθῆ. μόνον δ᾽ ὡς εἰπεῖν τὸ τῆς ῥόας φοινικοῦν, καὶ ἀμυγδαλῶν τινῶν ὑπέρυθρον. ἄλλου δ᾽ οὐδενὸς τῶν ἡμέρων οὔτι ἀνθῶδες οὔτε δίχρουν. ἀλλ᾽ εἴ τινος τῶν ἀγρίων. οἷον, τὸ τῆς ἐλάτης. κρόκινον γὰρ τὸ ταύτης ἄνθος. καὶ ὅσα δή φασιν ἐν τῇ ἔξω θαλάττῃ.

ῥόδων ἔχει τὴν χρόαν. ἐν δὲ τοῖς ἐπετείοις. σχεδὸν τά γε πλείω τοιαῦτα καὶ δίχροα καὶ διανθῆ. λέγω δὲ διανθὲς, ὅτι ἕτερον ἄνθος ἐν τῷ ἄνθει, ἔχει κατὰ μέσον, ὥσπερ τὸ ῥόδον, καὶ τὸ κρίνον, καὶ ἴον τὸ μέλαν. ἔνια δὲ καὶ μονόφυλλα φύεται, διαγραφὴν ἔχοντα μόνον τῶν πλειόνων. ὥσπερ τὸ τῆς ἰασιώνης. οὐ γὰρ κεχώρισται ταύτης ἐν τῷ ἄνθει τὸ φύλλον ἕκαστον. οὐδὲ δὴ τοῦ χειρίου τὸ κάτω μέρος, ἀλλὰ ἐκ τῶν ἄκρων ἀποφύσεις γωνιώδεις. σχεδὸν δὲ τὸ τῆς ἐλαίας τοιοῦτόν ἐστι. διαφέρει δὲ καὶ κατὰ τὴν ἔκφυσιν καὶ θέσιν. τὰ μὲν γὰρ ἔχει περὶ αὐτὸν τὸν καρπόν. οἷον ἄμπελος. ἐλαία. ἧς καὶ διαπίπτοντα διατετρημένα φαίνεται καὶ τοῦτο σημεῖον λαμβάνουσιν, εἰ καλῶς ἀπήνθηκεν. ἐὰν γὰρ συγκαυθῇ ἢ βρεχθῇ, συναποβάλλει τὸν καρπὸν, καὶ οὐ τετρημένον γίνεται. σχεδὸν δὲ καὶ τὰ πολλὰ τῶν ἐν μέσῳ τὸ περικάρπιον ἔχει. τὰ δὲ καὶ ἐπάνω τοῦ περικαρπίου. καθάπερ ῥοά. μηλέα. ἄπιος. κοκκυμηλέα, μύρρινος. καὶ τῶν γε φρυγανικῶν ῥοδωνιά. καὶ τὰ πολλὰ τῶν στεφανωτικῶν. κάτω γὰρ ὑπὸ τὸ ἄνθος ἔχει τὰ σπέρματα. φανερώτατον δὲ ἐπὶ τῆς ῥόδου διὰ τὸν ὄγκον. ἔνια δὲ καὶ ἐπάνω τῶν σπερμάτων, ὥσπερ ὁ ἄκορος, καὶ ὁ κνίκος. καὶ πάντα τὰ ἀνθώδη. καθέκαστον γὰρ ἔχει τὸ ἄνθος. ὁμοίως δὲ καὶ τῶν ποωδῶν ἔνια. καθάπερ τὸ ἀνθέμιον. ἐν δὲ τοῖς λαχανηροῖς ὅ τε σίκυος, καὶ ἡ κολοκύντη. καὶ ἡ σικύα. πάντα γὰρ ἐπὶ τῶν ἄκρων ἔχει. καὶ προσαυξανομένων, ἐπιμένει τὰ ἄνθη πολὺν χρόνον. ἄλλα δὲ ἰδιωτέρως. οἷον, ὁ κιττὸς, καὶ ἡ συκάμινος. ἐν αὐτοῖς μὲν γὰρ ἔχει τοῖς ὅλοις περικαρπίοις. οὐ μὴν οὔτε ἐπάκροις οὔτε περιειληφόσι καθέκαστον. ἀλλ᾽ ἐν τοῖς ἀνὰ μέσον. εἰ μὴ ἄρα οὐ καταδῆλα διὰ τὸ χνοῶδες. ἔστι δὲ ἄκαρπα τῶν ἀνθῶν ἔνια, καθάπερ ἐπὶ τῶν σικυῶν. ἃ ἐκ τῶν ἄκρων φύεται τοῦ κλήματος. διὸ καὶ ἀφαιροῦσιν αὐτά. κωλύει γὰρ τὴν τοῦ σικυοῦ βλάστησιν. φασὶ δὲ καὶ τῆς μηλέας τῆς μηδικῆς, ὅσα μὲν ἔχει τῶν ἀνθῶν ὥσπερ ἠλακάτην τινὰ πεφυκυῖαν ἐκ

μέσου

μέσου τοῦ εἶναι γόνιμα· ὅσα δὲ μὴ ἔχει, ταῦτα ἄγονα. εἰ δὲ καὶ ἐπὶ ἄλλων τινὸς ταῦτα συμβαίνει τῶν ἀνθοφόρων, ὥστε ἄγονον ἄνθος φύειν εἴτε κεχωρισμένων εἴτε μή, σκεπτέον. ἐπεὶ γένη γέ τινα καὶ ἀμπέλου καὶ ῥοᾶς ἀδυνατεῖ τελεοκαρπεῖν. ἀλλὰ μὴ μέχρι τοῦ ἄνθους ἡ γένεσις. γίνεται δὲ καὶ τόδε τῆς ῥοᾶς ἄνθος πολὺ καὶ πυκνόν. καὶ ὅλος ὁ ὄγκος πλατύς, ὥσπερ ὁ τῶν ῥόδων. κάτωθεν δ' ἕτεροι. διὸ ὡς μικρὸν ὥσπερ ἐκ τετραμμένοι κύτινος ἔχων τὰ ἄνω μυχώδη. φασὶ δέ τινες καὶ τῶν ὁμοιογενῶν, τὰ μὲν ἀνθεῖν, τὰ δ' οὔ. καθάπερ τῶν φοινίκων τὸν μὲν ἄρρενα ἀνθεῖν. τὸν δὲ θῆλυν οὐκ ἀνθεῖν. ἀλλ' εὐθὺς προφαίνειν τὸν καρπόν. τὰ μὲν οὖν τῷ γένει τοιαύτην τὴν διαφορὰν ἔχει. καθάπερ ὅλως ὅσα μὴ δύναται τελεοκαρπεῖν. ἡ δὲ τοῦ ἄνθους φύσις ὅτι πλείους ἔχει διαφοράς, φανερὸν ἐκ τῶν προειρημένων. διαφέρει δὲ τὰ δένδρα ἐν τοῖς τοιούτοις καὶ τὰ τὴν καρποτοκίαν. τὰ μὲν γὰρ ἐκ τῶν νέων βλαστὸν φέρει. τὰ δ' ἐκ τῶν ἔνων. τὰ δ' ἐξ ἀμφοτέρων. ἐκ μὲν τῶν νέων, συκῆ. ἄμπελος. ἐκ δὲ τῶν ἔνων, ἐλαία. ῥοά. μηλέα. ἀμυγδαλῆ. ἄπιος. μύρρινος. καὶ σχεδὸν τὰ τοιαῦτα. πάντα γὰρ ἐκ τῶν ἔνων. ἐὰν δὲ ἄρα τι συμβῇ κυῆσαι καὶ ἀνθῆσαι (γίνεται γὰρ καὶ ταῦτα ἐνίοις, ὥσπερ καὶ τῇ μυρρίνῳ, καὶ μάλιστα ὡς εἰπεῖν περὶ τὰς βλαστήσεις) τὰ μεταρκτοῦρον οὐ δύνανται τελειοῦν. ἀλλ' ἡμιγενῆ φθείρεται. ἐξ ἀμφοτέρων δὲ, καὶ τῶν νέων καὶ τῶν ἔνων, εἴ τινες ἄρα μηλέαι τῶν διαφόρων, ἢ εἴ τι ἄλλο κάρπιμον. ἔτι δὲ καὶ ὁ ὄλυνθος ἐκπέττων καὶ σῦκα φέρων ἐκ τῶν νέων. ἰδιωτάτη δὲ ἡ ἐκ τοῦ στελέχους ἔκφυσις. ὥσπερ τῆς ἐν αἰγύπτῳ συκαμίνου. καὶ ταύτην γάρ φασι φέρειν ἐκ τοῦ στελέχους. οἱ δὲ ταύτης μὲν ἐκ τῶν ἀκρεμόνων ὥσπερ καὶ τῆς κερωνίας. αὕτη γὰρ ἐκ τούτων φέρει πλὴν οὐ πολύν. καλοῦσι δὲ κερωνίαν, ἀφ' ἧς τὰ σῦκα τὰ αἰγύπτια καλούμενα. ἔστι δὲ καὶ τὰ μὲν, ἀκρόκαρπα τῶν δένδρων καὶ ὅλως τῶν φυτῶν τὰ δὲ, πλαγιόκαρπα. τὰ δ' ἀμφοτέρως

πλείω δ' ἀκρόκαρπα τῶν ἄλλων ἢ τῶν δένδρων· οἷον τῶν σιτη-
ρῶν τὰ σταχυώδη· τῶν δὲ θαμνωδῶν, ἐρείκη· καὶ σπειραία καὶ
ἄγνος· καὶ ἄλλ' ἄττα· καὶ τῶν λαχανωδῶν τὰ κεφαλόρριζα. ἐξ
ἀμφοτέρων δέ, καὶ τῶν δένδρων ἔνια καὶ τῶν λαχανωδῶν· οἷον
βλίτον· ἀνδράφραξις· ῥάφανος· ἐπεὶ καὶ ἐλαία ποιεῖ
πως τοῦτο· καί φασιν ὅταν ἄκρον ἐνέγκῃ, σημεῖον εὐφορίας
εἶναι. ἀκρόκαρπος δέ πως καὶ ὁ φοῖνιξ· πλὴν τοῦτόν γε καὶ
ἀκρόφυλλον, καὶ ἀκρόβλαστον· ὅλως γὰρ ἐν τῷ ἄνω πᾶν τὸ
ζωτικόν. τὰς μὲν οὖν κατὰ μέρη διαφοράς, πειρατέον ἐκ
τούτων θεωρεῖν. αἱ δὲ τοιαῦται τῆς ὅλης οὐσίας φαίνονται· δῆ-
λον ὅτι τὰ μὲν ἥμερα, τὰ δ' ἄγρια· καὶ τὰ μὲν κάρπιμα, τὰ
δ' ἄκαρπα· καὶ ἀείφυλλα· καὶ φυλλοβόλα, καθάπερ ἐλέχθη·
τὰ δ' ὅλως ἄφυλλα· καὶ τὰ μὲν, ἀνθητικά, τὰ δ' ἀνανθῆ· καὶ
πρωϊβλαστῆ δέ, καὶ πρωϊκαρπα· τὰ δὲ ὀψιβλαστῆ, καὶ ὀψί-
καρπα· ὡσαύτως δὲ καὶ ὅσα παραπλήσια τούτοις· καὶ τά
γε τοιαῦτα ἐν τοῖς μέρεσιν, ἢ οὐκ ἄνευ τῶν μερῶν ἐστίν. ἀλλ' ἐ-
κείνη ἰδιωτάτη καὶ τρόπον τινὰ μεγίστη διάστασις, ἥπερ καὶ ἐ-
πὶ τῶν ζώων· ὅτι τὰ μὲν, ἔνυδρα, τὰ δέ, χερσαῖα· καὶ γὰρ τῶν
φυτῶν ἐστὶ τὸ τοιοῦτον γένος, ὃ οὐ δύναται φύεσθαι ἐν ὑγρῷ·
τὰ δέ, φύεται μὲν, οὐχ ὅμοια δέ, ἀλλὰ χείρω· πάντων δὲ τῶν
δένδρων ὡς ἁπλῶς εἰπεῖν καὶ τῶν φυτῶν, εἴδη πλείω τυγ-
χάνει καθ' ἕκαστον γένος· σχεδὸν γὰρ οὐδέν ἐστιν ἁπλοῦν· ἀλ-
λ' ὅσα μὲν ἥμερα καὶ ἄγρια, λέγεται. ταύτην ἐμφανεστά-
την ἔχει καὶ μεγίστην διαφοράν· οἷον, συκῆ· ἐρινεός· ἐλαία· κότινος·
ἀπίος· ἀχράς· ὅσα δ' ἐν ἑκατέρῳ τούτων, τοῖς καρποῖς τε καὶ φύλλοις καὶ τῇ ἄλ-
λαις μορφαῖς τε καὶ τοῖς μορίοις· ἀλλὰ τῶν μὲν ἀγρίων ἀνώνυμα τὰ πλεῖ-
στα, καὶ ἔμπειροι ὀλίγοι· τῶν δὲ ἡμέρων καὶ ὠνομασμένων, πλείω·
καὶ ἡ αἴσθησις κοινοτέρα· λέγω δ' οἷον, ἀμπέλου· συκῆς· ῥοᾶς· μη-
λέας· ἀπίου· δάφνης· μυρρίνης· τῶν ἄλλων· ἡ γὰρ χρῆσις οὖσα κοινή,
συνθεωρεῖν ποιεῖ τὰς διαφοράς· ἴδιον δὲ καὶ τοῦ τι φέρειν ἑκατέρων·

τὰ μὲν

τὰ μὲν γὰρ ἄγρια τῷ ἄρρενι καὶ τῷ θήλει ἢ μόνοις ἢ μάλιστα διαιροῦσι· τὰ δὲ ἥμερα πλείοσιν ἰδέαις. ἔστι δὲ τῶν μὲν, ῥᾷον τὸ λαβεῖν καὶ διαριθμήσασθαι τὰ εἴδη· τῶν δὲ, χαλεπώτερον, διὰ τὴν πολυχίαν. ἀλλὰ δὴ τὰς μὲν τῶν μορίων διαφορὰς καὶ τῶν ἄλλων οὐσιῶν, ἐκ τούτων πειρατέον θεωρεῖν. περὶ δὲ τῶν γενέσεων, μετὰ ταῦτα λεκτέον. τοῦτο γὰρ ὥσπερ ἐφεξῆς τοῖς εἰρημένοις ἐστίν.

ΤΕΛΟΣ

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ ΤΟ Β΄.

Αἱ Γενέσεις τῶν δένδρων καὶ ὅλως τῶν φυτῶν, ἢ αὐτόματοι· ἢ ἀπὸ σπέρματος· ἢ ἀπὸ ῥίζης· ἢ ἀπὸ παρασπάδος· ἢ ἀπὸ ἀκρέμονος· ἢ ἀπὸ κλωνός· ἢ ἀπ᾽ αὐτοῦ τοῦ στελέχους ἐστίν· ἢ ἔτι τοῦ ξύλου κατακοπέντος εἰς μικρά· καὶ γὰρ οὕτως ἀναφύεται. τούτων δὲ ἡ μὲν αὐτόματος, πρώτη τις. αἱ δὲ ἀπὸ σπέρματος καὶ ῥίζης φυσικώταται δόξαιεν ἄν· ὥσπερ γὰρ αὐτόματοι καὶ αὗται· διὸ καὶ τοῖς ἀγρίοις ὑπάρχουσιν. αἱ δὲ ἄλλαι τέχνης ἢ προαιρέσεως. ἅπαντα δὲ βλαστάνει κατά τινα τῶν τρόπων τούτων. τὰ δὲ πολλὰ κατὰ πλείους. ἐλαία μὲν γὰρ πάντως φύεται, πλὴν ἀπὸ κλωνός· οὐ δύναται γὰρ καταπηγνυμένη καθάπερ ἡ συκῆ τῆς κράδης, καὶ ἡ ῥοὰ τῆς ῥάβ

σου καί τινες φασὶν ἐκ πίττου ἤδη καὶ χάρακος παγείσης, ἐὰν πρὸς τὸ
κίττον συμβιώσωσι καὶ γένηται δένδρον. ἀλλὰ σπάνιόν τι τοῦ
τον. θάτερα δὲ τὰ πολλὰ τῆς φύσεως. συκῆ δὲ τοὺς μὲν ἄλλους
τρόπους φύεται πάντας. ἀπὸ δὲ τῶν πρέμνων καὶ τῶν ξύλων οὐ φύ
εται. μηλέα δὲ καὶ ἄπιος ἀπὸ τῶν ἀκρεμόνων σπανίως. οὐ μὴν
ἀλλὰ τά γε πολλὰ πάντως εἰπεῖν ἐνδέχεσθαι δοκεῖ καὶ ἀπὸ τού
των, ἐὰν λεῖοι καὶ νέοι καὶ αὐξητικοὶ ὦσιν. ἀλλὰ φυσικώτεραί πως ἐ
κεῖναι. τὸ δ᾽ ἐνδεχόμενον ὡς δυνατὸν ληπτέον. ὅλως γὰρ ὀλίγα
τὰ ἀπὸ τῶν ἄνω μᾶλλον βλαστάνοντα καὶ γεννώμενα, καθάπερ
ἄμπελος ἀπὸ τῶν κλημάτων. αὕτη γὰρ οὐδ᾽ ἀπὸ τῆς πρώρας, ἀλ-
λ᾽ ἀπὸ τοῦ κλήματος φύεται. καὶ εἰ δή τι τοιοῦτον ἕτερον ἢ δέν
δρον ἢ φρυγανῶδες, ὥσπερ δοκεῖ τό, τε πήγανον, ἡ ὠρία. καὶ
τὸ σισύμβριον, καὶ ὁ ἕρπυλλος. καὶ τὸ ἑλένιον. κοινότατα μὲν οὖν
ὅδε πᾶσιν, ἥ τε ἀπὸ τῆς παρασπάδος, ἡ ἀπὸ σπέρματος ἅ-
παντα, ἃ ὅσα ἔχει σπέρματα καὶ ἀπὸ σπέρματος γίνεται. ἀ
πὸ δὲ παρασπάδος καὶ τὴν δάφνην φασίν, ἐάν τις τὰ ἔρνη πα
ρελὼν φυτεύσῃ. δεῖ δὲ ὑπόρριζον μάλιστ᾽ ἔχειν τὸ παρασπώμενον
ἢ ὑπόπρεμνον. οὐ μὴν ἀλλὰ καὶ ἄνευ τούτου θέλει βλαστάνειν καὶ
ῥοά, καὶ μηλέα ἐαρινή. βλαστάνει δὲ καὶ ἀμυγδαλῆ φυτευομένη. κα
τὰ πλείστους δὲ τρόπους ὡς εἰπεῖν ἡ ἐλαία βλαστάνει. καὶ γὰρ ἀπὸ
τοῦ στελέχους, ἡ ἀπὸ τοῦ πρέμνου κατακοπτομένου, καὶ ἀπὸ τῆς
ῥίζης, καὶ ἀπὸ τοῦ ξύλου, καὶ ἀπὸ ῥάβδου, ἡ ἀπὸ χάρακος, ὥσπερ
εἴρηται. τῶν δ᾽ ἄλλων, ὁ μύρρινος. ἡ γὰρ οὗτος ἀπὸ τῶν ξύλων καὶ
τῶν πρέμνων φύεται. δεῖ δὲ καὶ τούτου καὶ τῆς ἐλαίας τὰ ξύλα
διαιρεῖν μὴ ἐλάττω σπιθαμιαίων, καὶ τὸν φλοιὸν μὴ περιαιρεῖν.
Τὰ μὲν οὖν δένδρα βλαστάνει καὶ γίνεται κατὰ τοὺς εἰρημένους
τρόπους. αἱ γὰρ ἐμφυλεῖαι καὶ οἱ ἐνοφθαλμισμοί, καθάπερ μί
ξεις τινές εἰσιν, ἢ κατ᾽ ἄλλον τρόπον γενέσεις. περὶ ὧν ὕστερον λε
κτέον. τῶν δὲ φρυγανωδῶν καὶ ποωδῶν τὰ μὲν πλεῖστα ἀπὸ σπέρμα
τος ἢ ῥίζης. τὰ δὲ ἀμφοτέρως. ἔνια δὲ καὶ ἀπὸ τῶν βλαστῶν ὥσπερ εἴ
ρηται

γίνεται. ῥοδωνιὰ δὲ καὶ κρινωνιὰ, κατακοπέντων τῶν καυλῶν ὥσπερ καὶ ἡ ἄγρωστις. φύεται δὲ ἡ κρινωνιὰ καὶ ῥοδωνιὰ. καὶ ὅλου τοῦ καυλοῦ τεθέντος. ἴδιον τοῦτο. τὸ δὲ ἡ ἀπὸ δακρύων. ἢ γὰρ οὕτω δοκεῖ τὸ κρίνον φύεσθαι, ὅταν ξηρανθῇ τὸ ἀπορρυέν. φασὶ δὲ καὶ ἀπὸ τοῦ ἱπποσελίνου. καὶ γὰρ τοῦτο ἀφίησι δάκρυον. φύεται δέ τις καὶ κάλαμος. ἐάν τις διατέμνῃ τὰς ἠλακάτας πλαγίας, ἢ κατακρύψῃ κόπρῳ καὶ γῇ. ἰδίως δὲ ἀπὸ ῥίζης ἡ φύεσθαι καὶ τὰ κεφαλόρριζα. τοσαυταχῶς δὲ οὔσης τῆς δυνάμεως. τὰ μὲν πολλὰ τῶν δένδρων, ὥσπερ ἐλέχθη πρότερον ἐν πλείοσι τρόποις ὥς φασι γίνεται. ἔνια δὲ ἀπὸ σπέρματος φύεται μόνον. οἷον ἐλάτη, πεύκη, πίτυς. ὅλως πᾶν τὸ κωνοφορῦν. ἔτι δὲ φοῖνιξ. πλὴν εἰ ἄρα ἐν βαβυλῶνι καὶ ἀπὸ τῶν ῥάβδων ὥς φασί τινες μοσχεύειν. κυπάριττος δὲ, παρὰ μὲν τοῖς ἄλλοις ἀπὸ σπέρματος. ἐν κρήτῃ δὲ καὶ ἀπὸ τοῦ στελέχους. οἷον τὸ τῆς ὀρείας ἐν τάρρᾳ. παρὰ τούτοις γάρ ἐστιν ἡ κουριζομένη κυπάριττος. αὕτη δ' ἀπὸ τῆς τομῆς βλαστάνει, πάντα τρόπον τεμνομένη, καὶ ἀπὸ γῆς, καὶ ἀπὸ τοῦ μέσου, καὶ ἀπὸ τοῦ ἀνωτέρω. βλαστάνει δὲ καὶ ἐνιαχοῦ ἀπὸ τῶν ῥιζῶν. σπανίως δέ. περὶ δὲ δρυὸς ἀμφισβητοῦσιν. οἱ μὲν γὰρ, ἀπὸ σπέρματός φασι μόνον. οἱ δὲ καὶ ἀπὸ ῥίζης ἐλλιπῶς. οἱ δὲ, καὶ ἀπ' αὐτοῦ τοῦ στελέχους κοπέντος. ἀπὸ παρασπάδος δὲ καὶ ῥίζης οὐδὲν φύεσθαι τῶν μὴ παραβλαστανόντων. ἁπάντων δὲ ὅσων πλείους αἱ γενέσεις. ἡ ἀπὸ παρασπάδος. καὶ ἔτι μᾶλλον ἡ ἀπὸ παραφυάδος. ταχίστη δὲ καὶ εὐαυξὴς ἐὰν ἀπὸ ῥίζης ἡ παραφυὰς ᾖ. καὶ τὰ μὲν οὕτως ἢ ὅλως ἀπὸ φυτευτηρίων πεφυτευμένα πάντα δοκεῖ τοὺς καρποὺς ἐξομοιοῦν. ὅσα δ' ἀπὸ τοῦ καρποῦ τῶν δυναμένων καὶ οὕτω βλαστάνειν, ἅπανθ' ὡς εἰπεῖν χείρω. τὰ δὲ καὶ ὅλως ἐξίσταται τοῦ γένους. οἷον ἄμπελος. μηλέα. συκῆ. ῥοιά. ἄπιος. ἔκ τε γὰρ τῆς κεγχραμίδος οὐδὲν γίνεται γένος ὅλως ἥμερον, ἀλλ' ἢ ἐρινεὸς, ἢ ἀγρία συκῆ. διαφέρουσα πολλάκις. καὶ τῇ χροιᾷ. καὶ γὰρ ἐκ

μελαίνης λευκὴ, καὶ ἐκ λευκῆς μέλαινα γίνεται. ἔκ τε τῆς ἀμπέλου τῆς γενναίας, ἀγεννής. καὶ πολλάκις ἕτερον γένος. ὅτε δὲ ὅλως οὐδὲν ἥμερον, ἀλλὰ ἄγριον ἐνίοτε καὶ τοσοῦτον ὥστε μὴ ἐκπέττειν τὸν καρπὸν, αἱ δ᾽ ὥστε μὴ δ᾽ ἀδρύνειν· ἀλλὰ μέχρι τοῦ ἀνθῆσαι μόνον ἀφικνεῖσθαι. φυτευομένων δὲ, καὶ ἐκ τῶν τῆς ἐλαίας πυρήνων ἀγριέλαιος, καὶ ἐκ τῶν τῆς ῥοιᾶς κόκκων τῶν γλυκέων ἀγεννής. καὶ ἐκ τῶν ἀπυρήνων, σκληρά, πολλάκις δὲ καὶ ὀξεῖα. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐκ τῶν ἀπίων καὶ ἐκ τῶν μήλων. ἐκ μὲν τῶν ἀπίων, μοχθηρὰ ἢ ἀχράς. ἐκ δὲ τῶν μήλων, χεῖρον τῷ γένει. καὶ ἐκ γλυκέων ὀξεῖα, καὶ ἐκ στρουθίου κυδώνιος. χείρων δὲ ἡ ἀμυγδάλη, καὶ τῷ χυλῷ καὶ τῷ σκληρῷ ἐκ μαλακῆς. διὸ καὶ αὐξηθεῖσαν ἐγκεντρίζειν κελεύουσιν. εἰ δὲ μὴ, τὸ μόσχευμα μεταφυτεύειν πολλάκις. χείρων δὲ καὶ ἡ δρῦς ἀπὸ γοῦν τῶν ἐν πύρρα πολλοὶ φυτεύσαντες, οὐκ ἐδύναντο ὁμοίαν ποιεῖν. δάφνην δὲ καὶ μυρρίνην διαφέρειν ποτέ φασιν. ὡς ἐπὶ τὸ πολὺ δ᾽ ὀξίζεσθαι καὶ οὐδὲ τὸ χρῶμα διασώζειν. ἀλλ᾽ ἐξ ἐρυθροῦ καρποῦ γίνεσθαι μέλαιναν. ὥσπερ καὶ τὸν ἐν ἀντάνδρῳ. πολλάκις δὲ καὶ τὴν κυπάριττον ἐκ θηλείας ἄρρεναν. μάλιστα δὲ τούτων ὁ φοῖνιξ δοκεῖ διαμένειν ὥσπερ εἰπεῖν τελείως τῶν ἀπὸ σπέρματος. καὶ πεύκη ἡ κωνοφόρος. ἡ πίτυς ἡ φθειροποιός. ταῦτα μὲν οὖν ἐν τοῖς ἡμέροις μόνοις. ἐν δὲ τοῖς ἀγρίοις δηλονότι πλείω κατὰ λόγον ὡς ἰσχυροτέροις. ἐπεὶ θάτερόν τε καὶ ἄτοπον. εἰ δ᾽ ἡ χείρων καὶ ἐν ἐκείνοις καὶ ὅλως ἐν τοῖς ἀπὸ σπέρματος μόνον. εἰ μή τι τῇ θεραπείᾳ δύναιντ᾽ ἂν μεταβάλλειν. διαφέρουσι δὲ καὶ οἱ τόποι τῶν τόπων, καὶ ἀὴρ ἀέρος. ἐνιαχοῦ γὰρ ἐκφέρειν ἡ χώρα δοκεῖ τὰ ὅμοια, καθάπερ καὶ ἐν φιλίπποις, ἀνάπαλιν ὀλίγα καὶ ὀλιγαχοῦ λαμβάνειν μεταβολήν. ὥστε ἐκ σπέρματος ἀγρίου ποιεῖν ἥμερον, ἢ ἐκ χείρονος ἁπλῶς ποιεῖν βέλτιον. τοῦτο γὰρ ἐπὶ τῆς ῥοιᾶς μόνον ἀκηκόαμεν ἐν αἰγύπτῳ, καὶ ἐν κιλικίᾳ συμβαίνειν. ἐν αἰγύπτῳ μὲν γὰρ τὴν ὀξεῖαν καὶ

σπαρεῖσαν

σπαρεῖσαν καὶ φυτευθεῖσαν, γλυκεῖαν γίνεσθαί πως ἢ οἰνώδη· περὶ δὲ Σόλους τῆς Κιλικίας παρὰ τὸν ποταμὸν τὸν Πίναρον οὗ ἡ μάχη πρὸς Δαρεῖον ἐγένετο, πᾶσαι γίνονται ἀπύρηνοι. εὔλογον δὲ καὶ εἴ τις τὸν παρ' ἡμῖν φοίνικα φυτεύοι ἐν Βαβυλῶνι, κάρπιμόν τε γίνεσθαι καὶ ἐξομοιοῦσθαι τοῖς ἐκεῖ. τὸν αὐτὸν δὲ τρόπον καὶ εἴ τις ἑτέρα προσάμηλον ἔχει καρπόν· οὕτω κρείττων γὰρ αὐτὸς τῆς ἐργασίας καὶ τῆς θεραπείας. σημεῖον δὲ, ὅτι μεταφερόμενα τἀκεῖθεν, ἄκαρπα· τὰ δὲ καὶ ὅλως ἀβλαστῆ γίνεται. μεταβάλλει δὲ καὶ τῇ τροφῇ καὶ διὰ τὴν ἄλλην ἐπιμέλειαν. δι' ὃν καὶ τὸ ἄγριον ἐξημεροῦται, καὶ αὐτῶν δὲ τῶν ἡμέρων ἔνια, καὶ ἀπορρεῖ, τὰ ῥόα, καὶ ἀμυγδαλῆ. πλὴν ἐκεῖνο δέ τινες καὶ ἐκ κριθῶν ἅμα φύειν φασὶ πυροὺς καὶ ἐκ πυρῶν κριθάς. καὶ πῶς τῷ αὐτῷ πυθμένι ἄμφω. ταῦτα μὲν οὖν ὡς μυθωδέστερα δεῖ δέχεσθαι. μεταβάλλει δ' οὖν τὰ μεταβάλλοντα τὸν τρόπον τοῦτον αὐτομάτως. ἐξαλλαγῇ δὲ ὥρας· ὥσπερ ἐν Αἰγύπτῳ καὶ Κιλικίᾳ, περὶ τῶν ῥοῶν εἴπομεν, οὐδὲ διὰ μίαν θεραπείαν. ὡσαύτως δὲ καὶ ὅπου τὰ κάρπιμα ἄκαρπα γίνεται, καθάπερ τὸ Περσικὸν τὸ ἐξ Αἰγύπτου, καὶ ὁ φοῖνιξ ἐν τῇ Ἑλλάδι, καὶ εἰ δή τις κομίσειε τὴν ἐν Κρήτῃ λεγομένην αἴγειρον. ἔνιοι δέ φασι καὶ τὴν οἴην, ἐὰν εἰς ἀλεεινὸν ἔλθῃ σφόδρα τόπον, ἄκαρπον γίνεσθαι. φύσει γὰρ ψυχρά. εὔλογον δὲ ἀμφοτέρως συμβαίνειν κατὰ τὰς ἐναντιώσεις. εἴπερ μὴ δ' ὅλως ἔνια φύεσθαι θέλει μεταβάλλοντα τοὺς τόπους. καὶ κατὰ μὲν τὰς χώρας αἱ τοιαῦται μεταβολαί. κατὰ δὲ τὴν φυτείαν τὰ ἀπὸ τῶν σπερμάτων φυόμενα καθάπερ ἐλέχθη. ποιεῖ γὰρ αἱ ἐξαλλαγαί. καὶ τοῦτο τῇ θεραπείᾳ δὲ μεταβάλλει· ῥοιὰ καὶ ἀμυγδαλῆ. ῥόα μὲν κόπρον ὑείαν λαβοῦσα, καὶ ὕδατος πλῆθος ῥυτοῦ. ἀμυγδαλῆ δὲ, ὅταν πάτταλόν τις ἐνθῇ, καὶ τὸ δάκρυον ἀφαιρῇ τὸ ἐπιρρέον πλείω χρόνον, καὶ τὴν ἄλλην ἀποδιδῷ θεραπείαν. ὡσαύτως δὲ δῆλον ὅτι, καὶ ὅσα ἐξημεροῦται τῶν ἀγρίων ἢ ἐπα-

γριοῦται τῶν ἡμέρων· τὰ μὲν γὰρ θεραπείᾳ· τὰ δ' ἀθεραπευσίᾳ μεταβάλλει· πλὴν εἴ τις λέγοι μὴ δὲ μεταβολὴν ἀλλ' ἐπίδοσιν εἰς τὸ βέλτιον εἶναι καὶ χεῖρον· οὐ γὰρ οἷόν τε τὸν κότινον ποιεῖν ἐλαίαν· οὐδὲ τὴν ἀχράδα ποιεῖν ἄπιον· οὐδὲ τὸν ἐρινεὸν συκῆν· ὃ γὰρ ἐπὶ τοῦ κοτίνου φασὶ συμβαίνειν, ὥστε ἂν περικοπῇ τὴν θαλίαν, ὅλως μεταφυτευθῇ, φέρειν θάλλος μεταβολή τις γίνεται μετρία· Ταῦτα μὲν οὖν ὁποτέρως δεῖ λαβεῖν, οὐθὲν ἂν διαφέροι· φασὶ δὲ καὶ αὐτομάτην τινὰ γίνεσθαι τῶν τοιούτων μεταβολήν· ὁτὲ μὲν τῶν καρπῶν· ὁτὲ δὲ καὶ ὅλως αὐτῶν τῶν δένδρων· ἃ καὶ σημεῖα νομίζουσιν οἱ μάντεις· οἷον ῥοιὰν ὀξεῖαν, γλυκεῖαν ἐξενεγκεῖν καὶ γλυκεῖαν, ὀξεῖαν· καὶ πάλιν ἁπλῶς αὐτὰ τὰ δένδρα· ὥστε ἐξ ὀξείας γλυκεῖαν γίνεσθαι, καὶ ἐκ γλυκείας ὀξεῖαν· χεῖρον δὲ καὶ τὸ εἰς γλυκεῖαν μεταβάλλειν, ἢ ἐξ ἐρινεοῦ συκῆν, καὶ ἐκ συκῆς ἐρινεόν· χεῖρον δὲ τὸ ἐκ συκῆς, καὶ ἐξ ἐλαίας· κότινον καὶ ἐκ κοτίνου ἐλαίαν· ἥκιστα δὲ τοῦτο· πάλιν δὲ συκῆν ἐκ λευκῆς μέλαιναν, καὶ ἐκ μελαίνης λευκήν· ὁμοίως δὲ τοῦτο καὶ ἐξ ἀμπέλου· καὶ ταῦτα μὲν ὡς τέρατα καὶ παρὰ φύσιν λαμβάνουσιν· ὅσα δὲ συνήθη τῶν τοιούτων οὐδὲ θαυμάζειν ὅλως· οἷον τὸ τὴν κάπνιον ἄμπελον καλουμένην· ἢ ἐκ μέλανος γὰρ βότρυος λευκὸν, καὶ ἐκ λευκοῦ μέλαν φέρειν· οὐδὲ γὰρ οἱ μάντεις τὰ τοιαῦτα κρίνουσιν· ἐπεὶ οὐδὲ ἐκεῖνα παρ' οἷς πέφυκεν ἡ χώρα μεταβάλλειν· ὥσπερ ἐλέχθη περὶ τῆς ῥοιᾶς ἐν αἰγύπτῳ· ἀλλὰ τὸ ἐνταῦθα θαυμαστόν· διὰ τὸ μίαν μόνον ἢ δύο· καὶ ταύτας ἐν τῷ παντὶ χρόνῳ σπανίας· ἀλλ' εἴπερ ἐν τῷ παντὶ μᾶλλον ἐν τοῖς καρποῖς γίνεσθαι τὴν παραλλαγὴν· ἢ ἐν ὅλοις τοῖς δένδροις· ἐπεὶ καὶ τοιαύτη τις ἀταξία γίνεται περὶ τοὺς καρπούς· οἷον ἤδη ποτὲ συκῆ τὰ σῦκα ἔφυσεν ἐκ τοῦ ὄπισθεν τῶν ἐρινεῶν· καὶ ῥοιὰ δὲ καὶ ἄμπελος ἐκ τῶν στελεχῶν· καὶ ἄμπελος ἄνευ φύλλων καρπὸν ἤνεγκεν· ἐλαία δὲ τὰ μὲν φύλλα, ἀπέβαλε, τὸν δὲ καρπὸν ἐξήνεγκεν· ὃ καὶ Θετταλῷ τῷ Πεισιστρά

τοῦ γίνεσθαι λέγεται· συμβαίνει δὲ καὶ διὰ χειμῶνας τοῦτο, καὶ δι' ἄλλας αἰτίας ἔνια τῶν δοκούντων εἶναι παράλογον. οὐκ ὄντως δέ· οἷον ἐλαία περικαυθεῖσα τελέως, ἀνεβλάστησεν ὅλη καὶ αὐτὴ καὶ ἡ θάλλα· ἐν δὲ τῇ Βοιωτίᾳ, καταβρωθέντων τῶν ἔρνων ὑπ' ἀττελέβων, πάλιν ἀνεβλάστησε. τὰ δ' οἷον ἀπέπεσεν. ἥκιστα δὲ ἴσως τὰ τοιαῦτα ἄτοπα, διὰ τὸ φανερὰς ἔχειν τὰς αἰτίας· ἀλλὰ μᾶλλον τὸ μὴ ἐκ τῶν οἰκείων τόπων φέρειν τοὺς καρποὺς ἢ μὴ οἰκείως· μάλιστα δὲ τῆς ὅλης φύσεως γίνεται μεταβολή, καθάπερ ἐλέχθη. περὶ μὲν οὖν τὰ δένδρα τοιαῦταί τινές εἰσι μεταβολαί· τῶν δ' ἄλλων, τὸ σισύμβριον εἰς μίνθην δοκεῖ μεταβάλλειν, ἐὰν μὴ κατέχηται τῇ θεραπείᾳ· διὸ καὶ μεταφυτεύουσι πολλάκις. καὶ ὁ πυρὸς εἰς αἶραν. ταῦτα μὲν οὖν ἐν τοῖς δένδροις αὐτομάτως ἐμπεριγίνεται. τὰ δὲ τοῖς ἐπετείοις διὰ παρασκευῆς· οἷον, ἡ τίφη καὶ ἡ ζειὰ μεταβάλλουσιν εἰς πυρὸν ἐὰν πτισθεῖσαι σπείρωνται· καὶ τοῦτο οὐκ εὐθύς, ἀλλὰ τῷ τρίτῳ ἔτει. σχεδὸν δὲ παραπλήσιον τοῦτό ἐστι τῷ τὰ σπέρματα καὶ τὰ τῆς χώρας μεταβάλλειν· μεταβάλλει γὰρ καὶ ταῦτα καθ' ἑκάστην ὥραν, καὶ σχεδὸν ἐν τῷ ἴσῳ χρόνῳ καὶ ἡ τίφη. μεταβάλλουσι δὲ καὶ οἱ ἄγριοι πυροί· καὶ αἱ κριθαὶ θεραπευόμεναι καὶ ἐξημερούμεναι κατὰ τὸν ἴσον χρόνον. καὶ ταῦτα μὲν ἔοικε χώρας τε μεταβολῇ καὶ θεραπείᾳ γίνεσθαι. ἔνια ἀμφοτέροις· τὰ δὲ τῇ θεραπείᾳ μόνον· οἷον πρὸς τὸ τὰ ὄσπρια μὴ γίνεσθαι ἀτέραμνα, βρέξαντα κελεύουσιν ἐν νίτρῳ νυκτὶ τῇ ὑστεραίᾳ σπείρειν ἐν ξηρᾷ. φακοὺς ὥστε ἁδροὺς γίνεσθαι φυτεύουσιν ἔμβολον. τοὺς ἐρεβίνθους δὲ ὥστε μεγάλους αὐτοῖς τοῖς κελύφεσι βρέξαντα σπείρειν. μεταβάλλουσι δὲ καὶ κατὰ τὰς ὥρας τοὺς πόρους πρὸς κουφότητα καὶ διαλυτίαν· οἷον, ἐάν τις τοὺς ὀρόβους ἐαρινοὺς σπείρῃ, τελεσάλυπριστοι γίνονται, καὶ οὐχ ὥσπερ οἱ μετοπωρινοὶ βαρεῖς. γίνεται δὲ καὶ ἐν τοῖς λαχάνοις μεταβολὴ διὰ τὴν θεραπείαν· οἷον, τὸ σέλινον ἐὰν σπαρὲν καταπατηθῇ καὶ κυλινδρωθῇ

ἀναφύεσθαί φασιν οὖλον, μεταβάλλειν δὲ καὶ τὴν χώραν ἐξαλλάτ-
τοντα, καθάπερ καὶ τἆλλα. καὶ τὰ μὲν τοιαῦτα κοινὰ πάντως
ἐστίν. εἰ δέ τινα κατὰ πήρωσιν ἢ ἀφαίρεσιν μέρους, δένδρον ἄγονον
γίνεται καθάπερ τὰ ζῷα, τοῦτο ἐπισκεπτέον. οὐδὲν γοῦν φα-
νερὸν κατά γε τὴν διαίρεσιν, εἰς τὸ πλείω καὶ ἐλάττω φέρειν ὥσ-
περ κακούμενον. ἀλλ' ἢ ἀπόλλυται τὸ ὅλον, ἢ διαμένον τὸν καρ-
ποφορεῖ. τὸ γὰρ γῆρας, κοινή τις φθορὰ πᾶσιν. ἄτοπον δ' ἂν δόξειεν.
μᾶλλον δ' ἐν τοῖς ζώοις αἱ τοιαῦται μεταβολαὶ φυσικαὶ καὶ
πλείους. καὶ γὰρ κατὰ τὰς ὥρας ἔνια δοκεῖ μεταβάλλειν, ὥσπερ καὶ
ὁ ἱέραξ, ὁ ἔποψ, καὶ ἄλλα τῶν ὁμοίων ὀρνέων. καὶ κατὰ τοὺς τόπους ἀλ-
λοιώσεις. ὥσπερ ὁ ὕδρος ἐπέχει ξηραινομένων τῶν λιβάδων.
φανερώταται δὲ καὶ κατὰ τὰς γενέσεις ἔνια· καὶ μεταβάλλει διὰ πλειό-
νων ζώων. οἷον, ἐκ κάμπης γίνεται χρυσαλλίς. εἶτ' ἐκ ταύτης ψύ-
χη, καὶ ἐπ' ἄλλων δ' ἐστὶ τὸ τοιοῦτον. οὐδὲν ἴσως ἄτοπον οὐδ' ὅμοιον
τὸ ζητούμενον. ἀλλ' ἐκεῖνο συμβαίνει περὶ τὰ δένδρα ὅλως πᾶ-
σαν τὴν ὕλην. ὥσπερ ἐλέχθη καὶ πρότερον, ὥστε αὐτομάτως με-
ταβλαστάνειν, μεταβολῆς τινὸς γινομένης ἐκ τῶν οὐρανίων
τοιαύτης. τὰ μὲν οὖν περὶ τὰς γενέσεις καὶ μεταβολὰς, ἐκ τού-
των θεωρητέον. ἐπεὶ δὲ καὶ αἱ ἐργασίαι καὶ αἱ θεραπεῖαι μεγάλα
συμβάλλονται. καὶ ἔτι πρότερον αἱ φυτεῖαι, αἳ ποιοῦσι μεγάλας
διαφορὰς, λεκτέον καὶ περὶ τούτων. καὶ πρῶτον περὶ τῶν φυ-
τειῶν. αἱ μὲν οὖν ὧραι πρότερον εἴρηνται, καθ' ἃς δεῖ τὰ φυτὰ λαμ-
βάνειν κελεύουσιν ὡς τάχιστα καὶ ἐξ ὁμοίας γῆς, εἰς ἣν μέλλει φυτεύειν ἢ
χείρονος. τοὺς γὰρ βόθρους προσορύττειν ὡς πλεῖστον χρόνον καὶ βαθυτέ-
ρους ἀεὶ καὶ τοῖς ἐπιπολαιορριζοτέροις. λέγουσι δέ τινες ὡς οὐδε-
μία κατωτέρω δικνεῖται τριῶν ἡμιποδίων, διὸ καὶ ἐπιτιμῶσι
τοῖς ἐν μείζονι βάθει φυτεύουσιν. οὐκ ἐοίκασι δὲ ὀρθῶς λέγειν ἐπὶ πολ-
λῶν. ἀλλ' ἐὰν μὲν σώματος ἐπιλάβηται βαθέος, καὶ χώρας τοιαύ-
της, ἢ καὶ τόπου, πολλῷ μακρότερον ὠθεῖ, τὸ τῇ φύσει βαθύρρι-
ζον. πύκνην δέ τις ἔφη μεταφυτεύων μεμοχλευμένην, μείζω

τὴν ῥίζαν

τὴν ῥίζαν ἀνέχειν ἢ ὀκταετῆ χρόνον, καίπερ οὐχ ὅλης ἐξαιρεθείσης, ἀλλ' ἀπορραγείσης. τὰ δὲ φυτευτήρια, ἐὰν μὲν ἐνδέχηται, ὑπόρριζα, εἰ δὲ μή, δεῖ μᾶλλον ἀπὸ τῶν κάτω ἢ τῶν ἄνω λαμβάνειν, πλὴν ἀμπέλου· καὶ τὰ μὲν ἔχοντα ῥίζας, ὀρθὰ ἐμβάλλειν, τὰ δὲ μὴ ἔχοντα ὑποβάλλειν τοῦ φυτευτηρίου, οἷον σπιθαμὴν ἢ μικρῷ πλεῖον· ἔνιοι δὲ κελεύουσι καὶ τῶν ὑπερρίζων ὑποβάλλειν, τιθέναι δὲ καὶ τὴν θέσιν ὁμοίαν, ἥνπερ εἶχεν ἐν τῷ δένδρῳ, τὰ πρὸς βορρᾶν, καὶ τὰ πρὸς ἕω, καὶ τὰ πρὸς μεσημβρίαν. ὅσα δὲ ἐνδέχεται τῶν φυτῶν καὶ προμοσχεύειν, τὰ μὲν, ἐπ' αὐτῶν τῶν δένδρων, οἷον ἐλαίας, μηλέας, ἀπίου, συκῆς· τὰ δ' ἀφαιροῦντας, οἷον, ἀμπέλου· ταύτῃ γὰρ οὐχ οἷόν τε ἐπ' αὐτῆς μοσχεύειν. ἐὰν δὲ μὴ ὑπόρριζα, τὰ φυτὰ μὴ δὲ ἀπόπρεμνα, λαμβάνειν καθάπερ ἐπὶ τῆς ἐλαίας καὶ συκῆς καὶ τῶν ἄλλων. φυτεύεται δὲ καὶ ἡ συκῆ, ἐάν τις κράδην ταχεῖαν ἀποξύνας σφύρᾳ παίσῃ, ἄχρι οὗ ἂν ἀπολίπῃ μικρὸν ὑπὲρ τῆς γῆς, εἶτ' αὐτῆς ἀμμυγδαλῶν ἄνωθεν ἐπιχώσῃ. καὶ γίνεσθαι δέ φασι καὶ καλλίω ταῦτα τὰ φυτά, μέχρι οὗ ἂν ᾖ νέα, παραπλήσια καὶ τῶν ἀμπέλων, ὅταν ἀπὸ τοῦ παττάλου προσδιοιγῇ ὁ πάτταλος ἐκείνῳ τῷ κλήματι διὰ τὴν ἀθέραν φυτεύουσιν οὕτω. καὶ ῥοὰν καὶ ἄλλα τῶν δένδρων. ἡ συκῆ δὲ ἐὰν ἐν σκίλλῃ φυτευθῇ, θᾶττον παραγίνεται καὶ ἧττον ὑπὸ σκωλήκων κατεσθίεται. ὅλως δὲ πᾶν ἐν σκίλλῃ φυτευόμενον εὐβλαστεῖ, καὶ θᾶττον αὐξάνεται. ὅσα δὲ ἐκ τοῦ στελέχους καὶ διακοπτόμενα φυτεύεται, κάτω τρέποντα τὴν τομὴν δεῖ φυτεύειν. διακόπτειν δὲ μὴ ἔλαττον ἢ σπιθαμιαῖα ὥσπερ ἐλέχθη· καὶ τὸν φλοιὸν προσεῖναι. φυτεύεται δὲ ἐκ τῶν τοιούτων ἔρνη· βλαστανόντων δ' ἀεὶ προσχωννύειν, ἄχρις οὗ ἂν γένηται χέρσιον. αὕτη μὲν οὖν τῆς ἐλαίας ἰδία καὶ τοῦ μυρρίνου· αἱ δ' ἄλλαι κοινότεραι πᾶσιν. ἄριστον δὲ καὶ ῥιζοῦσθαι καὶ φυτείας μάλιστα τῆς τυχούσης ἡ συκῆ. φυτεύειν δὲ καὶ ῥοὰς, καὶ μυρρίνους, καὶ δένδρας πυκνὰς κελεύουσι μὴ πλέον διεστώσας ἢ ἐννέα πόδας· μηλέας δὲ μικρῷ μακρότερον· ἀπίους δὲ καὶ

ὄχνας ἔτι μᾶλλον· ἀμυγδαλᾶς δὲ καὶ συκᾶς πολλῷ πλέον· ὡσαύτως δὲ καὶ τὴν ῥοιάν. ποιεῖ δὲ καὶ ὁ τόπος τὰς ὑποστάσεις· ἐν γὰρ τοῖς ὀρεινοῖς ἔλαττον ἢ ἐν τοῖς πεδινοῖς· μέγιστον δ' ὡς εἰπεῖν, τὸ τὴν πρόσφορον ἑκάστῳ χώραν ἀποδιδόναι· τότε γὰρ εὐθενεῖ μάλιστα· ὡς δ' ἁπλῶς εἰπεῖν, ἐλαίαν μὲν καὶ συκῆν καὶ ἄμπελον τὴν πεδινήν φασιν οἰκειοτάτην εἶναι· τοῖς δ' ἀκροδρύοις τὰς ὑπωρείας· χρὴ δὲ καὶ ἐν αὐτοῖς τοῖς ὁμογενέσι μὴ ἀγνοεῖν τὰς οἰκείας· ἐν πλείστῃ δὲ ὡς εἰπεῖν διαφορᾷ τὰ τῶν ἀμπέλων ἐστίν· ὅσαπερ γὰρ ἐστὶν εἴδη, τοσαῦτα τῶν φασι καὶ ἀμπέλων εἶναι· φυτευόμενα μὲν οὖν κατὰ φύσιν ἀγαθὰ γίνεσθαι· παρὰ φύσιν δὲ ἄκαρπα. ταῦτα μὲν οὖν ὥσπερ κοινὰ πάντων. τῶν δὲ φοινίκων ἴδιος ἡ φυτεία παρὰ τὰ ἄλλα· καὶ ἡ μετὰ ταῦτα θεραπεία· φυτεύουσι γὰρ πλείους εἰς ταὐτὸ τιθέντες, δύο ἄνω, καὶ δύο κάτω ἐπιδήσαντες· πρᾶον δὲ πάντας· τὴν γὰρ ἔκφυσιν οὐτ' ἐκ τῶν ὑπτίων σκόλων ποιεῖται, καθάπερ τινές φασιν, ἀλλ' ἐκ τῶν ἄνω· διὸ καὶ ἐν τῇ ἐπιζεύξει τῶν ἐπιτιθεμένων τὸ δεῖ περικαλύπτειν τὰς ἀρχάς· ὅθεν καὶ ἐκ φύσεως φανεραὶ δὲ εἰσὶ τοῖς ἐμπείροις διὰ τοῦτο δ' εἰς τὸ αὐτὸ πλείους τιθέασιν ὅτι ἀπὸ τοῦ ἑνὸς ἀσθενὴς ἡ φυτεία· τούτων δὲ αἱ ῥίζαι πρὸς ἀλλήλας συμπλέκονται, καὶ εὐθὺς αἱ πρῶται βλαστήσεις· ὥστε ἐν γίνεσθαι τὸ στέλεχος. ἡ μὲν οὖν ἀπὸ τῶν καρπῶν φυτεία, τοιαύτη τίς· ἡ δὲ ἀφ' αὐτοῦ, ὅταν ἀφέλωσι τὸ ἄνω· ἐν ᾧπερ ὁ ἐγκέφαλος· ἀφαιροῦσι δὲ ὅσον δίπηχυ· σχίσαντες τοῦτο κάτω τιθέασι τὸ ὑγρόν· φιλεῖ δὲ χώραν ἀμμώδη· διὸ καὶ ὅπου μὴ τοιαύτη τυγχάνει, περιπάττουσιν ἅλας οἱ γεωργοί· τοῦτο δὲ δεῖ ποιεῖν μὴ περὶ τὰς αὐτὰς ῥίζας· ἀλλ' ἄποθεν ἀποστήσαντα περιπάττειν ὅσον ἡμίεκτον· ὅτι δὲ τοιαύτην ζητεῖ χώραν, κἀκεῖνο ποιοῦνται σημεῖον· πανταχοῦ γὰρ ὅπου πλῆθος φοινίκων, ἀμμώδεις αἱ χῶραι· καὶ γὰρ ἐν Βαβυλῶνι φύσιν ὅπου οἱ φοίνικες πεφύκασι· καὶ ἐν Λιβύῃ δὲ, καὶ ἐν Αἰγύπτῳ

καὶ φοινίκῃ

καὶ φοινίκῃ· καὶ τῆς συρίας δὲ τῆς κοίλης, ἐν ᾗ δ' οἱ πλεῖστοι τυγχάνουσιν ἔχοντες, ἐν τρισὶ μόνοις τόποις ἀμμώδεσιν εἶναί τινας δυναμένους θησαυρίζεσθαι· τοὺς δ' ἐν τοῖς ἄλλοις οὐ διαμένειν, ἀλλὰ σήπεσθαι· χλωροὺς δ' ἡδεῖς εἶναι καταναλίσκειν οὕτω. φιλεῖ δὲ καὶ ὑδρίαν σφόδρα τὸ δένδρον. περὶ δὲ κόπρου διαμφισβητοῦσιν. οἱ μὲν γὰρ οὔ φασι χαίρειν, ἀλλ' ἐναντιώτατον εἶναι. οἱ δὲ, κεχρῆσθαι καὶ ἐπίδοσιν πολλὴν ποιεῖν. δεῖ δ' ὑδρεύειν μάλα κατὰ τῆς κόπρου. καθάπερ οἱ ἐν ῥόδῳ. τοῦτο μὲν οὖν ἐπισκεπτέον. ἴσως γὰρ οἱ μὲν, οὕτως, οἱ δ' ἐκείνως θεραπεύουσι. καὶ μετὰ τοῦ ὕδατος ὠφέλιμος ἡ κόπρος. ἄνευ δὲ τούτου, βλαβερά. ὅταν δὲ ἐνιαύσια γένηται μεταφυτεύουσι καὶ τῶν ἁλῶν συμπαραλαμβάνουσι, καὶ πάλιν ὅταν διετῆ (χαίρουσι γὰρ σφόδρα τῇ μεταφυτείᾳ)· μεταφυτεύουσι δὲ, οἱ μὲν ἄλλοι τῷ ἦρος, οἱ δὲ ἐν βαβυλῶνι περὶ τὸ ἄστρον. καὶ ὅλως οἱ πολλοὶ φυτεύουσιν, ὥστε καὶ παραινομένου καὶ αὐξανομένου θᾶττον. νέου μὲν ὄντος οὐχ ἅπτονται. πλὴν ἀναδοῦσι τὴν κόμην, ὅπως ὀρθοφυῆται, καὶ ῥάβδοι μὴ ἀπορθῶνται. μετὰ δὲ ταῦτα περιτέμνουσιν. ὁπόταν ἁδρὸς ἤδη γένηται καὶ πάχος ἔχει. ἀπολείπουσι δὲ ὅσον σπιθαμὴν τῶν ῥάβδων. φέρει δὲ ἕως μὲν ἂν ᾖ νέος ἀπύρηνον τὸν καρπόν. μετὰ δὲ τοῦτο πυρηνώδη. ἄλλοι δέ τινες λέγουσιν ὡς οἱ κατὰ συρίαν οὐδεμίαν προσάγουσιν ἐργασίαν. ἀλλ' ἰδίᾳ καθαίρουσι καὶ ἐπιβρέχουσιν. ἐπιζητεῖ δὲ μᾶλλον τὸ ναματιαῖον ὕδωρ ἢ τὸ ἐκ τοῦ διός. εἶναι δὲ πολὺ τοιοῦτον ἐν τῷ αὐλῶνι, ἐν ᾧ καὶ τὰ φοινικόφυτα τυγχάνει, τὸν αὐλῶνα δὲ τοῦτον λέγειν τοὺς σύρους, ὅτι διατείνει διὰ τῆς ἀραβίας μέχρι τῆς ἐρυθρᾶς θαλάσσης καὶ πολλοὺς φάσκειν ἐληλυθέναι. τούτου δὲ ἐν τῷ κοιλοτάτῳ πεφυκέναι τοὺς φοίνικας. ταῦτα μὲν οὖν τάχ' ἀμφοτέρως ἂν εἴη. καὶ γὰρ τὰς

χώρας ὥσπερ καὶ αὐτὰ τὰ δένδρα διαφέρειν καὶ τὰς ἐργασίας. οὐκ ἄτοπον. γένη δὲ τῶν φοινίκων ἐστὶ πλείω. πρῶτον μὲν καὶ ὥσπερ ἐν μεγίστῃ διαφορᾷ τὸ μὲν, κάρπιμον, τὸ δὲ ἄκαρπον, ἐξ ὧν οἱ περὶ Βαβυλῶνα τάς τε κλίνας καὶ τὰ ἄλλα σκεύη ποιοῦνται. ἔπειτα τῶν καρπίμων οἱ μὲν, ἄρρενες, αἱ δὲ, θήλειαι. διαφέρουσι δὲ ἀλλήλων, καθὸ ὁ μὲν ἄρρην ἄνθος πρῶτος φέρει ἐπὶ τῆς σπάθης, ἡ δὲ θήλεια καρπὸν εὐθὺ μακρόν. αὐτῶν δὲ τῶν καρπῶν διαφοραὶ πλείους. οἱ μὲν γὰρ, ἀπύρηνοι. οἱ δὲ μαλακοπύρηνοι. καὶ ταῖς χροιαῖς, οἱ μὲν λευκοί, οἱ δὲ, μέλανες. οἱ δὲ, ξανθοί. τὸ δὲ ὅλον οὐκ ἐλάττω χρώματα φασὶν εἶναι τῶν συκῶν. οὐδ᾽ ἁπλῶς τὰ γένη. διαφέρειν δὲ καὶ κατὰ τὰ μεγέθη καὶ κατὰ τὰ σχήματα. καὶ γὰρ σφαιροειδεῖς ἐνίους ὥσαν εἰ μῆλα. καὶ τὰ μεγέθη τηλικούτους ὡς τέτταρας εἰς τὸν σπάχυν εἶναι. ἔτι δὲ καὶ ὑποδίους. ἄλλους δὲ μικροὺς ἡλίκους ἐρεβίνθους. καὶ τοῖς χυλοῖς δὲ πολὺ διαφέροντας. κράτιστον δὲ καὶ τῶν λευκῶν καὶ τῶν μελάνων τὸ βασιλικὸν καλούμενον γένος ἐν ἑκατέρῳ τῷ μεγέθει καὶ ἀρετῇ. σπάνια δ᾽ εἶναι ταῦτα λέγουσι. σχεδὸν γὰρ ἐν μόνῳ τῷ Βαγώου κήπῳ τοῦ παλαιοῦ περὶ Βαβυλῶνα. ἐν Κύπρῳ δὲ ἴδιον τὸ γένος φοινίκων ἐστίν, ὃ οὐ πεπαίνει τὸν καρπόν, ἀλλ᾽ ὠμὸς ὢν ἡδὺς σφόδρα καὶ γλυκύς ἐστι. τὴν δὲ γλυκύτητα ἰδίαν ἔχει. ἔνιοι δ᾽ οὐ μόνον διαφέρουσι τοῖς καρποῖς, ἀλλὰ καὶ αὐτῷ τῷ δένδρῳ. κατὰ δὲ τὸ μῆκος καὶ τὴν ἄλλην μορφήν, οὐ γὰρ μεγάλοι ἢ μακροί, ἀλλὰ βραχεῖς. ἔτι δὲ καὶ πολυκαρπότεροι τῶν ἄλλων. καὶ καρποφοροῦντες εὐθὺς τριετεῖς. πολλοὶ δὲ οὗτοι περὶ Κύπρον. εἰσὶ δὲ καὶ περὶ Συρίαν καὶ περὶ Αἴγυπτον φοίνικες, οἳ φέρουσι τετραετεῖς καὶ πενταετεῖς, ἀνδρομήκεις ὄντες. ἕτερον δὲ τι γένος ἐν Κύπρῳ, ὃ καὶ τὸ φύλλον πλατύτερον ἔχει, καὶ τὸν καρπὸν μείζω πολλῷ καὶ ἰδιόμορφον. μεγέθει μὲν, ἡλίκον ῥοά. τῷ σχήματι δὲ προμήκης. οὐκ εὔχυλος δὲ ὥσπερ ἄλλοι, ἀλλ᾽ ὅμοιος ταῖς ῥίζαις. ὥστε μὴ καταδέχεσθαι, ἀλλὰ διαμασησαμένους ἐκβάλλειν.

ἐκβάλλειν. γίνονται μὲν οὖν ὥσπερ εἴρηται πολλαχοῦ. θησαυρίζεσθαι δὲ μό-
νους δύνασθαί φασι τῶν ἐν συρίᾳ τοὺς ἐν τῷ αὐλῶνι. τοὺς δ' ἐν
αἰγύπτῳ καὶ κύπρῳ καὶ παρὰ τοῖς ἄλλοις χλωροὺς ἀναλίσκε-
σθαι. ἔστι δὲ ὁ φοῖνιξ ὡς μὲν ἁπλῶς εἰπεῖν μονοστέλεχες καὶ μονο-
φυές. οὐ μὴν ἀλλὰ γίνονταί τινες διφυεῖς, ὥσπερ ἐν αἰγύπτῳ κα-
θάπερ δικρόαν ἔχοντες. τὸ δ' ἀνάστημα τοῦ στελέχους ἀφ' οὗ ἡ σχίσις
καὶ πεντάπηχυ. πρὸς ἄλληλα δέ πως ἰσάζοντα. φασὶ δὲ καὶ
τοὺς ἐν κρήτῃ πλείους εἶναι τοὺς διφυεῖς. ἐνίους δὲ καὶ τριφυεῖς. ἐν
δὲ τῇ λαπαίᾳ τινὰ καὶ πεντεκέφαλον. οὐκ ἄλογον δὲ γοῦν ἐν ταῖς
εὐτροφωτέραις χώραις γίνεσθαι πλείω τὰ τοιαῦτα. καὶ τὸ ὅλον
δὲ τὰ εἴδη πλείω καὶ τὰς διαφοράς. ἄλλο δέ τι γένος ἐστίν, ὅ φασι
γίνεσθαι πλεῖστον περὶ τὴν αἰθιοπίαν, ὃ καλοῦσι κύκας. οὗτοι δὲ
θαμνώδεις, οὐχ ἓν τὸ στέλεχος ἔχοντες, ἀλλὰ πλείω καὶ ἐνίοτε συ-
νηρτημένα μέχρι τινός εἰσι. τὰς δὲ ῥάβδους οὐ μακράς, ἀλλ' ὅ-
σον πηχυαίας μὲν ἀλλὰ λείας, ἐπὶ δὲ τῶν ἄκρων τὴν κόμην ἔχου-
σι δὲ καὶ τὸ φύλλον πλατὺ, καὶ ὥσπερ ἐκ δυοῖν συγκείμενον ἐλα-
χίστων. καλοὶ δὲ καὶ τῇ ὄψει φαίνονται. τὸν δὲ καρπὸν καὶ τῷ σχήματι
καὶ τῷ μεγέθει καὶ τῷ χυλῷ διάφορον ἔχουσι. στρογγυλώτερον γὰρ
καὶ μεῖζον καὶ εὐστομώτερον, ἧττον δὲ γλυκύ. πεπαίνουσι δὲ ἐν τρι-
σὶν ἔτεσιν, ὥστε καρπὸν ἔχει ἀεὶ καταλαμβάνοντος τοῦ νέου τὸν
ἔνον. τρίτοις δὲ καὶ ἀρρυσόζουσιν αὐτῶν. περὶ μὲν οὖν τούτων ἐπισκεπτέον.
οἱ δὲ χαμαιριφεῖς καλούμενοι τῶν φοινίκων, ἕτερόν τι γένος ἐστίν,
ὥσπερ ὁμώνυμον. καὶ γὰρ ἐξαιρεθέντος τοῦ ἐγκεφάλου, ζῶσι.
καὶ κοπέντες ἀπὸ τῶν ῥιζῶν παραβλαστάνουσι. διαφέρουσι δὲ
καὶ τῷ καρπῷ καὶ τοῖς φύλλοις. πλατὺ γὰρ καὶ μαλακὸν ἔχου-
σι τὸ φύλλον. διὸ καὶ πλέκουσιν ἐξ αὐτοῦ τάς τε σπυρίδας καὶ
τοὺς φορμούς. πολλοὶ δὲ καὶ ἐν τῇ κρήτῃ γίνονται, καὶ ἔτι μᾶλλον
ἐν σικελίᾳ. ταῦτα μὲν οὖν ἐπὶ πλεῖον εἴρηται τῆς ὑποθέσεως.
ἐν δὲ ταῖς τῶν ἄλλων φυτείαις τἀνάπαλιν τίθενται τὰ φυτευ-
τήρια, καθάπερ τῶν κλημάτων. οἱ μὲν οὐθὲν διαφέρειν

φασίν. ἥκιστα δὲ ἐπὶ τῶν ἀμπέλων. ἔνιοι δὲ ῥοάδας γίνεσθαι καὶ
σκιάζειν μᾶλλον τὸν καρπόν. ἔτι δ᾽ ἧττον ἀποβάλλειν, τοὺς
κοτίνους. συμβαίνειν δὲ τοῦτό φασι καὶ ἐπὶ τῆς συκῆς. οὐ γὰρ
ἀποβάλλειν ἀνάπαλιν φυτευθεῖσαν. ἔτι δ᾽ ἀβαροτέραν γί-
νεσθαι. οὐκ ἀποβάλλειν δὲ, οὐδ᾽ ἐάν τις ἀποκλάσῃ φυομένης
εὐθὺς τὸν καρπόν. αἱ μὲν οὖν φυτεῖαι καὶ γενέσεις ὃν τρό-
πον ἔχουσι, σχεδὸν ὡς τύπῳ περιλαβεῖν, εἴρηται. περὶ δὲ τῆς ἐρ-
γασίας καὶ τῆς θεραπείας, τὰ μὲν ἐστὶ κοινά. τὰ δὲ ἴδια καθ᾽ ἕ-
καστον. κοινὰ μὲν, ἥ τε σκαπάνη καὶ ἡ ὑδρεία καὶ ἡ κόπρω-
σις. ἔτι δὲ ἡ διακάθαρσις καὶ ἡ ἀφαίρεσις τῶν αὔων. διαφέ-
ρουσι δὲ τῷ μᾶλλον καὶ ἧττον. τὰ μὲν φίλυδρα καὶ φιλό-
κοπρα, τὰ δ᾽ οὐχ ὁμοίως. οἷον, ἡ κυπάριττος ὥσπερ οὐ φιλό-
κοπρον οὐδὲ φίλυδρον, ἀλλὰ καὶ ἀπόλλυσθαί φασιν, ἐ-
άν γε νέαν οὖσαν ἐφυδρεύωσι πολλῷ. ῥοὰ δὲ καὶ ἄμπελος φί-
λυδρα. συκῆ δὲ, ἀβλαστοτέρα μὲν, ὑδρευομένη. τὸν δὲ καρ-
πὸν ἴσχει χείρονα. πλὴν τῆς λακωνικῆς. αὕτη δὲ φίλυδρος.
διακαθαίρεσθαι δὲ πάντα ζητεῖ. βέλτιω μὲν τῶν αὔων ἀφαι-
ρουμένων ὥσπερ ἀλλοτρίων, ἃ καὶ τὰς αὐξήσεις καὶ τὰς
τροφὰς ἐμποδίζει. διὸ καὶ ὅταν ᾖ γεράνδριον, ὅλως κόπτου-
σιν. ἡ γὰρ βλάστησις νέα γίνεται τοῦ δένδρου. πλείστης δὲ διακα-
θάρσεως φησὶν Ἀνδροτίων δεῖσθαι, μύρρινον καὶ ἐλαίαν. ὅσῳ
γὰρ ἂν ἐλάττω καταλίπῃς, ἄμεινον βλαστήσει, καὶ τὸν καρ-
πὸν οἴσει πλείω. πλὴν ἀμπέλου δηλονότι. ταύτης γὰρ ἀνα-
γκαιότερον καὶ πρὸς βλάστησιν καὶ πρὸς εὐκαρπίαν. ἁπλῶς
δὲ καὶ ταύτην τὴν ἄλλην θεραπείαν πρὸς τὴν ἰδίαν φύσιν ἑ-
κάστῳ ποιητέον. δεῖσθαι δέ φησιν Ἀνδροτίων καὶ κόπρου δριμυτά-
της, καὶ πλείστης ὑδρείας, ὥσπερ καὶ τῆς διακαθάρσεως ἐλαί-
αν καὶ μύρρινον, καὶ ῥοάν. οὐ γὰρ ἔχειν μήτραν οὐδὲ νόσημα,
κατὰ γῆς οὐδέν. ἀλλ᾽ ἐπειδὰν παλαιὸν ᾖ τὸ δένδρον, ἀποτέ-
μνειν δεῖ τοὺς ἀκρέμονας. ἔπειτα τὸ στέλεχος θεραπεύειν ὥσπερ ἂν ἐξ

ἀρχῆς

ἀρχῆς φυτευθέν. οἱ δέ φασι πολυχρονιώτατον καὶ ἰσχυρότατον μύρρινον εἶναι καὶ ἐλάαν. ταῦτα μὲν οὖν ἐπισκέψαιτ' ἄν τις εἰ καὶ μὴ πάντα, ἀλλὰ περί γε τὰς μήτρας. ἡ δὲ κόπρος οὔτε πᾶσιν ὁμοίως, οὔθ' ἡ αὐτὴ πᾶσιν ἁρμόττει. τὰ μὲν γὰρ, δριμείας δεῖται, τὰ δ' ἧττον. τὰ δὲ, παντελῶς κούφης. δριμυτάτη δὲ, ἡ τῶν ἀνθρώπων. καθάπερ καὶ Χαρτόδρας. ἀρίστην μὲν οἶμαι ταύτην φασί. δευτέραν δὲ, τὴν ὕειον. τρίτην δὲ, αἰγός. τετάρτην δὲ, προβάτου. πέμπτην δὲ, βοός. ἕκτην δὲ, ὄνων. ἡ δὲ συρματῖτις ἄλλη καὶ ἄλλως. ἡ μὲν γὰρ, ἀσθενεστέρα ταύτης. ἡ δὲ κρείττων. τὴν δὲ σκαπάνην πᾶσιν οἴονται συμφέρειν, ὥσπερ καὶ τὴν ὄσκαλσιν τοῖς ἐλάττοσιν. εὐτραφέστερα γὰρ γίνεσθαι. ξέφεις δὲ δοκεῖ καὶ ὁ κονιορτὸς ἐνίοις καὶ θάλλειν ποιεῖν. οἷον, τὸν βότρυν. διὸ καὶ ὑποκονιοῦσι πολλάκις. οἱ δὲ, καὶ τὰς συκᾶς ὑποσκάπτουσιν ἔνθα τούτου μὲν χρεῖ. οἱ δὲ καὶ τοὺς συκίους, καὶ τὰς κολοκύντας. ὅταν, οἱ ἐτησίαι πνεύσωσι, σκάλλοντες κονιορτοῦσι. καὶ οὕτω γλυκυτέρους καὶ ἁπαλωτέρους ποιοῦσιν, οὐχ ὑδρεύοντες. τοῦτο μὲν οὖν ὁμολογούμενον. τὴν δ' ἄμπελον οὔ φασι δεῖν ἢ ὑποκονιεῖν, ἢ ὅλως ἅπτεσθαι περκάζοντος τοῦ βότρυος. ἀλλ' εἴπερ, ὅταν ἀπομελανθῇ. οἱ δὲ, τὸ ὅλον μὴ δὲ τότε, πλὴν ὅσον ὑποτίλαι τὴν βοτάνην. ὑπὲρ μὲν τούτων ἀμφισβητοῦσιν. ἐὰν δέ τι μὴ φέρῃ καρπὸν, ἀλλ' εἰς βλάστησιν τρέπηται, σχίζουσι τοὺς στελέχους τὸ κατὰ γῆν, καὶ λίθον ἐντιθέασιν ὅπως ἂν ῥαγῇ, καί φασι φέρειν. ὁμοίως δὲ καὶ ἐάν τις τῶν ῥιζῶν τινα περιτέμνῃ. διὸ καὶ τῶν ἀμπέλων τοῦτο ποιοῦσιν ὅταν ξυγῶσι τὰς ἐπιπολῆς. τῶν δὲ συκῶν πρὸς τῷ περιτέμνειν τέφραν περιπλάττουσι καὶ καταχοῦσι τὰ στελέχη. καί φασι φέρειν μᾶλλον. ἀμυγδαλῆ δὲ καὶ πάτταλον ἐγκόψαντες σιδηροῦν. ὅταν τετράνωσιν ἄλλον ἀντεμβάλλουσι δρύινον. καὶ τῇ γῇ κρύπτουσιν. ὃ καλοῦσί τινες κολάζειν. ὡς ὑβρίζον τὸ δένδρον. ταὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῆς ἀπίου καὶ

ἐπ' ἄλλων τινὲς ποιοῦσιν. ἐν ἀρκαδίᾳ δὲ καὶ τὴν ἀθύνην κα-
λοῦσι ζημίαν. πολὺ γὰρ τὸ δένδρον τοῦτο παρ' αὐτοῖς. καί φασιν
ὅταν πάθῃ τοῦτο καὶ τὰς μὲν μὴ φερούσας φέρειν τὰς δὲ
μὴ πεττούσας εἰς πέττειν καλῶς. ἀμυγδάλην δὲ καὶ ἐκ πικρᾶς
γίνεσθαι γλυκεῖαν, ἐάν τις περιορύξας τὸ στέλεχος, καὶ τιτρά-
νας ὅσον παλαιστιαῖον, πανταχόθεν τὸ ἀπορρέον δάκρυον, ἐ-
πὶ ταὐτὸ ἐᾷ καταρρεῖν. τοῦτο μὲν ἂν εἴη πρός τε τὸ φέρειν ἅ-
μα καὶ πρὸς τὸ εὐκαρπεῖν. ἀποβάλλει δὲ πρὸ τοῦ πέμψαι τὸν
καρπὸν ἀμυγδαλῆ. μηλέα. ῥόα. ἄπιος. καὶ μάλιστα δὴ
πάντων συκῆ καὶ φοῖνιξ. πρὸς ἃ καὶ τὰς βοηθείας ζητοῦσιν. ὅ-
θεν καὶ ὁ ἐρινασμός. ἐκ γὰρ τῶν ἐκεῖ κρεμαννυμένων, ψῆνες
ἐκδυόμενοι, κατεσθίουσι καὶ πιαίνουσι τὰς κορυφάς. δια-
φέρουσι δὲ καὶ χῶραι πρὸς τὰς ἀποβολάς. περὶ γὰρ ἰτα-
λίαν οὔ φασιν ἀποβάλλειν. διὸ οὐδ' ἐρινοῦσιν. οὐδ' ἐν τοῖς
κατὰ βορείοις καὶ λεπτογέοις. οἷον, ἐπὶ φαλύκῳ τῆς μεγα-
ρίδος. οὐδὲ τῆς κορινθίας ἔν τισι τόποις. ὡσαύτως δὲ καὶ
ἡ τῶν πνευμάτων κατάστασις. βορείοις γὰρ μᾶλλον ἢ νοτί-
οις ἀποβάλλουσι κἂν ψυχρότερα καὶ πλείων γίνηται μᾶλ
λον. ἔτι δ' αὐτῶν τῶν δένδρων ἡ φύσις. τὰ πρῶτα γὰρ ἀπο-
βάλλει. τὰ δ' ὄψια, οὐκ ἐκβάλλει. καθάπερ ἡ λακωνικὴ. καὶ αἱ
ἄλλαι. διὸ καὶ οὐκ ἐρινάζουσι ταύτας. ταῦτα μὲν οὖν ἔν τε τοῖς
τόποις καὶ τοῖς γένεσι καὶ τῇ καταστάσει τοῦ ἀέρος ἔχει τὰς δια-
φοράς. οἱ δὲ ψῆνες, ἐκδύονται μὲν ἐκ τοῦ ἐρινεοῦ καθάπερ
εἴρηται. γίνονται δὲ ἐκ τῶν κεγχραμίδων. σημεῖον δὲ λέγουσιν, ὅ-
τι ἐπειδὰν ἐκδύωσιν, οὐκ ἔνεισι κεγχραμίδες. ἐκδύονται δ' οἱ
πολλοὶ ἐγκαταλείποντες, ἢ πόδα ἢ πτερόν. γένος δέ τι καὶ ἕτερόν
ἐστι τῶν ψηνῶν, ὃ καλοῦσι κεντίνας. οὗτοι δ' ἀργοὶ καθάπερ κη-
φῆνες. καὶ τοὺς εἰσδυομένους τῶν ἑτέρων κτείνουσιν. αὐτοὶ
δὲ ἐναποθνήσκουσιν. ἐπαινοῦσι δὲ μάλιστα τῶν ἐρινεῶν τὰ
μέλανα, τὰ ἐκ τῶν πετρωδῶν χωρίων. πολλὰς γὰρ ἔχει

ταῦτα

ταῦτα κεγχραμίδας. γινώσκεται δὲ τὸ ἐρινασμένον τῷ
ἐρυθρὸν εἶναι καὶ ποικίλον καὶ ἰσχυρόν. τὸ δ' ἀνερίναστον λευ-
κὸν καὶ ἀσθενές. προστιθέασι δὲ τοῖς δεομένοις ὅταν ὕσῃ.
ὅπου δὲ πλεῖστος κονιορτός, ἐνταῦθα πλεῖστα καὶ ἰσχυρότατα
γίνεται τὰ ἐρινά. φασὶ δὲ ἐρινάζειν καὶ τὸ πόλιον, ὁπόταν
αἰγέπυρος ᾖ πολύς, καὶ τὴν τῆς πτελέας κύπειν. ἐγγίνεται
γὰρ καὶ ἐν τούτοις θηρίδι' ἄττα κνίπες. οἳ ὅταν ἐν τοῖς συκαῖς γί-
νωνται, κατεσθίουσι τοὺς ψῆνας. ἄκος δὲ τούτου φασὶν εἶναι,
τοὺς καρκίνους προσπήγουσιν. πρὸς γὰρ τούτοις τρέπεσθαι
τοὺς κνῖπας. ἀλλὰ γὰρ δὴ ταῖς μὲν συκαῖς αὗται βοήθειαι.
τοῖς δὲ φοίνιξιν οἱ ἀπὸ τῶν ἀρρένων πρὸς τοὺς θήλεις. οὗ-
τοι γάρ εἰσιν οἱ ἐπιμένειν ποιοῦντες καὶ ἐκπέττειν. ὃ καλοῦ-
σί τινες ἐκ τῆς ὁμοιότητος ὀλυνθάζειν. γίνεται δὲ τόνδε
τὸν τρόπον, ὅταν ἀνθῇ τὸ ἄρρεν, ἀποτιμόντες τὴν σπάθην
ἀφ' ἧς τὸ ἄνθος, εὐθὺς ὥσπερ ἔχει, τόν τε χνοῦν καὶ τὸ ἄνθος καὶ
τὸν κονιορτὸν κατασείουσι κατὰ τοῦ καρποῦ τῆς θηλείας.
κἂν τοῦτο πάθῃ, διατηρεῖ καὶ οὐκ ἀποβάλλει. φαί-
νεται δ' ἀμφοῖν ἀπὸ τοῦ ἄρρενος τοῖς θή-
λεσι βοήθεια γίνεσθαι. θῆλυ γὰρ καλοῦ-
σι τὸ καρποφόρον. ἀλλ' ἡ μὲν
οἷον μίξις. ἡ δὲ κα-
τ' ἄλλον
τρόπον.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ ΤΟ Γ'.

Ἐπεὶ δὲ περὶ τῶν ἡμέρων δένδρων εἴρηται, λεκτέον ὁμοίως καὶ περὶ τῶν ἀγρίων, εἴ τέ τι ταυτὸν καὶ ἕτερον ἔχουσι τοῖς ἡμέροις, εἴθ' ὅλως ἴδιον τῆς φύσεως. αἱ μὲν οὖν γενέσεις ἁπλαῖ τινες αὐτῶν εἰσι. πάντα γὰρ ἀπὸ σπέρματος ἢ ἀπὸ ῥίζης φύεται. τοῦτο δὲ οὐχ ὡς οὐκ ἐνδεχόμενον καὶ ἄλλως. ἀλλ' ἴσως διὰ τὸ μὴ πειρᾶσθαι μηδένα μηδὲ φυτεύειν. ἐπιφύοιτο δ' ἂν εἰ λαμβάνοιεν τόπους ἐπιτηδείους, καὶ θεραπείαν ἁρμόττουσαν, ὥσπερ καὶ νῦν τὰ ἀλσώδη. καὶ φίλυδρα. λέγω δ' οἷον πλάτανον, ἰτέαν, λεύκην, αἴγειρον, πτελέαν. ἅπαντα γὰρ ταῦτα καὶ τὰ τοιαῦτα φυτευόμενα βλαστάνει καὶ τάχιστα καὶ κάλλιστα ἀπὸ τῶν παρασπάδων. καὶ ὥστε μεγάλας οὔσας ἤδη καὶ ἰσοδένδρους αὖθις μεταθεῖναι διαμένειν. φυλῶν· ἐπειδὴ τὰ πολλὰ αὐτῶν καὶ κατασπειρόμενα. καθάπερ ἡ λεύκη καὶ ἡ αἴγειρος. τούτων μὲν οὖν πρὸς τῇ σπερματικῇ καὶ τῇ ἀπὸ τῶν ῥιζῶν καὶ αὕτη γένεσίς ἐστι. τῶν δὲ ἄλλων ἐκεῖναι. πλὴν ὅσα μόνον ἀπὸ σπέρματος φύεται, καθάπερ ἐλάτη, πεύκη, πίτυς. ὅσα δὲ ἔχει σπέρμα καὶ καρπὸν, καὶ ἀπὸ ῥίζης γίνεται, καὶ ἀπὸ τούτων. ἐπεὶ καὶ τὰ δοκοῦντα ἄκαρπα εἶναι, γεννᾶν φασιν. οἷον πτελέαν, ἰτέαν. σημεῖον δὲ λέγουσιν, οὐ μόνον, ὅτι φυτεύεται πολλὰ τῶν ῥιζῶν ἀπηρτημένα, καθ' οὓς ἂν ᾖ τόπους. ἀλλὰ καὶ τὰ συμβαίνοντα θεωροῦντες. οἷον ἐν Φενεῷ τῆς Ἀρκαδίας, ὥσπερ ἐξερράγη τὸ συναθροισθὲν ὕδωρ ἐν τῷ πεδίῳ. φραχθέντων τῶν βερέθρων. ὅπου μὲν ἐγγὺς ἦσαν ἰτέαι πεφυκέναι τε καταρθέντος

τόπου

τόπου· τῷ ὑστέρῳ ἔτει μετὰ τὴν ἀναξήρανσιν ἐνταῦθα αὖθις ἀναφῦναι φασὶν ἰτέαν· ὅπου δὲ πτελέα, αὖθις πτελέας, καθάπερ καὶ ὅπου πεῦκαι καὶ ἐλάται· πεύκας καὶ ἐλάτας· ὥσπερ μιμουμένων κἀκείνων· ἀλλὰ τὴν ἰτέαν ταχὺ προκαταβάλλειν πρὸ τοῦ τελέως ἀδρῦναι καὶ πέψαι τὸν καρπόν· διὸ καὶ τὸν ποιητὴν οὐ κακῶς προσαγορεύειν αὐτὴν ὠλεσίκαρπον. τῆς δὲ πτελέας κἀκείνης μεῖζον ἀπολαμβάνουσιν· ὅταν γὰρ ὑπὸ τῶν εἰς τοὺς ἐχομένους τόπους ὁ καρπὸς ἀπενεχθῇ· φύεσθαί φασι· παραπλήσιον δὲ ἔοικεν εἶναι τὸ συμβαῖνον· ὃ καὶ ἐπὶ τῶν φρυγανικῶν καὶ ποωδῶν τινῶν ἐστιν· οὐκ ἐχόντων γὰρ σπέρμα φανερόν, ἀλλὰ τῶν μέν, οἷον χνοῦν, τῶν δὲ ἄνθος, ὥσπερ τὸ θύμον· ὅμως ἀπὸ τούτων βλαστάνουσιν· ἐπεὶ ἥ γε πλάτανος ἔχει φανερῶς· καὶ ἀπὸ τούτων φύεται. τοῦτο δὲ ἐξ ἄλλων τε δῆλον· κἀκεῖνο μέγιστον σημεῖον· ὤφθη γὰρ ἤδη ποτὲ πεφυκυῖα πλάτανος ἐν ξίποδι χαλκῷ· ταύτας τε δὴ τὰς γενέσεις ὑποληπτέον εἶναι τῶν ἀγρίων· καὶ ἔτι τὰς αὐτομάτους· ἃς καὶ οἱ φυσιολόγοι λέγουσιν· Ἀναξαγόρας μὲν τὸν ἀέρα, πάντων φάσκων ἔχειν σπέρματα· καὶ ταῦτα συγκαταφερόμενα τῷ ὕδατι γεννᾶν τὰ φυτά. Διογένης δέ, σηπομένου τοῦ ὕδατος καὶ μῖξιν τινὰ λαμβάνοντος πρὸς τὴν γῆν. Κλείδημος δὲ συνεστάναι μὲν ἐκ τῶν αὐτῶν τοῖς ζώοις· ὅσῳ δὲ θολερωτέρων καὶ ψυχροτέρων· τοσοῦτον ἀπέχειν τοῦ ζῷα εἶναι· λέγουσι δέ τινες καὶ ἄλλοι περὶ τῆς γενέσεως· ἀλλ᾽ αὕτη μὲν ἀπηρτημένη πως ἐστὶ τῆς αἰσθήσεως. ἄλλαι δὲ ὁμολογούμεναι καὶ ἐμφανεῖς· οἷον ὅταν ἔφοδοι γίνωνται ποταμοῦ παρεκβάντος τὸ ῥεῖθρον· ἢ καὶ ὅλως ἑτέρωθι ποιησαμένου, καθάπερ ὁ Νέσσος ἐν τῇ Αὐδηρίτιδι πολλάκις μεταβαίνει· καὶ ἅμα τῇ μεταβάσει τοσαύτην ὕλην συνιστᾷ τοῖς τόποις ὥστε τῷ τρίτῳ ἔτει συνηρεφεῖν· καὶ πάλιν ὅταν ἐπομβρίαι κατάσχωσι πλείονα χρόνον· καὶ γὰρ ἐν ταύταις βλαστήσεις γίνονται φυτῶν· ἔοικε δ᾽ ἡ μὲν τῶν ποταμῶν ἔφοδος ἐπάγειν σπέρματα καὶ καρπούς· καὶ τοὺς ὀχετούς φασι τὴν

τῶν ποωδῶν, ἡ δὲ ἐπομβρία τοῦ ταὐτὸ ἐποίει· συγκαταφέρει γὰρ πολλὰ τῶν σπερμάτων, καὶ ἅμα σῆψίν τινα τῆς γῆς καὶ τοῦ ὕδατος· ἐπεὶ καὶ ἡ μίξις αὐτὴ τῆς αἰγυπτίας γῆς δοκεῖ τινα γεννᾶν ὕλην· ἐνιαχοῦ δὲ ἂν μόνον ὑπεργάσωνται καὶ κινήσωσιν, εὐθὺς ἀναβλαστάνει τὰ οἰκεῖα τῆς χώρας· ὥσπερ ἐν κρήτῃ κυπάριττοι. γίνεται δὲ παραπλήσιόν τι τούτῳ καὶ τοῖς ἐλάττοσιν· ἅμα γὰρ κινουμένοις ἀναβλαστάνει πόα τις ἐν ἑκάστοις· ἐν δὲ τοῖς ἐπομβρίοις ἐὰν ὑπομείνῃ, φαίνεσθαί φασι τρίβολον. αὗται μὲν οὖν ἐν τῇ μεταβολῇ τῆς χώρας εἰσίν, εἴτε καὶ ὑπαρχόντων σπερμάτων, εἴτε καὶ αὐτῆς πως διατιθεμένης· ὅπερ ἴσως οὐκ ἄτοπον, ἐγκατακλειομένων ἅμα τῷ ὑγρῷ· ἐνιαχοῦ δὲ καὶ ὑδάτων ἐπιγενομένων, ἰδιώτερον ἀνατεῖλαι ὕλης πλῆθος· ὥσπερ ἐν κυρήνῃ πιττώδους τινὸς γενομένου καὶ παχέος· οὕτω γὰρ ἀνεβλάστησεν ἡ πλησίον ὕλη πρότερον οὐκ οὖσα· φασὶ δὲ καὶ τὸ σίλφιον οὐκ ὂν πρότερον, ἐκ τοιαύτης τινὸς αἰτίας φανῆναι. τρόποι μὲν οὖν τοσοῦτοι τῶν τοιούτων γενέσεων. πάντα δὲ κάρπιμα ἢ ἄκαρπα· καὶ ἄφυλλα ἢ φυλλοβόλα· καὶ ἀνθοῦντα ἢ ἀνανθῆ· κοιναὶ γάρ τινες διαιρέσεις ἐπὶ πάντων εἰσὶν ὁμοίως ἡμέρων τε καὶ ἀγρίων. ἴδια δὲ πρὸς τὰ ἥμερα τῶν ἀγρίων ὀψικαρπία τε καὶ ἰσχὺς, καὶ πολυκαρπία τῷ προφαίνειν· πεπαίνει τε γὰρ ὀψιαίτερον, καὶ τὸ ὅλον ἀνθεῖ, καὶ βλαστάνει ὡς ἐπὶ τὸ πᾶν, καὶ ἰσχυρότερα τῇ φύσει· καὶ προφαίνει μὲν πλείω καρπὸν, ἐκπέττει δ' ἧττον· εἰ μὴ καὶ πάντα τὰ ἄλλα καὶ τὰ ὁμογενῆ· οἷον, ἐλαίας καὶ ἀπίου, κότινος καὶ ἀχράς· ἅπαντα γὰρ οὕτως, πλὴν εἴ τι σπάνιον, ὥσπερ ἐπὶ τῶν κρανίων καὶ τῶν οὔων· ταῦτα γάρ φασι πεπαίτερα καὶ ἡδύτερα τὰ ἄγρια τῶν ἡμέρων εἶναι· καὶ εἰ δή τι ἄλλο μὴ προσδέχεται γεωργίας, ἢ δένδρον, ἢ καί τι τῶν ἐλαττόνων· οἷον τὸ σίλφιον· καὶ ἡ κάππαρις· καὶ τῶν χεδροπῶν ὁ θέρμος· ἃ καὶ μάλιστ' ἄν τις ἀγρία τὴν φύσιν εἴποι. τὸ γὰρ μὴ προσδεχόμενον ἡμερώσεως, ὥσπερ ἐν τοῖς ζώοις, τοῦτο ἄγριον τῇ φύσει· καίτοι φησὶν

ἵππων

ἴσως, ἅπαν καὶ ἄγριον καὶ ἥμερον εἶναι· τὸ θεραπευόμενον μὲν, ἥμερον· μὴ θεραπευόμενον δὲ, ἄγριον· τῇ μὲν, ὀρθῶς λέγων, τῇ δὲ, οὐκ ὀρθῶς· ἐξαμελούμενον μὲν γὰρ ἅπαν, χεῖρον γίνεται καὶ ἀπαγριοῦται· θεραπευόμενον δὲ, οὐχ ἅπαν βέλτιον ὥσπερ εἴρηται· διὸ δὴ χωριστέον· καὶ τὰ μὲν, ἄγρια· τὰ δ᾽ ἥμερα λεκτέον· ὥσπερ τῶν ζώων τὰ συνανθρωπευόμενα· καὶ τὰ δεχόμενα τιθασείαν· ἀλλὰ τοῦτο μὲν οὐδὲν ἴσως διαφέρει ποτέρως ῥητέον· ἅπαν δὲ τὸ ἐξαγριούμενον, τοῖς τε καρποῖς χεῖρον γίνεται, καὶ αὐτὸ βραχύτερον, καὶ φύλλοις, καὶ κλωσί, καὶ φλοιῷ· καὶ τῇ ὅλῃ μορφῇ· καὶ γὰρ πυκνότερα καὶ ὀρθότερα καὶ σκληρότερα καὶ ταῦτα καὶ ὅλη ἡ φύσις γίνεται, ὡς ἐν τούτοις μάλιστα τῆς διαφορᾶς τῶν ἡμέρων καὶ τῶν ἀγρίων γινομένης· διὸ καὶ ὅσα τῶν ἡμέρων τοιαῦτα τυγχάνει, ταῦτα ἄγρια φασὶν εἶναι· καθάπερ τὴν πεύκην, καὶ τὴν κυπάριττον· ἢ ὅλως ἢ τὰ ἄρρενα· καὶ τὴν καρύαν δὲ, καὶ τὴν διὸς βάλανον· ἔτι δὲ τῷ φιλόψυχρα καὶ ὀρεινὰ μᾶλλον εἶναι· καὶ γὰρ τοῦτο λαμβάνεται πρὸς τὴν ἀγριότητα τῶν δένδρων, καὶ ὅλως τῶν φυτῶν· εἴτ᾽ οὖν καθ᾽ αὑτὸ λαμβανόμενον, εἴτε κατὰ συμβεβηκός· ὁ μὲν τῶν ἀγρίων ἀφορισμὸς εἴθ᾽ οὕτως εἴτε καὶ ἄλλως ληπτέον, οὐδὲν ἂν ἴσως διενέγκῃ πρὸς τὰ νῦν· ἐκεῖνο δὲ ἀληθὲς ὡς ἐν τύπῳ καὶ ἁπλῶς εἰπεῖν, ὅτι μᾶλλον ὀρεινὰ τὰ ἄγρια, καὶ εὐθηνεῖ τὰ πλείω μᾶλλον ἐν τούτοις τοῖς τόποις· ἐὰν μή τις λαμβάνῃ τὰ φίλυδρα καὶ παραποτάμια, καὶ ἀλσώδη· ταῦτα γὰρ καὶ τὰ τοιαῦτα τυγχάνει πεδεινὰ μᾶλλον· οὐ μὴν ἀλλ᾽ ἔν γε τοῖς μεγάλοις ὄρεσιν· οἷον Παρνασῷ τε καὶ Κυλλήνῃ· καὶ Ὀλύμπῳ τῷ Πιερικῷ τε καὶ τῷ Μυσίῳ, καὶ εἴ που τοιοῦτον ἕτερον· ἅπαντα φύεται, διὰ τὴν πολυειδίαν τῶν τόπων· ἔχουσι γὰρ λιμνώδεις, καὶ ἐνύγρους, καὶ ξηρούς, καὶ γεώδεις· καὶ πετρώδεις· καὶ τοὺς ἀνὰ μέσον λειμῶνας· καὶ σχεδὸν ὅσαι διαφοραὶ τῆς γῆς· ἔτι δὲ τοὺς μὲν, κοίλους καὶ εὐδεινούς· τοὺς δὲ, μετεώρους· καὶ προσηνέμους· ὥστε δύνασθαι παντοῖα καὶ τὰ ἐν τοῖς πεδίοις φέρειν· οὐδὲν δ᾽ ἄτοπον οὐδ᾽ εἰ ἔνια μὴ

οὕτω πάμφορα τῶν ὀρῶν· ἀλλ' ἰδιωτέρας τινὸς ὕλης ἢ πάσης ἢ τῆς πλείστης· οἷον τὰ ἐν κρήτῃ τῇ ἰδαίᾳ· κυπάριττος γὰρ ἐκεῖ· καὶ τὰ περὶ κιλικίαν καὶ συρίαν, ἐν οἷς κέδρος· ἐνιαχοῦ δὲ τῆς συρίας τέρμινθος· αἱ γὰρ διαφοραὶ τῶν χώρας τὴν ἰδιότητα ποιοῦσιν· ἀλλ' εἴρηται τὸ ἴδιον ὡς ἐπίπαν· ἴδια δέ τινα δένδρα τῶν ὀρεινῶν, ἃ ἐν τοῖς πεδίοις οὐ φύεται· περί τε μακεδονίαν, ἐλάτη· πεύκη· πίτυς ἀγρία· φίλυρα· ζυγία· πυγός· πύξος· ἀνδράχνη· μίλος· ἄρκευθος· τέρμινθος ἐρινεός· φιλύκη· ἀφάρκη· καρύα· διὸς βάλανος· πρῖνος· τὰ δὲ, καὶ ἐν τοῖς πεδίοις· μυρίκη· πτελέα· λεύκη· ἰτέα· αἴγειρος· κρανεία· θηλυκρανεία· κλήθρα· δρῦς· λακάθη· ἄχρας· μηλέα· ὀστρύα· κήλαστρον· μελία· παλίουρος· ὀξυάκανθα· ἄκανθος· ἣν ἐν μὲν τῷ ὄρει πεφυκυῖαν ζυγίαν καλοῦσιν· ἐν δὲ τῷ πεδίῳ, γλεῖνον· οἱ δὲ διαιροῦσι, καὶ ἕτερον ποιοῦσιν εἶδος σφενδάμνου καὶ ζυγίας. ἅπαντα δὲ ὅσα κοινὰ τῶν ὀρῶν καὶ τῶν πεδίων, μείζω μὲν καὶ καλλίω τῇ ὄψει τὰ ἐν τοῖς πεδίοις γίνεται· κρείττω δὲ τῇ τε τῶν ξύλων καὶ τῶν καρπῶν, τὰ ὀρεινά· πλὴν ἀχράδος· καὶ ἀπίου· καὶ μηλέας· αὗται δ' ἐν τοῖς πεδινοῖς κρείττους· οὐ μόνον ἐν τοῖς καρποῖς ἀλλὰ καὶ τοῖς ξύλοις· ἐν γὰρ τοῖς ὄρεσι μικραί, ὀζώδεις, καὶ ἀκανθώδεις γίνονται· πάντα δὲ καὶ ἐν τοῖς ὄρεσιν ὅταν ἐπιλάβωνται τῶν οἰκείων τόπων, καὶ καλλίω φύεται καὶ εὐθηνεῖ μᾶλλον· ὡς δὲ ἁπλῶς εἰπεῖν τὰ ἐν τοῖς ὁμαλέσι τῶν ὀρῶν καὶ μάλιστα· τῶν δὲ ἄλλων τὰ ἐν τοῖς κάτω καὶ κοίλοις· τὰ δὲ ἐπὶ τῶν ἄκρων, χείριστα· πλὴν εἴ τι τῇ φύσει φιλόψυχον· ἔχει δὲ καὶ ταῦτα αὐτῶν διαφορὰν ἐν τοῖς ἀνομοίοις τῶν τόπων· ὑπὲρ οὗ ὕστερον λεκτέον· νῦν δὲ διαιρετέον ἕκαστα κατὰ τὰς διαφορὰς τὰς εἰρημένας· ἀείφυλλα μὲν οὖν ἐστι τῶν ἀγρίων, ἃ πρότερον ἐλέχθη· πεύκη· πίτυς ἀγρία· πύξος· ἀνδράχνη· μίλος· ἄρκευθος· τέρμινθος· φιλύκη· ἀφάρκη· δάφνη· φελλόδρυς· κήλαστρον· ὀξυάκανθος· πρῖνος· μυρίκη· τὰ δὲ ἄλλα πάν-

τα φυλλοβολεῖ· ἀλλ᾽ ἔτι περὶ τόπον ἐνιαχοῦ, καθάπερ ἐλέχθη
περὶ τῆς ἐν κρήτῃ πλατάνου καὶ δρυός, καὶ εἴ που τόπος τις ὅ-
λως εὔζοφος· κάρπιμα δὲ, τὰ μὲν ἄλλα πάντα· περὶ δὲ ἰτέ-
ας, καὶ αἰγείρου, καὶ πτελέας, ὥσπερ ἐλέχθη διαμφισβητοῦσιν·
ἔνιοι τὴν αἴγειρον μόνην ἀκαρπεῖν φασιν· ὥσπερ καὶ οἱ ἐν ἀρκα-
δίᾳ· τὰ δὲ ἄλλα πάντα τὰ ἐν τοῖς ὄρεσι καρποφορεῖν· ἐν κρήτῃ δὲ
καὶ αἴγειροι κάρπιμοι πλείους εἰσί· μία μὲν ἐν τῷ στομίῳ τοῦ ἄν-
τρου ἐν τῇ ἴδῃ, ἐν ᾧ τὰ ἀναθήματα ἀνάκειται· ἄλλη δὲ μικρὰ πλη-
σίον· ἀπωτέρω δὲ μάλιστα δώδεκα σταδίους περί τινα κρή-
νην σαύρου καλουμένην πολλαί· εἰσὶ δὲ καὶ ἐν τῷ πλησίον ὄρει τῆς ἴ-
δης ἐν τῷ κεδρίῳ καλουμένῳ· καὶ περὶ πρασίαν δὲ ἐν τοῖς ὄρεσιν· οἱ δὲ
μόνην τῶν τοιούτων τὴν πτελέαν κάρπιμον εἶναι φασι· καθάπερ
οἱ περὶ μακεδονίαν· μεγάλη δὲ διαφορὰ πρὸς καρπὸν καὶ ἀκαρ-
πίαν καὶ ἡ τῶν τόπων φύσις· ὥσπερ ἐπί τε τῆς περσίας ἔχει καὶ τῶν
φοινίκων· ἡ μὲν ἐν αἰγύπτῳ καρποφορεῖ καὶ εἴ που τῶν πλησίων τό-
πων· ἐν ῥόδῳ δὲ μέχρι τοῦ ἀνθεῖν μόνον ἀφικνεῖται· ὁ δὲ φοῖνιξ πε-
ρὶ μὲν βαβυλῶνα θαυμαστός· ἐν τῇ ἑλλάδι δὲ, οὐδὲ πεπαίνει· παρ᾽ ἐ-
νίοις δὲ ὅλως οὐδὲ προφαίνει καρπόν· ὁμοίως δὲ καὶ ἕτερα πλείω
τοιαῦτ᾽ ἐστίν· ἐπεὶ δὲ καὶ τῶν ἐλαττόνων φρυγάνων καὶ ὑλημάτων
ἐν τῇ αὐτῇ χώρᾳ καὶ συνόρῳ χώρᾳ, τὰ μὲν κάρπιμα· τὰ δὲ ἄ-
καρπα γίνεται· καθάπερ καὶ τὸ κενταύρειον ἐν τῇ ἠλείᾳ, τὸ μὲν
ἐν τῇ ὀρεινῇ κάρπιμον· τὸ δὲ ἐν τῷ πεδίῳ, ἄκαρπον· ἀλλὰ μόνον
ἀνθεῖ· τὰ δὲ ἐν τοῖς κοίλοις τόποις οὐδὲ ἀνθεῖ· πλὴν κακῶς δο-
κεῖ δεῖν καὶ τῶν ἄλλων τῶν ὁμογενῶν καὶ ἐν μιᾷ προσηγορίᾳ,
τὸ μὲν ἄκαρπον εἶναι· τὸ δὲ, κάρπιμον· οἷον πρῖνος· ὁ μὲν κάρ-
πιμος· ὁ δὲ ἄκαρπος· καὶ κλήθρα δὲ ὡσαύτως· ἀνθεῖ δὲ ἄμφω·
σχεδὸν δὲ ὅσα καλοῦσιν ἄρρενα τῶν ὁμογενῶν ἄκαρπα, τού-
των τὰ πολλὰ τὰ μὲν, ἀνθεῖν φασι· τὰ δ᾽ ὀλίγον· τὰ δ᾽ ὅλως
οὐκ ἀνθεῖν· τὰ δὲ, ἀνάπαλιν, τὰ μὲν ἄρρενα μόνα καρποφο-
ρεῖν· οὐ μὴν ἀλλ᾽ ἐκ τῶν ἀνθῶν φύεσθαι τὰ δένδρα, καθάπερ

καὶ ἀπὸ τῶν καρπῶν ὅσα κάρπιμα· καὶ ἐν ἀμφοῖν οὕτως ἐνίοτε πυ-
κνὴν εἶναι τὴν ἔκφυσιν· ὥστε τοὺς ὀρεοτύπους μὴ δύνασθαι δι-
ελεῖν μὴ ὁδοποιησαμένους. ἀμφισβητεῖται δὲ καὶ περὶ τῶν ἀνθῶν ἐνίων
ὥσπερ εἴρηται· οἱ μὲν γὰρ καὶ δρῦν ἀνθεῖν οἴονται, καὶ τὴν ἡρακλεῶτιν
καρύαν· καὶ διὸς βάλανον· ἔτι δὲ πεύκην· καὶ πίτυν· οἱ δ' οὐδὲν τούτων·
ἀλλὰ τὸν ἴουλον τὸν ἐν ταῖς καρύαις· καὶ τὸ βρύον τὸ δρύϊνον, καὶ τὸν
κύτταρον τὸν πιτύϊνον, ὁμοίαν καὶ ἀνάλογον εἶναι τοῖς προα-
πτώρισ ἐρινεοῖς· οἱ δὲ περὶ μακεδονίαν οὐδὲ ταῦτά φασιν ἀν-
θεῖν· ἄρκευθον· ὀξύην· ἀγρίαν σφένδαμνον· ἔνιοι δὲ τὰς ἀρκεύ-
θους δύο εἶναι· καὶ τὴν μὲν ἑτέραν ἀνθεῖν μὲν, ἄκαρπον δὲ εἶναι· τὴν δ' ἑ-
τέραν οὐκ ἀνθεῖν μὲν, καρπὸν δὲ φέρειν εὐθὺς προφαινόμενον· ὥσπερ
καὶ τὰς συκᾶς τὰ ἐρινεὰ συμβαίνει σχεδὸν ὥστε ἐπὶ δύο ἔτη εἶναι καρ-
πὸν ἔχειν μόνον τοῦτο τὸ δένδρον. ταῦτα μὲν οὖν ἐπισκεπτέον. ἡ δὲ
βλάστησις τῶν μὲν, ἅμα γίνεται καὶ τῶν ἡμέρων· τῶν δὲ, μικρὸν ἐπιλειπο-
μένη· τῶν δ' ἤδη πλεῖον· ἁπάντων δὲ κατὰ τὴν ἠρινὴν ὥραν· ἀλλὰ τῶν
καρπῶν ἡ παραλλαγὴ πλείων· ὥσπερ δὲ καὶ πρότερον εἴπομεν
οὐ κατὰ τὰς βλαστήσεις αἱ πεπάνσεις· ἀλλὰ πολὺ διαφέρουσιν·
ἐπεὶ καὶ τῶν ὀψικαρποτέρων, ἃ δή τινές φασιν ἐνιαυτοφορεῖν, οἷ-
ον ἄρκευθον, καὶ πρῖνον, ὅμως αἱ βλαστήσεις τοῦ ἦρος· αὐτὰ δ' αὖ
τῶν τὰ ὁμογενῆ τῷ πρότερον καὶ ὕστερον διαφέρει κατὰ τοὺς τό-
πους· πρῶτα μὲν γὰρ βλαστάνει τὰ ἐν τοῖς ἕλεσιν· ὡς οἱ περὶ μα-
κεδονίαν λέγουσι· δεύτερα δὲ τὰ ἐν τοῖς πεδίοις· ἔσχατα δὲ τὰ
ἐν τοῖς ὄρεσιν· αὐτῶν δὲ τῶν καθέκαστα δένδρων, τὰ μὲν, συνα-
ναβλαστάνει τοῖς ἡμέροις· οἷον ἀνδράχνη· ἀβάρκη· ἀρχὰς δὲ μι-
κρῷ ὕστερον τῆς ἀπίου· τὰ δὲ καὶ πρὸ ζεφύρου μὲν, καὶ μετὰ τὰ
πνοὰς εὐθὺς ζεφύρου· καὶ πρὸ ζεφύρου μὲν κρανεία· θηλυκρα-
νεία· μετὰ ζέφυρον δὲ, δάφνη· κλήθρα· πρὸ ἰσημερίας δὲ μικρόν,
φίλυρα· ζυγία· φηγός· συκῆ· πρωϊβλαστὰ δὲ, καὶ καρύα· καὶ δρῦς
καὶ ἀκτέος· ἔτι δὲ μᾶλλον τὰ ἄκαρπα τὰ δοκοῦντα ἀλσώ-

δη· λύκη·

δη· λεύκη· πτελέα· ἰτέα· αἴγειρος· πλάτανος δὲ μικρῷ ὀψιαίτερον τούτων· τὰ δὲ, ἄλλως περὶ ἐνισταμένου τοῦ ἦρος· οἷον ἐρινεός· φιλύκη· ὀξυάκανθος· παλίουρος· τέρμινθος· καρύα· διὸς βάλανος· μηλέα δὲ ὀψίβλαστος· ὀψιβλαστότατον δὲ σχεδὸν, ἶψος· ἀρία· τετραγωνία· θύα· μίλος· αἱ μὲν οὖν βλαστήσεις, οὕτως ἔχουσιν· αἱ δὲ ἀνθήσεις, ἀκολουθοῦσιν ὡς εἰπεῖν κατὰ λόγον· οὐ μὴν ἀλλὰ παραλλάττουσι μᾶλλον δὲ ἐπὶ πλέον ἡ τῶν καρπῶν τελείωσις· κρανεία μὲν γὰρ ἀποδίδωσι περὶ τροπὰς θερινάς· ἡ πρώϊος σχεδὸν, ὥσπερ πρῶτον ἡ ὀψίος· ἣν δή τινες καλοῦσι θηλυκρανείαν· μετ' αὐτὸ τὸ μετόπωρον· ἔστι δὲ ὁ ταύτης καρπὸς ἄβρωτος· καὶ τὸ ξύλον ἀσθενὲς καὶ χαῦνον· τοσαύτη δὴ διαφορὰ περὶ ἄμφω· τέρμινθος δὲ περὶ πυροῦ ἄμητον, ἢ καὶ μικρῷ ὀψιαίτερον ἀποδίδωσι· μελία καὶ σφένδαμνος, τοῦ θέρους τὸν καρπόν· κλήθρα δὲ, καὶ καρύα, καὶ ἀχράδων τι γένος, μετοπώρου· δρῦς δὲ καὶ διὸς βάλανος, ὀψιαίτερον ἔτι περὶ πλειάδος δύσιν· ὡσαύτως δὲ καὶ φιλύκη, καὶ πρῖνος· καὶ παλίουρος· καὶ ὀξυάκανθος, μετὰ πλειάδος δύσιν· ἡ δὲ ἐρία, χειμῶνος ἀρχομένου· καὶ μηλέα μὲν τοῖς πρώτοις ψύχεσιν· ἀχρὰς δὲ ὀψία χειμῶνος· ἀνδράχνη δὲ καὶ ἀφάρκη, τὸ μὲν πρῶτον πεπαίνουσιν ἅμα τῷ βότρυϊ περκάζοντι· τὸ δ' ὕστερον ἀνθοῦντι· δοκεῖ γὰρ ταῦτα δὶς καρποῦν ἀρχομένου τοῦ χειμῶνος· ἐλάτη δὲ καὶ μίλος ἀνθοῦσι μικρὸν πρὸ ἡλίου τροπῶν· καὶ φέρει ἐλάτης τὸ ἄνθος κόκκινον· καὶ ἄλλως καλόν· τὸν δὲ καρπὸν ἀφιᾶσι μετὰ δύσιν πλειάδος· πεύκη δὲ καὶ πίτυς προτεροῦσι τῇ βλαστήσει μικρὸν, ὅσον πεντεκαίδεκα ἡμέραις· τοὺς δὲ καρποὺς ἀποδιδόασι μετὰ πλειάδα κατὰ λόγον· ταῦτα μὲν οὖν μετριωτέραν ἔχει· πάντων δὲ πλείστην ἡ ἄρκευθος· καὶ ἡ κήλαστρος, καὶ πρῖνος· ἡ μὲν γὰρ ἄρκευθος ἐνιαύσιον ἔχειν δοκεῖ· περικαταλαμβάνει γὰρ ὁ νέος τὸν περυσινόν· ὡς δέ τινές φασιν, οὐδὲ πεπαίνει· διὸ καὶ προαφαιροῦσι, καὶ χρόνον τινὰ τηροῦσιν· ἐὰν δὲ ἐᾷ ἐπὶ τοῦ δένδρου τις, ἀποξηραίνεται·

φασὶ δὲ καὶ τὴν πρῖνον οἱ περὶ ἀρκαδίαν ἐνιαυτῷ τελειοῦν· ἅμα γὰρ τὸν ἕνον πεπαίνειν καὶ τὸν νέον ὑποφαίνειν· ὥστε τοῖς τοιούτοις συμβαίνειν συνεχῶς τὸν καρπὸν ἔχειν. φασὶ δὲ καὶ τὴν κήλαστρον ὑπὸ τοῦ χειμῶνος ἀποβάλλειν. ὀψίκαρπον δὲ σφόδρα, καὶ φίλυρα, καὶ πύξος· τὸν γὰρ καρπὸν ἄβρωτον ἔχει παντὶ ζώῳ φίλυρα. θηλυκρανεία· πύξος· ὀξύκαρπα γὰρ, καὶ κιττός· καὶ ἄρκευθος· καὶ πεύκη καὶ ἀνδράχνη· ὡς δὲ οἱ περὶ ἀρκαδίαν φασίν, ἔτι τούτων ὀψικαρπότερα, σχεδὸν δὲ πάντων ὀψιέστερα· γωνία· θύια· μίλος. αἱ μὲν οὖν τῶν καρπῶν ἀποβολαὶ καὶ πεπάνσεις, τοιαύτας ἔχουσι διαφοράς, οὐ μόνον πρὸς τὰ ἥμερα τῶν ἀγρίων· ἀλλὰ καὶ πρὸς ἑαυτά. συμβαίνει δὲ τῶν ἀρξαμένων βλαστάνειν τὰ μὲν ἅμα συνεχῆ τήν τε βλάστησιν καὶ τὴν αὔξησιν ποιεῖσθαι· πεύκην δὲ καὶ ἐλάτην καὶ δρῦν διαλείπειν. καὶ τρεῖς ὁρμὰς εἶναι· καὶ τρεῖς ἀφιέναι βλαστούς· διὸ καὶ τρίσλιποι. πᾶν γὰρ δὴ δένδρον ὅταν βλαστάνῃ λιπᾷ· πρῶτον μὲν ἄκρου ἀέρος· εὐθὺς ἱσταμένου τοῦ θαργηλιῶνος· ἔν τε τῇ ἴδῃ περὶ πεντεκαίδεκα μάλιστα ἡμέρας. μετὰ δὲ ταῦτα διαλείποντα περὶ τριάκοντα ἢ μικρῷ πλείους, ἐπιβάλλεται πάλιν ἄλλους βλαστούς· ἀπ' ἄκρας τῆς κορυφῆς ἕως τῆς ἐπὶ τῶν προτέρων βλαστῶν· καὶ τὰ μὲν, ἄνω, τὰ δὲ εἰς πλάγια κύκλῳ ποιεῖται τὴν βλάστησιν· οἷον γόνυ ποιησάμεναι τὴν τοῦ πρώτου βλαστοῦ κορύνην, ὥσπερ καὶ ἡ πρώτη βλάστησις ἔχει. γίνεται δὲ τοῦτο περὶ τὸν σκιρροφοριῶνα λήγοντα. κατὰ δὲ ταύτην τὴν βλάστησιν, καὶ ἡ κηκὶς φύεται πᾶσα, καὶ ἡ λευκὴ καὶ ἡ μέλαινα. φύεται δὲ ὡς ἐπὶ τὸ πολὺ νυκτὸς ἀθρόως. ἐφ' ἡμέραν δὲ μίαν αὐξηθεῖσα πλὴν τῆς πιττοειδοῦς, ἐὰν ὑπὸ τοῦ καύματος ληφθῇ, ξηραίνεται. καὶ ἀναυξὴς ἐπὶ τὸ μεῖζον. ἐγίνετο γὰρ ἂν μείζων τῷ μεγέθει. διόπερ τινὲς αὐτῶν οὐ μεῖζον ἔχουσι κυάμου τὸ μέγεθος. ἡ δὲ μέλαινα, καὶ ἐπὶ πλείους ἡμέρας διάχλωρός ἐστι· καὶ αὐξάνεται καὶ λαμβάνουσιν ἔνια μέγεθος μήλου. διαλείπουσι δὲ μετὰ

τοῦτο

τοῦτο περὶ πεντεκαίδεκα ἡμέρας. πάλιν τὸ τρίτον ἐπιβάλλεται βλαστοὺς ἑκατομβαιῶνος ἐλαχίστας ἡμέρας τῶν πρότερον. ἴσως γὰρ ἓξ ἢ ἑπτὰ τὸ πλεῖστον. ἡ δὲ βλάστησις ὁμοία τὸν αὐτὸν τρόπον. ἐλθουσῶν δὲ τούτων οὐκ ἔτι εἰς μῆκος. ἀλλ' εἰς πάχος ἡ αὔξησις τρέπεται. πᾶσι μὲν οὖν τοῖς δένδροις αἱ βλαστήσεις φανεραί. μάλιστα δὲ τῇ ἐλάτῃ καὶ τῇ πεύκῃ, διὰ τὸ στοιχεῖν τὰ γόνατα. καὶ ἐξ ἴσου τοὺς ὄζους ἔχειν. ὥρα δὲ καὶ πρὸς τὸ τέμνειν τὰ ξύλα τότε, διὰ τὸ λεπεῖν. ἐν γὰρ τοῖς ἄλλοις καιροῖς οὐκ εὐπεριαίρετος ὁ φλοιός. ἀλλὰ καὶ περιαιρεθέντος μέλαν τὸ ξύλον γίνεται καὶ τῇ ὄψει χεῖρον. ἐπεὶ πρός γε τὴν χρείαν οὐδέν. ἀλλὰ καὶ ἰσχυρότερον, ἐὰν μετὰ τὴν πέπανσιν τῶν καρπῶν τμηθῇ. Ταῦτα μὲν ἴδια τῶν προειρημένων καρπῶν αἱ δὲ ὧν νυνὶ καὶ ἀρκτούρου γινόμεναι, μετὰ τὴν ἐαρινὴν σχεδὸν κοιναὶ πάντων. ἐπίδηλοι δὲ μᾶλλον ἐν τοῖς ἡμέροις καὶ τούτων μάλιστα συκῆ. καὶ ἄμπελος. καὶ ῥοιά. καὶ ὅλως ὅσα εὐτραφῆ. καὶ ὅπου χώρα τοιαύτη. διὸ καὶ τὴν ἐπαρκτούρῳ πλείστην φασὶ γίνεσθαι περὶ θετταλίαν καὶ μακεδονίαν. ἅμα γὰρ συμβαίνει καὶ τὸ μετόπωρον καλὸν γίνεσθαι καὶ μακρὸν ὥστε καὶ τὴν μαλακότητα συμβάλλεσθαι τοῦ ἀέρος. ἐπεὶ καὶ ἐν αἰγύπτῳ διὰ τοῦθ' ὡς εἰπεῖν ἀεὶ βλαστάνει τὰ δένδρα. ἢ καὶ μικρόν τινα διαλείπει χρόνον. ἀλλὰ τὰ μὲν περὶ τὰς ἐκβλαστήσεις ὥσπερ εἴρηται κοινά. τὰ δὲ περὶ τὰς διαλείψεις ἀπὸ τῆς πρώτης ἤδη τῶν λεχθέντων. ἴδιον δ' ἐνίοις ὑπάρχει καὶ τὸ τῆς καλουμένης κάχρυος. οἷον, τοῖς τε προειρημένοις. ἔχει γὰρ καὶ ἐλάτη, καὶ πεύκη. καὶ δρῦς. καὶ ἔτι φίλυρα καὶ καρύα. καὶ διὸς βάλανος. καὶ πίτυς. αὗται δὲ γίνονται δρυὶ μὲν, πρὸ τῆς βλαστήσεως ὑποφαινούσης τῆς ἠρινῆς ὥρας. ἔστι δ' ὥσπερ ἡ κύησις φυλλικὴ μεταξὺ πίπτουσα. τῆς τε ἀρχῆς ἐπιδήσεως καὶ τῆς φυλλικῆς βλαστήσεως. τῇ δὲ διότητι τῷ μετοπώρου μετὰ τὴν φυλλοβολίαν, εὐθὺς αἱ παρ' αὐτῆς. καὶ ὥσπερ ἐπῳδηκυῖα καθαπερανεὶ μέλλουσα βλαστάνειν καὶ διαμένειν τὸν χειμῶνα μέ-

χει τοῦ ἦρος. ἡ δὲ ἡρακλεωτικὴ, μετὰ τὴν ἀποβολὴν τοῦ καρποῦ
φύει τὸ βοτρυῶδες ἡλίκον σκώληξ τῷ μεγέθει ἐξ ἑνὸς μίσχου πολλὰ
ἃ καλοῦσί τινες ἰούλους. τούτων ἕκαστον ἐκ μικρῶν σύγκειται
μορίων φολιδωτῶν τῇ τάξει. καθάπερ οἱ στρόβιλοι τῆς πεύκης.
ὥστε μὴ ἀνομοίαν εἶναι τὴν ὄψιν στροβίλῳ νέῳ καὶ χλωρῷ. πλὴν
προμηκέστερον καὶ σχεδὸν ἰσοπαχὲς δι᾽ ὅλου. τοῦτο δὲ αὔξεται
τὸν χειμῶνα. καὶ ἅμα τῷ ἦρι χάσκει. τὰ δὲ φολιδωτὰ καὶ ξαν-
θὰ γίνεται. καὶ τὸ μῆκος λαμβάνει καὶ τριδάκτυλον. ὅταν δὲ
τοῦ ἦρος τὸ φύλλον βλαστάνῃ, ταῦτα ἀποπίπτει. καὶ τὰ τοῦ καρύου
καλυκώδη περικάρπια γίνεται, συμπεφυκότα κατὰ τὸν μί-
σχον τοσαῦτα ὅσα καὶ κατὰ ἄνθη. τούτων δὲ ἐν ἑκάστῳ, κάρυον
ἕν. περὶ δὲ τῆς φιλύρας ἐπισκεπτέον. καὶ εἴ τι ἄλλο καρπο-
φόρον. ἔστι δὲ καὶ τὰ μὲν, εὐαυξῆ τὰ δὲ, δυσαυξῆ. εὐαυξῆ μὲν
τά τε πάρυδρα. οἷον, πτελέα. πλάτανος. λεύκη. αἴγειρος. ἰτέα.
καίτοι περὶ ταύτης ἀμφισβητοῦσί τινες ὡς δυσαυξοῦς. καὶ
τῶν καρποφόρων δὲ, ἐλάτη. πεύκη. δρῦς. δυσαυξῆ δὲ, μί-
λος. καὶ λεύκαρα. φηγὸς. ἄρκευθος, σφένδαμνον. ὀστρύα. ζυγία.
μελία. κλῆθρος. πίτυς. ἀνδράχνη. κρανεία. πύξος. ἀχράς.
καρποφορεῖ δὲ εὐθὺς, ἐλάτη. πεύκη. πίτυς. κἂν ὁπηλικο-
νοῦν μέγεθος λάβωσιν. ἡ δὲ αὔξησις καὶ ἡ βλάστησις, τῶν μὲν
ἄλλων, ἄτακτος κατὰ τοὺς καρποὺς καὶ τοὺς βλαστούς.
τῆς δὲ ἐλάτης εἱρμένοι καὶ συνεχὲς καὶ ὕστερον. ὅταν γὰρ
ἐκ τοῦ στελέχους τὰ πρῶτα σχισθῇ, πάλιν ἐξ ἐκείνου ἕτερα,
σχίζεται τὰ ἴσα καὶ τὸν αὐτὸν τρόπον. καὶ τοῦτο ἀεὶ ποιεῖ μετὰ πά-
σας τὰς ἐπιβλαστήσεις. ἐν δὲ τοῖς ἄλλοις οὐδὲ οἱ ὄζοι κατ᾽ ἀλλήλους.
πλὴν ἐπί τινων ὀλίγων. ἔχει δὲ καὶ τήνδε διαφορὰν ἡ αὔξησις πάντων κοινὴν
μέρος τι καὶ ἀρχή. τὰ μὲν γὰρ ἐκ τοῦ ἄκρου τῶν βλαστῶν καὶ ἐκ τῶν πλαγίων
φύει. καθάπερ ἄπιος. ῥοά. συκῆ. μύρρινος. σχεδὸν τὰ πλεῖστα. τὰ
δὲ ἐκ τοῦ ἄκρου μὲν οὐκ ἀνίησιν. ἐκ δὲ τῶν πλαγίων καὶ αὐτὸ προω-
θεῖται τὸ ὑπάρχον, ὥσπερ καὶ τὸ ὅλον στέλεχος. καὶ οἱ ἀκρέμονες. συμβαί-

νει δὲ ἐπὶ τῆς

νει δὲ περὶ τῆς περσικῆς τοῦτο καρύας καὶ τῆς ἡρακλεωτικῆς, ἢ ἄλ-
λων. ἁπάντων δὲ τῶν τοιούτων εἰς τὸ φύλλον ἀποτελευτῶσιν οἱ
βλαστοί. διὸ καὶ εὐλόγως οὐκ ἐπιβλαστάνει καὶ αὐξάνεται μὴ ἔχον-
τα ἀρχήν. ὁμοία δὲ τρόπον τινὰ αὔξησις καὶ τῷ σίτου. καὶ γὰρ οὗ-
τος ἀεὶ τῇ προώσει τῇ ὑπαρχούσῃ αὐξάνεται, κἂν κολοβω-
θῇ τὰ φύλλα καθάπερ ἐν τοῖς ἐπιβοσκομένοις. πλὴν οὐ γέ τε
οὐδὲν τοῦ πλαγίαν παραφύει, καθάπερ ἔνια τῶν χεδροπῶν. αὕτη
μὲν οὖν διαφορά τις ἂν εἴη βλαστήσεως ἅμα ἢ αὐξήσεως. βαθύρ-
ριζα δ' οὔ, φασί τινες εἶναι τὰ ἄγρια, διὰ τὸ φύεσθαι πάντα ἀπὸ σπέρ-
ματος. οὐκ ἄγαν ὀρθῶς λέγοντες. ἐνδέχεται γὰρ ὅταν ἐμβιώσῃ πόρ-
ρω καθιέναι τὰς ῥίζας. ἐπεὶ καὶ τῶν λαχάνων τὰ πολλὰ τοῦτο ποι-
εῖ, καίπερ ἀσθενέστερα ὄντα. καὶ ἐν ἀργῷ φυόμενα τῇ γῇ. βαθυρ-
ριζότατον δὲ δοκεῖ τῶν ἀγρίων εἶναι ἡ πρῖνος. ἐλάτη δὲ καὶ πεύκη, με-
τρίως. ἐπιπολαιότατον δὲ, θραύπαλος, καὶ κοκκυμηλέα, καὶ σπο-
διάς. αὕτη δ' ἐστὶν ὥσπερ ἀγρία κοκκυμηλέα. ταῦτα μὲν οὖν
καὶ ὀλιγόρριζα. ὁ δὲ θραύπαλος, πολύρριζον. συμβαίνει δὲ τοῖς
ἄλλοις τοῖς μὴ κατὰ βάθος ἔχουσι, καὶ οὐχ ἥκιστα ἐλάτῃ καὶ πεύκῃ,
καὶ προρρίζοις ὑπὸ τῶν πνευμάτων ἐκπίπτειν. οἱ μὲν οὖν περὶ
ἀρκαδίαν οὕτω λέγουσιν. οἱ δ' ἐκ τῆς ἴδης, βαθυρριζότατον ἐλά-
την δρυός. ἀλλ' ἐλάττους ἔχειν, καὶ εὐθυρριζοτέραν εἶναι. βαθυρ-
ριζότατον δὲ καὶ τὴν κοκκυμηλέαν, ἢ τὴν ἡρακλεωτικήν. τὰς
δὲ ῥίζας λεπτὰς καὶ ἰσχυράς, τὴν ἡρακλεωτικήν. τὴν δὲ κοκκυμη-
λέαν πολύρριζον ἀμφω ἐμβιωτικαὶ δὲ εἶναι. δυσόλεθρον δὲ τὴν κοκκυ-
μηλέαν. ὀλιγορριζότερον δὲ σφένδαμνον καὶ ζυγίαν. τὴν δὲ μελίαν, πλείους. καὶ εἶναι
πυκνόρριζον καὶ βαθύρριζον. ὀλιγορριζότερον δὲ καὶ ἄρκευθον, ἢ κέδρον, κλή-
θρας λεπτάς, καὶ μελίαν ἔτι δ' ὀξύην. καὶ αὐτοῦ τοῦτο ἐπιπολαιόρριζον, ἢ
ὀλιγόρριζον. τὴν δὲ οὖαν, ἐπιπολαίους μὲν, ἰσχυρὰς δὲ καὶ πα-
χείας καὶ δυσολέθρους. πλήθει δὲ μετρίας. βαθύρριζα μὲν οὖν καὶ οὐ
βαθύρριζα, τὰ τοιαῦτά ἐστιν. ἀποκοπέντος δὲ τοῦ στελέχους, τὰ
μὲν ἄλλα πάντως εἰπεῖν παραβλαστάνει. πλὴν ἐὰν αἱ ῥίζαι πρότερον

τύχωσι πεπονηκυῖαι· πεύκη δὲ καὶ ἐλάτη τελέως ἐκ ῥιζῶν αὐτοετεῖς
αὐαίνονται, καὶ ἐὰν τὸ ἄκρον ἐπικοπῇ. συμβαίνει δὲ ἴδιόν τι περὶ τὴν
ἐλάτην· ὅταν γὰρ κοπῇ ἢ κυλουσθῇ ὑπὸ πνεύματος ἢ καὶ ἄλλου
τινὸς, περὶ τὸ λεῖον τοῦ στελέχους· ἔχει γὰρ μέχρι τινὸς, λεῖον καὶ
καὶ ἄοζον καὶ ὅμοιον· ἢ καὶ ἡλίκον πλεῖον περιφύεται μικροῦ ὑποδε-
έστερον εἰς ὕψος· καὶ καλοῦσιν, οἱ μὲν ἀμφαυξιν· οἱ δὲ, ἀμφιφύ
αν· τῷ μὲν χρώματι μέλαν· τῇ σκληρότητι δ' ὑπερβάλλον· ἐξ οὗ
τοὺς κρατῆρας ποιοῦσιν οἱ περὶ ἀρκαδίαν· τὸ δὲ πάχος, οἷον
ἐὰν τύχῃ τὸ δένδρον, ὅσωπερ ἂν ἰσχυρότερον καὶ ἐγχυλότερον ἢ πα
χύτερον. συμβαίνει δὲ κἀκεῖνο ἴδιον ἐν αὐτῷ τούτῳ περὶ τὴν ἐλάτην·
ὅταν μὲν γάρ τις τοὺς ὄζους ἅπαντας ἀφελὼν ἀποκόψῃ τὸ ἄ
κρον, ἀποθνήσκει ταχέως· ὅταν δὲ τὰ κατωτέρω τὸ καταλύ-
ον ἀφέλῃ, ζῇ τὸ καταλειπον· περὶ ὃ δὴ καὶ ἡ ἀμφαυξις φύεται·
ζῇ δέ· καὶ δῆλον, ὅτι τὸ ἔγχυλον εἶναι καὶ χλωρόν· εἴπερ ἀπαρά-
βλαστον· ἀλλὰ γὰρ τοῦτο μὲν ἴδιον τῆς ἐλάτης· φέρει δὲ τὰ μὲν
ἄλλα, τὸν, τε καρπὸν τὸν αὐτόν, καὶ τὰ κατ' ἐνιαυτὸν ἐπιγινόμε-
να ταῦτα· φύλλον, ἄνθος· βλαστόν· τὰ δὲ, βρύον, ἢ ἕλικα· τὰ δὲ πλείω·
καθάπερ ἥ τε πτελέα τόν, τε βόξυν καὶ τὸ θυλακῶδες, τοῦτο καὶ συ
κῆ καὶ τὰ ἐρινὰ τὰ προαποπίπτοντα, καὶ εἴτινα ἄρα τῶν συκῶν ὀλυν
θοφοροῦσιν· ἴσως δὲ τρόπον τινὰ ἄκαρπος οὗτος· ἀλλ' ἡ ἡρακλεω
τικὴ καρύα, τὸ ἴουλον· καὶ ἡ πρῖνος τὸν φοινικοῦν κόκκον·
ἡ δὲ δάφνη τὸ βότρυον· φέρει μὲν καὶ ἡ καρποφόρος εἰ-
μὴ καὶ πᾶσα, ἀλλὰ καὶ γένος τι αὐτῆς· οὐ μὴν ἀλλὰ πλέον
ἡ ἄκαρπος· ἣν δὴ καὶ ἄρρενα τινὲς καλοῦσιν· ἀλλ' ἡ πεύκη τὸ προ
αποπίπτον τὸ κύτταρον· πλεῖστα δὲ πάντων ἡ δρῦς φέρει τὸν καρ
πὸν· οἷον τήν τε κηκῖδα τὴν μικράν· καὶ τὴν ἑτέραν τὴν πιττώδη
καὶ μέλαιναν· ἔτι δὲ καὶ συκαμινῶδες ἄλλο τῇ μορφῇ· πλὴν σκλη
ρὸν καὶ δυσκάτακτον· σπάνιον δὲ τοῦτο· καὶ ἕτερον αἰδοιώδη φύσιν
ἔχον· τελειουμένης δέ τι σκληρὸν κατὰ τὴν ἐπανάστασιν· καί τι
τρυπημένον· καὶ προσεμφερὲς τρόπον τινὰ, τούτῳ καὶ ταύρου
κεφαλῇ·

κεφαλῆ· περικατεστυμμένη δ' ἔνδοθεν ἔχει πυρῆνα, ἐλαίᾳ εἰργ-
φυλῷ. φύει δὲ καὶ τὸν ὑπ' ἐνίων καλούμενον πῖλον· τοῦτο δ' ἐ-
στὶ σφαιρίον ἐριῶδες, μαλακόν· περὶ πυρήνιον σκληρότερον πε-
φυκός· ᾧ χρῶνται πρὸς τοὺς λύχνους· καίεται γὰρ καλῶς, ὥσ-
περ καὶ ἡ μέλαινα κικίς· φύει δὲ καὶ ἕτερον σφαιρίον κόμην ἔχον·
τὰ μὲν ἄλλα, ἀχρεῖον· κατὰ δὲ τὴν ἐαρινὴν ὥραν ἐπιβάπτον χυ-
λῷ μελιτηρῷ, καὶ κατὰ τὴν ἁφὴν καὶ κατὰ τὴν γεῦσιν· φύ-
ει δὲ ἐν τερειώνης τῶν ῥοπῶν μασχαλίδας, ἕτερον σφαιρίον ἄμισχον
ἢ κοιλόμισχον, ἴδιον, ἢ ποικίλον· τοὺς μὲν γὰρ ἐπανεστηκότας ὀμφαλοὺς
ἐπιλεύκους ἢ ἐπεστιγμένους ἔχει μέλανας· τὸ δ' ἀνὰ μέσον, κοκ-
κοβαφὲς καὶ λαμπρόν· ἀνοιγόμενον δ' ἐστὶ μέλαν καὶ ἐπίσαπρον.
σπάνιον δὲ παραφύει καὶ λιθάριον κισηροειδὲς ἐπὶ πλεῖον· ἔ-
τι δὲ μᾶλλον τούτου σπανιώτερον φυλλικόν· συμπεπιλημένον ὀρ-
πρόμηκες· σφαιρίον· ἐπὶ δὲ τοῦ φύλλου φύει κατὰ τὴν ῥάχιν
σφαιρίον λευκὸν διαυγὲς ὑδατῶδες, ὅταν ἁπαλὸν ᾖ· τοῦτο δὲ καὶ
μυίας ἐνίοτε ἔνδον ἔχει· τελειούμενον δὲ, σκληρύνεται· καὶ κικί-
δος μικρᾶς λείας τρόπον. ἡ μὲν οὖν δρῦς τοσαῦτα φέρει περὶ
τὸν καρπόν. οἱ γὰρ μύκητες ἀπὸ τῶν ῥιζῶν καὶ παρὰ τὰς ῥίζας
φυόμενοι, κοινοὶ καὶ ἑτέρων εἰσίν· ὡσαύτως δὲ καὶ ἡ ἰξία. καὶ γὰρ αὐ-
τὴ φύεται καὶ ἐν ἄλλοις· ἀλλ' οὐδὲν ἧττον ὥσπερ ἐλέχθη πλειστο-
φόρον ἐστίν. εἰ δέ γε δὴ καθ' Ἡσίοδον φέρει μέλι καὶ μελίττας, ἔτι
μᾶλλον. φύεται δ' οὖν καὶ ὁ μελιτώδης οὗτος χυλὸς ἐκ τοῦ ἀέ-
ρος· ἐπὶ ταύτῃ μάλιστα προσίζειν. φασὶ δὲ καὶ ὅταν κατακολουθῇ
γίνεται λίτρον ἐξ αὐτῆς. ταῦτα μὲν οὖν ἴδια τῆς δρυός. πάντων
δ' ὥσπερ ἐλέχθη τῶν δένδρων ὡς καθ' ἕκαστον γένος λαβεῖν, διαφοραὶ
πλείους εἰσίν. ἡ μὲν, κοινὴ πᾶσιν, ᾗ διαιροῦσι τὸ θῆλυ καὶ τὸ ἄρ-
ρεν· ὧν τὸ μὲν, καρποφόρον· τὸ δὲ, ἄκαρπον ἐπί τινων. ἐν οἷς δὲ ἄμ-
φω καρποφόρα, τὸ θῆλυ καλλικαρπότερον· πλὴν ὅσοι ταῦτα κα-
λοῦσιν ἄρρενα· καλοῦσι γάρ τινες. παραπλησία δ' ἡ τοιαύτη φορά, καὶ
ὡς τὸ ἥμερον διῄρηται πρὸς τὸ ἄγριον. ἑτέρα δὲ κατ' εἶδος

αὐτῶν τῶν ὁμογενῶν, ὑπὲρ ὧν ἅμα συνεμφαίνοντας καὶ τὰς ἰδίας μορφὰς τῶν μήτε φανερῶν ἢ γνωρίμων. δρυὸς δὲ γένη· ταύτην γὰρ μάλιστα διαιροῦσι. καὶ ἔνιοί γε εὐθὺς τὴν μὲν ἥμερον καλοῦσι, τὴν δ᾽ ἀγρίαν. οὐ τῇ γλυκύτητι τοῦ καρποῦ διαιροῦντες. ἐπεὶ γλυκύτατος ὁ τῆς φηγοῦ. ταύτην δ᾽ ἀγρίαν ποιοῦσιν. ἀλλὰ τῷ μᾶλλον ἐν τοῖς ἐργασίμοις φύεσθαι. καὶ τὸ ξύλον ἔχειν λειότερον. τὴν δὲ φηγὸν, τραχὺ καὶ ἐν τοῖς ὀρεινοῖς. γένη μὲν οὖν οἱ μὲν, τέτταρα ποιοῦσιν. οἱ δὲ, πέντε. διαλλάττουσι δ᾽ ἔνια τοῖς ὀνόμασιν. οἷον τὴν τὰς γλυκείας φέρουσαν, οἱ μὲν, ἡμερίδα καλοῦντες, οἱ δὲ, τὸ μύδρον. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ὡς δ᾽ οὖν οἱ περὶ τὴν ἴδην διαιροῦσι, τάδ᾽ ἐστὶ τὰ εἴδη. ἡμερίς. αἰγίλωψ. πλατύφυλλος. φηγός. ἁλίφλοιος. οἱ δὲ, εὐθύφλοιον καλοῦσι. καρποφόρα μὲν πάντα. γλυκύτατα δὲ τὰ τῆς φηγοῦ καθάπερ εἴρηται. καὶ δεύτερον τὰ τῆς ἡμερίδος. ἔπειτα τῆς πλατυφύλλου. καὶ τέταρτον ἡ ἁλίφλοιος. ἔσχατον δὲ καὶ πικρότατον, ἡ αἰγίλωψ. οὐκ ἐν ἅπασι δὲ γλυκεῖαι τοῖς γένεσιν. ἀλλ᾽ ἔνιαι καὶ πικραί, καθάπερ ἡ φηγός. διαφέρουσι δὲ καὶ τοῖς μεγέθεσι καὶ τοῖς σχήμασι καὶ τοῖς χρώμασι τῶν βαλάνων. ἴδιον δὲ ἔχουσιν, ἥ τε φηγὸς καὶ ἡ ἁλίφλοιος. ἀμφότεραι γὰρ παραλιθάζουσιν ἐν τοῖς ἄρρεσιν καλουμένοις. ἐξ ἄκρων τῶν βαλάνων ἑκατέρωθεν. αἱ μὲν, πρὸς τῇ κελύφῃ. αἱ δὲ, πρὸς αὐτῇ τῇ σαρκί. διὸ καὶ ἀφαιρεθέντων, ὅμοια γίνεται κοιλώματα τοῖς ἐπὶ τῶν ζώων. διαφέρουσι δὲ καὶ ἐν τοῖς φύλλοις καὶ τοῖς στελέχεσι καὶ τοῖς ξύλοις καὶ τῇ ὅλῃ μορφῇ. ἡ μὲν γὰρ ἡμερίς οὐκ ὀρθοφυής, οὐδὲ λεία, οὐδὲ μακρά. περίκομος γὰρ ἡ φυτεία καὶ ἀπεστραμμένη καὶ πολυμάσχαλος. ὥστε ὀζώδη καὶ πολυμάσχαλον γίνεσθαι. τὸ δὲ ξύλον ἰσχυρὸν μὲν, ἀσθενέστερον δὲ τῆς φηγοῦ. τοῦτο γὰρ ἰσχυρότατον καὶ ἀσαπέστατον. οὐκ ὀρθοφυὴς δὲ οὐδ᾽ αὕτη, ἀλλ᾽ ἧττον ἔτι τῆς ἡμερίδος. τὸ δὲ στέλεχος παχύτατον, ὥστε καὶ τὴν ὅλην βραχεῖαν εἶναι. καὶ γὰρ ἡ φυτεία,

κελύφη σάρξ

περίκομος.

περίκομος καὶ ταύτῃ καὶ οὐκ εἰς ὀρθόν. ἡ δὲ αἰγίλωψ ὀρθοφυέστατον καὶ ὑψηλότατον καὶ λειότατον καὶ τὸ ξύλον εἰς μῆκος ἰσχυρότατον· φύεται δ᾽ ἐν μὲν γῇ τοῖς ἐργασίμοις ἢ σπανίως. ἡ δὲ πλατύφυλλος δευτέρον ὀρθοφυΐα καὶ μήκει. πρὸς δὲ τὴν χρείαν τὴν οἰκοδομικὴν χείριστον μετὰ τὴν ἁλίφλοιον· φαῦλον δὲ καὶ εἰς τὸ κάειν καὶ ἀνθρακεύειν, ὥσπερ καὶ τὸ τῆς ἁλιφλοίου· καὶ θειπωδέστατον μετ᾽ ἐκείνην. ἡ γὰρ ἁλίφλοιος παχὺ μὲν ἔχει τὸ στέλεχος. χαῦνον δὲ καὶ κοῖλον ἐὰν ἔχῃ πάχος ὡς ἐπὶ τὸ πολύ· διὸ ἀχρεῖον εἰς τὰς οἰκοδομάς. ἔτι δὲ σήπεται ταχέως· καὶ γὰρ ἔνικμον πέφυκεν ὅλον τὸ δένδρον· διὸ καὶ κοίλη γίνεται. φασὶ δέ τινες οὐδ᾽ ἐγκάρδιον εἶναι μόνην· λέγουσι δ᾽ ὡς καὶ κεραυνόβλητοι αὗται μόναι γίνονται καίπερ ὕψος οὐκ ἔχουσαι, τῶν αἰολέων τινές· οὐδὲ πρὸς τὰ ἱερὰ χρῶνται τοῖς ξύλοις. κατὰ μὲν οὖν τὰ ξύλα καὶ τὰς ὅλας μορφάς, ἐν τούτοις αἱ διαφοραί. κηκῖδας δὲ πάντα φέρει τὰ γένη· μόνη δὲ εἰς τὰ δέρματα χρησίμη ἡ ἡμερίς. ἡ δὲ τῆς αἰγίλωπος καὶ τῆς πλατυφύλλου, τῇ μὲν ὄψει παρομοία τῇ τῆς ἡμερίδος, πολὺ λειοτέρα· ἀχρεῖον δέ. φέρει δὲ καὶ τὴν ἑτέραν τὴν μέλαιναν, ᾗ τὰ ἔρια βάπτουσιν. ὃ δὲ καλοῦσί τινες φάσκον ὁμοίως τοῖς βραγχίοις ἡ αἰγίλωψ μόνη φέρει τύλιον καὶ βράγχον· καὶ ἐπὶ πηχυαῖον κατακρεμάννυται, καθάπερ ξύγχος ὀθόνιον μακρόν. φύεται δὲ τοῦτο ἐκ τοῦ φλοιοῦ καὶ οὐκ ἐκ τῆς κορώνης ὅθεν ἡ βάλανος, οὐδ᾽ ἐξ ὀφθαλμοῦ, ἀλλ᾽ ἐκ τοῦ πλαγίου τῶν ἄνωθεν ὄζων. ἔχει δ᾽ ἡ ἁλίφλοιος ὥσπερ μελίαν τοῦτο φύει, καὶ βραχύ. οἱ μὲν οὖν ἐκ τῆς ἴδης οὕτω διαιροῦσιν· οἱ δὲ περὶ μακεδονίαν τέτταρα γένη ποιοῦσιν, ἐτυμόδρυν, ἣ τὰς γλυκείας, πλατύφυλλον, ἣ τὰς πικράς, φηγόν, ἣ τὰς στρογγύλας, ἄσπριν. ταύτην οἱ μὲν ἄκαρπον ὅλως, οἱ δὲ φαῦλον τὸν καρπόν, ὥστε μηδὲν ἐσθίειν ζῷον πλὴν ὗς, καὶ ταύτην ὅταν ἑτέραν μὴ ἔχῃ· καὶ τὰ πολλὰ λαμβάνεσθαι περικεφάλαια. μοχθηρὰ δὲ καὶ τὰ ξύλα πελεκηθέντα μέν, ὅλως ἀχρεῖα· καταρρήγνυνται καὶ διαπίπτει· ἀπελέκητα δὲ βελτίω· διὸ

ἁλίφλοιος

αἰγίλωψ

καὶ οὕτω χρῶνται. μοχθηρὰ δὲ καὶ εἰς καῦσιν καὶ εἰς ἀνθρακίαν. ἀχρεῖος γὰρ ὅλως ὁ ἄνθραξ, διὰ τὸ πηδᾶν καὶ ἀπανθρακίζειν, πλὴν τοῖς χαλκεῦσι. τούτοις δὲ χρησιμώτερος τῶν ἄλλων, διὰ τὸ ἀποσβέννυσθαι εὐθύς, ὅταν παύσηται φυσώμενος. διὸ ὀλίγος ἀναλίσκεται. τὸ δὲ περὶ ἀλιφλοίου χρήσιμον εἰς τοὺς ἄξονας μόνον καὶ τοιαῦτα. δρῦς μὲν οὖν ταύτας ποιοῦσι τὰς ἰδέας. τῶν δὲ ἄλλων ἐλάττους. καὶ σχεδὸν τά γε πλεῖστα διαιροῦσιν ἄρρενι καὶ θήλει, καθάπερ εἴρηται, πλὴν ὀλίγων. ὥσπερ ἡ πεύκη. πεύκης γὰρ τὸ μὲν, ἥμερον ποιοῦσι, τὸ δ᾽ ἄγριον. τῆς δ᾽ ἀγρίας δύο γένη. καλοῦσι δὲ, τὴν μὲν, ἰδέαν. τὴν δὲ, παραλίαν. τούτων δὲ ὀρθοτέρα καὶ μακροτέρα, καὶ ξύλον ἔχουσα παχύτερον, ἡ ἰδέα, τὸ δὲ φύλλον λεπτότερον καὶ ἀμενηνότερον, ἡ παραλία, καὶ λειότερον τὸν φλοιὸν καὶ εἰς τὰ δέρματα χρήσιμον. ἡ δὲ ἑτέρα, οὔ. καὶ τῶν στροβίλων ὁ μὲν τῆς παραλίας, στρογγύλος τε καὶ διαχάσκων ταχέως. ὁ δὲ τῆς ἰδέας μακρότερος καὶ χλωρὸς καὶ ἧττον χάσκων, ὡς ἂν ἀγριώτερος. τὸ δὲ ξύλον ἰσχυρότερον τὸ τῆς παραλίας. δεῖ γὰρ καὶ τὰς τοιαύτας διαφορὰς λαμβάνειν τῶν ἀγγείων. γνώριμος γὰρ διὰ τὴν χρείαν. ὀξύτερον δὲ καὶ παχύτερον ὥσπερ εἴπομεν ἡ ἰδέα. καὶ πρὸς τούτοις ἐπιπολιδέστερον ὅλως τὸ δένδρον. μελαντέρα δὲ καὶ γλυκυτέρα καὶ λεπτοτέρα καὶ εὐωδεστέρα, ὅταν ᾖ ὠμή. ἑψηθεῖσα δὲ χείρων ἐκβαίνει. διὰ τὸ πλεῖον ἔχειν τὸν ὀρρόν. ἐοίκασι δ᾽ ἅπερ τινὲς διαιροῦσιν ὀνόμασιν ἰδίοις, οἱ ἄλλοι διαιρεῖν τῷ ἄρρενι καὶ θήλει. φασὶ δὲ περὶ Μακεδονίαν καὶ ἄκαρπόν τι γένος ὅλως εἶναι πεύκης. καὶ τὸ μὲν ἄρρεν βραχύτερόν τε καὶ σκληρότερον. τὸ δὲ θῆλυ εὐμηκέστερον. καὶ τὰ φύλλα λιπαρὰ καὶ ἁπαλὰ καὶ κεκλιμένα μᾶλλον ἔχει. ἔστι δὲ τὰ ξύλα τῆς μὲν ἄρρενος περιμήξια καὶ σκληρὰ καὶ ἐν ταῖς ἐργασίαις στρεφόμενα. τῆς δὲ θηλείας εὐεργῆ καὶ ἀστραβῆ καὶ μαλακώτερα. σχεδὸν δὲ κοινή τις ἡ διαφορὰ πάντων τῶν ἀρρένων καὶ θηλειῶν. ὥς οἱ ὑλοτόμοι φασίν. ἅπαν γὰρ τὸ ἄρρεν τῇ πελεκήσει βραχύ-

τερόν τε

τερον καὶ ἐστερημένον μᾶλλον· ἔστι δὲ δυσεργότερον καὶ τῷ χρώματι μελάντερον. τὸ δ' εὐθυλυόμενον καὶ στερεὸν. ἐπεὶ καὶ τὴν αἰτίαν τῶν καλουμένων, ἡ θήλεια τῆς πεύκης ἔχει. τοῦτο δ' ἐστὶ τὸ ἐγκάρδιον αὐτῆς. αἴτιον δ' ὅτι ἀπυκνοτέρα, καὶ ἧττον ἔνδαδος, καὶ λεπτοτέρα καὶ ἀνικανωτέρα. γίνεται δ' ἐν τοῖς μέγεθος ἔχουσι τῶν δένδρων, ὅταν ἐκ περισσοῦ περιαιρεθῇ τὰ λευκὰ καὶ τὰ κύκλῳ. τούτων γὰρ περιαιρεθέντων, καὶ καταλειφθείσης τῆς μήτρας, ἐκ ταύτης τελεκᾶται. ἔστι δ' εὔχρουν σφόδρα καὶ λεπτόϊνον. ὃ δὴ οἱ περὶ τὴν Ἴδην δημιουργοὶ καλοῦσι συκῆν. τὸ ἐπιγιγνόμενον ἐν ταῖς πεύκαις ἐρυθρότερον τὴν χροιὰν τῆς δᾳδὸς ἐν ταῖς ἀρρεσίν ἐστι μᾶλλον· δυσῶδες δὲ φύεται· καὶ οὐκ ἔστι δᾳδός· οὐ δὲ καίεται, ἀλλ' ἀποπηδᾷ ἀπὸ τοῦ πυρός. πεύκης μὲν οὖν ταῦτα γένη ποιοῦσιν, ἥμερόν τε καὶ ἄγριον· καὶ τῆς ἀγρίας ἄρρενά τε καὶ θήλειαν, καὶ ἔτι τινὰ τὴν ἄκαρπον. οἱ δὲ περὶ τὴν Ἀρκαδίαν, ὅ τι τὸ ἄκαρπον λέγουσιν, ὅ τε τὴν ἥμερον πεύκην, ἀλλὰ πίτυν εἶναί φασι· καὶ γὰρ τὸ στέλεχος ἐμφανέστερον εἶναι τῇ πίτυϊ, καὶ ἔχειν τήν τε λεπτότητα καὶ τὸ μέγεθος, καὶ ἐν ταῖς ἐργασίαις αὐτὸ τὸ ξύλον. τὸ δὲ τῆς πεύκης καὶ παχύτερον καὶ λειότερον καὶ εὐθυλότερον εἶναι. καὶ τὰ φύλλα τὴν μὲν πεύκην ἔχειν πολλὰ καὶ λιπαρὰ καὶ βαθέα καὶ κεκλιμένα· τὴν δὲ πίτυν καὶ τὴν κωνοφόρον ταύτην, ὀλίγα τε καὶ αὐχμωδέστερα καὶ περιφρικότα μᾶλλον. ἔτι δὲ τὴν πίτυν αὖ ἐμφανεστέρας τῆς πεύκης· καὶ τὴν πίτυν ἔχειν ὀλίστην τε καὶ μικράν, ὥσπερ καὶ τὴν κωνοφόρον. τὴν δὲ πεύκην, ὡς δὴ καὶ πολλήν. φύεται δὲ ἐν μὲν τῇ Ἀρκαδίᾳ ἡ πίτυς ὀλίγη· περὶ δὲ τὴν Ἠλείαν πολλή. οὗτοι μὲν οὖν ὅλως τῷ γένει διαμφισβητοῦσιν. ἡ δὲ πίτυς δοκεῖ τῆς πεύκης διαφέρειν, τῷ λιπαρωτέρα τε εἶναι καὶ λεπτοφυλλοτέρα, καὶ τὸ μέγεθος ἐλάττων καὶ ἧττον ὀρθοφυής. ἔτι δὲ καὶ τὸν κῶνον ἐλάττω φέρειν καὶ περιφρικότα μᾶλλον, καὶ τὸ κάρυον πιττωδέστερον. ἄμφω δὲ ξυλόφυλλα, καὶ τὰ ξύλα λευκότερα καὶ ὁμοιότερα τῇ ἐλάτῃ, καὶ τὸ ὅλον ἄπευκα. διαφορὰν δὲ ἔχει μεγά-

λω πρὸς τὴν πεύκην· πεύκην μὲν γὰρ ἐπικαυθεισῶν τῶν ῥιζῶν οὐκ ἀναβλαστάνειν· τὴν πίτυν δέ φασί τινες ἀναβλαστάνειν· ὥσπερ καὶ εἰς λέσβον ἐμπρησθέντος τοῦ πυρραίων ὄρους τοῦ πιτυώδους. νόσημα δὲ ταῖς πεύκαις τοιοῦτόν τι λέγουσι συμβαίνειν οἱ περὶ τὴν ἴδην· ὥστε ὅταν μὴ μόνον τὸ ἐγκάρδιον ἀλλὰ καὶ τὸ ἔξω τοῦ στελέχους ἔνδαδον γένηται, τηνικαῦτα ὥσπερ ἀποπνίγεσθαι. τοῦτο δὲ αὐτόματον συμβαίνει, δι' εὐτροφίαν τοῦ δένδρου ὡς ἄν τις εἰκάσειεν· ὅλον γὰρ γίνεται δᾷδες. περὶ μὲν οὖν τὴν πεύκην ἴδιόν τι τοῦτο πάθος. ἐλάτη δ' ἐστὶν, ἡ μὲν ἄρρην· ἡ δὲ θήλεια. διαφορὰς δὲ ἔχουσι, τοῖς φύλλοις· ὀξύτερα γὰρ καὶ κεντητικώτερα τὰ τοῦ ἄρρενος καὶ ἐπεστραμμένα μᾶλλον. διὸ καὶ οὐλότερον τῇ ὄψει φαίνεται τὸ δένδρον ὅλον, καὶ τῷ ξύλῳ· λευκότερον γὰρ καὶ μαλακώτερον καὶ εὐεργέστερον τὸ τῆς θηλείας, καὶ τὸ ὅλον στέλεχος εὐμηκέστερον· τὸ δὲ τοῦ ἄρρενος, ποικιλώτερον καὶ πλατύτερον καὶ σκληρότερον καὶ πολύμητρον μᾶλλον· ὅλως δὲ φαυλότερον τὴν ὄψιν. ἐν δὲ τῷ κώνῳ τῷ μὲν τοῦ ἄρρενός ἐστι κάρυα ὀλίγα ἐπὶ τοῦ ἄκρου. τῷ δὲ τῆς θηλείας ὅλως οὐδὲν, ὡς οἱ ἐκ μακεδονίας λέγουσιν. ἔχει δὲ πτέρυγας τὸ φύλλον ἢ ἐπ' ἔλαττον, ὥστε τὴν ὅλην μορφὴν εἶναι θυρσοειδῆ, καὶ παρόμοιον μάλιστα ταῖς βοιωτίαις κυνέαις· πυκνὸν δὲ οὕτως, ὥστε μήτε χιόνα διιέναι μήθ' ὑετόν. ὅλως δὲ καὶ τῇ ὄψει τὸ δένδρον καλόν. καὶ γὰρ ἡ βλάστησις ἰδία τις ὥσπερ εἴρηται, παρὰ τὰς ἄλλας, καὶ μόνη τάξιν ἔχουσα· τῷ δὲ μεγέθει καὶ μέγα καὶ πολὺ τῆς πεύκης εὐμηκέστερον· διαφέρει δὲ καὶ κατὰ τὸ ξύλον οὐ μικρόν. τὸ μὲν γὰρ τῆς ἐλάτης ἰνῶδες καὶ μαλακὸν καὶ κοῦφον. τὸ δὲ τῆς πεύκης, δᾳδῶδες, καὶ βαρὺ, καὶ σαρκωδέστερον. ὄζους δὲ ἔχει, πλείους μὲν ἡ πεύκη. σκληροτέρους δὲ, ἡ ἐλάτη. σχεδὸν δὲ πάντων ὡς εἰπεῖν σκληροτέρους. τὸ δὲ ξύλον μαλακώτερον. ὅλως δὲ οἱ ὄζοι πυκνότατοι, καὶ στερεώτατοι μόνον διαφανεῖς ἐλάτης καὶ πεύκης· καὶ τῷ χρώματι δᾳδώδεις.

δώδησ· καὶ μάλιστα διάφοροι τὸ ξύλον μᾶλλον. ἡ γὰρ τῆς ἐλά-
της· ἔχει δ᾽ ὥσπερ ἡ πεύκη τὴν αἰγίδα, καὶ ἡ ἐλάτη τὸ λευκὸν
λοῦσον καλούμενον οἷον ἀντίστροφον αἰγίδι· πλὴν τὸ λευκόν·
ἡ δ᾽ αἰγὶς, εὔχρως διὰ τὸ ἔνδαδον· πυκνὸν δὲ καὶ λευκὸν, γίνεται,
καὶ καλὸν, καὶ ἐκ τῶν πρεσβυτέρων ἤδη δένδρων, ἀλλὰ σπά-
νιον τὸ χρηστόν· τὸ δὲ τυχὸν, δαψιλές· ἐξ οὗ τὰ τῶν ζωγράφων
πινάκια ποιοῦσι, καὶ τὰ γραμματεῖα τὰ πολλὰ καὶ ἐσπου-
δασμένα καὶ τὸ βέλτιον. οἱ δὲ περὶ ἀρκαδίαν ἀμφότερα,
καλοῦσιν αἰγίδα· καὶ τὴν τῆς πεύκης καὶ τὴν τῆς ἐλάτης· καὶ εἶ-
ναι πλείω τὴν τῆς πεύκης. ἀλλὰ καλλίω τὴν τῆς ἐλάτης·
εἶναι γὰρ τῆς μὲν ἐλάτης ὁλόλευκόν τι καὶ λείαν καὶ πυκνήν,
τῆς δὲ πεύκης ὀλιγηράν· τὴν μέντοι οὖσαν οὐλοτέραν καὶ ἰσχυ-
ροτέραν, καὶ τὸ ὅλον καλλίω· οὗτοι μὲν οὖν ἐοίκασιν ἰδίοις ὀνόμασι
διαφωνεῖν. ἡ δὲ ἐλάτη, ταύτας ἔχει τὰς διαφορὰς πρὸς τὴν
πεύκην καὶ ἔτι περὶ τὴν ἀμφαυξιν ἣν πρότερον εἴπομεν. ἡ
ξύη δ᾽ οὐκ ἔχει διαφοράς· ἀλλ᾽ ἔστι μονογενές· ὀρθοφυὲς δὲ καὶ
λεῖον καὶ ἄνοζον· καὶ πάχος καὶ ὕψος ἔχον σχεδὸν ἴσον τῇ ἐλά-
τῃ· καὶ τἆλλα παρόμοιόν τε τὸ δένδρον· ξύλον δὲ εὔχρουν ἰσχυ-
ρὸν, καὶ φλοιὸν λεῖον, καὶ παχύφυλλον, δυσχιδές· προμηκέστε-
ρον ἀπίου· καὶ ἐξακανθίζον ἐξ ἄκρου· ῥίζας οὔτε πολλὰς, οὔ-
τε κατὰ βάθος· ὁ δὲ καρπὸς λεῖος· βαλανώδης ἐν ἐχίνῳ· πλὴν
οὐκ ἐν ἀκανθώδει καὶ λείῳ· καὶ οὐχ ὡς ἡ δὸς βάλανος ἀκανθώδης·
προσεμφερὴς δὲ καὶ κατὰ τὴν γλυκύτητα, καὶ κατὰ τὸν χυ-
λὸν ἐκείνῳ, γίνεται δὲ καὶ ἐν τῷ ὄρει, λευκή τε, καὶ χρήσιμον ἔχει
τὸ ξύλον πρὸς πολλά· τό τε γὰρ πρὸς ἁμαξουργίαν· καὶ πρὸς κλινοπη-
γίαν, τὸ εἰς διφρουργίαν, καὶ εἰς τραπεζίαν, καὶ εἰς ναυπηγίαν. ἡ δ᾽
ἐν τοῖς πεδίοις μέλαινα, τὰ ἄχρηστος πρὸς ταῦτα· τὸν δὲ καρπὸν ἔχουσι
παραπλήσιον· μονογενὴς δὲ καὶ ἡ μίλος· ὀρθοφυὴς δὲ καὶ εὐαυξής,
τὰ ὁμοία τῇ ἐλάτῃ· πλὴν οὐχ ὑψηλὸν οὕτω· πολυμάσχαλον δὲ μᾶλ-
λον· ὅμοιον δὲ καὶ τὸ φύλλον ἔχει τῇ ἐλάτῃ, τὰ λιπαρώτερον δὲ καὶ μαλα-

κώτερον· καὶ τὸ ξύλον ἡ μὲν ἐξ ἀρκαδίας, μέλαν καὶ φοινικοῦν· ἡ δ' ἐκ τῆς ἴδης, ξανθὸν σφόδρα καὶ ὅμοιον τῇ κέδρῳ· διὸ καὶ τοὺς πωλοῦντάς φασιν ἐξαπατᾶν, ὡς κέδρον πωλοῦντας· πᾶν γὰρ εἶναι καρδίαν, ὅταν ὁ φλοιὸς περιαιρεθῇ· ὅμοιον δὲ τὸν φλοιὸν ἔχειν καὶ τῇ τραχύτητι καὶ τῷ χρώματι τῇ κέδρῳ· ῥίζας δὲ μικρὰς, καὶ λεπτὰς καὶ ἐπιπολαίους· σπάνιον δὲ τὸ δένδρον περὶ τὴν ἴδην· περὶ δὲ μακεδονίαν καὶ ἀρκαδίαν, πολύν· καρπὸν φέρει στρογγύλον μικρῷ μείζω κυάμου, τῷ χρώματι δ' ἐρυθρὸν καὶ μαλακόν· φασὶ δὲ τὰ μὲν λόφουρα, ἐὰν φάγῃ τοῦ φύλλου ἀποθνήσκειν· τὰ δὲ μηρυκάζοντα, οὐδὲν πάσχειν· τὸν καρπὸν ἐσθίουσι καὶ τῶν ἀνθρώπων τινές· ἔστιν ἡ δρῦς καὶ ἄσημος· ἔστι δὲ καὶ ὁ ὀστρυς μονοειδής· ἣν καλοῦσί τινες ὀστρύαν ὁμοφυὲς τῇ ὀξύᾳ· τῇ τε φυτείᾳ καὶ τῷ φλοιῷ· φύλλα δὲ ἀπιοειδῆ τοῖς σχήμασι· πλὴν προμηκέστερα πολλῷ· καὶ εἰς ὀξὺ συνηγμένα καὶ μείζω· πολύϊνα δὲ ἀπὸ τῆς μέσης ὥσπερ ῥάχεως· τῶν ἄλλων εὐθειῶν καὶ μεγάλων κατατεινουσῶν καὶ πάχος ἐχουσῶν· ἔτι δὲ ἐρρυτιδωμένα κατὰ τὰς ἶνας· καὶ χαραγμὸν ἔχοντα κύκλῳ λεπτόν· τὸ δὲ ξύλον σκληρὸν καὶ ἄχροον ἔκλευκον· καρπὸν δὲ μικρὸν προμακρὸν ὅμοιον κριθῇ· ξανθόν· ῥίζας δὲ ἔχει μετεώρους· ἔνυδρον δὲ καὶ φαραγγῶδες· λέγεται δὲ ὡς οὐκ ἐπιτήδειον εἰς οἰκίαν εἰσφέρειν· δυσθάνατον γάρ φασι καὶ δυσθανατεῖν ποιεῖν οὗ ἂν ᾖ· τῆς δὲ φιλύρας, ἡ μὲν, ἄρρεν ἐστὶν, ἡ δὲ θήλεια· διαφέρουσι δὲ τῇ μορφῇ τῇ ὅλῃ καὶ τῇ τοῦ ξύλου καὶ τῷ τὸ μὲν εἶναι κάρπιμον, τὸ δ' ἄκαρπον· τὸ μὲν γὰρ τῆς ἄρρενος ξύλον, ξηρόν τε καὶ ξανθόν, καὶ ὀζωδέστερόν ἐστι καὶ πυκνότερον· τὸ δὲ τῆς θηλείας, λευκότερον· καὶ ὁ φλοιὸς τῆς μὲν ἄρρενος παχύτερος· καὶ περιαιρεθεὶς ἄκαμπτος διὰ τὴν σκληρότητα· τῆς δὲ θηλείας λευκότερος καὶ εὐκαμπὴς, ἐξ οὗ τὰς κίστας ποιοῦσιν· ἔτι δ' εὐωδέστερον τὸ τῆς θηλείας· καὶ ἡ μὲν ἄκαρπος καὶ ἀνανθής· ἡ δὲ θήλεια, καὶ ἄνθος ἔχει καὶ καρπόν· τὸ μὲν ἄνθος καλυκῶδες παρὰ τὸν τοῦ ξύλου μίσχον· καὶ παρὰ τὴν εἰς νέωτα κάλυκα ἐφ' ἑτέρου μίσχου· χλωρὸν δὲ ὅταν ᾖ καλυκῶδες· ἐκκαλυπτόμενον δ' ὑπόξανθον· ἡ δὲ ἄνθησις, ἅμα τοῖς ἡμέροις· ὁ δὲ καρπὸς στρογγύλος,

προμακρος

πρόμακρος ἡλίκος κύαμος· ὅμοιος τῷ τοῦ κιττοῦ· γωνίας ἔχων ὁ ἄρρην, πέντε· οἷον ἰνῶν ὀξὺ χουσῶν καὶ εἰς ὀξὺ συναγομένων. ὁ δὲ μὴ ἄρρην, ἀδιαρθρότερος· διακριζόμενος ἢ ὁ ἄρρην ἔχει μικρὰ πάνυ καὶ λεπτὰ σπερμάτια, ἡλίκα καὶ ὁ τῆς ἀνδραφάξυος. τὸ δὲ φύλλον καὶ ὁ φλοιὸς, ἡδέα καὶ γλυκέα. τὴν δὲ μορφὴν κιττῶδες τὸ φύλλον· πλὴν ἐκ προσαγωγῆς μᾶλλον ἢ περιφερὲς καὶ τὸ πρὸς τῷ μίσχῳ κυρτότατον· ἀλλὰ κατὰ μέσον καὶ εἰς ὀξύτερον τὴν συναγωγὴν ἔχει καὶ μακροτέραν. ἐπίχυλον δὲ κύκλῳ καὶ κεχαραγμένον. μήτραν δ᾽ ἔχει τὸ ξύλον μικρὰν, καὶ οὐ πολὺ μακροτέραν τοῦ ἄλλου· μαλακὸν γὰρ καὶ τὸ ἄλλο ξύλον. τῆς δὲ σφενδάμνου καθάπερ εἴπομεν δύο γένη ποιοῦσιν· οἱ δὲ, τρία. ἓν μὲν δὴ τῷ κοινῷ προσαγορεύεται σφένδαμνον· ἕτερον δὲ ζυγίαν· τρίτον δὲ κλινότροχον· ὡς οἱ περὶ στάγειρα. διαφορὰ δ᾽ ἐστὶ τῆς ζυγίας καὶ τῆς σφενδάμνου, ὅτι ἡ μὲν σφένδαμνος, λευκὸν ἔχει τὸ ξύλον καὶ ἰνωδέστερον· ἡ δὲ ζυγία, ξανθὸν καὶ οὖλον. τὸ δὲ ξύλον ἀμφοῖν μέγεθος· ἀμφοτέροις παρόμοιον τῷ τῆς πλατάνου· σχιστὸν, λεπτότερον δὲ καὶ ἀσαρκότερον καὶ μαλακώτερον καὶ προμηκέστερον· τὰς δὲ σχίσεις ὅλας εἰς ὀξὺ συνηκούσας, καὶ οὐχ οὕτω μεσοσχιδῆ· ἀλλ᾽ ἀκροσχιδέστερα οὐ πολύ· ἴνας δὲ ὡς κατὰ μέγεθος· ἔχει δὲ καὶ φλοιὸν μικρῷ τραχύτερον τοῦ τῆς φιλύρας· ὑπομέλανα, παχὺν καὶ πυκνότερον, ἢ ὁ τῆς πίτυος· δυσκαμπῆ· ῥίζας δ᾽ ὀλίγας, καὶ μετεώρους, καὶ οὔλας σχεδὸν αἱ πλεῖσται· καὶ αἱ ξανθαὶ, καὶ αἱ τῆς λεύκης· γίνεται δὲ μάλιστα ἐν τοῖς ἐφύδροις ὡς οἱ περὶ τὴν ἴδην λέγουσι. καὶ ἔστι σπάνιον. περὶ ἄνθους δ᾽ οὐκ ᾔδεσαν. τὸν δὲ καρπὸν οὐ λίαν μὲν προμήκη, παρόμοιον δὲ τῷ παλιούρῳ· πλὴν προμηκέστερον. οἱ δ᾽ ἐν τῷ ὀλύμπῳ, τὴν μὲν ζυγίαν ὄρειον μᾶλλον, τὴν δὲ σφένδαμνον καὶ ἐν τοῖς πεδίοις φύεσθαι· εἶναι δὲ τὴν μὲν ἐν τῷ ὄρει φυομένην ξανθὴν· καὶ εὔχρουν καὶ οὔλην καὶ στερεάν· ᾗ καὶ πρὸς τὰ πολυτελῆ τῶν ἔργων χρῶνται· τὴν δὲ πεδεινὴν, λευκήν τε καὶ μανοτέραν καὶ ἧττον οὔλην· καλοῦσι δ᾽ αὐτὴν ἔνιοι γλῖ

μον, οὐ σφηνώδη μὲν ὅμως. καὶ τῆς ἄρρενος οὐλότερα τὰ ξύλα καὶ συνεστραμμένα. ἐν τῷ πεδίῳ ταύτην φύεσθαι μᾶλλον, καὶ βλαστάνειν πρωΐτερον. ἔστι δὲ καὶ μελίας γένη δύο. τούτων δὲ ἡ μὲν, ὑψηλὴ καὶ εὐμήκης ἐστί. τὸ ξύλον ἔχουσα λευκὸν καὶ εὔινον, καὶ μαλακώτερον. καὶ ἀνοζότερον. καὶ οὐλότερον. ἡ δὲ ταπεινοτέρα καὶ ἧττον εὐαυξής. καὶ τραχυτέρα καὶ σκληροτέρα καὶ ξανθοτέρα. τὰ δὲ φύλλα, τῷ μὲν σχήματι δαφνοειδῆ πλατυφύλλου δάφνης. εἰς ὀξύτερον δὲ συνηγμένα. χαραγμὸν δέ τινα ἔχοντα κύκλῳ καὶ ἐπακανθίζοντα. τὸ δ' ὅλον ὥσπερ εἴποι τις ἄφυλλον. τῷ ἅμα φυλλοφορεῖν ἀφ' ἑνὸς μίσχου. καὶ περὶ μίαν οἷον κατὰ γόνυ συζυγίαν. τὰ φύλλα δὲ καθ' ἕκαστον πέφυκε. συχνῶν διεχουσῶν τῶν συζυγιῶν. ὁμοίως καὶ ἐπὶ τῆς οἴης. ἔστι δὲ τῆς μὲν βραχέα τὰ γόνατα. καὶ αἱ συζυγίαι τὸ πλῆθος ἐλάττους. τῆς δὲ λευκῆς μακρὰ καὶ πλείους. καὶ τὰ καθ' ἕκαστον φύλλα μακρότερα καὶ στενώτερα. τὴν δὲ χρόαν πρασώδη. φλοιὸν δὲ λεῖον ἔχει. καὶ πυρὸν δὲ καὶ λεπτὸν καὶ τῇ χρόᾳ πυρρόν. πυκνόρριζον δὲ, καὶ παχύρριζον. καὶ μετέωρον. καρπὸν δ' οἱ μὲν περὶ τὴν Ἴδην οὐχ ὑπολαμβάνουσιν ἔχειν οὐδ' ἄνθος. ἔχει δ' ὥσπερ λοβῷ καρπὸν λεπτὸν καρυηρόν, ὡς τῶν ἀμυγδαλῶν ὑπόπικρον τῇ γεύσει. φέρει δὲ καὶ ἕτερ' ἄττα, οἷον βρύα. καθάπερ ἡ δάφνη πλείω στρυφνότερα. καὶ ἕκαστον καθ' αὑτὸ σφαιροειδὲς, ὥσπερ τὰ τῶν πλατάνων. τούτων δὲ τὰ μὲν, περὶ τὸν καρπόν. τὰ δ' ἀπηρτημένα πολύ. καὶ τὰ πλεῖστα οὕτω. φύεται δὲ ἡ μὲν λεία περὶ τὰ βαθύσκια μάλιστα καὶ ἔφυδρα. ἡ δὲ τραχεῖα καὶ περὶ τὰ ξηρὰ καὶ πετρώδη. ἔνιοι δὲ καλοῦσι τὴν μὲν, μελίαν, τὴν δὲ, βουμελίαν, ὥσπερ οἱ περὶ Μακεδονίαν. μείζων δὲ καὶ μακροτέρα ἡ βουμελία, διὸ καὶ ἧττον οὖλον. φύσει δὲ τὸ μὲν, πεδεινὸν καὶ λεῖον. τὸ δὲ ὀρεινὸν τραχύ. ἔστι δὲ ἡ μὲν ἐν τοῖς ὄρεσι φυομένη, ὠχρός, καὶ λεία καὶ στερεὰ, καὶ γλίσχρα. ἡ δ' ἐν τῷ πεδίῳ, ἄχρους, καὶ μανὴ, καὶ τραχεῖα.

τὸ δ' ὅλον

τὸ δ᾽ ὅλον ὡς εἰπεῖν τὰ δένδρα, ὅσα καὶ ἐν τῷ πεδίῳ καὶ ἐν τῷ ὄρει φύεται, τὰ μὲν ὀρεινὰ εὔχροά τε καὶ στερεὰ καὶ λεῖα γίνεται καθάπερ ὀξύη πτελέα, καὶ τἆλλα· τὰ δὲ πεδεινὰ, μανότερα καὶ ἀχρούστερα, καὶ χείρω· πλὴν ἀπίου, καὶ μελίας, καὶ ἀχράδος, ὥς οἱ περὶ τὸν ὄλυμπόν φασι· ταῦτα δ᾽ ἐν τῷ πεδίῳ κρείττω καὶ τῷ καρπῷ καὶ τοῖς ξύλοις· ἐν μὲν γὰρ τῷ ὄρει τραχεῖς καὶ ἀκανθώδεις καὶ ὀζώδεις εἰσίν· ἐν δὲ τῷ πεδίῳ λειότεροι τε μείζους· καὶ τὸν καρπὸν ἔχουσι γλυκύτερον καὶ σαρκωδέστερον· μεγέθει δὲ αἰεὶ μείζω τὰ πεδεινά· κρανείας δὲ, τὸ μὲν ἄρρεν, τὸ δὲ, θῆλυ· ἣν δὴ καὶ θηλυκρανείαν καλοῦσιν· ἔχουσι δὲ φύλλον μὲν ἀμυγδάλῃ ὅμοιον· πλὴν λιπωδέστερον καὶ παχύτερον· φλοιὸν δ᾽ ἰνώδη, λεπτόν· τὸ δὲ στέλεχος οὐ παχὺ λίαν· ἀλλὰ παραφύει ῥάβδους ὥσπερ ἄγνος ἐλάττους ἡ θηλυκρανεία· καὶ θαμνωδέστερόν ἐστι· τοὺς δὲ ὄζους ὁμοίους ἔχουσιν ἄμφω τῷ ἄγνῳ· καὶ κατὰ δύο καὶ κατ᾽ ἀλλήλους· τὸ δὲ ξύλον, τὸ μὲν τῆς κρανείας ἀκάρδιον καὶ στερεὸν ὅλον· ὅμοιον κέρατι τὴν πυκνότητα καὶ τὴν ἰσχύν· τὸ δὲ τῆς θηλυκρανείας, ἐντεριώνην ἔχει μαλακώτερον καὶ κοιλαινόμενον· διὸ καὶ ἀχρεῖον εἰς τὰ ἀκόντια· τὸ δ᾽ ὕψος τοῦ ἄρρενος, δώδεκα μάλιστα πηχῶν, ἡλίκη τῶν σαρισσῶν ἡ μεγίστη· τὸ γὰρ ὅλον στέλεχος, ὕψος οὐκ ἴσχει· φασὶ δ᾽ οἱ μὲν ἐν τῇ ἴδῃ τῇ τρωάδι, τὸ μὲν ἄρρεν, ἄκαρπον εἶναι· τὸ δὲ θῆλυ, κάρπιμον· πυρῆνα δὲ ὁ καρπὸς ἔχει παραπλήσιον ἐλαίᾳ· καὶ ἐσθιόμενος γλυκὺς καὶ εὐώδης· ἄνθος δὲ ὅμοιον τῷ τῆς ἐλαίας· καὶ ἀπανθεῖ δὲ, καὶ καρποφορεῖ τὸν αὐτὸν τρόπον, τῷ ἐξ ἑνὸς μίσχου πλείους ἔχειν· σχεδὸν δὲ καὶ τοῖς χρόνοις παραπλησίως· οἱ δ᾽ ἐν μακεδονίᾳ, καρποφορεῖν μὲν ἄμφω φασίν· τὸν δὲ τῆς θηλείας ἄβρωτον εἶναι· τὰς ῥίζας δὲ ὁμοίως ἔχειν τοῖς ἄγνοις ἰσχυρὰς καὶ ἀνωλέθρους· γίνεται δὲ καὶ περὶ τὰ ἔνυδρα, καὶ οὐκ ἐν τοῖς ξηροῖς· φύεται δὲ ἀπὸ σπέρματος καὶ ἀπὸ παρασπάδος· κέδρον δὲ, οἱ μέν φασιν εἶναι διττήν· τὴν μὲν, λυκίαν,

τὴν δὲ, φοινικήν. οἱ δὲ μονοειδῆ, καθάπερ οἱ ἐν τῇ ἴδῃ. παρόμοιον δὲ τῇ ἀρκεύθῳ· διαφέρει δὲ μάλιστα τῷ φύλλῳ· τὸ μὲν γὰρ τῆς κέδρου, σκληρὸν καὶ ὀξὺ καὶ ἀκανθῶδες. τὸ δὲ τῆς ἀρκεύθου μαλακώτερον. δοκεῖ δὲ καὶ ὑψηλοφυέστερον εἶναι ἡ ἄρκευθος. οὐ μὴν ἀλλ' ἔνιοί γε οὐ διαιροῦσι τοῖς ὀνόμασιν, ἀλλ' ἄμφω καλοῦσι κέδρους, πλὴν παρασήμως. κέδρον, ὀξύκεδρον. ὀζώδη δ' ἄμφω καὶ πολυμάσχαλα, καὶ ἐπεστραμμένα ἔχοντα τὰ ξύλα. μᾶλλον δὲ ἡ μὲν ἄρκευθος ἔχει μικρὰν καὶ πυκνήν, καὶ ὅταν κοπῇ ταχὺ σήπεται. ἡ δὲ κέδρος τὸ πλεῖστον ἐγκάρδιον καὶ ἀσαπές. ἐρυθροκάρδια δ' ἄμφω. καὶ ἡ μὲν τῆς κέδρου, εὐώδης. ἡ δὲ τῆς ἑτέρας, οὔ. καρπὸς δ' ὁ μὲν τῆς κέδρου ξανθὸς μύρτου μέγεθος ἔχων, εὐώδης, ἡδὺς ἐσθίεσθαι. ὁ δὲ τῆς ἀρκεύθου τὰ μὲν ἄλλ' ὅμοιος. μέλας δὲ καὶ στρυφνὸς καὶ ὥσπερ ἄβρωτος. διαμένει δ' εἰς ἐνιαυτόν. εἶθ' ὅταν ἄλλος ἐπιφυῇ, ὁ περυσινὸς ἀποπίπτει. ὡς δὲ οἱ ἐν ἀρκαδίᾳ λέγουσι, τρεῖς ἅμα καρποὺς ἴσχει. τόν τε περυσινὸν οὔπω πέπειρον καὶ τὸν προπερυσινὸν ἤδη πέπειρον καὶ ἐδώδιμον. καὶ τρίτον τὸν νέον ὑποφαίνει. ἔφη δὲ Σάτυρος καὶ κομίσαι τοὺς ὀρεοτύπους αὐτῷ ἀνανθεῖς ἄμφω. τὸν δὲ φλοιὸν ὅμοιον ἔχει κυπαρίττῳ, τραχύτερον δέ. ῥίζας δὲ μανὰς ἀμφοτέρους καὶ ἐπιπολαίους. φύονται δὲ περὶ τὰ πετρώδη καὶ χειμέρια, καὶ τούτους τοὺς τόπους ζητοῦσι. μεσπίλης δ' ἐστὶ τρία γένη. ἀνθηδών. σατάνειος. ἀνθηνοειδής. ὡς οἱ περὶ τὴν ἴδην διαιροῦσι. φέρει δὲ ἡ μὲν σατάνειος τὸν καρπὸν μείζω καὶ λευκότερον καὶ χαυνότερον, καὶ τοὺς πυρῆνας ἔχοντα μαλακωτέρους. αἱ δ' ἕτεραι, ἐλάττω, καὶ εὐωδέστεραι καὶ στρυφνότεραι, ὥστε δύνασθαι πλείω χρόνον θησαυρίζεσθαι. πυκνότερον δὲ καὶ τὸ ξύλον τούτων καὶ ξανθότερον. τὰ δ' ἄλλα ὅμοιον. τὸ δ' ἄνθος πασῶν ὅμοιον ἀμυγδαλῇ. πλὴν οὐκ ἐρυθρὸν ὥσπερ ἐκεῖνο, ἀλλ' ἔγχλωρον. μεγέθει μέγα τὸ δένδρον καὶ πλείνομον. φύλλον

δὲ, τὸ μὲν

δὲ, τὸ μὲν, ἐπὶ πολυσχιδὲς καὶ ἐν ἄκρῳ σελινοειδές, μείζοσι σχήμα-
σι. τέτανον. ἰνῶδες. λεπτότερον σελίνου καὶ προμηκέστερον, καὶ
τὸ ὅλον κατεσχίσματα. πελεκεκαρμένον δὲ ὅλον. μίσχον δ' ἔχει
λεπτὸν, μακρόν. πρὸ τοῦ φυλλορροεῖν δ' ἐρυθραίνεται σφόδρα.
πολύρριζον δὲ τὸ δένδρον καὶ βαθύρριζον. διὸ καὶ χρόνιον καὶ
δυσώλεθρον. καὶ τὸ ξύλον ἔχει πυκνὸν καὶ στερεὸν καὶ ἀσαπές.
φύεται δὲ καὶ ἀπὸ σπέρματος καὶ ἀπὸ παρασπάδος. νόσημα
δὲ αὐτῶν ἐστιν, ὥστε γηράσκοντα σκωληκόβρωτα γίνεσθαι. ἔτι
οἱ σκώληκες μεγάλοι, καὶ ἴδιοι ἢ οἱ ἐκ τῶν δένδρων τῶν ἄλλων.
τῶν δὲ οὔων δύο γένη ποιοῦσι. τὸ μὲν δὴ καρποφόρον, θῆλυ. τὸ δὲ
ἄρρεν, ἄκαρπον. οὐ μὴν ἀλλὰ διαφέρουσι τοῖς καρποῖς. τῶν
τοὺς μὲν, στρογγύλον, τοὺς δὲ, προμήκη, τοὺς δὲ, ὠοειδῆ φέρειν. δια-
φέρουσι δὲ καὶ τοῖς χυλοῖς. ὡς γὰρ ἐπὶ τὸ πᾶν εὐωδέστερα καὶ
γλυκύτερα τὰ στρογγύλα. τὰ δ' ὠοειδῆ πολλάκις ἐστὶν ὀξεῖα καὶ
ἧττον εὐώδη. φύλλον δ' ἀμφοῖν τὸ μὲν, μίσχον μακρὸν ἰνοειδῆ.
πεφύκασι δὲ στοιχηδὸν ἐκ τῶν πλαγίων πτερυγοειδῶν ὡσεὶ ἓν ὄν
τοῦ ὅλου, λοβοὺς δὲ ἔχοντος ἐσχισμένους ἕως τῆς ἰνός. πλὴν
διεστᾶσιν ἀπ' αὐτῶν ὑπὸ συχνοῦ τὸ κατὰ μέρος. φυλλοβολεῖ δὲ
οὐ κατὰ μέρος, ἀλλ' ὅλον ἅμα τὸ πτερυγῶδες. εἰσὶ δὲ περὶ
μὲν τὰ ἐπὶ πλαιότερα καὶ βραχύτερα, ἐλάττους. πάντων δὲ τῶν
ἄκρων: τὸ τοῦ μίσχου φύλλον περιττόν. ὥστε καὶ πάντ' εἶναι πε-
ριττά. τῷ δὲ σχήματι δαφνοειδῆ τῆς λεπτοφύλλου. πλὴν χαρα-
γμὸν ἔχοντα καὶ βραχύτερον. καὶ οὐκ εἰς ὀξὺ τὸ ἄκρον συνῆ-
κον. ἀλλ' εἰς περιφερέστερον. ἄνθος δὲ ἔχει βοτρυῶδες. ἀπὸ μιᾶς
κορύνης καὶ πολλῶν μικρῶν καὶ λευκῶν συγκείμενον, καὶ ὁ καρ-
πὸς ὅταν εὐκαρπῇ βοτρυώδης. πολλὰ γὰρ ἀπὸ τῆς αὐτῆς κορύνης. ὥσ-
τ' εἶναι καθάπερ κηρίον σκωληκόβρωτον, ἐπὶ τοῦ δένδρου ὁ
καρπὸς ἄπεπτος ὤν. ἔτι γίνεται μᾶλλον τῶν μεσπίλων καὶ
ἀπίων καὶ ἀχράδων, καίτοι πολὺ στρυφνότατος. γίνεται

ἢ καὶ αὐτὸ τὸ δένδρον σκωληκόβρωτον, καὶ οὕτως αὐαίνεται γηράσκον, καὶ ὁ σκώληξ ἴδιος· ἐρυθρὸς δασύς. καρποφορεῖ δὲ ἐπιεικῶς νέα· τριετὲς γὰρ εὐθὺς φύει. τοῦ μετοπώρου δ' ὅταν ἀποβάλλῃ τὸ φύλλον, εὐθὺς ἴσχει τὴν καχρυώδη κορύμβην λιπαρὰν καὶ ἐπῳδηκυῖαν, ὡς ἂν ἤδη βλαστικόν· καὶ διαμένει τὸν χειμῶνα. ὀξυάκανθον δ' ἐστὶ καὶ ἡ οἴη καὶ ἡ μεσπίλη. φλοιὸν δὲ ἔχει λεῖον ὑπολίπαρον, ὥσπερ τὰ νεράνδρυα· τὴν δὲ χρόαν ξανθὸν ἐπιλευκαίνονται· τὰ δὲ γεράνδρυα τραχὺν, καὶ μέλανα. τὸ δὲ δένδρον, εὐμέγεθες· ὀρθοφυές· εὔρυθμον τῇ κόμῃ· σχεδὸν γὰρ ὡς ἐπὶ τὸ πολὺ στροβιλοειδὲς σχῆμα λαμβάνει κατὰ τὴν κόμην, ἐὰν μή τις ἐμποδίσῃ. τὸ δὲ ξύλον, στερεόν· πυκνόν· ἰσχυρόν· ῥίζας δὲ οὐ πολλὰς μὲν οὐδὲ κατὰ βάθους· ἰσχυρὰς δὲ καὶ παχείας, καὶ ἀνωλέθρους ἔχει· φύεται δὲ, καὶ ἀπὸ ῥίζης, καὶ ἀπὸ παρασπάδος· καὶ ἀπὸ σπέρματος. τόπον δὲ ζητεῖ ψυχρὸν ἔνικμον· φιλόζωον δ' ἐν τούτῳ καὶ δυσώλεθρον· οὐ μὴν ἀλλὰ καὶ φύεται ἐν τοῖς ὄρεσιν. ἴδιον δὲ τῇ φύσει δένδρον ὁ κέρασός ἐστι· μεγέθει μὲν μέγα· καὶ γὰρ εἰς τέσσαρας καὶ εἴκοσι πήχεις· ἔστι δ' ὀρθοφυὲς σφόδρα. πάχος δὲ, ὥστε καὶ δίπηχυν τὴν περίμετρον, ἀπὸ τῆς ῥίζης ἔχειν. φύλλον δ' ὅμοιον τῷ τῆς μεσπίλης, σκληρὸν δὲ σφόδρα καὶ πλατύτερον· ὥστε τῇ χρόᾳ πόρρωθεν φανερὸν εἶναι τὸ δένδρον. φλοιὸν δὲ τὴν λειότητα καὶ τὴν χρόαν καὶ τὸ πάχος, ὅμοιον φιλύρᾳ· διὸ καὶ τὰς κίστας ἐξ αὐτῶν ποιοῦσιν, ὡς καὶ ἐκ τῶν τῆς φιλύρας. περιπέφυκε δὲ οὕτως οὔτε ὀρθοφυὴς· οὔτε κύκλῳ κατ' ἴσον· ἀλλ' ἑλικηδὸν περιείληφε, κάτωθεν ἄνω προσάγων· ὥσπερ ἡ διαγραφὴ τῶν φύλλων· καὶ λεπιζόμενον οὕτως ἐκδέρεται· ἐκεῖνος δὲ ἐπίτομος γίνεται· καὶ οὐ δύναται μέρος αὐτοῦ τι τὸν αὐτὸν τρόπον ἀφαιρεῖσθαι, κατὰ πάχος σχιζόμενον λεπτόν· ὡς ἂν φύλλον· τὸ δὲ λοιπὸν προσμένον τε δύναται καὶ σώζειν τὸ δένδρον, ὡσαύτως περιπεφυκός. περιαιρουμένου δὲ ὅταν λοιπὰ τοῦ φλοιοῦ, συνεκραίνει καί τό

τε τὴν

τι τὴν ὑγρότητα, καὶ ὅταν ὁ ἔξω χιτὼν περιαιρεθῇ, μόνος δ'
ὁ ὑπολειπόμενος ἐπιμελαίνεται πως μυξώδει ὑγρασίᾳ, καὶ πάλιν δ'
ὑποφύεται τῷ δευτέρῳ ἔτι χιτὼν ἄλλος ἀντ' ἐκείνου· πλὴν λε-
πτότερος πέφυκε, καὶ τὸ ξύλον ὅμοιον ταῖς ἰσὶ κατὰ φλοιῷ ὥσπερ
ἐπὶ τῷ ἐλιττομένῳ· καὶ αἱ ῥάβδοι φύονται τὸν αὐτὸν τρόπον εὐθύς·
τοὺς ὄζους δὲ αὐξανομένους συμβαίνει, τοὺς μὲν, καὶ τοὺς ἀεὶ
ἀπόλλυσθαι· τοὺς δ' ἄνω αὔξειν· τὸ δ' ὅλον οὐ πολύοζον τὸ δένδρον
ἀλλ' ἀνοζότερον πολὺ τῆς αἰγείρου· πολύρριζον δὲ καὶ ἐπιπο-
λαιόρριζον, οὐχ ἄγαν δὲ παχύρριζον· ἡ δ' ὀσφρὴ καὶ τῆς ῥίζης
καὶ τοῦ φλοιοῦ τοῦ περὶ αὐτὴν ἡ αὐτή· ἄνθος δὲ λευκὸν ἀπίῳ
καὶ μεσπίλῃ ὅμοιον· ἐκ μικρῶν ἀνθῶν ξυγκείμενον κηρῶδες· ὁ
δὲ καρπὸς ἐρυθρός, ὅμοιος διοσπύρῳ τὸ χρῶμα· τὸ δὲ μέγεθος ἡλίκος
κύαμος· πλὴν τοῦ διοσπύρου μὲν ὁ πυρὴν σκληρός, τοῦ δὲ κερά-
σου, μαλακός· φύεται δ' ὅπου περ ἡ φιλύρα· τὸ δ' ὅλον ὅπου ποταμοὶ
καὶ ἔνυδρα· φύεται δὲ καὶ ἡ ἀκτὴ μάλιστα παρ' ὕδωρ καὶ ἐν τοῖς
σκιεροῖς· οὐ μὴν ἀλλὰ καὶ ἐν τοῖς τοιούτοις θαμνώδης ῥάβδοις
ἐπετείοις αὐξανομένη μέχρι τῆς φυλλορροίας εἰς μῆκος· εἶ-
τα μετὰ ταῦτα εἰς πάχος· τὸ δὲ ὕψος τῶν ῥάβδων οὐ μέ-
γα λίαν δ'· ἀλλὰ καὶ μάλιστα ἑξάπηχυ, τῶν δὲ στελέχων πά-
χος τῶν γεράνδρυων ὅσον περικεφαλαίας· φλοιὸς δὲ λεῖος·
λεπτός· καὶ πυρρός· τὸ δὲ ξύλον χαῦνον καὶ κοῦφον· ξηρανθέν·
ἐντεριώνην δὲ ἔχον μαλακήν· ὥστε διόλου κοιλαίνε-
σθαι τὰς ῥάβδους· ἐξ οὗ καὶ τὰς βακτηρίας ποιοῦσι τὰς κού-
φας· ξηρανθὲν δὲ, ἰσχυρὸν δ'· καὶ ἀγήρω ἐὰν βρέχηται, κἂν ᾖ
λελεπισμένον· λεπίζεται δὲ αὐτόματον ξηραινόμενον δ'·
ῥίζας δὲ ἔχει μετεώρους· οὐ πολλὰς δ' οὐδὲ μεγάλας· φύλ-
λον δὲ τὸ μὲν καθ' ἕκαστον μαλακὸν πρόμηκες, ὡς τὸ τῆς
πλατυφύλλου δάφνης· μεῖζον δὲ καὶ πλατύτερον καὶ πε-
ριφερέστερον ἐκ μέσου καὶ κάτωθεν· τὸ δ' ἄκρον εἰς ὀξὺ μᾶλ-
λον συνῆκον· κύκλῳ δ' ἔχον παραγμόν· τὸ δὲ ὅλον περὶ

ἐν ἀμίσχου, παχύ, καὶ ἰνῶδες, ὡς ἂν κλωνίον· τὰ μὲν, εὐθέως.
τὰ δέ, ἔνθεν κατὰ γόνυ καὶ συζυγίαν πεφύκασι τῶν φύλλων δι' ἐ-
χοντα παρ' ἄλληλα· ἐν δὲ ἄκρου τοῦ μίσχου· ὑπέρυθρα τὰ φύλλα,
ἐπιεικῶς, καὶ χαῦνα καὶ σαρκώδη· φυλλορροεῖ δὲ τοῦτο ὅλως.
διόπερ φύλλον ἄν τις εἴποι τὸ ὅλον· ἔχουσι δὲ καὶ οἱ κλῶνες οἱ νέοι
γωνοειδῆ τινα· τὸ δὲ ἄνθος λευκὸν ἐκ μικρῶν λευκῶν πολλῶν, ἐπὶ τῇ
τοῦ μίσχου σχίσει κηριῶδες· εὐωδίαν δὲ ἔχει λειριώδη, ἐπεὶ βαρέως.
ἔχει δὲ καὶ τὸν καρπὸν ὁμοίως τρόπον ἐνὶ μίσχῳ παχεῖ· βοτρυώδη
δέ· γίνεται δὲ καὶ πεπαινόμενος μέλας· ὠμὸς δὲ ὤν, ὀμφακώ-
δης· μεγέθει δὲ μικρῷ μείζων ὀρόβου· τὴν ὑγρασίαν δὲ οἰνώδη τῇ
ὄψει· καὶ τὰς χεῖρας δὲ τελείους· ἀναβλαστεῖ δὲ καὶ τὰς κεφα-
λάς· ἔχει δὲ καὶ τὰ ἐντὸς σησαμοειδῆ τὴν ὄψιν· ὑπέρυθρον δέ. ἡ ἰτέα
καὶ πολυειδές, ἡ μέλαινα καλουμένη, τῷ τὸν φλοιὸν ἔχειν μέ-
λανα καὶ φοινικοῦν· ἡ δὲ λευκή, τῷ λευκῷ· καλλίους δὲ ἔχει τὰς
ῥάβδους καὶ χρησιμωτέρους εἰς τὸ πλέκειν ἡ μέλαινα· ἡ δὲ λευ-
κὴ καὶ πυροτέρας. ἔστι δὲ καὶ τῆς μελαίνης καὶ τῆς λευκῆς εἶ-
δος γένος μικρόν, καὶ οὐκ ἔχον αὔξησιν εἰς ὕψος· ὥσπερ καὶ
ἐπ' ἄλλων τοῦ γε δένδρων· οἷον, κέδρου, φοίνικος· καλοῦσι δὲ οἱ
περὶ Ἀρκαδίαν οὐκ ἰτέαν ἀλλὰ ἑλίκην, τὸ δένδρον· οἴονται δὲ ὥσ-
περ ἐλέχθη καὶ καρπὸν ἔχειν αὐτὴν γόνιμον· ἔστι δὲ καὶ τῆς πτε-
λέας δύο γένη· καὶ τὸ μέν, ὀρειπτελέα καλεῖται· τὸ δέ, πτελέα·
διαφέρει δὲ τῷ θαμνωδέστερον εἶναι τὴν πτελέαν· αὐξέστερον δὲ
τὴν ὀρειπτελέαν· φύλλον δὲ ἀσχιδές, περικεχαραγμένον ἠσυ-
χῆ· προμηκέστερον δὲ τοῦ τῆς ἀπίου· τραχὺ δὲ καὶ οὐ λεῖον.
μέγα δὲ τὸ δένδρον καὶ τῷ ὕψει καὶ τῷ μεγέθει· πολὺ δ' οὐκ
ἔστι περὶ τὴν Ἴδην, ἀλλὰ σπάνιον· τόπον δὲ ἔφυδρον φι-
λεῖ· τὸ ξύλον ξανθὸν καὶ ἰσχυρόν, καὶ εὔινον· καὶ αἰχρόν· ἅ-
παν γὰρ καρδία· χρῶνται δ' αὐτῷ καὶ πρὸς θυρώμα-
τα πολυτελῆ· καὶ χλωρὸν μέν, εὔτομον· ξηρὸν δέ, δύστομον.
ἄκαρπον δὲ νομίζουσιν· ἀλλ' ἐν ταῖς κωρυκίσι, τὸ κόμμι, καὶ

θηριάττα

θηρί᾽ ἀπ᾽ ἀκωνω ποιώδη φέρει. τοὺς δὲ κάχρυς, ἰδίας ἴσχει τῷ μετοπώρου πολλὰς καὶ μικρὰς καὶ μελαίνας. ἐν δὲ ταῖς ἄλλαις χώραις οὐκ ἐπισκέπτεται. ἡ δὲ λεύκη καὶ ἡ αἴγειρος, μονοειδὴς. ὀρθοφυῆ δὲ ἄμφω. πλὴν μακρότερον καὶ λειότερον ἡ αἴγειρος. τὸ δὲ σχῆμα τῶν φύλλων παρόμοιον. ὅμοιον δὲ καὶ τὸ ξύλον τεμνόμενον τῇ λευκότητι. οὐδέτερον δὲ τούτων οὔτ᾽ ἄνθος ἔχειν δοκεῖ. ἡ κερκὶς δὲ παρόμοιον τῇ λεύκῃ, καὶ τῷ μεγέθει καὶ τῷ τοὺς κλάδους ἐπιλεύκους ἔχειν. τὸ δὲ φύλλον κιττῶδες μὲν, ἀγώνιον δὲ ἐκ τοῦ ἄλλου. τὸ δὲ μίαν προμήκη καὶ εἰς ὀξὺ συνῆκται. τῷ δὲ χρώματι σχεδὸν ὅμοιον τὸ ὕπτιον καὶ τὸ πρανές. μίσχῳ δὲ προσήρτηται μακρῷ καὶ λεπτῷ. διὸ καὶ οὐκ ὀρθὸν ἀλλ᾽ ἐγκεκλιμένον. φλοιὸν δὲ τραχύτερον τῆς λεύκης καὶ μᾶλλον ὑπόλεπρον ὥσπερ ὁ τῆς ἀχράδος. ἄκαρπον δὲ. μονογενὲς καὶ ἡ κλήθρα. φύσει δὲ ὀρθοφυές. ξύλον δ᾽ ἔχον μαλακὸν καὶ ἐντεριώνην μαλακήν. ὥστε δι᾽ ὅλου κοιλαίνεσθαι τὰς λεπτὰς ῥάβδους. φύλλον δὲ ὅμοιον ἀπίῳ. πλὴν μεῖζον καὶ ἰνωδέστερον. τραχύφλοιον δέ. καὶ ὁ φλοιὸς ἔσωθεν ἐρυθρός. διὸ καὶ βάπτει τὰ δέρματα. ῥίζας δὲ ἐπιπολαίους ἡλίκον δάφνης. φύεται δὲ ἐν τοῖς ἐφύδροις. ἄλλοθι δ᾽ οὐδαμοῦ. σημύδα δὲ, τὸ μὲν φύλλον ἔχει ὅμοιον τῇ καλουμένῃ καρύᾳ. πλὴν μικρῷ στενώτερον. τὸν φλοιὸν δὲ ποικίλον. ξύλον δὲ ἐλαφρόν. χρήσιμον δὲ εἰς βακτηρίας μόνον. εἰς ἄλλο δὲ οὐδέν. ἡ δὲ κολυτέα, ἔχει τὸ μὲν φύλλον ἐγγύς τι τῷ τῆς ἰτέας. πολύοζον δὲ καὶ πολύφυλλον. καὶ τὸ δένδρον ὅλως μέγα. τὸν δὲ καρπὸν ἔλλοβον καθάπερ τὰ χέδροπα λοβοῖς πλατέσι καὶ οὐ στενοῖς. καὶ τὸ σπερμάτιον τὸ ἐνὸν, μικρὸν καὶ οὐ μέγα. σκληρὸν δὲ μετρίως, οὐκ ἄγαν. οὐδὲ πολύκαρπον ὡς κατὰ μέγεθος. σπάνιον δὲ τὸ ἐν λοβοῖς ἔχειν τὸν καρπόν. ὀλίγα γὰρ τοιαῦτα τῶν δένδρων. ἡ δὲ ἡρακλεωτικὴ καρύα, φύσει γὰρ καὶ τοῦτ᾽ ἄγριον, τῷ τε μηδὲν μὴ δὲ πολὺ χεῖρον γίνεσθαι τῶν ἡμέρων τὸν καρπόν. καὶ τῷ δύνασθαι χειμῶνας ὑποφέ-

ρῶν· τῷ πολὺ φύεσθαι κατὰ τὰ ὄρη, τῷ πολύκαρπον ἐν ταῖς φοραῖς· ἔτι δὲ τῷ μηδὲ στελεχῶδες, ἀλλὰ θαμνῶδες εἶναι ῥάβδοις ἀνόζοις μακρῶν καὶ ἀνόζοις· μικραῖς δὲ καὶ παχείαις ἐνίαις· οὐ μὴν ἀλλὰ καὶ ἐξημεροῦται· διαφορὰν δ' ἔχει τῷ τὸν καρπὸν ἀποδιδόναι βελτίω, τῷ μεῖζον τὸ φύλλον· κεχαραγμένον δ' ἀμφοῖν ὁμοιότατον τῷ τῆς κλήθρας, πλὴν πλατύτερον, καὶ αὐτὸ τὸ δένδρον μεῖζον· καρπὸν τιμώτερον δὲ καὶ αἱ ἐγγίνεται κατακοπτομένης τῆς ῥάβδου· γένη δὲ δύο, ἀμφοῖν· αἱ μὲν γὰρ στρογγύλα· αἱ δὲ προμάκρον φέρουσι τὸ κάρυον· ἐκλευκότερον δὲ τὸ τῶν ἡμέρων, καὶ καλλικαρπεῖ· μάλιστα δ' ἐν τοῖς ἐφύδροις· ἐξημεροῦται δὲ τὰ ἄγρια μεταφυτευόμενα· φλοιὸν δὲ ἔχει πλέον ὑπόλειον, λεπτὸν, λιπαρὸν, ἰδίως στιγμὰς λευκὰς ἔχοντα ἐν αὐτῷ· τὸ δὲ ξύλον σφόδρα γλίσχρον· ὥστε καὶ τὰ λεπτὰ πάνυ ῥαβδία περιλοπίσαντες, νέα πλέκουσι· τὰ παχέα δὲ καταξύσαντες. ἔχει δὲ καὶ ἐντεριώνην λεπτὴν, ξανθὴν κοιλαίνεται· ἴδιον δ' αὐτοῦ τὸ περὶ τοὺς ἰούλους ὥσπερ εἴπομεν. τῆς δὲ τερεβίνθου, τὸ μὲν ἄρρεν· τὸ δὲ θῆλυ, τὸ μὲν οὖν ἄρρεν, ἄκαρπον. διὸ καὶ καλοῦσιν ἄρρεν· τῶν δὲ θηλειῶν, ἡ μὲν ἐρυθρὸν εὐθὺς φέρει τὸν καρπὸν ἡλίκον φακὸν, ἄπεπτον· αἱ δὲ χλωρὸν ἐνέγκασαι, μετὰ ταῦτα ἐρυθραίνουσι· ἅμα δὲ τῇ ἀμπέλῳ πεπαίνουσα, τὸ ἔσχατον ποιεῖ μέλανα· μέγεθος ἡλίκον κύαμον· ῥητινώδη δὲ καὶ θυωδέστερον. ἔστι δὲ τὸ δένδρον περὶ μὲν τὴν ἴδην καὶ τὴν μακεδονίαν βραχὺ, θαμνῶδες, ἐστραμμένον· περὶ δὲ δαμασκὸν τῆς συρίας, μέγα καὶ πολὺ καὶ καλόν· ὄρος γάρ τί φασιν εἶναι παμμέγιστον τερεβίνθου· ἄλλο δὲ οὐδὲν πεφυκέναι· ξύλον δὲ ἔχει γλίσχρον· τὰ ῥίζας ἰσχυρὰς κατὰ βάθους, καὶ τὸ ὅλον ἀνώλεθρον· ἄνθος δὲ ὅμοιον τῷ τῆς ἐλαίας· τῷ χρώματι δὲ ἐρυθρόν. τὸ φύλλον· περὶ ἕνα μίσχον πλείω δαφνοειδῆ κατὰ συζυγίαν· ὥσπερ καὶ τὸ τῆς οἴης, καὶ τὸ ἐξ ἄκρου περιττόν· πλὴν ἀγωνιώτερον τῆς οἴης· καὶ δαφνοειδέστερον δὲ κύκλῳ· καὶ λιπαρὸν ἅμα ἅπαντι τῷ καρπῷ· φέρει δὲ καὶ κορυώδη τινὰ κοῖλα· καθάπερ ἡ πτελέα· ἐν οἷς θηρίδια ἐγγίνεται κωνωποειδῆ· ἐγγίνεται δὲ τι ῥητινῶδες ἐν τούτοις καὶ γλίσχρον· οὐ μὴν ἐντεῦθέν γε ἡ

ῥητίνη

ῥυτίνη συλλέγεται. ἀλλ' ἀπὸ τοῦ ξύλου. ὁ δὲ καρπὸς οὐκ ἀφίησι ῥυτίνης πλῆθος. ἀλλὰ προσέχεται μὲν ταῖς χερσί. κἂν μὴ πλυθῇ μετὰ τὴν συλλογὴν συνέχεται. πλυνόμενος δὲ, ὁ μὲν λευκὸς καὶ ἄπεπτος ἐπὶ πλεῖον. ὁ δὲ μέλας ὑφίσταται. ἡ δὲ πύξος μεγέθει μὲν οὐ μεγάλη. τὸ δὲ φύλλον ὅμοιον ἔχει μυρρίνῳ. φύεται δ' ἐν τοῖς ψυχροῖς τόποις καὶ τραχέσι. καὶ γὰρ τὰ κύτωρα τοιοῦτον, οὗ ἡ πλείστη γίνεται. ψυχρὸς δὲ ὁ ὄλυμπος ὁ μακεδονικός. καὶ γὰρ ἐνταῦθα γίνονται. πλὴν οὐ μεγάλαι. μέγισται δὲ καὶ κάλλισται ἐν κυρήνῃ. τὸ γὰρ μῆκος καὶ πάχος ἔχουσι πολὺ παρὰ τὰς ἄλλας. διὸ καὶ τὸ μέλι οὐχ ἡδὺ, ὄζον τῆς πύξου. πλῆθος δὲ πολύ. κράταιγος δ' ἐστὶν, οἱ δὲ κραταιγόνα καλοῦσιν. ἔχει δὲ τὸ μὲν φύλλον ὅμοιον μεσπίλῃ. τετανῇ, πλὴν μεῖζον ἐκείνου. πλατύτερον καὶ προμηκέστερον. τὸν δὲ χαραγμὸν οὐκ ἔχον, ὥσπερ κἀκεῖνο. γίνεται δὲ τὸ δένδρον οὔτε μέγα λίαν, οὔτε παχύ. τὸ δὲ ξύλον, ποικίλον, ἰσχυρὸν, ξανθόν. ἔχει δὲ φλοιὸν λεῖον οἷον μεσπίλη. μονόρριζον δ' εἰς βάθος ὡς ἐπὶ τὸ πολύ. καρπὸν δὲ ἔχει στρογγύλον ἡλίκον ἡ κότινος. πεπαινόμενος μὲν οὖν, ξηρὸς γίνεται, καὶ ἐπιμελαίνεται. κατὰ δὲ τὴν γεῦσιν καὶ τὸν χυλὸν μεσπιλῶδες. διόπερ οἷον ἀγρία δόξειεν ἂν εἶναι. μονοειδὲς δὲ καὶ οὐκ ἔχον διαφοράς. ὁ δὲ πρῖνος φύλλον μὲν ἔχει δρυῶδες, ἔλαττον δὲ ἐπακανθίζον. τὸν δὲ φλοιὸν, λειότερον δρυός. αὐτὸ δὲ τὸ δένδρον μέγα καθάπερ ἡ δρῦς ἐὰν ἔχῃ τόπον καὶ ἔδαφος. ξύλον δὲ πυκνὸν καὶ ἰσχυρόν. βαθύρριζον δ' ἐπιεικῶς καὶ πολύρριζον. καρπὸν δὲ ἔχει βαλανώδη. μικρὰ δὲ ἡ κάλανος. περικαταλαμβάνει δὲ ὁ νέος τὸν ἔνον. ὀψὲ γὰρ πεπαίνει. διὸ καὶ διφορεῖν τινές φασι. φέρει δὲ καὶ παρὰ τὴν βάλανον κόκκον τινὰ φοινικοῦν. ἴσχει δὲ καὶ ἰξίαν καὶ ὑφέαρ. ὥστε ἐνίοτε συμβαίνει τέτταρας ἅμα καρποὺς ἔχειν αὐτόν. δύο μὲν τοὺς ἑαυτῆς, δύο δ' ἄλλους, τόν τε τῆς ἰξίας καὶ τὸν τοῦ ὑφέαρος. καὶ τὴν μὲν ἰξίαν φέρει ἐκ τῶν πρὸς βορρᾶν. τὸ δὲ ὑφέαρ. ἐκ τῶν πρὸς μεσημβρίαν. οἱ δὲ περὶ ἀρκαδίαν δένδρον τι σμί

λακα καλοῦσιν· οὐδὲν ὅμοιον τῷ πρίνῳ. τὰ δὲ φύλλα
οὐκ ἀκανθώδη ἔχει, ἀλλ' ἁπαλώτερα καὶ βαθύτερα καὶ δια-
φορὰς ἔχοντα πλείους· οὐδὲ τὸ ξύλον ὥσπερ ἐκεῖνο στερεὸν ἢ πυ-
κνόν, ἀλλὰ μαλακὸν ἐν ταῖς ἐργασίαις. ὃ δὲ καλοῦσιν οἱ ἀρ-
κάδες φελλόδρυν, τοιάνδ' ἔχει τὴν φύσιν· ὡς μὲν ἁπλῶς εἰ-
πεῖν ἀναμέσον πρίνου καὶ δρυός ἐστι· καὶ ἔνιοί γε ὑπολαμβά-
νουσιν εἶναι θῆλυν πρῖνον· διὸ καὶ ὅπου μὴ φύεται πρῖνος, τού-
τῳ χρῶνται πρὸς τὰς ἁμάξας καὶ τὰ τοιαῦτα, καθάπερ οἱ
περὶ λακεδαίμονα καὶ ἠλείαν. καλοῦσι δὲ οἱ δωριεῖς καὶ ἀ-
ρίαν τὸ δένδρον. ἔστι δὲ μαλακώτερον καὶ μανότερον τοῦ πρίνου·
σκληρότερον δὲ καὶ πυκνότερον τῆς δρυός· καὶ τὸ χρῶμα φλοι-
ωθέντος τοῦ ξύλου, λευκότερον μὲν τοῦ πρίνου, οἰνωπότερον δὲ
τῆς δρυός. τὰ δὲ φύλλα προσέοικε μὲν ἀμφοῖν· ἔχει δὲ μείζω
μὲν ἢ ὡς πρῖνος, ἐλάττω δὲ ἢ ὡς δρῦς· καὶ τὸν καρπὸν τοῦ μὲν
πρίνου κατὰ μέγεθος ἐλάττω· ταῖς ἐλαχίσταις δὲ βαλάνοις ἴ-
σον· καὶ γλυκύτερον μὲν τοῦ πρίνου, πικρότερον δὲ τῆς δρυός.
καλοῦσι δέ τινες τὸν μὲν τοῦ πρίνου καὶ τὸν ταύτης καρπὸν, ἄκυ-
λον· τὸν δὲ τῆς δρυὸς βάλανον. μήτραν δὲ ἔχει φανερώτερον ἢ
ὁ πρῖνος. καὶ ἡ μὲν φελλόδρυς, τοιαύτην τινὰ ἔχει φύσιν. ἡ δὲ
κόμαρος ἡ τὸ μεμαίκυλον φέρουσα τὸ ἐδώδιμον, ἔστι μὲν οὐκ
ἄγαν μέγα· τὸν δὲ φλοιὸν ἔχει λεπτὸν μὲν, παρόμοιον δὲ μυρί-
κῃ· τὸ δὲ φύλλον μεταξὺ πρίνου καὶ δάφνης· ἀνθεῖ δὲ τοῦ πυα-
νεψιῶνος. τὰ δὲ ἄνθη πέφυκεν ἀπὸ μιᾶς κρεμάστρας ἐπ' ἄ-
κρων βοτρυδόν· τὴν δὲ μορφὴν ἕκαστόν ἐστιν ὅμοιον μύρτῳ
προμήκει· καὶ τῷ μεγέθει δὲ τηλικοῦτον· ἄφυλλον δὲ καὶ
κοῖλον ὥσπερ ᾠὸν ἐγκεκολαμμένον· τὸ στόμα δ' ἀνεωγμέ-
νον· ὅταν δ' ἀπανθήσῃ, καὶ ἡ πρόσφυσις τετρύπηται· τὸ δ' ἀ-
πανθῆσαν λεπτὸν, ὥσπερ σφόνδυλος περὶ ἄτρακτον, ἢ
κάρυφος δωρικός. ὁ δὲ καρπὸς ἐνιαυτῷ πεπαίνεται· ὥσθ'
ἅμα συμβαίνει τοῦτόν τ' ἔχειν, καὶ τὸν ἕτερον ἀνθεῖν. πα-

ρόμοιον δὲ τὸ φύλλον καὶ ἡ ἀνδράχνη ἔχει τῷ κομάρῳ. μέγεθος
δ' οὐ καθάπερ μέγα. τὸν δὲ φλοιὸν λεῖον ἔχει καὶ περιρρηγνύμενον. καρπὸν
δὲ ἔχει ὅμοιον τῷ κομάρῳ. ὅμοιον δέ ἐστι τούτοις τὸ φύλλον καὶ τὸ τῆς
κοκκυμηλέας. τὸ δὲ δένδρον μικρόν. ἴδιον δὲ ἔχει καὶ τὸ ἐκπαπ-
ποῦσθαι τὸν καρπόν. τοῦτο δὲ οὐδὲ ἑνὸς ἀκηκόαμεν ἄλλου δένδρου. ταῦ-
τα μὲν οὖν κοινότερα πλείοσι χώραις καὶ τόποις. ἔνια δὲ ἰδιώτερα.
καθάπερ καὶ ὁ φελλός. ὃς γίνεται μὲν ἐν τυρρηνίᾳ. τὸ δὲ δένδρον ἐ-
στὶ στελεχῶδες μὲν καὶ ὀλιγόκλαδον. εὐμήκες δ' ἐπιεικῶς. καὶ εὐαυξές. ξύ-
λον ἰσχυρόν. τὸν δὲ φλοιὸν παχὺν σφόδρα καὶ καταρρηγνύμενον. ὥσ-
περ ὁ τῆς πίτυος. πλὴν κατὰ μεῖζω. τὸ δὲ φύλλον, ὅμοιον ταῖς μελί-
αις, παχὺ, προμηκέστερον. οὐκ ἀείφυλλον. ἀλλὰ φυλλοβολοῦν. καρ-
πὸν δὲ αἰεὶ φέρει βαλανηφόρον ὅμοιον τῇ ἀρίᾳ. περιαιροῦσι δὲ
τὸν φλοιόν. καὶ φασὶ δεῖν πάντων περιαιρεῖν. εἰ δὲ μὴ, χεῖρον γίνεσθαι τὸ δένδρον.
ἀναπληροῦται δὲ πάλιν σχεδὸν ἐν τρισὶν ἔτεσιν. ἴδιον δὲ καὶ
ἡ κολουτέα περὶ λιπάραν. δένδρον μὲν εὐμέγεθες. τὸν δὲ καρπὸν
φέρει ἐν λοβοῖς ἡλίκον φακόν. ὃς πιαίνει τὰ πρόβατα θαυμα-
στῶς. φύεται δὲ ἀπὸ σπέρματος καὶ ἐκ τῆς τῶν προβάτων κόπρου
μάλιστα. ὥρα δὲ τῆς φυτείας, ἅμα ἀρκτούρου δυομένου. δεῖ
δὲ φυτεύειν προβρέχοντας. ὅταν ἤδη διαφύηται ἐν τῷ ὕδατι.
φύλλον δ' ἔχει παρόμοιον τήλει. βλαστάνει δὲ τὸ πρῶτον μονο-
φυές, ὡς ἔτη μάλιστα τρία. ἐν οἷς καὶ τὰς βακτηρίας τέμνου-
σι. δοκοῦσι γὰρ εἶναι καλαί. καὶ ἐάν τις κολούσῃ, ἀποθνήσκει.
καὶ γὰρ ἀπαράβλαστόν ἐστιν. εἶτα σχίζονται καὶ ἀποδενδροῦ-
ται τῷ τετάρτῳ ἔτει. ἡ δὲ περὶ τὴν ἴδην, ἣν καλοῦσι κολυ-
τέαν, ἕτερον εἶδός ἐστι. θαμνῶδες δὲ καὶ ὀζῶδες, καὶ πολυμά-
σχαλον. σπάνιον δέ, οὐ πολύ. ἔχει δὲ φύλλον δαφνοειδὲς πλα-
τυφύλλου δάφνης. πλὴν στρογγυλότερον καὶ μεῖζον, ὥστε ὅ-
μοιον φαίνεσθαι τῷ τῆς πτελέας. προμηκέστερον δέ. τὴν χρό-
αν ἐπιθάτερα χλωρόν. ὄπισθεν δὲ ἐπιλευκαῖνον. καὶ πολύϊνον
ἐκ τῶν ὄπισθεν ταῖς λεπταῖς ἰσὶ καὶ ταῖς ῥίζαις. καὶ μεταξὺ τῶν

πλευροειδῶν ἀπὸ μέσης κατατεινουσῶν. φλοιὸν δ' οὔλιαν, ἀλ-
λοῖον τὸ τῆς ἀμπέλου· τὸ δὲ ξύλον σκληρὸν καὶ πυκνόν· ῥίζας δὲ
ἐπιπολαίους καὶ λεπτὰς καὶ μανάς· οὔλας δ' ἐνίοτε καὶ ξανθὰς
σφόδρα. καρπὸν δ' οὐκ ἔχειν φασὶν οὐδὲ ἄνθος. τὴν δὲ κορυώ-
δη κάχρυν καὶ τοὺς ὀφθαλμοὺς τοὺς περὶ τὰ φύλλα λείους σφό-
δρα καὶ λιπαροὺς καὶ λευκούς. τῷ σχήματι δὲ καχρυώδεις. ἀποκο-
πὲν δ' ἢ ἐπικαυθὲν, παραφύεται καὶ ἀναβλαστάνει. ἴδια δ' ἐστὶ τά
δὲ περὶ τὴν Ἴδην ἐστίν· οἷον ἥ τε ἀλεξανδρεία καλουμένη δάφνη καὶ
συκῆ τις καὶ ἄμπελος. τῆς μὲν οὖν δάφνης ἐν τούτῳ τὸ ἴδιον, ὅτι ἐ-
πιφυλλόκαρπόν ἐστιν, ὥσπερ καὶ ἡ κεντρομυρρίνη. ἀμφότεραι
γὰρ τὸν καρπὸν ἔχουσιν ἐκ τῆς ῥάχεως τοῦ φύλλου. ἡ δὲ συκῆ θα-
μνώδης μὲν, καὶ οὐχ ὑψηλόν. πάχος δὲ ἔχει, ὥστε καὶ πηχυαῖον εἶ-
ναι τὴν περίμετρον. τὸ δὲ ξύλον ἐπεστραμμένον, γλίσχρον. κά-
τωθεν μὲν λεῖον καὶ ἄοζον· ἄνωθεν δὲ περίκομον. χρῶμα δὲ καὶ
φύλλα καὶ φλοιοῦ, πελιόν. τὸ δὲ σχῆμα τῶν φύλλων ὅμοιον τῷ τῆς
φιλύρας· καὶ μαλακὸν δὲ καὶ πλατύ, καὶ τὸ μέγεθος παραπλή-
σιον. ὡς ἄνθος μεσπιλῶδες. καὶ ἀνθεῖ ἅμα τῇ μεσπίλῃ. ὁ δὲ καρ-
πὸς, ὃν καλοῦσι σῦκον, ἐρυθρὸς ἡλίκος ἐλαίας· πλὴν στρογγυ-
λώτερος. ἐσθιόμενος δὲ, μεσπιλώδης. ῥίζας δὲ ἔχει παχείας, ὥσ-
περ αὖ συκῆς ἡμέρου καὶ γλίσχρας. ἀσαπὲς δ' ἐστὶ τὸ δένδρον. καὶ καρ-
δίαν ἔχει στερεὰν οὐκ ἐντεριώνην. ἡ δὲ ἄμπελος φύεται μὲν τῆς
Ἴδης, περὶ δὲ τὰς φαλάκρας καλουμένας. ἔστι δὲ θαμνώ-
δες ῥαβδίοις μικροῖς· τείνονται δὲ οἱ κλῶνες ὡς πυγωνιαῖοι.
πρὸς οἷς ῥᾶγες εἰσὶν ἐκ πλαγίου μέλαιναι· τὸ μέγεθος, ἡλίκος κύ-
αμος. γλυκεῖαι. ἔχουσι δ' ἐντὸς γιγαρτῶδές τι μαλακόν. φύλ-
λον στρογγύλον ἀσχιδὲς μικρόν. ἔχει δὲ καὶ τἄλλα σχεδὸν ὄρη φύ-
σεις τινὰς ἰδίας· τὰ μὲν, δένδρων· τὰ δὲ, θάμνων· τὰ δὲ ἄλλων
ὑλημάτων. ἀλλὰ γὰρ περὶ μὲν τῆς ἰδιότητος εἴρηται πολλά-
κις, ὅτι γίνεται καθ' ἑκάστους τόπους. ἡ δ' ἐν αὐτοῖς τοῖς ὁμογενέ-
σιν ἡ διαφορά. καθάπερ ἡ τῶν δένδρων καὶ τῶν θάμνων ὁμοίως εἴρηκε

τῶν

τῶν ἀγρίων ὥσπερ εἴρηται τῶν πλείστων. ὥσπερ καὶ ῥάμνου. καὶ παλιούρου. καὶ ἴσου. καὶ ῥοῦ. καὶ κίστου. καὶ βάτου. καὶ ἑτέρων πολλῶν. ῥάμνος τε γὰρ ἡ μέν ἐστι μέλαινα. ἡ δὲ, λευκή. καὶ ὁ καρπὸς διάφορος. ἀκανθοφορεῖ δὲ ἄμφω. τοῦ τε ἴσου τὸ μὲν, λευκόν. τὸ δὲ, μέλαν. καὶ τὸ ἄνθος ἑκατέρου καὶ ὁ καρπὸς κατὰ λόγον. ὁ μὲν, λευκός. ὁ δὲ, μέλας. ἐνίων δὲ καὶ ὥσπερ ἅμα μέσον ὂν τὸ ἄνθος ἐπιπορφυρίζει. καὶ οὔτε οἰνωπόν, οὔτε ἔκλευκόν ἐστιν, ὥσπερ τινῶν. ἔχει δὲ καὶ τὰ φύλλα λεπτότερα καὶ λειότερα καὶ τὰς ῥάβδους, τὸ λευκόν. ὅ, τε παλίουρος ἔχει διαφοράς. ἅπαντα δὲ ταῦτα καρποφόρα. καὶ ὅ γε παλίουρος, φυλλοβόλῳ τινὶ τὸν καρπὸν ἔχει, καθάπερ τὸ φύλλον. ἐν ᾧ τρία ἢ τέτταρα γίνεται. χρῶνται δὲ αὐτῷ πρὸς τοὺς βῆχας οἱ ἰατροὶ κόπτοντες. ἔχει γάρ τινα γλισχρότητα καὶ λίπος. ὥσπερ τὸ τοῦ λίνου σπέρμα. φύεται δὲ καὶ ἐπὶ τοῖς ἐφύδροις. καὶ ἐν τοῖς ξηροῖς. ὥσπερ ὁ βάτος. οὐχ ἧττον δέ ἐστι τὸ δένδρον πάρυδρον. φυλλοβόλον δὲ καὶ οὐχ ὥσπερ ἡ ῥάμνος ἀείφυλλον. ἔτι δὲ καὶ τοῦ βάτου πλείω γένη, μεγίστην δὲ ἔχοντες διαφοράν. ὅτι ὁ μὲν, ὀρθοφυὴς καὶ ὕψος ἔχων. ὁ δὲ ἐπὶ τῆς γῆς καὶ εὐθὺς κατανεύων. καὶ ὅταν συνάπτῃ τῇ γῇ ῥιζούμενος πάλιν. ὃν δὴ καλοῦσί τινες χαμαίβατον. τὸ δὲ κυνόσβατον τὸν καρπὸν ὑπέρυθρον ἔχει, καὶ παραπλήσιον τῷ τῆς ῥόας. ἔστι δὲ δένδρου καὶ θάμνου μεταξύ, καὶ παρόμοιον ταῖς ῥόαις. τὸ δὲ φύλλον ἀγνῶδες. τῆς δὲ ῥοῦ, τὸ μὲν ἄρρεν. τὸ δὲ θῆλυ καλοῦσι, διὰ τὸ μὲν, ἄκαρπον εἶναι, τὸ δὲ, κάρπιμον. οὐκ ἔχει δὲ οὐδὲ τὰς ῥάβδους ὑψηλὰς οὐδὲ παχείας. φύλλον δὲ ὅμοιον πτελέᾳ πλὴν μικρὸν καὶ προμηκέστερον καὶ ἐπίδασυ. τῶν δὲ κλωνίων τῶν νέων ἐξ ἴσου τὰ φύλλα εἰς δύο. κατάδηλα δὲ ἐκ τῶν πλαγίων, ὥστε στοιχεῖν. βάπτουσι δὲ τούτῳ καὶ οἱ σκυτοδέψαι τὰ λευκὰ δέρματα. ἄνθος λευκὸν βοτρυῶδες. τῷ σχήματι δὲ τὸ ὁλοσχερὸς ὄσυγγας ἔχον. ὥσπερ καὶ ὁ βότρυς. ἀπανθήσαντος δὲ ὁ καρπὸς ἅμα τῇ σταφυλῇ ἐρυθραίνεται. καὶ γί

μονται οἷον φακοὶ λεπτοὶ συγκείμενοι· βοτρυδὸν δὲ τὸ σχῆμα καὶ τούτων. ἔχει δὲ τὸ φαρμακῶδες τοῦτο ὃ καλεῖται ῥοῦς ἐν αὑτῷ ὀσμῶδες· ὃ καὶ τῆς ῥοῦ διηθημένης ἔχει πολλάκις. ῥίζα δὲ ἐπιπολαία καὶ μονοφυής, ὥστε ἀνασπᾶσθαι ῥᾳδίως ὁλόρριζα· τὸ δὲ ξύλον εὐτεριώνην· ἄφθαρτον δέ, κοπτόμενον. ἐν πᾶσι δὲ γίνεται τοῖς τόποις ὡς εἰπεῖν, μάλιστα ἐν τοῖς ἀργιλώδεσι. πολυειδὴς δὲ ὁ κιττὸς· καὶ γὰρ ἐπίγειος· ὁ δέ, εἰς ὕψος αἰρόμενος· καὶ τῶν ἐν ὕψει πλείω γένη. τρία δ' οὖν φαίνεται τὰ μέγιστα· ὅ, τε λευκός, ὁ μέλας, ἡ τρίτη ἡ ἕλιξ. εἴδη δὲ ἑκάστου τούτων πλείω. λευκὸς γάρ, ὁ μὲν τῷ καρπῷ μόνῳ, ὁ δὲ καὶ τοῖς φύλλοις ἐστί. πάλιν δὲ τῶν λευκοκάρπων μόνων, ὁ μὲν ἁδρὸν καὶ πυκνὸν καὶ συνεστηκότα τὸν καρπὸν ἔχει καθάπερ εἰς σφαῖραν· ὃν δὴ καλοῦσί τινες κορυμβίαν· οἱ δὲ Ἀθήνησιν ἀχαρνικὸν ἀρδυόμενον· ὁ δέ, ἐλάττω διακεχυμένος, ὥσπερ καὶ ὁ μέλας. ἔχει δὲ καὶ ὁ μέλας διαφοράς· ἀλλ' οὐχ ὁμοίως φανερῶς. ἡ δὲ δὴ ἕλιξ ἐν μεγίσταις διαφοραῖς· καὶ γὰρ τοῖς φύλλοις πλεῖστον διαφέρει, τῇ τε μικρότητι καὶ τῷ γωνοειδῆ, καὶ εὐρυθμότερα εἶναι· τὰ δὲ τοῦ κιττοῦ περιφερέστερα καὶ ἁπλᾶ· καὶ τῷ μήκει τῶν κλημάτων· καὶ ἔτι τῷ ἄκαρπος εἶναι. διατείνονται γάρ τινες τῷ μὴ ἀποκιττοῦσθαι τῇ φύσει τὴν ἕλικα, ἀλλὰ τὴν ἐκ τοῦ κιττοῦ τελειουμένην. εἰ δὲ πᾶσα ἀποκιττοῦται καθάπερ τινές φασιν, ἡλικίας ἂν εἴη καὶ διαθέσεως, οὐκ εἴδους ἡ διαφορά· καθάπερ καὶ τῆς ἀπίου πρὸς τὴν ἀχράδα· πλὴν τό γε φύλλον καὶ ταύτης, πολὺ διαφέρει πρὸς τὸν κιττόν. σπάνιον δὲ τοῦτο καὶ ἐν ὀλίγοις ἐστίν· ὥστε παλαιούμενον μεταβάλλειν ὥσπερ ἐπὶ τῆς λεύκης καὶ τοῦ κρότωνος. εἴδη δ' ἐστὶ πλείω τῆς ἕλικος· ὡς μὲν τὰ προφανέστατα καὶ μέγιστα λαβεῖν τρία· ἥ τε χλωρὰ καὶ ποώδης, ἥπερ καὶ πλείστη· καὶ ἑτέρα ἡ λευκή· καὶ τρίτη, ἡ ποικίλη, ἣν δὴ καλοῦσί τινες θρακίαν. ἑκάστη δὲ τούτων δοκεῖ διαφέρειν· καὶ γὰρ τῆς χλοώδους, ἡ μὲν λεπτοτέρα καὶ μακροφυλλοτέρα καὶ ἔτι πυκνοφυλλοτέρα· ἡ δ' ἧττον πάντα ταῦτα

ἔχουσα· καὶ

τε χρυσᾶ· καὶ ἡ ποικίλη, ἡ μὲν μεῖζον, ἡ δὲ ἔλαττον τὸ φύλλον, καὶ τῇ ποικιλίᾳ διαφέρουσα· ὡσαύτως δὲ καὶ τῷ μεγέθει καὶ τῇ χροιᾷ διαφέρουσιν. ἀναξεστάτη δὲ ἡ ποώδης καὶ ἐπὶ πλεῖον προϊοῦσα. φανερὰν δ' εἶναί φασι τὴν ἀτελειότητα αὐτῶν, οὐ μόνον τοῖς φύλλοις ὅτι μείζω καὶ πλατύτερα ἔχει, ἀλλὰ καὶ τοῖς βλαστοῖς. εὐθὺς γὰρ ὀρθοὺς ἔχει· καὶ οὐχ ὥσπερ κατακεκαμμένη καὶ διὰ τὴν λεπτότητα καὶ διὰ τὸ μῆκος τῆς ἑλικώδους, καὶ βραχύτεροι καὶ παχύτεροι. ὁ καὶ κιττὸς ὅταν ἄρχηται σπερμοῦχειν· μετέωρον ἔχει καὶ ὀρθὸν τὸν βλαστόν. πολύρριζος μὲν οὖν ἅπας κιττὸς καὶ πυκνόρριζος· συνεστραμμένος· ταῖς ῥίζαις δὲ ξυλώδεσι καὶ παχείαις καὶ οὐκ ἄγαν βαθυρρίζοις· καὶ μάλιστα ὁ μέλας· καὶ τοῦ λευκοῦ ὁ τραχύτατος· καὶ ἀγριώτατος· διὸ καὶ χαλεπὸς παραφύεσθαι πᾶσι τοῖς δένδροις· ἀπόλλυσι γὰρ πάντα καὶ ἀφαναίνει, παραιρούμενος τὴν τροφήν· λαμβάνει δὲ μάλιστα πάχος οὗτος καὶ ἀποδενδροῦται· καὶ γίνεται αὐτὸ καθ' αὑτὸ κιττοῦ δένδρον· ὡς δὲ ἐπὶ τὸ πλεῖον ἀεὶ πρὸς ἑτέρῳ φιλεῖ καὶ ζητεῖ· καὶ ὥσπερ ἐπαλλόκαλόν ἐστιν. ἔχει δ' εὐθὺς καὶ τῆς φύσεώς τι τοιοῦτον· ἀπὸ γὰρ τῶν βλαστῶν ἀφίησιν ἀεὶ ῥίζας ἀνὰ μέσον τῶν φύλλων· αἷς ὥσπερ ἐνδύεται τοῖς δένδροις καὶ τοῖς τειχίοις· οἷον ἐξεπίτηδες πεποιημέναις ὑπὸ τῆς φύσεως. διὸ καὶ ἐξαιρούμενος τὴν ὑγρότητα καὶ ἕλκων ἀφαναίνει· καὶ ἐὰν ὑποκοπῇ κάτωθεν, δύναται διαμένειν καὶ ζῆν. ἔχει δὲ καὶ ἑτέραν διαφορὰν κατὰ τὸν καρπὸν οὐ μικράν. ὁ μὲν γὰρ, ἐπίγλυκύς ἐστιν· ὁ δὲ, σφόδρα πικρὸς καὶ τοῦ λευκοῦ καὶ τοῦ μέλανος· σημεῖον δ' ὅτι τὸν μὲν ἐσθίουσιν οἱ ὄρνιθες, τὸν δ' οὔ. τὰ μὲν οὖν περὶ τὸν κιττόν, οὕτως ἔχει. ἡ δὲ σμῖλαξ ἐστὶ μὲν ἐπαλλόκαρπον· ὁ δὲ καρπὸς ἀκανθώδης· καὶ ὥσπερ ὀρθόκανθον· τὸ δὲ φύλλον, κιττώδες μικρὸν ἀγώνιον, κατὰ τὴν μίσχου πρόσφυσιν νοτηρόν· ἴδιον δ' ὅτι τήν τε διὰ μέσου ταύτην ὥσπερ ῥάχιν λεπτὴν ἔχει, καὶ τὰς στημονίους διαλήψεις οὐκ ἀπὸ ταύτης ὥσπερ τὰ τῶν ἄλλων, ἀλλὰ περὶ αὐτὴν περιφερεῖς ἠγμένας ἀπὸ τῆς προσφύσεως τοῦ μίσχου τοῦ

φύλλῳ· παρὰ δὲ τὸν καυλὸν τὸμ ἄρμομ τὰ παρὰ τὰς διαλείψεις τὰς φυλλικὰς, ἐκ τῶν αὐτῶν μίσχων τοῖς φύλλοις παραπέφυκεν ἴουλος λεπτὸς καὶ ἑλικτός· ἄνθος δὲ λευκὸν καὶ εὐῶδες λειρινόν· τὸν δὲ καρπὸν ἔχει προσεμφερῆ τῷ στρύχνῳ τῷ μηλώθρῳ καὶ μάλιστα τῇ καλουμένῃ σταφυλῇ ἀγρίᾳ· κατακρέμασοι δὲ οἱ βότρυς κιττοῦ τρόπον· παρεγγίζει δὲ ὡς πρὸς τὴν σταφυλήν· ἀπὸ γὰρ ἑνὸς σημείου οἱ μίσχοι ὁρμῶνται· ὁ δὲ καρπὸς ἐρυθρὸς ἔχων πυρῆνας, τὸ μὲν ἐπίπαν δύο· ἐν τοῖς μείζοσι δὲ τρεῖς. ἐν δὲ τοῖς μικροῖς ἕνα· σκληρὸς δ᾽ ὁ πυρὴν εὖ μάλα· καὶ τῷ χρώματι μέλας ἔξωθεν, ἴδιον δὲ τῶν βοτρύων, ὅτι ἐκ πλαγίων τε τὸν καυλὸν παραθειγίζουσι καὶ κατ᾽ ἄκρον ὁ μέγιστος βότρυς τὸν καυλόν, ὥσπερ ἐπὶ τῆς ῥάμνου καὶ τῆς βάτου· τοῦτο δὲ δῆλον ὡς καὶ ἀκρόκαρπον, καὶ πλαγιόκαρπον· τὸ δὲ εὐώνυμον προσαγορευόμενον δένδρον, φύεται μὲν ἄλλοθί τε, καὶ τῆς λέσβου ἐν τῷ ὄρει τῷ ὀρκυνίῳ ὀρδύννῳ καλουμένῳ· ἔστι δὲ ἡλίκον ῥόα· καὶ τὸ φύλλον ἔχει ῥοῶδες· μεῖζον δὲ ἢ χαμαιδάφνης, μαλακὸν ὥσπερ ἡ ῥόα· ἡ δὲ βλάστησις ἄρχεται μὲν αὐτῆς περὶ τὸν ποσειδεῶνα· ἀνθεῖ δὲ τοῦ ἦρος· τὸ δὲ ἄνθος ὅμοιον τὴν χρόαν τῷ λευκῷ ἴῳ· ὄζει δὲ δεινὸν ὥσπερ φόνου· ὁ δὲ καρπὸς ἐμφερὴς τὴν μορφὴν μετὰ τοῦ κελύφους τῷ τῆς σησάμου λοβῷ· ἔνδοθεν δὲ στερεὸν πλὴν διῃρημένον κατὰ τὴν τετραστοιχίαν· τοῦτο ἐσθιόμενον ἀπὸ τῶν προβάτων, ἀποκτείνει καὶ τὸ φύλλον καὶ ὁ καρπός· καὶ μάλιστα τὰς αἶγας, ἐὰν μὴ καθάρσεως τύχῃ· καθαίρεται δὲ ἀνόχῳ· περὶ μὲν οὖν δένδρων καὶ θάμνων εἴρηται· τὰ δὲ τοῖς ἑξῆς περὶ τῶν λειπομένων λεκτέον.

~ΤΕΛΟΣ~

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΙΣΤΟΡΙΑΣ ΤΟ Δ'.

ΑΙ μὲν οὖν διαφοραὶ τῶν ὁμογενῶν τεθεώρηνται πρότερον. ἅπαντα δ' ἐν τοῖς οἰκείοις τόποις καλλίω γίνεται, καὶ μᾶλλον εὐθενεῖ. καὶ γὰρ τοῖς ἀγρίοις εἰσὶν ἑκάστοις οἰκεῖοι, καθάπερ τοῖς ἡμέροις. τὰ μὲν γὰρ φιλεῖ τοὺς ἐφύδρους καὶ ἑλώδεις. οἷον αἴγειρος, λεύκη, ἰτέα. καὶ ὅλως τὰ παρὰ τοὺς ποταμοὺς φυόμενα. τὰ δὲ, τοὺς εὐσκεπεῖς καὶ εὐηλίους. τὰ δὲ μᾶλλον τοὺς παλισκίους. πεύκη μὲν γὰρ ἐν τοῖς προσηλίοις καλλίστη καὶ μεγίστη φύεται. ἐν δὲ τοῖς παλισκίοις ὅλως οὐ φύεται. ἐλάτη δ' ἀνάπαλιν, ἐν τοῖς παλισκίοις καλλίστη. τοῖς δ' εὐηλίοις οὐχ ὁμοίως. ἐν ἀρκαδίᾳ γοῦν περὶ τὴν κράνην καλουμένην, τόπος ἐστί τις κοῖλος καὶ ἄπνους, εἰς ὃν οὐδέποθ' ὅλως ἥλιον ἐμβάλλειν φασίν. ἐν τούτῳ δὲ πολὺ διαφέρουσιν αἱ ἐλάται καὶ τῷ μήκει καὶ τῷ πάχει. οὐ μὴν ὁμοίως γε πυκναὶ, οὐδ' ὡραῖαι. ἀλλ' ἥκιστα καθάπερ αἱ πεῦκαι, αἱ ἐν τοῖς παλισκίοις. διὸ καὶ πρὸς τὰ πολυτελῆ τῶν ἔργων, οἷον θυρώματα καὶ εἴ τι ἄλλο σπουδαῖον, οὐ χρῶνται τούτοις. ἀλλὰ πρὸς τὰς ναυπηγίας μᾶλλον καὶ τὰς οἰκοδομίας. καὶ γὰρ δοκεῖ κάλλισται καὶ ταμεῖαι καὶ ἀκίριαι αἱ ἐκ τούτων. ἔτι δὲ ἱστοὶ τῷ μήκει διαφέροντες. ἀλλ' οὐχ ὁμοίως ἰσχυροί, τοῖς ἐκ τῶν προσηλίων. ἀλλὰ τῇ βραχύτητι πυκνότεροί τε ἐκείνων καὶ ἰσχυρότεροι γίνονται. χαίρει δὲ σφόδρα καὶ ἡ μίλος τοῖς παλισκίοις, καὶ ἡ σφένδος, καὶ θραύπαλος. περὶ δὲ τὰς κορυφὰς τῶν ὀρέων καὶ τοὺς ψυχροὺς τόπους, θεία μὲν φύεται εἰς ὕψος. ἐλά-

τῇ δὲ καὶ ἄρκευθος φύεται μὲν οὐκ εἰς ὕψος δέ· καθάπερ καὶ περὶ τὴν ἄκραν κυλλήνην· φύεται δὲ καὶ ἡ κήλαστρος ἐπὶ τῶν ἄκρων καὶ χειμεριωτάτων· ταῦτα μὲν οὖν αὐτῆς θέλει φιλόψυχα· τὰ δ' ἄλλα πάντα ὡς εἰπεῖν μᾶλλον χαίρει τοῖς προσηλίοις· οὐ μὴν ἀλλὰ καὶ τοῦτο συμβαίνει κατὰ τὴν χώραν οἰκείαν ἑκάστῳ τῶν δένδρων· ἐν κρήτῃ γοῦν φασιν ἐν τοῖς ἰδαίοις ὄρεσι καὶ ἐν τοῖς λευκοῖς καλουμένοις, ἐπὶ τῶν ἄκρων ὅθεν οὐδέποτε ἐπιλείπει χιών, κυπάριττον εἶναι· πλείστη γὰρ αὕτη τῆς ὕλης καὶ ὅλως ἐν τῇ νήσῳ καὶ ἐν τοῖς ὄρεσιν· ἔστι δ' ὥσπερ καὶ πρότερον εἴρηται καὶ τῶν ἀγρίων καὶ τῶν ἡμέρων, τὰ μὲν, ὀρεινά· τὰ δὲ, πεδεινὰ μᾶλλον· ἀνάλογον δὲ καὶ ἐν αὐτοῖς τοῖς ὄρεσι, τὰ μὲν ἐν τοῖς ὑποκάτω, τὰ δὲ, περὶ τὰς κορυφάς· ὥστε καὶ κάλλιω γίνεται καὶ εὐσθενῆ· πανταχοῦ δὲ καὶ πάσης τῆς ὕλης τὰ πρὸς βορρᾶν τὰ ξύλα πυκνότερα καὶ καλλίω φέρει, καὶ ἁπλῶς καλλίω· καὶ ὅλως δὲ πλείω ἐν τοῖς προσβορείοις φύεται· αὐξάνεται δὲ καὶ ἐνδίδωσι τὰ πυκνὰ μὲν ὄντα μᾶλλον εἰς μῆκος· διὸ καὶ ἄοζα καὶ εὐθέα καὶ ὀρθοφυῆ γίνεται, καὶ κωπεῶνες ἐκ τούτων κάλλιστοι· μᾶλλον δὲ εἰς βάθος καὶ πάχος· διὸ καὶ σκολιώτερα καὶ ὀζωδέστερα καὶ τὸ ὅλον στερεώτερα καὶ πυκνότερα φύεται· σχεδὸν δὲ τὰς αὐτὰς ἔχει διαφορὰς τούτοις, καὶ ἐν τοῖς παλισκίοις, καὶ ἐν τοῖς εὐηλίοις, καὶ ἐν τοῖς εὐπνόοις· ὀζωδέστερα γὰρ καὶ βραχύτερα καὶ ἧττον εὐθέα τὰ ἐν τοῖς εὐηλίοις ἢ τοῖς προσηνέμοις· ὅτι δὲ ἕκαστον ζητεῖ καὶ χώραν οἰκείαν καὶ κρᾶσιν ἀέρος, φανερὸν, τῷ τὰ μὲν, φέρειν ἐνίους τόπους, τὰ δὲ μὴ φέρειν, μήτε αὐτὰ γινόμενα μήτε φυτευόμενα ῥᾳδίως· ἐὰν δὲ καὶ ἀντιλάβηται μὴ καρποφορεῖν, ὥσπερ ἐπὶ τοῦ φοίνικος ἐλέχθη, καὶ τῆς αἰγυπτίας συκαμίνου καὶ ἄλλων· εἰσὶ γὰρ πλείω καὶ ἐν πλείοσι χώραις τὰ μὲν, ὅλως φυόμενα, ἀναυξῆ δὲ καὶ ἄκαρπα καὶ τὸ ὅλον φαῦλα· περὶ ὧν ἴσως λεκτέον ἐφ' ὅσον ἔχομεν ἱστορίας· ἐν αἰγύπτῳ γάρ ἐστιν ἔνια δένδρα πλείω, ἥ τε συκάμινος, καὶ ἡ περσέα καλουμένη, καὶ ἡ βάλανος, καὶ ἡ ἄκανθος, καὶ ἕτερα ἄττα· ἔστι δὲ ἡ μὲν συκάμινος παραπλησία πως τῇ ἐνταῦθα συκαμίνῳ· καὶ γὰρ τὸ φύλλον ἔχει καὶ τὸ μέγεθος, καὶ τὴν ὅλην πρό-

σοψιν· τὸν

στύψιν· τὸν δὲ καρπὸν ἰδίως φέρει παρὰ τὰ ἄλλα, καθάπερ ἐλέχθη καὶ ἐν τοῖς ἐξ ἀρχῆς· οὐ γὰρ ἀπὸ τῶν βλαστῶν, οὐδ' ἀπὸ τῶν ἀκρεμόνων, ἀλλ' ἐκ τοῦ στελέχους· μέγεθος μὲν, ἡλίκον σῦκον· τῇ ὄψει δὲ παραπλήσιον· τῷ χυλῷ δὲ καὶ τῇ γλυκύτητι τοῖς ὀλύνθοις· πλὴν γλυκύτερον πολὺ, καὶ κεγχραμίδας ὅλως οὐκ ἔχοντα· πλῆθος δὲ πολύν· καὶ πέττειν οὐ δύναται, ἂν μὴ ἐπικνισθῇ· ἀλλ' ἔχοντες ὄνυχας σιδηρᾶς, ἐπικνίζουσιν· ἃ δ' ἂν ἐπικνισθῇ, τεταρταῖα πέττεται· τούτων δ' ἀφαιρεθέντων, πάλιν ἄλλα φύεται, καὶ ἐκ τοῦ αὐτοῦ τόπου μηδὲν παραλλάσσοντα· τοῦτο δ' οἱ μὲν, τρὶς, οἱ δὲ πλεονάκις φασὶ γίνεσθαι· πολύοπον δὲ τὸ δένδρον σφόδρα ἐστί· καὶ τὸ ξύλον αὐτῆς, εἰς πολλὰ χρήσιμον· ἴδιον δὲ ἔχειν δοκεῖ παρὰ τὰ ἄλλα· μηθὲν γὰρ ἐστὶν εὐθὺς χλωρόν· αὐαίνεται δὲ εἰς βυθόν· εἰς βόθυνον δὲ ἐμβάλλουσι καὶ εἰς τὰς λίμνας εὐθὺς, καὶ ταριχεύουσι· βρεχόμενον δ' ἐν τῷ βυθῷ, ξηραίνεται· καὶ ὅταν τελέως ξηρὸν γένηται, τότε ἀναφέρεται καὶ ἐπινεῖ· καὶ δοκεῖ καλῶς τότε τεταριχεῦσθαι· γίνεται γὰρ κοῦφον καὶ μανόν· ἡ μὲν οὖν συκάμινος ἔχει ταύτας τὰς ἰδιότητας· ἔοικε δὲ παραπλησία τις ἡ φύσις εἶναι καὶ τῆς ἐν κρήτῃ καλουμένης κυπρίας συκῆς· καὶ γὰρ ἐκείνη φέρει τὸν καρπὸν ἐκ τοῦ στελέχους, καὶ ἐκ τῶν παχυτάτων ἀκρεμόνων· πλὴν ὅτι βλαστόν τινα ἀφίησι μικρὸν ἄφυλλον ὥσπερ ῥιζίον· πρὸς ᾧ δ' ὁ καρπός· τὸ δὲ στέλεχος μέγα καὶ παρόμοιον τῇ λεύκῃ· φύλλον δὲ τῇ πτελέᾳ· πεπαίνει δὲ τέτταρας καρπούς· ὅσαιπερ αὐτοῦ καὶ αἱ βλαστήσεις· οὐδένα δὲ πεπαίνει, μὴ ἐπιτμηθέντος τοῦ ἐρινοῦ τὸ ἐκρυὲν τοῦ ὀποῦ· ἡ δὲ γλυκύτης, προσεμφερὴς τῷ σύκῳ· τὰ ἔσωθεν τοῖς ἐρινοῖς· μέγεθος ἡλίκον κοκκύμηλον· ταύτῃ δὲ παραπλησία καὶ ἣν οἱ ἴωνες κερωνίαν καλοῦσιν· ἐκ στελέχους γὰρ καὶ αὐτὴ φέρει τὸν πλεῖστον καρπόν· ἀπὸ δὲ τῶν ἀκρεμόνων ὥσπερ εἴρηται ὀλίγον· ὁ δὲ καρπὸς ἐν λοβῷ· ὃν καλοῦσί τινες αἰγύπτιον σῦκον, διημαρτηκότες· οὐ γίνεται γὰρ ὅλως περὶ αἴγυπτον, ἀλλὰ περὶ συρίαν· καὶ ἐν ἰωνίᾳ δὲ, περὶ κνίδον καὶ ῥόδον· ἀείφυλλον δὲ, καὶ αὐτὸ λευ

κἂν ἔχῃ· καὶ ἔτι βαρύτατον· μὴ μέντοι ὠρίζον γε σφόδρα. καὶ ὅλως ἐκ τῶν κάτω παραβλαστητικόν· ἄνωθεν δὲ ὑποξηραινόμενον· ἔχει δὲ ἅμα καὶ τὸν ἔνον καὶ τὸν νέον καρπόν· ἀφαιροῦσι μὲν γὰρ ἀεὶ θατέρου μετὰ κιῶα, καὶ ὁ ἕτερος εὐθὺς φανερὸς κυούμενος· κύει γὰρ ὥσπερ βότρυς ὁμοχήμων· ἐπαυξηθεὶς ἀνθεῖ περὶ ἀρκτοῦρον καὶ ἰσημερίαν· ἀπὸ τούτου δὲ διαμένει τὸν χειμῶνα μέχρι κυνός· ἡ μὲν οὖν ὁμοιότης, ὅτι στελεχώδη πως καὶ ταῦτα· διαφοραὶ δὲ αἱ εἰρημέναι πρὸς τὴν συκάμινον· ἐν αἰγύπτῳ δέ ἐστιν ἕτερον, περσέα καλούμενον· τῇ μὲν προσόψει μέγα καὶ καλόν· παραπλήσιον γε μάλιστα τῇ ἀπίῳ, καὶ φύλλοις, καὶ ἄνθεσι· καὶ ἀκρέμοσι, καὶ τῷ ὅλῳ σχήματι· πλὴν τὸ μὲν, ἀείφυλλον· τὸ δὲ φυλλοβόλον· καρπὸν δὲ φέρει πολύν· καὶ πᾶσαν ὥραν ἐπεπαίνει· περικαταλαμβάνει γὰρ ὁ νέος ἀεὶ τὸν ἔνον. πέττει γε ὑπὸ τοὺς ἐτησίας· τὸ δὲ ἄλλον ὠμότερον ἀφαιροῦσι καὶ τιθέασι· ἔστι δὲ μέγεθος ἡλίκον ἄπιος· τῷ σχήματι δὲ πρόμακρος· ἀμυγδαλώδης· χρῶμα δὲ αὐτοῦ ποῶδες· ἔχει δὲ ἐντὸς κάρυον ὥσπερ τὸ κοκκύμηλον· πλὴν ἔλαττον πολὺ καὶ μαλακώτερον· τὴν δὲ σάρκα γλυκεῖαν σφόδρα καὶ ἡδεῖαν καὶ εὔπεπτον· οὐδὲν γὰρ ἐνοχλεῖ, πολὺ προσενεγκαμένων· εὔριζον γε τὸ δένδρον καὶ μήκει καὶ πάχει καὶ πλήθει πολύ· ἔχει δὲ καὶ ξύλον ἰσχυρὸν καὶ καλόν· τῇ ὄψει μέλαν, ὥσπερ ὁ λωτός· ἐξ οὗ καὶ τὰ ἀγάλματα, καὶ τὰς κλινίδας· καὶ τραπέζια, καὶ τὰ ἄλλα τὰ τοιαῦτα ποιοῦσιν· ἡ γε βάλανος ἔχει μὲν τὴν προσηγορίαν ἀπὸ τοῦ καρποῦ· φύλλον δὲ αὐτῇ παραπλήσιον, τῷ τῆς μυρρίνης· πλὴν προμηκέστερον· ἔστι δὲ τὸ δένδρον ἀπαθὲς μὲν καὶ εὐμέγεθες· οὐκ ἀφυὲς δὲ, ἀλλὰ παρεστραμμένον· τοῦ καρποῦ δὲ τοῖς κελύφεσι χρῶνται οἱ μυρεψοὶ, κόπτοντες· εὐῶδες γὰρ ἔχει· τὸν δὲ καρπὸν αὐτοῦ ἀχρεῖον· ἔστι γε καὶ τῷ μεγέθει καὶ τῇ ὄψει παραπλήσιον τῷ τῆς καππάρεως· ξύλον γε ἰσχυρόν· καὶ εἰς ἄλλα τε χρήσιμον, καὶ εἰς τὰς ναυπηγίας· τὸ δὲ καλούμενον κουκιόφορον, ἔστιν ὅμοιον τῷ φοίνικι· τὴν γε ὁμοιότητα κατὰ τὸ στέλεχος ἔχει καὶ τὰ φύλλα· διαφέρει γε, ὅτι ὁ

μὲν φοῖνιξ

μὲν φοῖνιξ μονοφυὲς καὶ ἁπλοῦν ἐστι. τοῦτο δὲ προσαυξηθὲν σχίζεται καὶ γίνεται ἄκρον. εἶτα πάλιν ἑκάτερον τούτων ὁμοίως. ἔτι δὲ τὰς ῥάβδους βραχείας ἔχει καὶ οὐ πολλάς. χρῶνται δὲ τῷ φλοιῷ καθάπερ τῷ φοίνικι πρὸς τὰ πλέγματα. καρπὸν δὲ ἴδιον ἔχει πολὺ διαφέροντα καὶ μεγέθει καὶ χρώματι καὶ χυλῷ. μέγεθος μὲν γὰρ ἔχει σχεδὸν χειροπληθές· στρογγύλον δὲ καὶ οὐ προμήκη. χρῶμα δὲ ὑπόξανθον. χυλὸν δὲ γλυκὺν καὶ εὔστομον. οὐκ ἀθρόον δὲ ὥσπερ ὁ φοῖνιξ, ἀλλὰ κεχωρισμένον καθ' ἕνα. πυρῆνα δὲ μέγαν καὶ σφόδρα σκληρόν· ἐξ οὗ τοὺς κρίκους τορνεύουσι τοὺς εἰς τοὺς στρωματεῖς τοὺς διαποικίλους. διαφέρει δὲ πολὺ τὸ ξύλον τοῦ φοίνικος. τὸ μὲν γὰρ μανὸν καὶ ἰνῶδες καὶ χαλαρόν. τὸ δὲ πυκνὸν καὶ βαρὺ καὶ σαρκῶδες. καὶ διαιρεθὲν, ὅλον σφόδρα καὶ σκληρόν ἐστιν. καὶ οἵ γε δὴ Πέρσαι πάνυ ἐτίμων αὐτόν. καὶ ἐκ τούτου τῶν κλινῶν ἐποίουν τοὺς πόδας. ἡ δὲ ἄκανθα, καλεῖται μὲν, διὰ τὸ ἀκανθῶδες ὅλον τὸ δένδρον εἶναι, πλὴν τοῦ στελέχους. καὶ γὰρ ἐπὶ τῶν βλαστῶν καὶ ἐπὶ τῶν φύλλων ἔχει, μέγεθος δὲ μέγα. καὶ γὰρ δωδεκάπηχυς ἐξ αὐτῶν ἐρέψιμος ὕλη τέμνεται. διττὸν δὲ τὸ γένος αὐτῆς. ἡ μὲν γάρ ἐστι λευκή. ἡ δὲ, μέλαινα. καὶ ἡ μὲν, ἀσθενής τε καὶ εὔσηπτος. ἡ δὲ μέλαινα, ἰσχυροτέρα τε καὶ ἄσηπτος. διὸ καὶ ἐν ταῖς ναυπηγίαις χρῶνται πρὸς τὰ ἐγκοίλια αὐτῇ. τὸ δένδρον δὲ οὐκ ἄγαν ὀρθοφυές. ὁ δὲ καρπὸς ἐν λοβοῖς, καθάπερ τῶν χεδροπῶν. ᾧ χρῶνται οἱ ἐγχώριοι πρὸς τὰ δέρματα ἀντὶ κηκῖδος. τὸ δ' ἄνθος καὶ τῇ ὄψει καλόν, ὥστε καὶ στεφάνους ποιεῖν ἐξ αὐτοῦ. καὶ φαρμακῶδες. διὸ καὶ συλλέγουσιν οἱ ἰατροί. γίνεται δὲ ἐκ ταύτης καὶ τὸ κόμμι. καὶ ῥεῖ, καὶ πληγείσης καὶ αὐτόματον ἄνευ σχίσεως. ὅταν δὲ κοπῇ, μετὰ τρίτον ἔτος εὐθὺς ἀναβεβλάστηκε. πολὺ δὲ τὸ δένδρον ἐστί. καὶ δρυμὸς μέγας περὶ τὸν Θηβαϊκὸν νομόν. οὗπερ καὶ ἡ δρῦς, καὶ ἡ περσέα πλείστη, καὶ ἡ ἐλαία. καὶ γὰρ ἡ ἐλαία περὶ τοῦτον τὸν τόπον ἐστί, τῷ ποταμῷ μὲν οὐκ ἀρδευομένη, πλεῖον ἢ τριακόσια στάδια ἀπέχουσα, ναματιαίοις δὲ ὕδασιν. εἰσὶ γὰρ κρῆναι πολλαί. τὸ δὲ ἔλαιον οὐ-

δὲν χεῖρον τοῦ ἐνθάδε· πλὴν κακωδέστερον, διὰ τὸ σπανίως τοῖς ἁλσὶ χρῆσθαι τῇ φύσει· τὸ δὲ ξύλον τοῦ δένδρου καὶ σκληρὸν καὶ παραπλήσιον τεμνόμενον τὴν χρόαν τῷ λωτίνῳ· ἄλλο δέ τι δένδρον ἡ κοκκυμηλέα· μέγα μὲν τῷ μεγέθει, καὶ τὴν φύσιν ὅμοιον τοῖς μεσπίλοις· καὶ τὸ μέγεθος παραπλήσιον· πλὴν ἔχον τὸν πυρῆνα στρογγύλον· ἄρχεται δὲ ἀνθεῖν μηνὸς πυανεψιῶνος· τὸν δὲ καρπὸν πεπαίνει περὶ ἡλίου τροπὰς χειμερινάς· φύλλον δ' ἐστίν· οἱ δὲ περὶ τὴν Θηβαΐδα κατοικοῦντες, διὰ τὴν ἀφθονίαν τοῦ δένδρου ξηραίνουσι τὸν καρπόν· καὶ τὸν πυρῆνα ἐξαιροῦντες, κόπτουσι καὶ ποιοῦσι παλάθας· οἴδημα δὲ ἴδιόν τι φύεται περὶ μέμφιν· ὃ καὶ φύλλα καὶ βλαστοὺς καὶ τὴν ὅλην μορφὴν ἔχει οὐ τὸ ἴδιον, ἀλλ' εἰς τὸ συμβαῖνον περὶ αὐτὸ πάθος· ἡ μὲν γὰρ πρόσοψις ἀκανθώδης ἐστὶν αὐτοῦ· καὶ τὸ φύλλον παρόμοιον ταῖς πτερίσιν· ὅταν δέ τις ἅψηται τῶν κλωνίων, ὥσπερ ἀφαυαινόμενα τὰ φύλλα συμπίπτειν φασίν· εἶτα μετά τινα χρόνον ἀναβιώσκεσθαι πάλιν καὶ θάλλειν· ταῦτα μὲν ἴδια τῆς χώρας, ὡς ἂν εἰ δένδρα τις ἢ θάμνους εἴποι· τὰ γὰρ ἐπιφανέστερα ταῦτ' ἐστί· περὶ γὰρ τῶν ἐν τῷ ποταμῷ καὶ τοῖς ἕλεσιν ὕστερον ἐροῦμεν, ὅταν καὶ περὶ τῶν ἄλλων τῶν ἐνύδρων· ἅπαντα δὲ ἐν τῇ χώρᾳ τὰ δένδρα τὰ τοιαῦτα μεγάλα καὶ τοῖς μήκεσι καὶ τοῖς πάχεσιν· ἐν γοῦν μέμφιδι τηλικοῦτον δένδρον εἶναι λέγεται τὸ πάχος, ὃ τρεῖς ἄνδρες οὐ δύνανται περιλαμβάνειν· ἔστι δὲ καὶ τμηθὲν τὸ ξύλον καλόν· πυκνόν τε γὰρ σφόδρα καὶ τῷ χρώματι λωτοειδές· ἐν λιβύῃ δὲ ὁ λωτὸς πλεῖστος καὶ κάλλιστος, καὶ ὁ παλίουρος· καὶ ἐν τισι μέρεσι, τῇ τε νασαμωνικῇ, καὶ παρὰ ἄμμωνι καὶ αὐγοις, ὁ φοῖνιξ· ἐν δὲ τῇ κυρηναίᾳ κυπάριττος, ἐλαῖαι τε κάλλισται, καὶ ἔλαιον πλεῖστον· ἰδιώτατον δὲ πάντων τὸ σίλφιον· ἐπεὶ καὶ κόπρον πολλὴν ἡ χώρα φέρει καὶ εὔοσμον· ἔστι δὲ τοῦ λωτοῦ, τὸ μὲν ἴδιον γένος εὐμέγεθες, ἡλίκον ἄπιος ἢ μικρὸν ἔλαττον· φύλλον δὲ, ἐντομὰς ἔχον καὶ πρινῶδες· τὸ μὲν ξύλον, μέλαν· γένη δὲ αὐτοῦ πλείω διαφορὰς ἔχοντα τοῖς καρ-

πρῖς. ὁ δὲ καρπὸς ἡλίκος κύαμος. πεπαίνεται δὲ ὥσπερ οἱ βότρυες, μεταβάλλων τὰς χροιάς. φύεται δὲ καθάπερ τὰ μύρτα παράλληλα. πυκνὸς ἐπὶ τῶν βλαστῶν. ἐσθιόμενος δὲ ἐν τοῖς λωτοφάγοις καλουμένοις. γλυκὺς. ἡδύς. καὶ ἀσινής. καὶ ἔτι πρὸς τὴν κοιλίαν ἀγαθόν. ἡδίων δὲ ὁ ἀπύρηνος. ἔστι γάρ τι τοιοῦτον γένος. ποιοῦσι δὲ καὶ οἶνον ἐξ αὐτοῦ. πολὺ δὲ τὸ δένδρον καὶ πολύκαρπον. τὸ γοῦν Ὀφέλλου στρατόπεδον ἡνίκα ἐβάδιζεν εἰς καρχηδόνα καὶ τούτῳ φασὶ πλείους ἡμέρας ἀπορούντων τῶν ἐπιτηδείων χρήσασθαι. ἔστι μὲν οὖν ἐν τῇ νήσῳ τῇ λωτοφαγίτιδι φάριδι καλουμένῃ, πολύς. αὕτη δὲ ἀπέχει μικρόν. οὐ μὴν ἐνταῦθα μόνον, ἀλλὰ πολὺ πλείων ἐν τῇ ἠπείρῳ. πλεῖστος γὰρ ὅλως ἐν τῇ λιβύῃ καθάπερ εἴρηται, τοῦτο, καὶ ὁ παλίουρος ἐστιν. ἐν γὰρ ἑσπερίσι, τούτοις εἰς καῦσιν χρῶνται. διαφέρει δὲ οὗτος ὁ λωτὸς τοῦ παρὰ τοῖς λωτοφάγοις. ὁ δὲ παλίουρος θαμνωδέστερος τοῦ λωτοῦ. φύλλον δὲ παρόμοιον ἔχει τῷ ἐνταῦθα. τὸν δὲ καρπὸν διάφορον. οὐ γὰρ πλατύν, ἀλλὰ στρογγύλον καὶ ἐρυθρόν. μέγεθος δὲ ἡλίκον τῆς κέδρου ἢ μικρῷ μεῖζον. πυρῆνα δ' ἔχει οὐ συνεσθιόμενον καθάπερ ταῖς ῥοαῖς. ἡδὺν δὲ τὸν καρπόν. καὶ ἐάν τις οἶνον ἐπιχέῃ, καὶ αὐτὸν ἡδίω γίνεσθαί φασι, καὶ τὸν οἶνον ἡδίω ποιεῖν. ἔνιοι δὲ τὸν λωτὸν τὸ δένδρον θαμνῶδες εἶναι καὶ πολύκλαδον. τῷ στελέχει δὲ εὐπαχές. τὸν δὲ καρπὸν μεταξὺ τὸ κάρυον ἔχειν. τὰ δὲ ἐκτὸς οὐ σαρκώδες. ἀλλὰ δερματωδέστερον. ἐσθιόμενον δὲ, οὐχ οὕτω γλυκύ, ὡς εὔστομον. καὶ τὸν οἶνον ὃν ἐξ αὐτοῦ ποιοῦσιν οὐ διαμένειν. ἀλλ' ἢ δύο ἢ τρεῖς ἡμέρας. εἶτ' ὀξύνει. ἡδίω μὲν οὖν τοὺς καρποὺς ἐν τοῖς λωτοφάγοις. ξύλον δὲ κάλλιστον τὸ ἐν κυρηναίᾳ. θερμοτέραν δὲ εἶναι τὴν χώραν τῆς λωτοφάγων. τὸ δὲ ξύλον τὴν ῥίζαν εἶναι μελαντέραν μὲν πολύ. πυκνὴν δ' ἧττον καὶ εἰς ἐλάττω χρησίμην. εἰς γὰρ τὰ ἐγχειρίδια καὶ τὰ ἐπικολλήματα χρῆσθαι. τῷ ξύλῳ δὲ εἴς τε τοὺς αὐτοὺς καὶ εἰς ἄλλα πλείω. ἐν δὲ

τῇ μὴ ὑομένῃ τῆς λίβυης· ἅμα τε πλείω φύεσθαι, καὶ φοίνικας μεγάλους καὶ καλούς· οὐ μὴν ἀλλ' ὅπου μὲν φοῖνιξ ἁλμυρὸν εἶδαί τε εἶναι, τὸ ἔφυδρον τὸν τόπον· οὐ δ' ἐν πολλῷ βάθει σφόδρα. ἔτι ἡ δύ· ἔνθα δὲ ἁλμυρὰ πλησίον ὄντων ἀλλήλοις· ὅπου τε τὰ ἄλλα φύεται, καὶ ξηρὸν καὶ ἄνυδρον· ἐνιαχοῦ δὲ καὶ τὰ φρέατα εἶναι ἑκατὸν ὀργυιῶν, ὥστε ὑποζυγίοις ἀπὸ τροχιλιᾶς ἀνιμᾶν· διὸ καὶ θαυμαστόν, πῶς ποτε ὠρύχθη τηλικαῦτα βάθη. τὸ δ' οὖν τῶν ὑδάτων τῶν ὑπὸ τοὺς φοίνικας, τὸ ἐν ἄμμωνος εἶναι, διαφορὰν δὲ ἔχον τὴν εἰρημένην. φύεσθαι δὲ ἐν τῇ μὴ ὑομένῃ τὸ θέμινον πολύ· καὶ ἄλλα ἴδιά τε καὶ πλείω γίνεσθαι ἐνταῦθα. καὶ πτῶκας· καὶ δορκάδας· καὶ στρουθόν· καὶ ἕτερα τῶν θηρίων· ἀλλὰ ταῦτα μὲν ἄδηλον, εἰ ἐκτοπίζει προσπιόμενα· διὰ γὰρ τὸ τάχος δύναται καὶ ταχὺ παραγενέσθαι· ἄλλως τε καὶ δι' ἡμερῶν τινῶν πίνουσι, καθάπερ καὶ τὰ ἥμερα παρὰ τρίτην ἢ τετάρτην ποτίζεται ταῦτα. τὰ δὲ τῶν ζώων· οἷον ὄφεων, σαυρῶν· καὶ τῶν τοιούτων, φανερὸν ὅτι ἄποτα. τοὺς δὲ λίβυας λέγειν ὅτι τὸν ὄνον ἐσθίειν ταῦτα· ὡς καὶ παρ' ἡμῖν γίνεται πολύπουν τι καὶ μέλαν· συσπειρόμενον εἰς ἑαυτό. τοῦτον δὲ πολὺ σίμεσθαι σφόδρα. καὶ ὑγρὸν τὴν φύσιν εἶναι. δρόσον δ' ἀεὶ ἐν τῇ μὴ ὑομένῃ πολλήν· ὥστε δῆλον ὅτι τὸν μὲν φοίνικα, εἴ τι ἄγο φύεται ἐν ἀνύδροις· τό, τε ἐκ τῆς γῆς ἀνιὸν ἐκτρέφει, καὶ πρὸς τούτοις ἡ δρόσος ἱκανὴ γὰρ ὥστε τὰ μεγέθη τὴν φύσιν αὐτῶν ξηρὰν οὖσαν ἐκ τοιούτων συνεστηκέναι. τὰ δένδρα μὲν πλεῖστα τὰ ἰδιώτατα. περὶ δὲ τοῦ σιλφίου λεκτέον ὕστερον· ἴδιόν τι τὴν φύσιν. ἐν δὲ τῇ ἀσίᾳ παρ' ἑκάστοις ἴδια ἄττα τυγχάνει. τὰ μὲν γὰρ φέρουσιν αἱ χῶραι, τὰ δ' οὐ φύουσιν· οἷον κιττὸν καὶ ἐλάτην οὔ φασιν εἶναι ἐν τῇ ἀσίᾳ ἐν τοῖς ἄνω τοῦ συρίας· ἀπὸ θαλάττης πένθ' ἡμερῶν· ἀλλὰ ἐν ἰνδοῖς φανῆναι, τὸ ἐν τῷ ὄρει τῷ μηρῷ καλουμένῳ· ὅθεν δὴ καὶ τὸν διόνυσον εἶναι μυθολογοῦσι· διὸ καὶ ὁ ἀλέξανδρος ἐξ ἰνδίας ποτὲ ἀπιὼν ἐστεφανωμένος Χ ἔτα μὴ εἶναι καὶ αὐτὸς καὶ ἡ στρατιά· τῶν δὲ ἄλλων

ἐν μηδίᾳ μόνον. περικλείειν γὰρ αὐτὴν δοκεῖ καὶ συνάπτειν πρὸς τῷ πόντῳ. καίτοι γε διεφιλοτιμήθη Ἅρπαλος ἐν τοῖς παραδείσοις τοῖς περὶ βαβυλῶνα φυτεύων πολλάκις καὶ πραγματευόμενος, ἀλλ' οὐδὲν ἐποίει πλέον. οὐ γὰρ ἐδύνατο ζῆν ὥσπερ τἆλλα τὰ ἐκ τῆς ἑλλάδος. τοῦτο μὲν οὖν οὐ δέχεται ἡ χώρα διὰ τὴν τοῦ ἀέρος κρᾶσιν. ἀναγκαίως δὲ δέχεται καὶ πύξον καὶ φιλύραν. καὶ γὰρ περὶ ταύτας πονοῦσιν οἱ ἐν τοῖς παραδείσοις. ἕτερα δὲ ἰδιαφορεῖ καὶ δένδρα καὶ ὑλήματα. καὶ ἔοικεν ὅλως ὁ τόπος ὁ πρὸς ἀνατολὰς καὶ μεσημβρίαν, ὥσπερ καὶ ζῷα καὶ φυτὰ φέρειν ἴδια παρὰ τοὺς ἄλλους. οἷον ἥ, τε μηδία χώρα καὶ περσὶς, ἄλλα τε ἔχει πλείω, καὶ τὸ μῆλον τὸ μηδικὸν ἢ τὸ περσικὸν καλούμενον. ἔχει δὲ τὸ δένδρον τοῦτο φύλλον μὲν ὅμοιον καὶ σχεδὸν ἴσον τῷ τῆς ἀνδράχνης. ἀκάνθας δὲ, οἵας ἄπιος, ἢ ὀξυάκανθος. λείας δὲ καὶ ὀξείας σφόδρα καὶ ἰσχυράς. τὸ δὲ μῆλον οὐκ ἐσθίεται μὲν, εὔοσμον δὲ πάνυ, καὶ τὸ φύλλον τοῦ δένδρου. κἂν εἰς ἱμάτια τεθῇ τὸ μῆλον, ἄκοπα διατηρεῖ. χρήσιμον δὲ, ἐπειδὰν τύχῃ πεπωκώς τις φάρμακον, ἢ πρὸς στόματος εὐωδίαν. ἐὰν γάρ τις ἑψήσας ἐν τῷ ζωμῷ ἢ ἐν ἄλλῳ τινὶ, τὸ ἔσωθεν τοῦ μήλου ἐκπιέσῃ εἰς τὸ στόμα καὶ καταῤῥοφήσῃ, ποιεῖ τὴν ὀσμὴν ἡδεῖαν. σπείρεται δὲ τοῦ ἦρος εἰς πρασιὰς ἐξαιρεθὲν τὸ σπέρμα καὶ εἰργασμένας ἐπιμελῶς. εἶτα ἀρδεύεται διὰ τετάρτης ἢ πέμπτης ἡμέρας. ὅταν δὲ ἁδρὸν ᾖ, διαφυτεύεται πάλιν τοῦ ἔαρος εἰς χωρίον μαλακὸν καὶ ἔφυδρον καὶ οὐ λίαν λεπτόν. φιλεῖ γὰρ τοιαῦτα. φέρει δὲ τὰ μῆλα πᾶσαν ὥραν. τὰ μὲν γὰρ, ἀφῄρηται. τὰ δὲ ἀνθεῖ. τὰ δὲ, ἐκπέττει. τῶν δὲ ἀνθῶν ὅσα ὥσπερ εἴπομεν ἔχει καθάπερ ἠλακάτην ἐκ μέσου τινὰ ἐξέχουσαν, ταῦτά ἐστι γόνιμα. ὅσα δὲ μή, ἄγονα. σπείρεται δὲ καὶ εἰς ὄστρακα διατετρημένα, καθάπερ οἱ φοίνικες. τοῦτο μὲν οὖν ὥσπερ εἴρηται περὶ τὴν περσίδα καὶ τὴν μηδίαν ἐστίν. ἡ δὲ ἰνδικὴ χώρα τήν τε καλουμένην ἔχει συκῆν. ἣ καθίησιν ἐκ τῶν κλάδων τὰς ῥίζας ἀν' ἕκαστον ἔτος, ὥσπερ εἴρηται πρότερον. ἀφίησι δὲ οὐκ ἐκ τῶν νέων, ἀλλ' ἐκ τῶν ἕνων καὶ ἔτι παλαιοτέρων. αὗται δὲ συνάπτουσι τῇ γῇ, ποιοῦσιν ὥσπερ δρύφακτον κύκλῳ περὶ τὸ δέν-

δρον· ὥστε γίνεσθαι καθάπερ σκηνήν· αἷς δὴ καὶ εἰώθασι διατρί-
βειν· εἰσὶ δὲ αἱ ῥίζαι φυόμεναι διάδηλοι πρὸς τοὺς κλάδους·
λευκότεραι γὰρ καὶ δασεῖαι καὶ σκολιαὶ καὶ ἄφυλλοι· ἔχει δὲ τὴν
ἄνω κόμην πολλήν· καὶ τὸ ὅλον δένδρον εὔκυκλον· καὶ τῷ μεγέ-
θει μέγα σφόδρα· καὶ γὰρ ἐπὶ δύο στάδια ποιεῖν φασι τὴν σκιάν· καὶ
τὸ πάχος τοῦ στελέχους ἔνια, πλειόνων ἢ ἑξήκοντα βημάτων.
τὰ δὲ πολλὰ τετταράκοντα· τὸ δέ γε φύλλον οὐκ ἔλαττον ἔχει πέλ-
της· καρπὸν δὲ σφόδρα μικρόν, ἡλίκον ἐρέβινθος· ὅμοιον δὲ σύ-
κῳ· διὸ καὶ ἐκάλουν αὐτὸ οἱ Ἕλληνες συκῆν· ὀλίγον δὲ θαυμαστῶς τὸν
καρπὸν οὐχ ὅτι κατὰ τὸ τοῦ δένδρου μέγεθος, ἀλλὰ καὶ τὸ ὅλον· φύε-
ται δὲ τὸ δένδρον περὶ τὸν ἀκεσίνην ποταμόν· ἔστι δὲ καὶ ἕτερον δέν-
δρον· καὶ τῷ μεγέθει μέγα· καὶ ἡδύκαρπον θαυμαστῶς καὶ με-
γαλόκαρπον· καὶ χρῶνται τροφῇ τῶν ἰνδῶν οἱ σοφοὶ καὶ ἀπεχό-
μενοι· ἕτερον δέ, οὗ τὸ φύλλον τὴν μὲν μορφὴν πρόμηκες· τοῖς
τῶν στρουθῶν πτεροῖς ὅμοιον· ἃ παρατίθενται παρὰ τὰ κράνη· μῆ-
κος δὲ ὡς διπήχυον· ἄλλο τέ ἐστιν οὗ ὁ καρπὸς μακρὸς καὶ οὐκ
εὐθύς, ἀλλὰ σκολιός· ἐσθιόμενος δέ, γλυκύς· οὗτος ἐν τῇ κοιλίᾳ δηγ-
μὸν ποιεῖ καὶ δυσεντερίαν· διὸ καὶ ὁ Ἀλέξανδρος, ἀπεκήρυξε μὴ ἐ-
σθίειν· ἔστι δὲ ἕτερον οὗ ὁ καρπὸς ὅμοιος τοῖς κρανείοις· καὶ ἕτερα,
δὲ πλείω καὶ διαφέροντα τῶν ἐν τοῖς Ἕλλησιν· ἀλλ' ἀνώνυμα· θαυ-
μαστὸν δ' οὐδὲν κατὰ ἰδιότητος· σχεδὸν γὰρ ὥς γε δή τινές φασιν, οὐδὲν
ὅλως τῶν δένδρων, οὐδὲ τῶν ὑλημάτων, οὐδὲ τῶν ποωδῶν, ὅμοιόν ἐστι
τοῖς ἐν τῇ Ἑλλάδι, πλὴν ὀλίγων· ἴδιον δὲ καὶ ἡ ἐβένη τῆς χώρας
ταύτης· ταύτης δὲ δύο γένη· τὸ μὲν, εὔξυλον καὶ καλόν· τὸ δὲ, φαῦ-
λον· σπάνιον δὲ τὸ καλόν· θατέρου δὲ πολύ· τὴν δὲ χρόαν οὐ θησαυριζο-
μένην λαμβάνει τὴν ὡραίαν· ἀλλ' εὐθὺς τῇ φύσει· ἔστι δὲ τὸ δένδρον
θαμνῶδες· ὥσπερ ὁ κύτισος· φασὶ δ' εἶναι καὶ τέρμινθον· οἱ δ' ὅμοι-
ον τῇ τερμίνθῳ· ὃ τὸ μὲν φύλλον καὶ τοὺς κλῶνας καὶ τἆλλα πάντα
ὅμοια ἔχει τῇ τερμίνθῳ· τὸν δὲ καρπὸν διάφορον· ὅμοιον γὰρ ταῖς
ἀμυγδάλαις· εἶναι γὰρ καὶ ἐν βάκτροις τὴν τέρμινθον ταύτην, καὶ κάρυα
φέρειν·

φέρει, ἡλίκα τὰ ἀμύγδαλα, διὰ τὸ μὴ μεγάλα. καὶ τῇ ὄψει δὲ παρόμοια. καὶ ἡ ἡδονὴ κρείττων τῶν ἀμυγδάλων. διὸ καὶ χρῶνται τοῖς ἐκεῖ μάλιστα. ἐξ ὧν δὲ τὰ ἱμάτια ποιοῦσι, τὸ μὲν φύλλον ὅμοιον ἔχει τῇ συκαμίνῳ, τὸ δὲ ὅλον φυτὸν τοῖς κυνοσβάτοις ὅμοιον. φυτεύουσι δὲ ἐν τοῖς πεδίοις αὐτὸ κατ' ὄρχους. διὸ καὶ πόρρωθεν ἀφορῶσιν ἄμπελοι φαίνονται. ἔχει δὲ καὶ φοίνικας ἔνια μέρη πολλούς. καὶ ταῦτα μὲν ἐν δένδρου φύσει. φέρει δὲ καὶ σπέρματα ἴδια τὰ μὲν τοῖς χεδροποῖς ὅμοια. τὰ δὲ τοῖς πυροῖς καὶ ταῖς κριθαῖς. ἐρέβινθος μὲν γὰρ καὶ φακὸς καὶ τἆλλα τὰ παρ' ἡμῖν οὐκ ἔστιν. ἕτερα δ' ἐστὶν ὥστε παραπλήσια ποιεῖν τὰ ἑψήματα, καὶ μὴ διαγινώσκειν ὥς φασιν, ἂν μή τις ἀκούσῃ. κριθαὶ δὲ καὶ πυροί, καὶ ἄλλο τι γένος ἀγρίων κριθῶν. ἐξ ὧν καὶ ἄρτοι ἡδεῖς, καὶ χόνδρος καλός. ταύτας οἱ ἵπποι ἐσθίοντες τὸ πρῶτον διεφθείροντο. κατὰ μικρὸν δὲ οὖν ἐθισθέντες ἐν ἀχύροις οὐδὲν ἔπασχον. μάλιστα δὲ σπείρουσι τὸ καλούμενον ὄρυζον. ἐξ οὗ τὸ ἕψημα. τοῦτο δὲ ὅμοιον τῇ ζειᾷ καὶ περιπτισθέν, οἷον χόνδρος. εὔπεπτον δὲ τὴν ὄψιν πέφυκεν ὅμοιον ταῖς αἴραις καὶ τὸν πολὺν χρόνον ἐν ὕδατι. ἀποχεῖται δὲ οὐκ εἰς στάχυν, ἀλλ' οἷον φόβην ὥσπερ ὁ κέγχρος, καὶ ὁ ἔλυμος. ἄλλο δὲ ὃ καλοῦσιν οἱ Ἕλληνες φακόν. τοῦτο δὲ ὅμοιον μὲν τῇ ὄψει καὶ τὸ βρῶμα. θερίζεται δὲ καὶ περὶ πλειάδος δύσιν. διαφέρει δὲ καὶ αὐτὴ ἡ χώρα, ὥστε τὴν μὲν φέρειν ἔνια, τὴν δὲ μὴ φέρειν. ἡ γὰρ ὀρεινὴ καὶ ἄμπελον ἔχει καὶ ἐλαίαν. καὶ τὰ ἄλλα ἀκρόδρυα. πλὴν ἄκαρπον τὴν ἐλαίαν σχεδὸν δὲ καὶ τὴν φύσιν. ὥσπερ μεταξὺ κοτίνου καὶ ἐλαίας. ἔστι δὲ τῇ ὅλῃ μορφῇ καὶ τὸ φύλλον τῇ μὲν πλατύτερον τῇ δέ, στενώτερον. ταῦτα μὲν οὖν κατὰ τὴν Ἰνδικήν. ἐν δὲ τῇ Ἀρείᾳ χώρᾳ καλουμένῃ ἄκανθά ἐστιν. ἐφ' ἧς γίνεται δάκρυον ὅμοιον τῇ σμύρνῃ καὶ τῇ ὄψει καὶ τῇ ὀσμῇ. τοῦτο δ' ὅταν ἐπιλάμψῃ ὁ ἥλιος ἀπορρεῖ. πολλὰ δὲ καὶ ἄλλα παρὰ τὰ ἐνταῦθα καὶ ἐν τῇ χώρᾳ καὶ ἐν τοῖς ποταμοῖς γίνεται. ἐν ἑτέροις δὲ τόποις ἐστὶν ἄκανθα λευκὴ τρίοζος ἐξ ἧς καὶ σκυτάλια καὶ βακτηρίας ποιοῦσιν. ὀπώδης δὲ

καὶ μαρμή· ταύτην δὲ καλοῦσιν ἡρακλέα. ἄλλο δὲ ὕλη, μέγεθος μὲν ἡλίκον ῥάφανος· τὸ δὲ φύλλον, ὅμοιον δάφνῃ, καὶ τῷ μεγέθει καὶ τῇ μορφῇ· τοῦτο δ' εἴ τι φάγοι ζῷον ἀποθνήσκει. διὸ καὶ ὅπου ἵπποι, τούτους ἐφύλαττον διὰ χειρῶν. ἐν δὲ τῇ κεδρωσίᾳ χώρᾳ πεφυκέναι φασὶν, ἓν μὲν ὅμοιον τῇ δάφνῃ φύλλον ἔχον οὗ τὰ ὑποζύγια καὶ ὅ τι οὖν εἰ φάγοι, μικρὸν ἐπισχόντα διεφθείρετο παραπλησίως, ἀποθνήσκοντα καὶ σπώμενα ὁμοίως τοῖς ἐπιλήπτοις. ἑτέραν δὲ, ἄκανθάν τινα εἶναι· ταύτην φύλλον μὲν οὐδὲν ἔχειν· πεφυκέναι δ' ἐκ μιᾶς ῥίζης. ἐφ' ἑκάστῳ δὲ τῶν ὄζων ἄκανθαν ἔχειν ὀξεῖαν σφόδρα· καὶ τούτων διακατακνιζομένων ἢ προστριβομένων, ὀπὸν ἐκρεῖν πολύν· ὃς ἀποτυφλοῖ τὰ ἄλλα ζῶα πάντα, καὶ πρό τους ἀμούς.   τίς αὐτοῖς· ἐν δὲ τόποις τισὶ πεφυκέναι τινὰ βοτάνην ὑφ' ἣν συνεσπειραμένους ὄφεις εἶναι μικροὺς σφόδρα· τούτοις δ' εἴ τις ἐμβαίη, πληγείη, θνήσκειν. ἀποπνίγεσθαι δὲ καὶ ἀπὸ τῶν φοινίκων τῶν ὠμῶν εἴ τις φάγοι· καὶ τοῦτο ὕστερον κατανοηθῆναι. τοιαῦται μὲν οὖν δυνάμεις καὶ ζῴων καὶ φυτῶν ἴσως καὶ παρ' ἄλλοις εἰσί. πλεῖστα δὲ τῶν φυομένων καὶ πλεῖστον διαλλαγμένα πρὸς τὰ ἄλλα τὰ εὔοσμα, τὰ περὶ ἀραβίαν καὶ συρίαν καὶ ἰνδούς. οἷον ὅ τε λιβανωτὸς, ἡ σμύρνα καὶ ἡ κασία, καὶ τὸ ὀποβάλσαμον, καὶ τὸ ὀποκιννάμωμον, καὶ ὅσα ἄλλα τοιαῦτα· περὶ ὧν ἐν ἄλλοις εἴρηται διὰ πλειόνων. ἐν μὲν οὖν τοῖς πρὸς ἕω τε καὶ μεσημβρίαν, καὶ ταῦτ' ἴδια· καὶ ἕτερα δὲ πλείω τούτων ἐστίν. ἐν δὲ τοῖς πρὸς ἄρκτον, οὐχ ὁμοίως· οὐθὲν γὰρ ὅ, τι ἄξιον λόγου λέγεται, παρὰ τὰ κοινὰ τῶν δένδρων· ἃ καὶ φιλόψυχα τυγχάνει· καὶ ἔστι καὶ παρ' ἡμῖν· οἷον πεύκη, δρῦς, ἐλάτη, πύξος, διόσβαλανος, φιλύρα, καὶ τἄλλα δὲ τὰ τοιαῦτα· σχεδὸν γὰρ οὐδὲν ἕτερον παρὰ ταῦτά ἐστιν. ἀλλὰ μᾶλλον τῶν ἄλλων ὑλημάτων ἔνια τοὺς ψυχροὺς ἐζήτει τόπους· καθάπερ κενταύριον, ἀψίνθιον. ἔτι δὲ φαρμακώδη πάντα ταῖς ῥίζαις καὶ τοῖς ὀποῖς· οἷον ἐλλέβορος, ἐλα-

τήριον

τήειδ, σκαμμωνία· σχεδὸν πάντα τὰ ῥιζοτομούμενα. τὰ μὲν ἐν τῷ πόντῳ καὶ τῇ θρᾴκῃ γίνεται· τὰ δὲ περὶ τὴν οἴτην· καὶ τὸν παρνασόν· καὶ τὸ πήλιον· καὶ τὴν ὄσσαν· καὶ τὸ παρθένιον· καὶ ἐν τούτοις δέ τινές φασι πλεῖστον· πολλὰ δὲ καὶ ἐν τῇ ἀρκαδίᾳ· καὶ ἐν τῇ λακωνικῇ· φαρμακώδεις γὰρ αὗται· τῶν δὲ εὐωδῶν οὐδὲν ἐν ταύταις· πλὴν ἶρις ἐν τῇ ἰλλυρίδι καὶ περὶ τὸν ἀδρίαν· αὕτη δὲ χρηστὴ καὶ πολὺ διαφέρουσα τῶν ἄλλων· ἀλλ' ἐν τοῖς ἀλεεινοῖς καὶ τοῖς πρὸς μεσημβρίαν, ὥσπερ ἀντικείμενα τὰ εὐώδη· ἔχουσι δὲ καὶ τὴν κυπάριττον οἱ ἀλεεινοὶ μᾶλλον· ὥσπερ κρήτη· λυκία· ῥόδος· κέδρον δὲ, καὶ τὰ θρᾴκια ὄρη καὶ τὰ φρύγια. τῶν δὲ ἡμέρων μὲν ἥκιστά φασιν ἐν τοῖς ψυχροῖς ὑπομένειν δάφνην καὶ μυρρίνην· καὶ τούτων δὲ ἧττον ἐπὶ τῶν μυρρινῶν· σημεῖον δὲ λέγουσιν ὅτι ἐν τῷ ὀλύμπῳ δάφνη μὲν πολλή, μύρρινος δὲ ὅλως οὐκ ἔστιν· ἐν δὲ τῷ πόντῳ περὶ παντι, καὶ ποῖον, οὐδέτερον· καίπερ σπουδαζόντων καὶ πάντα μηχανωμένων πρὸς τὰς ἱερωσύνας, συκὰς δὲ πολλὰς καὶ εὐμεγέθεις· καὶ ῥοιαὶ δὲ περισκεπαζόμεναι· ἄπιοι δὲ καὶ μηλέαι, καὶ παντοδαπώταται καὶ χρησταί· αἱ δ' ἐαριναί· πλὴν εἰ ἄρα ὄψιαι· τῆς δὲ ἀγρίας ὕλης, ἔστι δρῦς, πτελέα· μελία, καὶ ὅσα τοιαῦτα· πεύκη δὲ, καὶ ἐλάτη, καὶ πίτυς, οὐκ ἔστιν· οὐδ' ὅλως οὐδὲν ἔνδαδον· ὑγρὰ δὲ αὕτη, καὶ χείρων πολὺ τῆς σινωπικῆς· ὥστ' οὐδὲ πολὺ χρῶνται αὐτῇ, πλὴν πρὸς τὰ ὑπαίθρια· ταῦτα μὲν οὖν περὶ τὸν πόντον, ἢ ἔν τισί γε τόποις αὐτοῦ· ἐν δὲ τῇ προποντίδι γίνεται καὶ μύρρινος· καὶ δάφνη πολλαχοῦ ἐν τοῖς ὄρεσιν· ἴσως δ' ἔνια καὶ τῶν τόπων ἴδια θετέον· ἕκαστοι γὰρ ἔχουσι τὰ διαφέροντα· ὥσπερ εἴρηται κατὰ τὰς ὕλας, οὐ μόνον τῷ βέλτιφ καὶ χείρω τὴν αὐτὴν ἔχειν, ἀλλὰ καὶ τῷ φέρειν, οἷον· ὁ μὲν τμῶλος ἔχει καὶ ὁ μυσικὸς ὄλυμπος πολὺ τὸ κάρυον· καὶ τὴν διὸς βάλανον· ἔτι δὲ καὶ ἄμπελον· καὶ μηλέαν· καὶ ῥόαν·

ἡ ἴδη. τὰ μὲν οὐκ ἔχει τούτων, τὰ δὲ, σπάνια, περὶ δὲ μακεδονίαν καὶ τὸν πιερικὸν ὄλυμπον. τὰ μὲν ἔστι, τὰ δ' οὐκ ἔστι τούτων, ἐν δὲ τῇ εὐβοίᾳ καὶ περὶ τὴν μαγνησίαν, τὰ μὲν εὐβοϊκὰ πολλά. τῶν δὲ ἄλλων οὐθέν, οὐδὲ δὴ περὶ τὸ πήλιον, οὐδὲ τὰ ἄλλα τὰ ἐνταῦθα ὄρη. βραχὺς δ' ἐστὶ τόπος ἐκεῖ, καὶ ὅλως τὴν ναυπηγήσιμον ὕλην. τῆς μὲν γὰρ εὐρώπης δοκεῖ τὰ περὶ τὴν μακεδονίαν, καὶ ὅσα τῆς θράκης, καὶ περὶ ἰταλίαν. τῆς δὲ ἀσίας. τά τε ἐν κιλικίᾳ καὶ τὰ ἐν σινώπῃ καὶ ἀμισῷ. ἔτι δὲ ὁ μύσιος ὄλυμπος, καὶ ἡ ἴδη, πλὴν οὐ πολύ, ἡ γὰρ συρία κέδρον ἔχει, καὶ ταύτῃ χρῶνται πρὸς τὰς τριήρεις. ἀλλὰ καὶ τὰ φίλυδρα καὶ τὰ παραποτάμια ταὐτὸ ὁμοίως. ἐν μὲν γὰρ τῷ ἀδρίᾳ πλάτανον οὔ φασιν εἶναι. πλὴν περὶ τὸ διομήδους ἱερόν. σπανίαν δὲ καὶ ἐν ἰταλίᾳ πάσῃ. καίτοι πολλοὶ καὶ μεγάλοι ποταμοὶ παρ' ἀμφοῖν. ἀλλ' οὐκ ἔοικε φέρειν ὁ τόπος. ἐν ῥηγίῳ γοῦν, ἃς διονύσιος πρεσβύτερος ὁ τύραννος ἐφύτευσεν ἐν τῷ παραδείσῳ, αἳ εἰσὶ νῦν ἐν τῷ γυμνασίῳ φιλοτιμηθεὶς οὐ δύνανται λαβεῖν μέγεθος. ἔνιοι δὲ πλείστην ἔχουσι πλάτανον. οἱ δὲ πτελέαν, καὶ ἰτέαν, οἱ δὲ μυρίκην. ὥσπερ ὁ αἶμος, ὥστε τὰ μὲν τοιαῦτα καθάπερ ἐλέχθη τῶν τόπων ἴδια θετέον. ὁμοίως ἔν τε τοῖς ἀγρίοις καὶ τοῖς ἡμέροις. οὐ μὴν ἀλλὰ τάχα ἂν εἴη καὶ τούτων ἐπί τινων, ὥστε διακοσμηθέντων δύνασθαι τὴν χώραν φέρειν. ὃ καὶ νῦν ξυμβαῖνον ὁρῶμεν καὶ ἐπὶ ζώων ἐνίων. καὶ φυτῶν. μεγίστην δὲ διαφορὰν αὐτῆς τῆς φύσεως τῶν δένδρων καὶ ἁπλῶς τῶν ὑλημάτων ὑποληπτέον, ἣν καὶ πρότερόν γε εἴπομεν. ὅτι τὰ μὲν, ἔγγεα. τὰ δ' ἔνυδρα τυγχάνει. καθάπερ τῶν ζώων καὶ τῶν φυτῶν. οὐ μόνον ἐν τοῖς ἕλεσι καὶ ταῖς λίμναις καὶ τοῖς ποταμοῖς γὰρ, ἀλλὰ καὶ ἐν τῇ θαλάττῃ φύεται ὑλήματα ἔνια, ἔν τε τῇ ἔξω καὶ τῇ περὶ ἡμᾶς, καὶ δένδρα. ἐν μὲν γὰρ τῇ περὶ ἡμᾶς μικρὰ πάν-

τὰ φυόμενα καὶ οὐδὲν ὑπερέχον ὡς εἰπεῖν τῆς ἐλάτης. ἐν ἐκείνῃ δὲ καὶ τὰ τοιαῦτα καὶ ὑπερέχοντα, καὶ ἕτερα δὲ μείζω δένδρα. τὰ μὲν οὖν περὶ ἡμᾶς, ἐστὶ τάδε· φανερώτατα μὲν καὶ κοινότατα καὶ ἰδιώτατα τοὺς τόπους· ἐλάτη· συκῆ· δρῦς· ἄμπελος· φοῖνιξ. τούτων δὲ τὰ μὲν πρόσγεια, τὰ δὲ, πόντια· τὰ δ' ἀμφοτέρων τῶν τόπων κοινά. καὶ τὰ μὲν πολυσχιδῆ, καθάπερ ὁ φῦκος. τὰ δὲ, μίαν ἰδέαν ἔχοντα. τοῦ γὰρ φύκους, τὸ μέν ἐστι πλατύφυλλον ταινιοειδές, χρῶμα ποῶδες ἔχον. ὃ δὴ καὶ πράσον καλοῦσί τινες· οἱ δὲ ζωστῆρα. ῥίζαν δὲ ἔχει δασεῖαν ἔξωθεν· ἄνωθεν δὲ λεπύρια. μακρὰν δὲ ἐπιεικῶς καὶ ὑπα-χῆ παρομοίαν τοῖς κρομμυογητείοις. τὸ δὲ τριχόφυλλον ὥσπερ τὸ μάραθρον οὐ ποῶδες, οὐδὲ ἔξωχρον· οὐδὲ ἔχον καυλόν· ἀλλ' ὀρθόν πως ἐν αὐτῷ. φύεται δὲ τοῦτο ἐπὶ τῶν ὀστράκων καὶ ἐπὶ τῶν λίθων· οὐχ ὥσπερ θάτερον πρὸς τῇ γῇ· πρόσγεια δ' ἄμφω. καὶ τὸ μὲν τριχόφυλλον πρὸς αὐτῇ γῇ. πολλάκις δὲ ὥσπερ ἐπικλύζεται μόνον ὑπὸ τῆς θαλάττης. θάτερον δὲ ἀνωτέρω. γίνεται δὲ ἐν μὲν τῇ ἔξω τῇ περὶ ἡρακλείας στήλας θαυμαστόν τι τὸ μέγεθος ὥς φασι, καὶ τὸ πλάτος μεῖζον ὡς παλαιστιαῖον. φέρεται δὲ τοῦτο εἰς τὴν ἔσω θάλατταν τῷ ῥῷ τῷ ἔξωθεν. καλοῦσι δὲ αὐτὸ πράσον. ἐν ταύτῃ δὲ, ἔν τισι τόποις ὥστε ἐπάνω τοῦ ὀμφαλοῦ. λέγεται δὲ ἐπέτειον εἶναι. καὶ φύεσθαι μὲν τοῦ ἦρος λήγοντος. ἀκμάζειν δὲ τοῦ θέρους. τοῦ μετοπώρου δὲ φθίνειν. κατὰ δὲ τὸν χειμῶνα ἀπόλλυσθαι καὶ ἐκπίπτειν. ἅπαντα δὲ καὶ ἄλλα τὰ φυόμενα χείρω καὶ ἀμαυρότερα γίνεσθαι τοῦ χειμῶνος. ταῦτα μὲν οὖν οἷον πρόσγεια περί γε τὴν θάλατταν. τὸ δὲ πόντιον φῦκος, ὃ οἱ σπογγεῖς ἀνακολυμβῶσι, πελάγιον. καὶ ἐν κρήτῃ δὲ φύεται πρὸς τῇ γῇ ἐπὶ τῶν πετρῶν πλεῖστον καὶ κάλλιστον, ᾧ βάπτουσιν οὐ μόνον τὰς ταινίας, ἀλλὰ καὶ ἔρια καὶ ἱμάτια, καὶ ἕως ἂν ᾖ πρόσφατος ἡ βαφὴ, πολὺ καλλίων ἡ χρόα τῆς πορφύρας. γίνεται δὲ καὶ ἐν τῇ προσ-

βόρρῳ καὶ πλεῖον καὶ καλόν· ὥσπερ αἱ σπάθαι καὶ ἄλλα τοιαῦ-
τα. ἄλλα γάρ ἐστιν ὅμοια τῇ ἀγρώστει· καὶ γὰρ τὸ φύλλον παραπλή-
σιον ἔχει· καὶ τὴν ῥίζαν γονατώδη καὶ πεφυκυῖαν πλαγίαν,
ὥσπερ τῆς ἀγρώστιδος· ἔχει δὲ καὶ καυλὸν καλαμώδη καθά-
περ ἡ ἄγρωστις· μέγεθος δὲ ἔλαττον πολὺ τοῦ φύκους. ἄλλο δὲ βό-
ρυον, ὃ φύλλον ἔχει ποῶδες τῇ χρόᾳ· πλατὺ δὲ ἱκανῶς ὅμοιον ταῖς
θριδακίναις· πλὴν χρυσσωδέστερον, καὶ ὥσπερ συνεσπασμένον·
καυλὸν δὲ οὐκ ἔχει· ἀλλ' ἀπὸ μιᾶς ἀρχῆς πλείω τὰ τοιαῦτα καὶ
πάλιν ἀπ' ἄλλης· φύεται δὲ ἐπὶ τῶν λίθων τὰ τοιαῦτα πρὸς
τῇ γῇ καὶ τῶν ὀστράκων· καὶ τὰ μὲν ἐλάττω σχεδὸν ταῦτ' ἐστίν. ἡ δὲ
δρῦς τε ἡ ἐλάτη, πρόσγειοι μὲν ἄμφω· φύονται δ' ἐπὶ λίθοις
καὶ ὀστράκοις· ῥίζας μὲν οὐκ ἔχουσαι, προσπεφυκυῖαι δέ, ὥσπερ
αἱ λεπάδες· ἀμφότεραι μὲν, οἷον σαρκόφυλλα· προμηκέστερον
δὲ τὸ φύλλον παχὺ, καὶ παχύτερον τῆς ἐλάτης· πολὺ δὲ καὶ οὐκ
ἀνόμοιον τοῖς τῶν ὀσπρίων λοβοῖς· κοῖλον δ' ἔνδοθεν· καὶ οὐ-
δὲν ἔχον ἐν αὐτοῖς· τὸ δὲ τῆς δρυὸς, λεπτὸν καὶ μυρικωδέστε-
ρον· χρῶμα δ' ἐπιπόρφυρον ἀμφοῖν· ἡ δ' ὅλη μορφὴ τῆς μὲν
ἐλάτης ὀρθὴ καὶ αὐτῆς καὶ τῶν ἀκρεμόνων· τῆς δὲ δρυὸς σκο-
λιωτέρα καὶ μᾶλλον ἔχουσα πλάτος· γίνεται δὲ ἄμφω καὶ πο-
λύκαυλα· καὶ μονοκαυλότερον δὲ ἡ ἐλάτη· τὰς δὲ ἀκρεμο-
νικὰς τε ἀποφύσεις, ἐλάτη μὲν μικρὰς ἔχει καὶ εὐθείας καὶ μα-
νάς. ἡ δὲ δρῦς βραχυτέρας καὶ σκολιωτέρας καὶ πυκνο-
τέρας· τὸ δ' ὅλον μέγεθος ἀμφοτέρων ὡς πυγωνιαῖον ἢ μι-
κρὸν ὑπεραῖρον· μεῖζον δὲ ὡς ἁπλῶς εἰπεῖν τὸ τῆς ἐλάτης. χρή-
σιμος δὲ ἡ δρῦς εἰς βαφὴν ἐρίων ταῖς γυναιξίν· ἐπὶ μὲν τῶν ἀ-
κρεμόνων προσηρτημένα τ' ὀστρακοδέρμων ζώων ἔνια· καὶ κά-
τωθεν πρὸς αὐτῷ τῷ καυλῷ περιπεφυκότων τινῶν ὅλων, ἐν
τούτοις δεδυκότες οἱ ὀνίννοι καὶ ἄλλ' ἄττα, καὶ τὸ ὅμοιον πο-
λύποδι· ταῦτα μὲν οὖν πρόσγεια καὶ ἐφάλια θεωρηθῆναι· φασὶ δέ

τινες

τινὰ καὶ ἄλλην δρῦν εἶναι ποντίαν· ἣ καὶ καρπὸν φέρει· καὶ ἡ βάλανος αὐτῆς χρησίμη· τοὺς δὲ σκινθούς, καὶ κολυμβητὰς λέγειν, ὅτι καὶ ἕτεραι μεγάλαι τινὲς τοῖς μεγέθεσιν εἶησαν· ἡ δὲ ἄμπελος ἀμφοτέρως εἴρηται. καὶ γὰρ πρὸς τῇ γῇ, καὶ πόντιαι· μείζω δ' ἔχει καὶ τὰ φύλλα καὶ τὰ κλήματα καὶ τὸν καρπὸν ἡ ποντία. ἡ δὲ συκῆ ἄφυλλος μὲν, τῷ μεγέθει δ' οὐ μεγάλη· χρῶμα δὲ τοῦ φλοιοῦ φοινικοῦν. ὁ δὲ φοῖνιξ ἐστὶ μὲν πόντιον, βραχυστέλεχες σφόδρα· καὶ σχεδὸν εὐθεῖαι αἱ ἐκφύσεις τῶν ῥάβδων, κάτωθεν, οὐ κύκλωθεν αὗται καθάπερ τῶν ῥάβδων οἱ ἀκρέμονες· ἀλλ' ὥσπερ ἐν πλάτει κατὰ μίαν συνεχεῖς. ἐνιαχοῦ δὲ καὶ ἐπαλλάττουσαι. τῶν δὲ ῥάβδων ἡ τῶν ἀποφύσεων τούτων, ὁμοία τρόπον τινὰ ἡ φύσις, τοῖς τῶν ἀκανθῶν φύλλοις τῶν ἀκανικῶν· οἷον, σόγκοις, καὶ τοῖς τοιούτοις· πλὴν ὀρθαί, οὐχ ὥσπερ ἐκεῖνα, καὶ περικεκλασμέναι, καὶ τὸ φύλλον ἔχουσαι διαβεβρωμένον ὑπὸ τῆς ἅλμης· ἐπεὶ τῷ γε δι' ὅλου ἥκειν τὸν μέσον καυλὸν, ἡ ἄλλη ὄψις παραπλησία· τὸ δὲ χρῶμα τούτων καὶ τῶν καυλῶν καὶ ὅλου τοῦ φυτοῦ ἐξέρυθρόν τε σφόδρα καὶ φοινικοῦν· καὶ τὰ μὲν ἐν τῇδε τῇ θαλάττῃ, τοσαῦτ' ἐστίν· ἡ γὰρ σπογγιά, καὶ αἱ πλύσιαι καλούμεναι καὶ εἴ τι τοιοῦτον, ἑτέραν ἔχει φύσιν· ἐν δὲ τῇ ἔξω τῇ περὶ ἡρακλέους στήλας, τό τε πράσον ὥσπερ εἴρηται φύεται, καὶ τὰ ἀπολιθούμενα ταῦτα· οἷον θύμα· καὶ τὰ δαφνοειδῆ καὶ τὰ ἄλλα. τῆς δὲ ἐρυθρᾶς καλουμένης ἐν ἀραβίᾳ μικρὸν ἐπάνω κόλπου, ἐν μὲν τῇ γῇ δένδρον οὐδὲν φύεται· πλὴν τῆς ἀκάνθης τῆς διψάδος καλουμένης· σπανία δὲ καὶ αὕτη διὰ τὰ καύματα, καὶ διὰ τὴν ἀνυδρίαν· οὐχ ὕει γὰρ, ἀλλ' ἢ διὰ τῶν τεττάρων ἢ πέντε· καὶ τότε λάβρως καὶ ἐπ' ὀλίγον χρόνον· ἐν δὲ τῇ θαλάττῃ φύεται· καὶ καλοῦσιν αὐτὰ δάφνην καὶ ἐλαίαν· ἔστι δὲ ἡ μὲν δαφνὴ ὁμοία τῇ ἀρίᾳ· ἡ δὲ ἐλαία τῷ φύλλῳ· καρπὸν δὲ ἔχει ἡ ἐλαία· παραπλήσιον δὲ ταῖς ἐλαίαις, ἀφίησι δὲ δάκρυ.

ἐξ οὗ οἱ ἰατροὶ φάρμακον ἔναιμον συντιθέασιν· ὃ εἶμε ταῖς σφό-
δρα ἀγαθόν· ὅταν δ' ὕδατα πλείω γένηται, μύκητες φύονται
πρὸς τῇ θαλάττῃ κατά τινα τόπον· οὗτοι δὲ ἀπολιθοῦνται ὑ-
πὸ τοῦ ἡλίου· ἡ δὲ θάλαττα θηριώδης· πλείστους δὲ ἔχει τοὺς καρ-
χαρίας, ὥστε μὴ εἶναι κολυμβῆσαι· ἐν δὲ τῷ κόλπῳ τῷ καλου-
μένῳ ἡρώων, ἐφ' ὃν καταβαίνουσιν οἱ ἐξ αἰγύπτου, φύεται μὲν
δάφνη τε καὶ ἐλαία καὶ θύμον· οὐ μὴν χλωρά γε, ἀλλὰ λιθώδη τὰ
ὑπερέχοντα τῆς θαλάττης· ὅμοια δὲ καὶ τοῖς φύλλοις καὶ τοῖς βλα-
στοῖς τοῖς χλωροῖς· ἐν δὲ τῷ θύμῳ καὶ τὸ τοῦ ἄνθους χρῶμα διά-
δηλον, ὥσαν μή πω τελέως ἐξηνθηκότος· μῆκος δὲ τῶν δενδρυ-
φίων ὅσον εἰς τρεῖς πήχεις· οἱ δὲ, ὅτι ἀνάπλους ἦν τῶν ἐξ ἰνδῶν
ἀποσταλέντων ἀπὸ ἀλεξάνδρου, τὰ ἐν τῇ θαλάττῃ φυόμενα
μέχρις ὅτου ἂν ᾖ ἐν τῷ ὑγρῷ, χρῶμά φασιν ἔχειν ὅμοιον τοῖς φυκίοις·
ὁπόταν δ' ἐξενεχθέντα τεθῇ πρὸς τὸν ἥλιον ἐν ὀλίγῳ χρόνῳ
ἐξομοιοῦσθαι τῷ ἁλί· φύεσθαι δὲ καὶ σχοίνους λιθίνους παρ' αὐτὴν
τὴν θάλατταν· οὓς οὐδεὶς ἂν διαγνοίη τῇ ὄψει πρὸς τοὺς ἀλη-
θινούς· θαυμασιώτερον δὲ τούτου λέγουσι· φύεσθαι γάρ τι δενδρύ-
φια ἄττα, τὸ μὲν χρῶμα ἔχοντα ὅμοιον κέρατι βοός· τοῖς δὲ ὄ-
ζοις τραχέα καὶ ἄκρου πυρρά· ταῦτα δὲ θραύεσθαι μὲν, εἰ συγ-
κλώη τις· ἐκ δὲ τούτων πῦρ ἐμβαλλόμενα καθάπερ τὸν σί-
δηρον, διάπυρα γενόμενα πάλιν ὅταν ἀποψύχοι το καθίστασθαι
καὶ τὴν αὐτὴν χρόαν λαμβάνειν· ἐν δὲ ταῖς νήσοις ταῖς ὑπὸ τῆς
πλημμυρίδος καταλαμβανομέναις, δένδρα μεγάλα πε-
φυκέναι ἡλίκα πλάτανοι· συμβαίνει δ' ὅθ' ἡ πλημμυρὶς ἐπέλ-
θοι, τὰ μὲν ἄλλα κατακρύπτεσθαι ὅλα· τῶν δὲ μεγίστων ὑπε-
ρέχειν τοὺς κλάδους, ἐξ ὧν τὰ πρυμνήσια ἀνάπτειν· εἶθ' ὅτι πά-
λιν ἀμπώτις εἴη, ἐκ τῶν ῥιζῶν· ἔχειν δὲ τὰ δένδρα φύλλα
μὲν ὅμοιον τῇ δάφνῃ· ἄνθος δὲ τοῖς ἴοις καὶ τῷ χρώματι καὶ τῇ
ὀσμῇ· καρπὸν δ' ἡλίκον ἐλαία· καὶ τοῦτον εὐώδη σφόδρα· καὶ τὰ
μὲν φύλλα οὐκ ἀποβάλλειν· τὸ δὲ ἄνθος καὶ τὸν καρπὸν ἅμα,
τῷ φθινοπώρῳ

τοῦ φθινοπώρου γίνεσθαι. τὸν δὲ καρπὸν ἀπορρεῖν. ἄλλα δ' ἐξ αὐτῆς τῆς θαλάττης πεφυκέναι, ἀείφυλλα μὲν, τὸν δὲ καρπὸν ὅμοιον ἔχειν τοῖς θέρμοις. περὶ δὲ τὴν περσίδα τὴν κατὰ καρμανίαν, καθ' ἣν ἡ πλημμυρὶς γίνεται, δένδρα ἐστὶν ἡλίκα μεγέθη, ὅμοια τῇ ἀνδράχνῃ καὶ τῇ μορφῇ καὶ τοῖς φύλλοις. καρπὸν δὲ ἔχει πολὺν ὅμοιον τῷ χρώματι ταῖς ἀμυγδάλαις ἔξωθεν. τὸ δὲ ἐντὸς συνελίττεται καθάπερ συνηρτημένον πᾶσιν. ὑποβέβρωται δὲ ταῦτα τὰ δένδρα πάντα κατὰ μέσον ὑπὸ τῆς θαλάττης. καὶ ἕστηκεν ὑπὸ τῶν ῥιζῶν ὥσπερ πολύπους. ὅταν γὰρ ἡ ἄμπωτις γένηται, θεωρεῖν ἐστιν. ὕδωρ δὲ ὅλως ἐν τῷ τόπῳ. καταλείπονται γάρ τινες διώρυχες δι' ὧν διαπλέουσιν. αὗται δ' εἰσὶ θαλάττης. ὃ καὶ δῆλον οἷον ταύτινες, ὡς τρέφονται ταύτῃ καὶ οὐ τῷ ὕδατι. πλὴν εἴ τι ταῖς ῥίζαις ἐκ τῆς γῆς ἕλκουσιν. εὔλογον δὲ καὶ τοῦθ' ἁλμυρὸν εἶναι. καὶ γὰρ οὐδὲ κατὰ βάθους αἱ ῥίζαι. τὸ δ' ὅλον ἓν τὸ γένος εἶναι. τῶν δ' ἐν τῇ θαλάττῃ φυομένων, καὶ τῶν ἐν τῇ γῇ ὑπὸ τῆς πλημμυρίδος καταλαμβανομένων, καὶ τὰ μὲν ἐν τῇ θαλάττῃ μικρὰ καὶ φυκώδη. φυόμενα δ' ἐν τῇ γῇ, μεγάλα καὶ χλωρὰ καὶ ἄνθοδμον ἔχοντα. καρπὸν δ' οἷον θέρμος. ἐν τύλῳ δὲ τῇ νήσῳ (κεῖται δ' αὐτὴ ἐν τῷ ἀραβικῷ κόλπῳ) τὰ μὲν πρὸς ἕω τοσοῦτον πλῆθος εἶναί φασι δένδρων ὅτ' ἐκβαίνει ἡ πλημμυρὶς, ὥστ' ἀπηχυρῶσθαι. πάντα δὲ ταῦτα μεγέθη μὲν ἔχειν ἡλίκα συκῆ. τὸ δὲ ἄνθος ὑπερβάλλον τῇ εὐωδίᾳ. καρπὸν δὲ ἄβρωτον, ὅμοιον τῇ ὄψει τῷ θέρμῳ. φέρειν δὲ τὴν νῆσον καὶ τὰ δένδρα καὶ τὰ ἐριοφόρα πολλά. ταῦτα δὲ φύλλον μὲν ἔχειν ὅμοιον τῇ ἀμπέλῳ. πλὴν μικρόν. καρπὸν δὲ οὐδὲν φέρειν. ἐν ᾧ δὲ τὸ ἔριον, ἡλίκον μῆλον ἐαρινὸν συμμεμυκός. ὅταν δὲ ὡραῖον ᾖ ἐκπετάννυσθαι καὶ ἐξαίρειν τὸ ἔριον, ἐξ οὗ τὰς σινδόνας ὑφαίνουσι, τὰς μὲν εὐτελεῖς. τὰς δὲ πολυτελεστάτας. γίνεται δὲ τοῦτο καὶ ἐν ἰν-

δροις ὥσπερ ἐλέχθη καὶ ἐν ἀραβίᾳ. εἶναι δὲ καὶ ἄλλα δένδρα
τὸ ἄνθος ἔχοντα ὅμοιον τῷ λευκοΐῳ, πλείονα ὄδμον τῷ μεγέ-
θει, τετραπλάσιον τῶν ἴων, καὶ ἕτερόν τι δένδρον πολύφυλλον
ὥσπερ τὸ ῥόδον. τοῦτο δὲ τὴν μὲν νύκτα συμμύειν. ἅμα δὲ
τῷ ἡλίῳ ἀνιόντι διοίγνυσθαι. μεσημβρίας δὲ τελέως διεπτύ-
σθαι. πάλιν δὲ τῆς δείλης συνάγεσθαι. καὶ κατὰ μικρὸν τὴν νύ-
κτα συμβαίνειν. λέγουσι δὲ καὶ τοὺς ἐγχωρίους, ὅτι καθεύδει. γίνε-
σθαι δὲ καὶ τοὺς φοίνικας ἐν νήσῳ καὶ ἀμπέλους, καὶ τἄλλα ἀ-
κρόδρυα καὶ συκᾶς αἳ φυλλορροοῦσιν. ὕδωρ δὲ οὐράνιον γίνεσθαι
μὲν, οὐ μὴν χρῆσθαί γε πρὸς τοὺς καρπούς. ἀλλ' εἶναι κρήνας μὲν
ἐν τῇ νήσῳ πολλὰς ἀφ' ὧν πάντα βρέχειν. ἃ καὶ συμφέρει μᾶλ-
λον τῷ σίτῳ καὶ τοῖς δένδρεσι. διὸ καὶ ὅταν ὕσῃ, τοῦτο ἐπαφιέ-
ναι καθαπερεὶ οἱ κατακλύνοντες ἐκεῖνο. καὶ τὰ μὲν ἐν τῇ ἔξω θα-
λάσσῃ δένδρα τάς γε νῦν θεωρούμενα, σχεδὸν τοσαῦτά ἐστιν. ὑπὲρ
δὲ τῶν ἐν τοῖς ποταμοῖς καὶ ἐν τοῖς ἕλεσι καὶ ταῖς λίμναις, μετὰ
ταῦτα λεκτέον. τρία δέ ἐστιν εἴδη τῶν ἐν τούτοις. τὰ μὲν δένδρα,
τὰ δ' ὥσπερ ποώδη, τὰ δὲ, λοχμώδη. λέγω δὲ ποώδη μὲν, οἷον τὸ σέ-
λινον, τὸ ἔλειον, καὶ ὅσα ἄλλα τοιαῦτα. λοχμώδη δὲ, κάλαμον.
κύπειρον. φλεώ. σχοῖνον. βούτομον. ἅπερ σχεδὸν κοινὰ πάν-
των τῶν ποταμῶν καὶ τῶν τοιούτων τόπων ἐστίν. ἐνιαχοῦ δὲ
καὶ βάτοι. καὶ παλίουροι. καὶ τὰ ἄλλα. δένδρα δὲ, καθά-
περ ἰτέα. λεύκη. πλάτανος. τὰ μὲν, ὥστε του κατακρύ-
πτεσθαι. τὰ δὲ, ὥστε μικρὸν ὑπερέχειν. τῶν δὲ, αἱ μὲν ῥίζαι
καὶ μικρὸν τοῦ στελέχους ἐν τῷ ὑγρῷ. τὸ δὲ ἄλλο πᾶν σῶμα
ἔξω. τοῦτο γὰρ καὶ ἰτέᾳ, καὶ κλήθρᾳ καὶ πλατάνῳ. καὶ φι-
λύρᾳ. καὶ πᾶσι τοῖς φιλύδροις συμβαίνει. σχεδὸν δὲ καὶ
ταῦτα κοινὰ πάντων τῶν ποταμῶν ἐστιν. ἐπεὶ καὶ ἐν τῷ νεί-
λῳ πέφυκεν. οὐ μὴν πολλὴ ἡ πλάτανος, ἀλλὰ σπανιωτέρα,
ἔτι ταύτης ἡ λεύκη. πλείστη δὲ μελία καὶ βουμέλιος. τῶν γοῦν ἐν αἰ-
γύπτῳ φυομένων, τὸ μὲν ὅλον πολὺ πλῆθός ἐστιν εἰς τὸ ἀριθμῆσαι

ἀλλὰ καθ'

θαι καθ᾽ ἕκαστον· οὐ μὴν ἀλλ᾽ ὥστε τι ἁπλῶς εἰπεῖν, ἅπαντα ἐ-
δώδιμα· καὶ χυλοὺς ἔχοντα γλυκεῖς. διαφέρειν δὲ δοκεῖ τῇ γλυ
κύτητι καὶ τῷ τρόφιμα μάλιστα εἶναι, τρία ταῦτα· ὅ, τε πάπυ
ρος· καὶ τὸ καλούμενον, σάρι· καὶ τρίτον ὃ μνάσιον καλοῦσι. φύεται
δὲ ὁ πάπυρος οὐκ ἐν βάθει τοῦ ὕδατος, ἀλλ᾽ ὅσον ἐν δύο πήχε-
σιν· ἐνιαχοῦ δὲ καὶ ἐλάττονι. πάχος μὲν οὖν τῆς ῥίζης καρ-
πὸς ἀνδρὸς εὐρώστου· μῆκος δέ, ὑπὲρ δέκα πήχεις. φύεται δ᾽
ὑπὲρ τῆς γῆς αὐτῆς. πλαγίας ῥίζας εἰς τὸν πηλὸν καθιεῖ-
σα λεπτὰς καὶ πυκνάς· ἄνω δέ, τοὺς παπύρους καλουμέ-
νους τριγώνους, μέγεθος ὥστε τετραπήχεις κόμην ἔχοντας ἀχρεῖ-
αν ἀσθενῆ· καρπὸν δὲ ὅλως οὐδένα. τούτους δ᾽ ἀναδίδωσι κατὰ
πολλὰ μέρη. χρῶνται δὲ ταῖς μὲν ῥίζαις ἀντὶ ξύλων, οὐ μόνον
τῷ κάειν, ἀλλὰ καὶ τῷ σκεύη ἄλλα ποιεῖν ἐξ αὐτοῦ παντοδαπά·
πολὺ γὰρ ἔχει τὸ ξύλον καὶ καλόν. αὐτὸς δὲ ὁ πάπυρος πρὸς πλεῖ
στα χρήσιμος. καὶ γὰρ πλοῖα ποιοῦσιν ἐξ αὐτοῦ· καὶ ἐκ τῆς βίβλου ἱστία,
τε πλέκουσι καὶ ψιάθους καὶ ἐσθῆτάς τινας καὶ στρωμνάς, καὶ
σχοινία τε καὶ ἕτερα πλείω. καὶ ἐμφανέστατα δὴ τοῖς ἔξω τὰ βι
βλία. μάλιστα δὲ καὶ πλείστη βοήθεια πρὸς τὴν τροφὴν ἀπ᾽ αὐ-
τοῦ γίνεται· μασῶνται γὰρ ἅπαντες οἱ ἐν τῇ χώρᾳ πάπυρον
καὶ ὠμὸν καὶ ἑφθὸν καὶ ὀπτόν. καὶ τὸν μὲν χυλὸν καταπίνουσι. τὸ
δὲ μάσημα ἐκβάλλουσιν. ὁ μὲν οὖν πάπυρος τοιοῦτός τε
καὶ τοιαύτας παρέχεται τὰς χρείας. γίνεται δὲ ἐν Συρίᾳ,
περὶ τὴν λίμνην, ἐν ᾗ καὶ ὁ κάλαμος ὁ εὐώδης· ὅθεν καὶ Ἀν
τίγονος εἰς τὰς ναῦς ἐποιεῖτο τὰ σχοινία. τὸ δὲ σάρι, φύεται
μὲν ἐν τῷ ὕδατι περὶ τὰ ἕλη καὶ τὰ πεδία, ἐπειδὰν ὁ ποτα
μὸς ἀπέλθῃ. ῥίζαν δὲ ἔχει σκληρὰν καὶ συνεστραμμένην·
καὶ ἐξ αὐτῆς φύεται τὰ σαρία καλούμενα. ταῦτα δέ, μῆκος
μὲν εἰς δύο πήχεις· πάχος δὲ ἡλίκον ὁ δάκτυλος ὁ μέγας τῆς
χειρός· τρίγωνον δὲ τοῦτο καθάπερ ὁ πάπυρος· καὶ κόμην ἔ-
χον παραπλήσιον· μασώμενοι δὲ ἐκβάλλουσι καὶ τοῦτο τὸ

μάστημα τῇ ῥίζῃ· ᾗ οἱ σιδηρουργοὶ χρῶνται· τὸν γὰρ ἄνθρακα ποιεῖ χρηστόν, διὰ τὸ σκληρὸν εἶναι τὸ ξύλον. τὸ δὲ μναύσιον ποῶδές ἐστι μέν, ὥστε οὐδεμίαν παρέχεται χρείαν πλὴν εἰς τροφήν. καὶ τὰ μὲν γλυκύτητι διαφέροντα, ταῦτά ἐστι. φύεται δὲ καὶ ἕτερον ἐν τοῖς ἕλεσι καὶ ταῖς λίμναις, ὃ οὐ συνάπτει τῇ γῇ· τὴν μὲν φύσιν ὅμοιον τοῖς κρίνοις· πολυφυλλότερον δέ, καὶ παράλληλα τὰ φύλλα καθάπερ ἐν δισσοῖ ἔχει· χρῶμα δὲ χλωρὸν ἔχει σφόδρα· χρῶνται δὲ οἱ ἰατροὶ πρός τε τὰ γυναικεῖα αὐτῷ, καὶ πρὸς τὰ κατάγματα. σημαίνει δ' ὥσπερ καὶ ἀποφέρεσθαι· ἕτερα δὲ ἀπὸ τῶν τὰ πλείω. ταῦτα δὲ γίνεται ἐν τῷ ποταμῷ· εἰ μὴ ὅρους ἐξέφερεν. ὁ δὲ κύαμος φύεται μὲν ἐν τοῖς ἕλεσι καὶ ταῖς λίμναις· καυλὸς δὲ αὐτοῦ μῆκος μὲν ὁ μακρότατος εἰς τέτταρας πήχεις· πάχος δὲ δακτυλιαῖος· ὅμοιος δὲ καλάμῳ μαλακῷ ἀγονάτῳ· διαφύσεις δὲ ἔνδοθεν ἔχει δι' ὅλου διειλημμένας ὁμοίως τοῖς κηρίοις· ἐπὶ τούτῳ δὲ ἡ κωδία παρομοία σφηκίῳ περιφερεῖ· καὶ ἐν ἑκάστῳ τῶν κυτάρων κύαμος μικρὸν ὑπεραίρων αὐτῶν. πλῆθος δὲ οἱ πλεῖστοι τριάκοντα. τὸ δὲ ἄνθος διπλάσιον ἢ μήκωνος· χρῶμα δὲ ὅμοιον ῥόδῳ κατακορές· ἐπάνω δὲ τοῦ ὕδατος ἡ κωδία. παραφύεται δὲ φύλλα μεγάλα παρ' ἕκαστον τῶν κυάμων· ὧν ἴσα τὰ μεγέθη πετάσῳ θετταλικῷ, τὸν αὐτὸν ἔχοντα καυλὸν τῷ τῶν κυάμων. συντρίψαντι δ' ἕκαστον τῶν κυάμων, φανερόν ἐστι τὸ πικρὸν συνεστραμμένον ἐξ οὗ γίνεται ὁ πίλος. τὰ μὲν οὖν περὶ τὸν καρπὸν, τοιαῦτα. ἡ δὲ ῥίζα παχυτέρα τοῦ καλάμου τοῦ παχυτάτου· καὶ διαφύσεις ὁμοίως ἔχουσα τῷ καυλῷ. ἐσθίουσι δ' αὐτὴν καὶ ὠμὴν, καὶ ἑφθὴν, καὶ ὀπτήν· καὶ οἱ περὶ τὰ ἕλη, τούτῳ σίτῳ χρῶνται. φύεται μὲν οὖν καὶ πολὺς αὐτόματος· οὐ μὴν ἀλλὰ καταβάλλουσιν ἐν πηλῷ ἀχυρώσαντες εὖ μάλα, πρὸς τὸ κατενεχθῆναί γε καὶ μεῖναι καὶ μὴ διαφθαρῆναι· καὶ οὕτω κατασκευάζουσι τοὺς κυάμονας· ἂν δ' ἅπαξ ἀντιλάβηται, μένει,

διὰ τέλους

διὰ τέλους. ἰσχυρὰ γὰρ ἡ ῥίζα. καὶ οὐ πόρρω τῶν καλάμων, πλὴν ἐπακαρπίζουσα. διὸ καὶ ὁ κροκόδειλος φεύγει, μὴ προσκόψῃ τοῖς ὀφθαλμοῖς, ἅτε μὴ ὀξὺ καθορῶν. γίνεται δὲ οὗτος καὶ ἐν Συρίᾳ καὶ κατὰ Κιλικίαν. ἀλλ᾽ οὐκ ἐκπέττουσιν αἱ χῶραι. καὶ περὶ Τορώνην τῆς Χαλκιδικῆς ἐν λίμνῃ τινὶ μετρίᾳ τῷ μεγέθει, καὶ αὕτη πέττει καὶ τελειοῖ καὶ τελεοκαρπεῖ. ὁ δὲ λωτὸς καλούμενος, φύεται μὲν ὁ πλεῖστος ἐν τοῖς πεδίοις, ὅταν ἡ χώρα κατακλυσθῇ. τούτου δὲ ἡ μὲν τοῦ καυλοῦ φύσις ὁμοία τῇ τοῦ κυάμου. καὶ οἱ πέτασοι δὲ ὡσαύτως, πλὴν ἐλάττους καὶ λεπτότεροι. ἐπιφύεται δ᾽ ὁμοίως ὁ λωτὸς τῷ τοῦ κυάμου. τὸ ἄνθος αὐτοῦ λευκὸν ἐμφερὲς τῇ στενότητι τῶν φύλλων τοῖς τῶν κρίνων. πολλὰ δὲ καὶ πυκνὰ ἐπ᾽ ἀλλήλοις φύεται. ταῦτα δ᾽ ὅταν μὲν ὁ ἥλιος συμμύῃ, συγκαλύπτει τὴν κωδύαν. ἅμα δὲ τῇ ἀνατολῇ διοίγεται, καὶ ὑπὲρ τοῦ ὕδατος γίνεται. τοῦτο δὲ ποιεῖ, μέχρις ἂν ἡ κωδύα ἐκτελεωθῇ, καὶ τὰ ἄνθη περιρρυῇ. τῆς δὲ κωδύας τὸ μέγεθος ἡλίκον μήκωνος τῆς μεγίστης. καὶ διέζωσται ταῖς κατατομαῖς τὸν αὐτὸν τρόπον τῇ μήκωνι. πλὴν πυκνότερος ἐν ταύταις ὁ καρπός. ἔστι δὲ παρόμοιος τῇ κέγχρῳ. ἐν δὲ τῷ Εὐφράτῃ τὴν κωδύαν φασὶ δὲ καὶ τὰ ἄνθη δύνειν, καὶ ὑποκαταβαίνειν τῆς ὥρας, μέχρι μέσων νυκτῶν, καὶ τῷ βάθει πόρρω· οὐδὲ γὰρ καθιέντα τὴν χεῖρα λαβεῖν εἶναι. μετὰ δὲ ταῦτα ὅταν ὄρθρος ᾖ, πάλιν ἐπανιέναι. καὶ πρὸς ἡμέραν ἔτι μᾶλλον ἅμα τῷ ἡλίῳ φανερὸν ὑπὲρ τοῦ ὕδατος καὶ ἀνοίγειν τὸ ἄνθος. ἀνοιχθέντος δὲ ἔτι ἀναβαίνειν. συχνὸν δὲ τὸ ὑπεραῖρον εἶναι τὸ ὕδωρ. τὰς δὲ κωδύας ταύτας οἱ Αἰγύπτιοι συνθέντες εἰς τὸ αὐτὸ, σήπουσιν. ἐπὰν δὲ σαπῇ, κέλυφος ἐν τῷ ποταμῷ κλύζοντες, ἐξαίρουσι τὸν καρπόν. ξηράναντες δὲ καὶ ὀπτήσαντες, ἄρτους ποιοῦσι. καὶ τούτῳ χρῶνται σιτίῳ. ἡ δὲ ῥίζα τοῦ λωτοῦ καλεῖται μὲν κόρσιον. ἔστι δὲ στρογγύλη τὸ μέγεθος ἡλίκον μῆλον κυδώνιον. φλοιὸς δὲ περίκειται περὶ αὐτὴν μέλας, ἐμφερὴς

τῷ κασαναϊκῷ καρύῳ· τὸ δὲ ἐντὸς λευκόν· ἑψόμενον δὲ καὶ ὀπτόμενον γίνεται λεκιθῶδες· ἡδὺ δὲ ἐν τῇ προσφορᾷ· ἐσθίεται δὲ καὶ ὠμόν· ἀρίστη δ' ἐν τοῖς ὕδασιν αὐτὴ ὠμή· καὶ τὰ μὲν ἐν τοῖς ὕδασι σχεδὸν ταῦτά ἐστιν. ἐν δὲ τοῖς ἀμμώδεσι χωρίοις, ἅ ἐστιν οὐ πόρρω τοῦ ποταμοῦ, φύεται κατὰ γῆς ὃ καλεῖται μαλιναθάλλη· στρογγύλον τῷ σχήματι· μέγεθος δὲ ἡλίκον μέσπιλον, ἀπύρηνον δὲ, ἄφλοιον· φύλλα δὲ ἀφίησιν ἀπ' αὐτοῦ ὅμοια κυπείρῳ· ταῦτα συνάγοντες οἱ κατὰ τὴν χώραν, ἕψουσιν ἐν βρυτῷ τῷ ἀπὸ τῶν κριθῶν, καὶ γίνεται γλυκέα, σφόδρα. χρῶνται δὲ πάντες ὥσπερ τραγήμασι. τοῖς δὲ βουσὶ καὶ τοῖς προβάτοις ἅπαντα μὲν τὰ φυόμενα ἐδώδιμά ἐστιν. ἓν δέ τι γένος ἐν ταῖς λίμναις καὶ τοῖς ἕλεσι φύεται διαφέρον· ὃ καὶ χλωρὸν νέμονται. καὶ ξηραίνοντες παρέχουσι κατὰ χειμῶνα τοῖς βουσὶν, ὅταν ἐργάζωνται. καὶ τὸ σῶμα ταῖς ἔχουσιν εὖ σωματοῦντα, λαμβάνοντες οὐθέν. ἔστι καὶ ἄλλο παραφυόμενον αὐτόματον ἐν τῷ σίτῳ. τοῦτο δ' ὅταν ὁ σῖτος ᾖ καθαρός, ὑποπλήσαντες καταβάλλουσι τοῦ χειμῶνος ὑγρὰν τὴν γῆν. βλαστήσαντος δὲ, τεμόντες καὶ ξηράναντες παρέχουσι καὶ τοῦτο βουσὶ καὶ ἵπποις καὶ τοῖς ὑποζυγίοις, σὺν τῷ καρπῷ τῷ ἐπιγινομένῳ. ὁ δὲ καρπὸς, μέγεθος μὲν ἡλίκον σήσαμον. στρογγύλος δὲ καὶ τῷ χρώματι χλωρός. ἀγαθὸς δὲ διαφερόντως. ἐν αἰγύπτῳ μὲν οὖν τὰ πάντα σχεδὸν ταῦτα ἄν τις λάβοι. ἕκαστοι δὲ τῶν ποταμῶν ἐοίκασιν ἴδιόν τι φέρειν· ὥσπερ καὶ τῶν χερσαίων. ἐπεὶ οὐδὲ ὁ τρίβολος ἐν ἅπασιν, οὐδὲ πανταχοῦ φύεται· ἀλλ' ἐν τοῖς ἑλώδεσι τῶν ποταμῶν. ἐν μεγίστῳ δὲ βάθει πενταπήχει ἢ μικρῷ μείζονι, καθάπερ οἱ περὶ τὸν στρύμονα. σχεδὸν δ' ἐν τοσούτῳ καὶ ὁ κάλαμος καὶ τὰ ἄλλα. ὑπερέχει δὲ οὐθὲν αὐτοῦ, πλὴν αὐτὰ τὰ φύλλα, ὥσπερ ἐπινέοντα καὶ κρύπτοντα τὸν τρίβολον.

ὁ δ' ὁ τρίβολος

ὁ δὲ σίβολος αὐτὸς ἐν τῷ ὑδατώδει εἰς βυθόν. τὸ δὲ φύλλον ἐστὶ πλατὺ προσεμφερὲς τῷ τῆς πτελέας, μέγεθος δ᾽ ἐγχειρόδια μικρόν. ὁ δὲ καυλὸς ἐξ ἄκρου βαθύνεται τος ὥσπερ τὰ φύλλα καὶ ὁ καρπός. τὰ δὲ κάτω λεπτότερος ἀεὶ μέχρι τῆς ῥίζης. ἔχει δ᾽ ἀπ᾽ αὐτοῦ φυλλάδια πλάγια τοῦ σχίζειν. τὰ μὲν πλεῖστα παράλληλα. τὰ δὲ καὶ παραλλάττοντα κάτωθεν ἀπὸ τῆς ῥίζης μεγάλα. τὰ δὲ ἄνω ἀεὶ ἐλάττω προϊοῦσιν, ὥστε τελευταῖα μικρὰ παντελῶς εἶναι. καὶ τὴν διαφορὰν μεγάλην τῶν ἀπὸ τῆς ῥίζης πρὸς τὸν καρπόν. καὶ παραβλαστήματα πολλὰ καὶ γὰρ ζία καὶ πέταλα. μέγιστον δ᾽ αἰεὶ τὸ πλησιέστερον τῆς ῥίζης. ἔπειτα δὲ μετὰ τοῦτο, καὶ τὰ ἄλλα κατὰ λόγον. τὸ δὲ παραβλάστημα ἐστὶν ὥσπερ καυλὸς ἄλλος, λεπτότερος μὲν τοῦ πρώτου. τὰ δὲ φύλλα καὶ τὸν καρπὸν ἔχει ὁμοίως. ὁ δὲ καρπὸς μέλας καὶ σκληρὸς σφόδρα. ῥίζαι δὲ ὑλικαὶ καὶ πλείω ἔχει, σκεπτέον. ἡ μὲν οὖν φύσις, τοιαύτη. φύεται μέντοι ἀπὸ τοῦ καρποῦ πίπτοντος, καὶ ἀφίησι βλαστὸν τοῦ ἦρος. φασὶ δ᾽ οἱ μὲν εἶναι, ἐπέτειον. οἱ δὲ διαμένειν τὴν μὲν ῥίζαν εἰς χρόνον. ἐξ ἧς καὶ τὴν βλάστησιν εἶναι τοῦ καυλοῦ. τοῦτο μὲν οὖν σκεπτέον. ἴδιον δὲ παρὰ τὰ ἄλλα, τὸ τῆς παραφυομένης ἐκ τοῦ καυλοῦ τριχώδους. οὔτε γὰρ φύλλα ταῦτα, οὔτε καυλός. ἐπεὶ τό γε τῆς παραβλαστήσεως, καυλὸν καλάμου καὶ ἄλλοι. τὰ μὲν οὖν ἴδια θεωρητέον ἰδίως δηλονότι. τὰ δὲ, κοινῶς. διαιρεῖν δὲ χρὴ καὶ κατὰ τοὺς τόπους. οἷον εἰ τὰ μὲν ἕλεια. τὰ δὲ, λιμναῖα, τὰ δὲ ποτάμια μᾶλλον, ἢ καὶ κοινὰ πάντων τῶν τόπων. διαιρετέον δὲ πῶς ἂν ταῦτα ἐν τῷ ὑγρῷ καὶ τῷ ξηρῷ φύεται, τὰ δ᾽ ἐν τῷ ὑγρῷ μόνον. ὥσπερ δ᾽ ἐπεὶ αἱρόμενα καὶ προσαιρούμενα πρότερον. ἐν τῇ λίμνῃ τῇ περὶ Ὀρχομενὸν τάδ᾽ ἐστὶ τὰ φυόμενα δένδρα καὶ ὑλήματα. ἰτέα, ἐλαίαγνος, σίδη, κάλαμος, ὅ, τε αὐλητικὸς καὶ ὁ ἕτερος, κύπειρος, φλεώς, τίφη, ἔτι καὶ μύανθος ἢ τὸ καλούμενον ἴπνον. ὁ γὰρ προσαγορευόμενος

λέμνα, τοῦτο πλεῖον τὸ καθ᾽ ὕδατός ἐστι. τούτων δὲ τὰ μὲν
ἄλλα γνώριμα· ἡ δὲ ἐλαίαγνος· καὶ ἡ σίδη· καὶ ἡ μίνανθος·
καὶ ἡ ἰκάμη, καὶ τὸ ἴπνον· ἴσως μὲν φύεται καὶ ἑτέρωθι· προσα-
γορεύεται δὲ ἄλλοις ὀνόμασι· λεκτέον δὲ περὶ αὐτῶν. ἔστι δὲ ἡ μὲν
ἐλαίαγνος, φυτὸν θαμνῶδες, καὶ παρόμοιον τοῖς ἄλλοις, φύλλον δ᾽ ἔχει
τῷ μὲν σχήματι παραπλήσιον· μαλακὸν δὲ, ὥσπερ αἱ μηλέαι, καὶ
χνοῶδες· ἄνθος δὲ, τῷ τῆς λεύκης ὅμοιον ἔλαττον· καρπὸν δὲ οὐδένα
φέρει· φύεται δὲ ὁ πλεῖστος μὲν ἐπὶ τῶν πλοάδων νήσων· εἰσὶ δ᾽
τινες καὶ ἐνταῦθα πλοάδες, ὥσπερ ἐν αἰγύπτῳ περὶ τὰ ἕλη, καὶ
ἐν θεσπρωτίδι, καὶ ἐν ἄλλαις λίμναις· ἐλάττων δὲ καθ᾽ ὕδατος. ἡ μὲν
οὖν ἐλαίαγνος τοιοῦτον. ἡ δὲ σίδη, τὴν μὲν μορφὴν ὡς εἰπεῖν ὁμοία τῇ
μήκωνι· καὶ γὰρ τὸ ἄνω κυτινῶδες τοιοῦτον ἔχει, πλὴν μεῖζον ὡς
κατὰ λόγον· μέγεθος δὲ ὅλος ὁ ὄγκος, ἡλίκον μῆλον. ἔστι δ᾽ οὐ γυμνὸν,
ἀλλὰ ὑμένες περὶ αὐτὴν λευκοί· καὶ ἐπὶ τούτοις ἔξωθεν φύλ-
λα κροκώδη, παραπλήσια τοῖς τῶν ῥόδων, ὅταν ἐν κάλυξιν ὦσιν ἔτι
παρὰ τὸν ἀριθμόν· ἀνοιχθεῖσα δὲ, τοὺς κόκκους ἐρυθροὺς μὲν ἔχει.
τῷ σχήματι δ᾽ οὐχ ὁμοίους ταῖς ῥίζαις, ἀλλὰ περιφερεῖς· μικροὺς
δὲ καὶ οὐ πολλῷ μείζους κέγχρου. τὸν δὲ χυλὸν ὑδατώδη πως. καθά-
περ ὁ τῶν πυρῶν. ἁδρύνεται δὲ τοῦ θέρους. μίσχον δὲ ἔχει μικρὸν, τὸ
δὲ ἄνθος ὅμοιον ῥόδου κάλυκι· μεῖζον δὲ καὶ σχεδὸν διπλάσιον τῷ
μεγέθει. τοσοῦτον μὲν οὖν καὶ τὸ φύλλον ἐπὶ τοῦ ὕδατος. μετὰ δὲ ταῦτα
ὅταν ἀπανθήσῃ, καὶ συστῇ τὸ κατὰ τὸν καρπὸν, κατακλίνεσθαί φα-
σιν εἰς τὸ ὕδωρ μᾶλλον· τέλος δὲ συναπτέσθαι ἐπὶ τῇ γῇ. καὶ τὸν καρ-
πὸν ἐκχεῖν. καταφορεῖν δὲ τῶν ἐν τῇ λίμνῃ τοῦτο. καὶ τὸ βούτομον.
καὶ τὸ φλεώς. εἶναι δὲ τὸ βουτόμου μέλαινα. τῷ δὲ μεγέθει πα-
ραπλήσιον τῷ τῆς σίδης. τῷ δὲ φλεὼς τὴν καλουμένην ἀνθήλην.
ᾗ χρῶνται πρὸς τὰς κονίας. τοῦτο δ᾽ ἐστὶν, οἷον πλακαντῶδές
τι μαλακὸν ἐπὶ πυρί. ἔτι δὲ καὶ τὸ φλεὼς καὶ τὸ βούτομου, τὸ
μὲν θῆλυ ἄκαρπον· χρήσιμον δὲ πρὸς τὰ πλόκανα. τὸ δὲ ἄρρεν ἀ-
χρεῖον. περὶ δὲ τῆς ἰκάμης καὶ τοῦ μινυάνθους καὶ τοῦ ἴπνου σκεπτέον

ἰδιώτατον

ἰδιώτατον δὲ τούτων ἐστὶν ἡ τίφη, καὶ τὸ ἄφυλλον εἶναι, καὶ τῷ
μὴ πολύρριζον τοῖς ἄλλοις ὁμοίως· ἐπεὶ τά γε ἄλλα ἔχει πλεῖον εἰς τὰ
κάτω τὴν ὁρμὴν ἔχει καὶ τὴν δύναμιν. μάλιστα δὲ τὸ κύπειρον ὥσ-
περ καὶ ἡ ἄγρωστις· διὸ καὶ δυσώλεθρα καὶ ταῦτα, καὶ ὅλως ἅπαν τὸ
γένος τὸ ῥιζόφυτον· ἡ γὰρ ῥίζα τοῦ κυπείρου πολύ τι τῶν ἄλλων παραλλάτ- ῥίζα τοῦ κυπείρου
τει τῇ ἀνωμαλίᾳ, τῷ τὸ μὲν εἶναι παχύ τι καὶ σαρκῶδες αὐτῆς.
τὸ δὲ λεπτὸν καὶ ξυλῶδες, καὶ τῇ βλαστήσει καὶ τῇ γενέσει· φύεται
γὰρ ἀπὸ τοῦ πρεμνώδους ἑτέρα λεπτὴ κατὰ τὸ πλάγιον· εἶ-
τ' ἐν ταύτῃ συνίσταται πάλιν τὸ σαρκῶδες· ἀφ' οὗ ὁ καυλός· ἐν ᾧ
καὶ ὁ βλαστός· ἀφίησι δὲ καὶ εἰς βάθος τὸν αὐτὸν τρόπον ῥίζας· διὸ
καὶ πάντων μάλιστα δυσώλεθρον, καὶ ἔργον ἐξελεῖν· σχεδὸν δὲ
παραπλησίως φύεται ἡ ἄγρωστις ἐκ τῶν γονάτων· αἱ γὰρ ῥί-
ζαι γονατώδεις· ἐξ ἑκάστου δὲ ἀφίησιν ἀνάβλαστον καὶ κάτωθεν
ῥίζαν· ὡσαύτως δὲ καὶ ἡ ἄκανθα κεάνωθος· ἀλλ' οὐ καλαμώδης, ἡ
δὲ γονατώδης ἡ ῥίζα ταύτης. ταῦτα μὲν οὖν διὰ τὴν ὁμοιότη-
τα πλείω εἴρηται. φύεται δ' ἐν ἀμφοῖν καὶ ἐν τῇ γῇ καὶ ἐν τῷ ὕ-
δατι, ἰτέα· κάλαμος ὁ αὐλητικός· κύπειρον· τίφη· φλεώς· βού-
τομος· ἐν δὲ τῷ ὕδατι μόνον σίδη· περὶ γὰρ τῆς τίφης ἀμφισ-
βητοῦσιν· καλλίω δὲ καὶ μείζω τῶν ἐν ἀμφοῖν φυομένων αἰ-
εὶ τὰ ἐν τῷ ὕδατι γίνεσθαί φασι· φύεσθαι δ' ἔνια τούτων καὶ ἐ-
πὶ τῶν πλοάδων· οἷον, τὸ κύπειρον καὶ τὸ κύρμον καὶ τὸ φλεώς· ὥσ-
τε πάντα τὰ μέρη ταῦτα κατέχειν. ἐδώδιμα δ' ἐστὶ τῶν ἐν τῇ λίμνῃ ἐδώδιμα ἐν τῇ λίμνῃ
τάδε· ἡ μὲν σίδη· καὶ αὐτὴ καὶ τὰ φύλλα, τοῖς προβάτοις· ὁ δὲ βλαστός, τοῖς σίδη
ὑσίν· ὁ δὲ καρπός, τοῖς ἀνθρώποις· τοῦ δὲ φλεώ, καὶ τῆς τίφης, καὶ φλεώς τίφη
τοῦ βουτόμου· τὸ πρὸς ταῖς ῥίζαις ἁπαλόν· ὃ μάλιστα ἐσθίουσι τὰ παι- βούτομον
δία· ῥίζα δ' ἐδώδιμος ἡ τοῦ φλεὼ μόνη τοῖς βοσκήμασιν· ὅταν δὲ
αὐχμὸς ᾖ, καὶ μὴ γίνηται τὸ κατὰ κεφαλὴν ὕλην, ἅπαντα αὐχμεῖ
τὰ ἐν τῇ λίμνῃ· μάλιστα δὲ ὁ κάλαμος. ὑπὲρ οὗ καὶ λοιπὸν εἰ-
πεῖν· ὑπὲρ γὰρ τῶν ἄλλων σχεδὸν εἴρηται. τοῦ δὴ καλάμου δύο φα- Γένος τῶν καλάμων
σὶν εἶναι γένη τόν τε αὐλητικόν, καὶ τὸν ἕτερον· ἓν γὰρ εἶναι τὸ γένος

τοῦ ἑτέρου·διαφέρειν δὲ ἀλλήλων ἰσχύι τε λεπτότητι καὶ ἀσθε-
νείᾳ·καλοῦσι δὲ τὸν μὲν ἰσχυρὸν τε παχὺν, χαρακίαν·τὸν δὲ ἕτε-
ρον πλόκιμον·φύεσθαι δὲ, τὸν μὲν πλόκιμον ἐπὶ τῶν πλοάδων·τὸν
κώμυας δὲ χαρακίαν, ἐπὶ τοῖς κώμυσι·κώμυθας δὲ καλοῦσι, οὗ ἂν ᾖ συνη-
θροισμένος κάλαμος ἐν συμπεπλεγμένοις ταῖς ῥίζαις·τοῦ-
το δὲ γίνεται καθ' οὓς ἂν τόπους τῆς λίμνης ἔγγειον ᾖ χωρίον·γίνε-
σθαι δέ τι τὸν χαρακίαν καὶ οὐ αὐλητικός·μακρότερον μὲν
τοῦ ἄλλου χαρακίου·σκωληκοβρωτότερον δέ·τούτου μὲν οὖν ταύ-
τας λέγουσι τὰς διαφοράς·περὶ δὲ τοῦ αὐλητικοῦ τὸν μὲν, φύ-
εσθαι δι' ἐνναετηρίδος, ὥσπερ τινές φασι·καὶ ταύτην εἶναι τὴν
τάξιν οὐκ ἀληθές·ἀλλὰ τὸ μὲν ὅλον αὐξηθείσης γίνεται τῆς λί-
μνης·ὅτι δὲ τοῦτο δοκεῖ συμβαίνειν ἐν τοῖς πρότερον χρόνοις, μά-
λιστα δι' ἐνναετηρίδος, ἐπὶ τὴν γένεσιν τοῦ καλάμου ταύτην ἐποί-
ουν, τὸ συμβεβηκὸς ὡς τάξιν λαμβάνοντες·γίνεται δ' ὅταν ἐ-
πομβρίας γενομένης διαμείνῃ τὸ ὕδωρ διετῆ τοὐλάχιστον· ἂν
πλέω, καὶ κάλλιον·τούτου δὲ μάλιστα μνημονεύουσι γεγονότος
τοῦ ὕστερον χρόνου, ὅτε συνέβη τὰ περὶ χερώνειαν·πρὸ τούτων γὰρ
ἔτη πλείω ἔφασαν ἔτη πλεῖον βαθυνθῆναι τὴν λίμνην·μετὰ δὲ ταῦτα ὕστερον
ὡς ὁ λοιμὸς ἐγένετο σφοδρός, πληρωθῆναι μὲν αὐτήν·οὐ μείναντος
δὲ τοῦ ὕδατος, ἀλλ' ἐκλείποντος χειμῶνος, οὐ γενέσθαι τὸν κάλαμον·
φασὶ γάρ τε δοκεῖ βαθυνομένης τῆς λίμνης μείναντα τὸν ἐπιόντα
ἐνιαυτὸν, ἁδρύνεσθαι·τε γίνεσθαι τὸν μὲν ἁδρυνθέντα ζευγίτην·ᾧ δ' ἂν μὴ
συμπαραμείνῃ τὸ ὕδωρ, βομβυκίαν·τὴν μὲν οὖν γένεσιν, τοιαύτην·
διαφορὰν δὲ τῶν ἄλλων καλάμων ὡς καθόλου λαβεῖν, εὐτροφίᾳ τι-
νὶ τῆς φύσεως·ἀπληθέστερον γὰρ εἶναι καὶ σαρκωδέστερον, τε ὅλως δὲ θῆλυν
τῇ προσόψει·καὶ γὰρ τὸ φύλλον πλατύτερον ἔχει καὶ λευκότερον·
ἀνθήλην τὴν δὲ ἀνθήλην ἐλάττω τῶν ἄλλων·τινὰς δὲ ὅλως οὐκ ἔχειν·οὓς
ἐν προσαγορεύουσιν εὐνουχίας·ἐξ ὧν ἄριστα μέν φασί τινες γίνε-
σθαι τὰ ζεύγη·κατορθοῦν δὲ ὀλίγα παρὰ τὴν ἐργασίαν·τὴν δὲ το-
μὴν ὡραίαν εἶναι, πρὸ Ἀντιγενίδου μὲν ἡνίκα ηὔλουν ἀπλάστως, ὑπὸ Ἀρ-
κτοῦρον.

κτούρω, βοηδρομιῶνος μηνός· τὸν γὰρ οὕτω τμηθέντα συχνοῖς μὲν ἔτεσιν ὕστερον γίνεσθαι χρήσιμον· καὶ προκαταυλήσεως δεῖσθαι πολλῆς· συμμύειν δὲ τὸ στόμα τῶν γλωττῶν, ὃ πρὸς τὴν διακτορίαν εἶναι χρήσιμον. ἐπεὶ δ' εἰς τὴν πλάσιν μετέβησαν, ἣν μὴ μετεκινήθη· τέμνουσι γὰρ δὴ νῦν τοῦ σκιρροφοριῶνος καὶ ἑκατομβαιῶνος, ὥσπερ πρὸ τροπῶν μικρὸν ἢ ὑπὸ τροπάς· γίνεσθαι δέ φασιν τριενόν τε χρήσιμον, καὶ καταυλήσεως βραχείας δεῖσθαι· καὶ κατασπάσματα τὰς γλώττας ἔχειν· τοῦτο δὲ ἀναγκαῖον τοῖς μετὰ πλάσματος αὐλοῦσι. τοῦ μὲν οὖν ζευγίτου ταύτας εἶναι τὰς ὥρας τῆς τομῆς. ἡ δὲ ἐργασία γίνεται τὸν αὐτὸν τρόπον· ὅταν συλλέξωσι, τιθέασιν ὑπαίθριον τοῦ χειμῶνος ἐν τῷ λέμματι· τοῦ δ' ἦρος περικαθάραντες καὶ ἐκξύσαντες, εἰς τὸν ἥλιον ἔθεσαν· τοῦ θέρους δὲ μετὰ ταῦτα συντεμόντες εἰς τὰ μεσογόνια, πάλιν ὑπαίθριον τιθέασι χρόνον τινά· προσλείπουσι δὲ τῷ μεσογονατίῳ τὸ πρὸς τοὺς βλαστοὺς γόνυ· τὰ δὲ μήκη τὰ τούτων οὐ γίνεται διπαλαιστῶν ἐλάττω. βέλτιστα μὲν οὖν εἶναι τῶν μεσογονίων πρὸς τὴν ζευγοποιίαν ὅλου τοῦ καλάμου τὰ μέσα· μαλακώτατα δ' ἔχειν ζεύγη τὰ πρὸς τοὺς βλαστούς· σκληρότατα δὲ τὰ πρὸς τῇ ῥίζῃ· συμφωνεῖν δὲ τὰς γλώττας τὰς ἐκ τοῦ αὐτοῦ μεσογονατίου· τὰς δ' ἄλλας οὐ συμφωνεῖν· καὶ τὴν μὲν πρὸς τῇ ῥίζῃ ἀριστερὰν εἶναι· τὴν δὲ πρὸς τοὺς βλαστοὺς δεξιάν. τμηθέντος δὲ δίχα τοῦ μεσογονίου, τὸ στόμα τῆς γλώττης ἑκατέρας γίνεται κατὰ τὴν τοῦ καλάμου τομήν· ἐὰν δὲ ἄλλον τινὰ τρόπον ἐργασθῶσιν αἱ γλῶτται, ταύτας οὐ πάνυ συμφωνεῖν. ἡ μὲν οὖν ἐργασία τοιαύτη. φύεται δὲ πλεῖστος μὲν μεταξὺ τοῦ κηφισοῦ καὶ τοῦ μέλανος. οὗτος δὲ ὁ τόπος προσαγορεύεται πελεκανία· τούτου δ' ἐστὶ μάλιστα χύτροι καλούμενοι βαθύσματα τῆς λίμνης· ἐν οἷς κάλλιστόν φασι γίνεσθαι· καθ' ὃν ἡ προβατία καλουμένη καταφέρεται. οὗτος δ' ἐστὶ ποταμὸς ῥέων ἐκ λεβαδίας. κάλλιστος δὲ δοκεῖ γίνεσθαι πάντων περὶ τὴν ὀξεῖαν καλουμένην κάμπην· αὕτη δ' ἐστὶν ἐμβολὴ τοῦ κηφισοῦ· γειτνιᾷ δ' αὐτῷ πεδί-

ον ὕγρον, ὃ προσαγορεύουσιν ἱππίαν· πρὸς βορρέος δὲ ὁ τόπος ἄγος ἐ-
τι ὀξείας καμπῆς ὁδὸν, ὃν καλοῦσι βοηδρίαν. φύεσθαι δέ φασι καὶ
κατὰ ταύτην ὑγρὸν τὸν κάλαμον. τὸ δ' ὅλον οὗ ἂν ᾖ βαθύγειον καὶ ὑγρὸν χωρίον
καὶ ἰλυῶδες, καὶ ὁ κηφισὸς ἀναμίγνυται, καὶ πρὸς τούτοις βάθυσμα τῆς λί-
μνης, κάλλιστον γίνεσθαι κάλαμον· περὶ δὲ τὴν βοηδρίαν, ταῦτα πάντ'
ὑπάρχει· ὅτι δὲ ὁ κηφισὸς μεταβολὴν ἔχει ῥοπὴν εἰς τὸ τριέτη καλὸν
κάλαμον, σημεῖον ἔχουσι. καθόλου δὲ τὸ τὸν ὁ μέλλει καλὸς μέλλει ἐμβάλ-
λειν, βαθείας οὔσης τῆς λίμνης καὶ τοῦ ἐδάφους ἰλυώδους καὶ ὑλώδους, ἢ ὅ-
λως μὴ φύεσθαι ἢ φαῦλον. ἡ μὲν οὖν γένεσις καὶ φύσις τοῦ αὐλητι-
κοῦ, καὶ ἡ κατεργασία, καὶ τίνας ἔχει διαφορὰς πρὸς τοὺς ἄλλους, ἱκα-
νῶς εἰρήσθω. γένη δ' οὐ ταῦτα μόνον, ἀλλὰ πλείω τοῦ καλάμου τυγ-
χάνει, φανερὰς ἔχοντα τῇ αἰσθήσει διαφοράς. ὁ μὲν γὰρ πυκνὸς καὶ τῇ
σαρκὶ καὶ τοῖς γόνασιν. ὁ δὲ, μανὸς καὶ ὀλιγογόνατος. καὶ ὁ μὲν κοῖ-
λος. ὃν καλοῦσί τινες σύριγγα. οὐδὲν γὰρ ὡς εἰπεῖν ἔχει ξύλου καὶ σαρ-
κός. ὁ δὲ, στερεὸς καὶ σύμπληρης μικροῦ. καὶ ὁ μὲν, βραχύς. ὁ δὲ, εὐαυξὴς καὶ
ὑψηλὸς καὶ παχύς. ὁ δὲ, λεπτὸς καὶ πολύφυλλος. ὁ δὲ, ὀλιγόφυλλος καὶ μο-
νόφυλλος. ὅλως δὲ πολλαί τινές εἰσι διαφοραὶ κατὰ τὰς φύσεις καὶ τὰς
χρείας· ἕκαστος γὰρ πρὸς ἕκαστα χρήσιμος. ὀνόμασι δὲ ἄλλοις προσαγορεύου-
σι· κοινότατον δέ πως ὁ δόναξ. ὃν καὶ λοχμωδέστατόν γέ φασιν εἶναι·
καὶ μάλιστα φύεσθαι παρὰ τοὺς ποταμοὺς καὶ τὰς λίμνας. διαφέρειν δ' ὁ-
μως πάντως καλάμου πολύ, τόν τε ἐν τῷ ξηρῷ καὶ τὸν ἐν τοῖς ὕδασι
φυόμενον. ἴδιος δὲ καὶ ὁ τοξικὸς, ὃν δὴ κρητικόν τινες καλοῦσιν. ὀλιγογό-
νατος μὲν. σαρκωδέστερος δὲ πάντων, καὶ μάλιστα κάμψιν δεχόμενος. καὶ ὅ-
λως ἄγεσθαι δυνάμενος, ὡς ἂν θέλῃ τις θερμαινόμενος. ἔχουσι δὲ ὥσπερ ἐ-
λέχθη καὶ κατὰ τὰ φύλλα μεγάλας διαφοράς, οὐ πλήθει καὶ μεγέθει μόνον,
ἀλλὰ καὶ χροιᾷ. ποικίλος γὰρ ὁ λακωνικὸς καλούμενος. ἔτι δὲ ἐν τῇ
θέσει καὶ προσφύσει. κάτωθεν γὰρ ἔνιοι πλεῖστα φέρουσι τῶν φύλ-
λων. αὐτὸς δὲ ὥσπερ ἐκθάμνου πέφυκε. σχεδὸν δέ τινες φασὶ καὶ
τῶν λιμναίων ταύτην εἶναι τὴν διαφοράν, πολύφυλλον καὶ ὀ-
λιγόφυλλον. καὶ παρόμοιον ἔχειν τρόπον τινὰ τὸ φύλλον τῷ τοῦ κυ-
πείρου καὶ

πέτρου, καὶ φλεώ, καὶ βρύου, καὶ βουτόμου. σκέψασθαι δὲ τοῦτο· γένος δέ τι καλάμου φύεται καὶ ἐπίγειον· οὐκ εἰς ὀρθὸν ἀλλ' ἐπὶ γῆς ἀφίησι τὸν καυλόν, ὥσπερ ἡ ἄγρωστις, καὶ οὕτω ποιεῖται τὴν αὔξησιν· ἔστι δὲ ὁ μὲν ἄρρην στερεός· ὁ δὲ θῆλυς, κοῖλος· διαιροῦσι γὰρ καὶ τοῦτον τῷ ἄρρενι καὶ θήλει· φύονται δ' ἐξ ἑνὸς πυθμένος πολλοί. καὶ οὐ λοχμώδης· τὸ δὲ φύλλον οὐ μακρόν· ἀλλ' ὅμοιον τῇ ἰτέᾳ· τῷ μεγέθει μεγάλοι καὶ ὑπαχεῖς· ὥστε ἀκοντίαις χρῆσθαι· φύονται δὲ οὗτοι περὶ τὴν ἀκεσίνην ποταμόν· ἔστι δὲ ὁ κάλαμος πολύζωος· καὶ τεμνόμενος καὶ ἐπικαιόμενος καλλίων βλαστάνει. ἔτι δὲ παχύριζος καὶ πολύριζος· διὸ καὶ δυσώλεθρος. ἡ δὲ ῥίζα γονατώδης, ὥσπερ ἡ τῆς ἀγρώστιδος· πλὴν οὐ παντὸς ὁμοίως. ἀλλὰ περὶ μὲν καλάμου ἱκανῶς εἰρήσθω· κατὰ λοιπὸν δὲ εἰπεῖν ὡς αὖ ἐκ τοῦ γένους τούτου περὶ σχοίνου. περὶ σχοίνου

καὶ γὰρ καὶ τοῦτο τῶν ἐνύδρων θετέον. ἔστι δὲ αὐτοῦ τρία εἴδη, καθάπερ τινὲς διαιροῦσιν· ὀξὺς καὶ ἄκαρπος, ὃν δὴ καλοῦσιν ἄρρενα· καὶ ὁ κάρπιμος· ὃν μελαγκρανὶν καλοῦσι, διὰ τὸ μέλανα τὸν καρπὸν ἔχειν· μελαγκρανίς παχύτερος δὲ τούτου καὶ σαρκωδέστερος. καὶ τρίτος τῷ μεγέθει καὶ τῇ παχύτητι καὶ εὐσαρκίᾳ διαφέρων, ὁ καλούμενος ὁλόσχοινος· ὁ μὲν οὖν μελαγκρανὶς, αὐτός τις καθ' αὑτόν. ὁ δὲ ὀξὺς, καὶ ὁ ὁλόσχοινος, ἐκ τοῦ αὐτοῦ φύονται· ὃ καὶ ἄτοπον φαίνεται καὶ θαυμαστὸν ἰδεῖν· ὅλης κοσμηθείσης τῆς σχοινιᾶς· οἱ πολλοὶ γὰρ ἦσαν ἄκαρποι πεφυκότες ἐκ τοῦ αὐτοῦ· κάρπιμοι δὲ ὀλίγοι. τοῦτο μὲν οὖν ἐπισκεπτέον. ἐλάττους γὰρ ὅλως οἱ καρποί. πρὸς δὲ τὰ πλέγματα χρησιμώτερος ὁ ὁλόσχοινος. διὰ τὸ σαρκῶδες καὶ μαλακόν. κόρυνα δ' ὅλως ὁ κάρπιμος, ἐξ αὐτοῦ τοῦ γραμμώδους ἐξοιδήσας· κἄπειτα ἐκτίκτει καθάπερ ὠά· πρὸς μιᾷ γὰρ ἀρχῇ γραμμώδεις ἔχει τοὺς περισταχυώδεις μίσχους· ἐφ' ὧν ἄκρων παραπλησίους ταῖς τῶν ἀγγείων ἔχει στρογγυλότητας, ἐπιχαζούσας· ἐν τούτοις δὲ τὸ σπερμάτιον ἀκιδώδες ἐστὶ μέλαν ἑκάστῳ προσεμφερὲς τῷ τοῦ ἀστερίσκου· πλὴν ἀμενηνότερον· ῥίζαν δὲ ἔχει μακρὰν καὶ παχυτέραν πολὺ τοῦ σχοίνου· αὐ

τῇ δὲ αὐαίνεται καθ' ἕκαστον ἐνιαυτόν· εἶθ' ἑτέρα πάλιν ἀπὸ τῆς κεφαλῆς τοῦ σχοίνου καθίεται. τοῦτο δὲ καὶ ἐν τῇ ὄψει φανερὸν ἰδεῖν, τὰς μὲν, αὔας, τὰς δὲ, χλωρὰς καθιεμένας. ἡ δὲ κεφαλὴ ὁμοία τῇ τῶν κρομμύων καὶ τῇ τῶν γητείων, συμπεφυκυῖα ὥσπερ ἐκ πλειόνων εἰς ταὐτό· καὶ πλατεῖα κάτωθεν, ἔχουσα κελύφη ὑπέρυθρα. συμβαίνει δ' αὖ ἴδιον ἐπὶ τῶν ῥιζῶν εἶναι· αὐαίνονται κατ' ἐνιαυτόν· καὶ ἄνωθεν πάλιν ἡ γένεσις. τῶν μὲν οὖν σχοίνων τοιαύτη τις φύσις. ἤδη δὲ καὶ ὁ βάτος καὶ ὁ παλίουρος, ἔνυδρά πώς ἐστιν ἢ πάρυδρα, καθάπερ ἐνιαχοῦ. φανεραὶ δὲ σχεδὸν καὶ αἱ τούτων διαφοραί. περὶ ἀμφοῖν γὰρ εἴρηται πρότερον. τῶν δὲ νήσων τῶν πλοάδων τῶν ἐν Ὀρχομενῷ, τὰ μὲν μεγέθη παντοδαπὰ τυγχάνει· τὸ δὲ μέγιστον αὐτῶν ἐστὶν ὅσον τριῶν σταδίων τὴν περίμετρον· ἐν Αἰγύπτῳ δὲ μεγάλαι σφόδρα συνίστανται, ὥστε καὶ ὗς ἐν αὐταῖς ἐγγίνεσθαι πολλάς· οὓς καὶ κυνηγετοῦσι διαβαίνοντες. καὶ περὶ μὲν ἐνύδρων ταῦτα εἰρήσθω. περὶ δὲ βραχυβιότητος φυτῶν καὶ δένδρων· τῶν μὲν ἐνύδρων ἐπὶ τοσοῦτον ἔχομεν, ὡς ἂν καθόλου λέγοντες. ὅτι βραχυβιώτερα τῶν χερσαίων ἐστὶ καθάπερ καὶ τὰ ζῶα. τοὺς δὲ καθ' ἕκαστα βίους ἱστορῆσαι δεῖ τῶν χερσαίων. τὰ μὲν οὖν ἄγρια φασὶν οὐδεμίαν ἔχειν ὡς ἂν εἴποιεν οἱ ὀρεοτύποι διαφοράν· ἀλλὰ πάντα εἶναι μακρόβια καὶ οὐθὲν βραχύβιον. αὐτὸ μὲν τοῦτ' ἴσως ἀληθὲς λέγοντες· ἅπαντα γὰρ ὑπερτείνει πολὺ τὸ τῶν αἰώνων ζωήν. οὐ μὴν ἀλλ' ὅμως ἐστὶ τὰ μὲν μᾶλλον, τὰ δ' ἧττον μακρόβια, καθάπερ ἐν τοῖς ἡμέροις. τρία δὲ ταῦτα σκεπτέον. τὰ δὲ ἥμερα, φανερῶς διαφέρει. τὰ μὲν γάρ ἐστι μακρόβια. τὰ δὲ βραχύβια. ὡς δ' ἁπλῶς εἰπεῖν, τὰ ἄγρια τῶν ἡμέρων μακροβιώτερα. καὶ ὅλως τῶν γενῶν τὰ ἀντιδιῃρημένα καθ' ἕκαστον. οἷον κότινος, ἐλαίας. καὶ ἀχρὰς, ἀπίου. ἐρινεὸς, συκῆς. ἰσχυρότερα γὰρ καὶ πυκνότερα καὶ ἀγονώτερα τοῖς περικαρπίοις. τὴν δὲ μακροβιότητα μαρτυροῦσιν ἐπί γε τινῶν καὶ ἡμέρων καὶ ἀγρίων, καὶ αἱ παραδεδομέναι φῆμαι παρὰ τῶν μυθολόγων. ἐλαίαν μὲν γὰρ λέγουσι τὴν Ἀθήνησι· φοίνικα δὲ τὸν ἐν Δήλῳ·

κότινον δὲ τὸν ἐν ὀλυμπίᾳ, ἀφ' οὗ ὁ στέφανος. φηγοὺς δὲ τὰς ἐν ἰλίῳ τὰς ἐπὶ τοῦ ἴλου μνήματος. τινὲς δέ φασι καὶ τὴν ἐν δελφοῖς πλάτανον Ἀγαμέμνονα φυτεῦσαι, καὶ τὴν ἐν καφύαις τῆς ἀρκαδίας. ταῦτα μὲν οὖν ὅπως ἂν ἔχῃ, τάχ' ἂν ἕτερος εἴη λόγος. ὅτι δ' ἔστι μεγάλη διαφορὰ τῶν δένδρων, φανερόν. μακρόβια μὲν οὖν τά τε προειρημένα, καὶ ἕτερα πλείω. βραχύβια δὲ τὰ τοιαῦτα ὁμολογουμένως. οἷον, ῥοιά. συκῆ. μηλέα. καὶ τούτων ἡ ἠρινὴ μᾶλλον, καὶ ἡ γλυκεῖα τῆς ὀξείας, ὥσπερ τῶν ῥοῶν ἡ ἀπύρηνος. βραχύβια δὲ καὶ ἀμπέλων ἔνια γένη, καὶ μάλιστα τὰ πολύκαρπα. δοκεῖ δὲ τὰ πάρυδρα βραχυβιώτερα τῶν ἐν τοῖς ξηροῖς εἶναι. οἷον, ἰτέα. λεύκη. ἀκτῆ. αἴγειρος. ἔνια δὲ γηράσκει μὲν καὶ σήπεται ταχέως. παραβλαστάνει δὲ πάλιν ἐκ τῶν αὐτῶν, ὥσπερ καὶ αἱ δάφναι. καὶ μηλέαι. καὶ ῥοαί, καὶ τῶν φιλύδρων τὰ πολλά. περὶ ὧν καὶ σκέψαιτ' ἄν τις. πότερα ταὐτὰ δεῖ λέγειν ἢ ἕτερα. καὶ καθάπερ εἴ τις τὸ στέλεχος ἀποκόψας, ὥσπερ ποιοῦσιν οἱ γεωργοί. πάλιν ἀναθρέψειε τῆς βλαστῆς. καὶ εἰ καλῶς ἐκκόψειεν ἄχρι τῶν ῥιζῶν καὶ ἐπικαύσειε. καίτοι ταῦτα ποιοῦσιν. ὅτι δὲ καὶ ἐπὶ τοῦ αὐτομάτου συμβαίνει. πότερα δὴ τοῦτο ταὐτὸ δεῖ λέγειν, ἢ ἕτερον. εἰ μὲν γὰρ ἀεὶ τὰ μέρη τὰς αὐξήσεις καὶ φθίσεις φαίνεται παραλλάττουσα, καὶ ἔτι τὰς διακαθάρσεις τὰς ὑπ' αὐτῶν, ταύτῃ μὲν ἂν δόξειεν ταὐτὸν εἶναι. τί δ' ἂν ἐπὶ τούτων ἢ ἐκείνων διαφέροι. ἡ δ' ὥσπερ οὐσία καὶ φύσις τοῦ δένδρου, μάλιστ' ἂν φαίνοιτο τὸ στέλεχος, ὅταν μεταλλάττῃ τοῦτο, κἂν τὸ ὅλον ἕτερον ὑπολάβοι τις. εἰ μὴ ἄρα διὰ τὸ ἀπὸ τῶν αὐτῶν ἀρχῶν εἶναι, αὐτὸ θείη. καίτοι πολλὰ καὶ συμβαίνει καὶ τὰς ῥίζας ἑτέρας εἶναι, καὶ μεταβάλλειν τῶν μὲν σηπομένων, τῶν δὲ ἐξ ἀρχῆς βλαστανουσῶν. ἐπεὶ ὥσγε τινές φασι τὰς ἀμπέλους μακροβιωτάτους εἶναι, τῷ μὴ φύειν ἑτέρας, ἀλλ' ἐξ αὐτῶν ἀεὶ συναναπληροῦσθαι, γελοῖον. ἂν ἴσως δικαιοτάτη σύγκρισις, ἐὰν μὲν ᾖ τὸ στέλεχος. αὐτὴ γὰρ οἷον ὑπόθεσις καὶ φύσις δένδρων. τοῦτο μὲν οὖν ὁποτέρως ῥητέον, οὐδὲν ἂν διενέγκοι πρὸς τὰ νῦν. τάχα

βραχύβια

σὰν εἴη μακροβιώτατον, τὸ πάντως δυνάμενον αὐξάνειν, ὥσπερ ἡ ἐλαία, καὶ τῷ στελέχει καὶ τῇ παραβλαστήσει, καὶ τῷ δυσωλέθρους ἔχειν τὰς ῥίζας. δοκεῖ δὲ ὁ βίος τῆς σεμιᾶς εἶναι, καθ' ὃν στέλεχος ἤδη τὴν ἀρχὴν τιθέντα μέζον, ἀναμετρεῖν τὸν χρόνον μάλιστα περὶ ἔτη διακόσια. εἰ δ' ὥσπερ ἐπὶ τῶν ἀμπέλων λέγουσί τινες, ὡς περιαιρουμένων τῶν ῥιζῶν κατὰ μέρος, δύναται διαμένειν τὸ στέλεχος καὶ ἡ ὅλη φύσις ὁμοία καὶ ὁμοιοφόρος ὁποσονοῦν χρόνον, μακροβιώτατον ἂν εἴη πάντων. φασὶ δὲ δεῖν οὕτω ποιεῖν, ὅταν ἤδη δοκῇ καταφθείρεσθαι, κλήματα ἐπιβάλλειν, καὶ καρποῦσθαι ἐνιαυτόν. μετὰ δὲ ταῦτα κατασκάψαντα θάτερα τῆς ἀμπέλου, περικαθᾶραι πάσας τὰς ῥίζας. εἶτ' ἐμπλῆσαι φρυγάνων καὶ ἐπαμήσασθαι τὴν γῆν. τούτῳ μὲν οὖν τῷ ἔτει κακῶς φέρειν σφόδρα. τῷ δ' ὑστέρῳ βέλτιον. τῷ δὲ τρίτῳ καὶ τετάρτῳ, καθίστασθαι καὶ φέρειν πολλοὺς καὶ καλούς. ὥστε μηδὲν διαφέρειν, ἢ ὅτε ἤκμαζεν. ἐπειδὰν δὲ πάλιν ἀποπληγῇ, θάτερον μέρος κατασκάπτειν καὶ θεραπεύειν ὁμοίως, καὶ οὕτως ἀεὶ διαμένειν. ποιεῖν δὲ τοῦτο μάλιστα δι' ἐτῶν δέκα. διὸ καὶ οὐκόπτειν οὐδέποτε τοὺς τοῦτο ποιοῦντας, ἀλλ' ἐπὶ γενεὰς πολλὰς ταῦτα τὰ στελέχη διαμένειν. ὥστε μὴ δὲ μεμνῆσθαι τοὺς φυτεύσαντας. τοῦτο μὲν οὖν ἴσως τῶν πεπειραμένων ἀκούοντα δεῖ πιστεύειν. τὰ δὲ μακρόβια καὶ βραχύβια, διὰ τῶν εἰρημένων θεωρητέον. νοσήματα δὲ τοῖς μὲν ἀγρίοις φασὶ ξυμβαίνειν, ὑφ' ὧν ἀναιροῦνται. φαύλως δὲ διατίθεσθαι καὶ μάλιστα ἐπιδήλως, ὅταν χαλαζοκοπηθῇ, ἢ κλαστάνειν μέλλοντα, ἢ ἀρχόμενα, ἢ ἀνθοῦντα. καὶ ὅταν ἢ πνεῦμα ψυχρὸν ἢ θερμὸν ἐπιγένηται κατὰ τούτους τοὺς καιρούς. ὑπὸ δὲ τῶν ὡραίων χειμώνων οὐδ' ἂν ὑπερβάλλοντες ὦσιν, οὐδὲν πάσχειν. ἀλλὰ καὶ ξυμφέρειν πᾶσι χειμασθῆναι. μὴ χειμασθέντα γὰρ κακοβλαστότερα γίνεσθαι. τοῖς δὲ ἡμέροις, ὅσ' ἐστι πλείω νοσήματα. καὶ τὰ μὲν ὥσπερ κοινὰ πᾶσιν ἢ τοῖς πλείστοις. τὰ δ' ἴδια καὶ κατὰ γένη

κοινά,

κοινά. οἷον, τό τε σκωληκοῦσθαι. καὶ ἀστροβολεῖσθαι. καὶ σφακε-
λισμός. ἅπαντα γὰρ ὡς εἰπεῖν καὶ σκώληκα ἔχει. πλὴν τὰ μὲν
ἐλάττους. τὰ δὲ πλείους. καθάπερ συκῆ. μηλέα. καὶ ἄπιος. ὡς
δὲ ἁπλῶς εἰπεῖν, ἥκιστα σκωληκοῦται τὰ δριμέα καὶ ὀπώδη
καὶ ἀστροβολεῖται ὡσαύτως. μᾶλλον δὲ τοῖς ἐν ἀκμῇ τοῦτο
συμβαίνει. πάντων δὲ μάλιστα τῇ τε συκῇ καὶ τῇ ἀμπέλῳ. ἡ δὲ
ἐλαία πρὸς τὸ τοὺς σκώληκας ἔχειν (οἳ δὴ τὴν συκῆν διαφθεί-
ρουσιν ἐν Τίκρυντι) φύει καὶ ἧλον. οἱ δέ, μύκητα καλοῦσιν. ἔνιοι
δὲ λοπάδα. τοῦτο δὲ ἐστὶν οἷον ἧλοι αὐτῶν. διαφθείρονται δὲ ἐνίοτε
ἐν αἰνείᾳ ἐλαῖαι διὰ τὴν ὑποβολὴν τῆς πολυκαρπίας. ἡ δὲ ψώ-
ρα καὶ οἱ προσφυόμενοι κοχλίαι, συκῆς εἰσιν. οὐ πανταχοῦ δὲ
τοῦτο συμβαίνει ταῖς συκαῖς. ἀλλ' ἔοικε καὶ τὰ νοσήματα γί-
νεσθαι κατὰ τοὺς τόπους, ὥσπερ τοῖς ζώοις. ἐπεὶ περὶ ἐνίοις
οὐ ψωριῶσι. καθάπερ οὐδὲ περὶ τὴν αἰνείαν. ἁλίσκεται συκῆ
μάλιστα, καὶ σφακελισμῷ καὶ κράδῳ. καλεῖται δὲ σφακελισ-
μὸς μὲν, ὅταν αἱ ῥίζαι μελανθῶσι. κράδος δ' ὅταν οἱ κλάδοι.
καὶ γὰρ καλοῦσί τινες κράδους. ὅθεν καὶ τοὔνομα τῇ νόσῳ. ὁ
δ' ἐρινεός, οὔτε κραδᾷ, οὔτε σφακελίζει, οὔτε ψωριᾷ, οὔτε σκω-
ληκοῦται ταῖς ῥίζαις ὁμοίως. οὐδὲ δὴ τὰ ἐρινά τινες ἀποβάλ-
λουσιν, οὐδὲ ἐὰν ἔνια φυτευθῶσιν εἰς συκῆν. ἡ δὲ ψώρα μάλι-
στα γίνεται, ὅταν ὕδωρ ἐπὶ πλειάδι γένηται μὴ πολύ. ἐὰν δὲ
πολύ, ἀποκλύζεται. συμβαίνει δὲ τότε καὶ τὰ ἐρινὰ ἀπορ-
ρεῖν καὶ τοὺς ὀλύνθους. τῶν δὲ σκωλήκων τῶν ἐν ταῖς συ-
καῖς, οἱ μὲν, ἐξ αὐτῆς γίνονται. οἱ δὲ ἐντίκτονται ὑπὸ τοῦ κα-
λουμένου κεράστου. πάντες δὲ εἰς κεράστην ἀποκαθίστανται.
φθέγγονται δὲ οἷον τρισμόν. νοσεῖ δὲ συκῆ καὶ ἐὰν ἐπομβρία γέ-
νηται τά τε πρὸς τὴν ῥίζαν ὥσπερ μαδᾷ. τοῦτο δὲ καλοῦσι
λοπάδα. ἡ δὲ ἄμπελος τραγᾷ. τοῦτο δὲ μάλιστα αὐτῆς ἐστὶ
πρὸς τῷ ἀστροβολεῖσθαι, ἢ ὅταν ὑπὸ πνευμάτων βλαστοκο-
πηθῇ. ἢ ὅταν ἡ ἐργασία, συμπαθῇ, ἢ τρίτον ὑπτία τμηθῇ.

ῥοὰς δὲ γίνεται, ὃ καλοῦσί τινες ψίνεσθαι, ὅταν ἐπινιφθῇ κατὰ
τὴν ἀπάνθησιν ἢ ὅταν κρυσταλλωθῇ. τὸ δὲ πάθος ἐστὶν ὥστε ἀπορ-
ρεῖν τὰς ῥάγας. ἢ τὰς ἐπιμενούσας εἶναι μικράς. ἔνια δὲ καὶ ῥι-
γώσαντα νοσεῖ, καθάπερ ἡ ἄμπελος. ἀμβλοῦνται γὰρ οἱ ὀφθαλ-
μοὶ τῆς πρωτοτόμου. καὶ πάλιν ὑπερθερμανθέντα. ζητεῖ γὰρ ἢ
τούτων τὴν συμμετρίαν, ὥσπερ καὶ τῆς τροφῆς. ὅλως δὲ πᾶν τὸ πα-
ρὰ φύσιν ἐπικίνδυνον. μεγάλα δὲ ξυμβάλλεται πρὸς τὰ τραύμα-
τα καὶ αἱ πληγαὶ τῶν περισκαπτόντων, εἰς τὸ μὴ φέρειν τὰς μετα-
βολὰς ἢ καυμάτων ἢ χειμώνων. ἀσθενῆ γὰρ ὄντα διὰ τὴν ἕλκωσιν
ἢ τὸν πόνον, οὐ χειρότατα γὰρ ἐστὶ ταῖς ὑπερβολαῖς. σχεδὸν δὲ ὥς τινες
οἴονται τὰ πλεῖστα τῶν νοσημάτων, ἀπὸ πληγῆς γίνεσθαι. καὶ γὰρ τὰ ἀστροβό-
λητα καλούμενα, καὶ τὰ σφακελίζοντα, διὰ τὸ ἀπὸ ταύτης εἶ-
ναι τῶν ῥιζῶν τὸν τόπον. οἴονται δὲ καὶ δύο ταύτας εἶναι μόνας νόσους.
οὐ μὴν ἀλλὰ τοῦτό γε συχνάκις ὁμολογούμενόν ἐστι. πάντων δ' ἀσθε-
νέστατον ἡ μηλέα ἢ ἡ ἠρινή. καὶ τούτων ἡ γλυκεῖα. ἔνιαι δὲ πηρώσεις
οὐκ εἰς φθορὰν γίνονταί τινων, ἀλλ' εἰς ἀκαρπίαν. οἷον ἐάν τις τῆς
πίτυος ἀφέλῃ τὸ ἄκρον, ἢ τοῦ φοίνικος, ἄκαρπα γίνεσθαι ἄμφω δο-
κεῖ, καὶ οὐχ ὅλως ἀναιρεῖσθαι. γίνονται δὲ νόσοι καὶ τῶν καρπῶν αὐτῶν
ἐὰν μὴ κατὰ καιρὸν τὰ πνεύματα καὶ τὰ οὐράνια γίνηται. συμβαί-
νει γὰρ ὁτὲ μὲν ἀποβάλλειν, γινομένων ἢ μὴ γινομένων ὑδάτων.
οἷον τὰς συκᾶς ὁτὲ χείρους γίνεσθαι σηπομένας καὶ καταπνι-
γομένας. ἢ πάλιν ἀναξηραινομένας κατὰ τὸ δέον. χείριστον δὲ ἐὰν
ἐπανθοῦσί τισιν ἐφύσῃ, καθάπερ ἐλαίᾳ καὶ ἀμπέλῳ. συνα-
πορρέει γὰρ ὁ καρπὸς διὰ ἀσθένειαν. ἐν Μιλήτῳ δὲ τὰς ἐλαίας, ὅ-
ταν ὦσι περὶ τὸ ἀνθεῖν, κάμπαι κατεσθίουσιν, αἱ μὲν τὰ φύλλα
αἱ δὲ τὰ ἄνθη, ἕτεραι τῷ γένει. καὶ ψιλοῦσι τὰ δένδρα. γίνονται δέ, ὅ-
ταν ἦ νότια καὶ τὰ ἔνδια. ἐὰν δὲ ἐπιλάβῃ καύματα, ξυγγίνον-
ται. περὶ δὲ Τάραντα προφαίνουσι μὲν πολὺν καρπὸν ἀεί. ὑ-
πὸ δὲ τὴν ἄνθησιν τὰ πολλὰ ἀπόλλυται. τὰ μὲν οὖν τοιαῦτα τῶν
τόπων ἴδια. γίνεται δὲ καὶ ἄλλο νόσημα περὶ τὰς ἐλαίας

ἀρχίμιον

ἀρχαῖον καλούμενον. φύεται γὰρ τοῦτο καὶ διαφθείρει τὸν καρπόν.
ἐπικαίει δὲ καὶ καῦμα ταῦτα, καὶ ἐλαίαν καὶ βότρυν καὶ ἄλλους
καρπούς. οἱ δὲ καρποὶ σκωληκοῦνται τινῶν. οἷον ἐλαίας. ἀ-
πίου. μηλέας. μεσπίλης. ῥοᾶς. καὶ ὁ τῆς ἐλαίας σκώληξ, ἐὰν μὲν
ὑπὸ τὸ δέρμα γένηται, διαφθείρει τὸν καρπόν. ἐὰν δὲ τὸν πυρῆ-
να διαφάγῃ, ὠφελεῖ. κωλύεται δὲ ὑπὸ τῷ δέρματι εἶναι ὕδατος
ἀπ' ἀρκτούρου γινομένου. γίνονται δὲ καὶ ἐν τοῖς δρυπεπέσι σκώ-
ληκες. οἵπερ χείρους εἰς τὴν χρῆσιν. ὅλως δὲ καὶ δοκοῦσιν εἶναι σαπροί. διὸ
καὶ γίνονται τοῖς νοτίοις, καὶ μᾶλλον ἐν τοῖς ἐφύδροις. ἐγγίνονται δὲ κνῖ-
πες ἔν τισι τῶν δένδρων. ὥσπερ ἐν τῇ δρυῒ καὶ τῇ συκῇ. καὶ δοκοῦ-
σιν ἐκ τῆς ὑγρότητος συνίστασθαι τῆς ὑπὸ τὸν φλοιὸν συνιστα-
μένης. αὕτη δ' ἐστὶ γλυκεῖα γευομένοις. γίνονται δὲ καὶ ἐν λαχά-
νοις τισίν. ἔνθα δὲ κάμπαι, διαφερούσης δηλονότι τῆς ἀρχῆς.
καὶ τὰ μὲν νοσήματα σχεδὸν ταῦτα καὶ ἐν τούτοις ἐστίν. ἔνια
δὲ πάλιν τῶν κατὰ τὰς ὥρας καὶ τῶν καθ' αὑτὰ γινομένων ἀ-
ναιρεῖν πέφυκεν, ἃ οὐκ ἄν τις εἴποι νόσους. οἷον λέγω τὴν ἐκ-
πλῆξιν. καὶ ὃ καλοῦσί τινες κλαυθμόν. ἄλλα δὲ παρ' ἑκάστοις πέ-
φυκε πνεύματα ἀπομαραίνειν καὶ ἀποκαίειν. οἷον ἐν Χαλκίδι τῆς
Εὐβοίας, ὀλυμπίας ὅταν πνεύσῃ μικρὸν πρὸ τροπῶν ἢ μετὰ τρο-
πὰς χειμερινάς. ψυχρὸς ἀποκαίει τὰ δένδρα. καὶ οὕτως αὖα ποιεῖ
καὶ ξηρά, ὡς οὐδ' ὑφ' ἡλίου καὶ χρόνου πολλοῦ γένοιτ' ἄν. διὸ καὶ καλοῦσι
κλαυθμόν. ἐγένετο δὲ πρότερόν τε πολλάκις ἤδη καὶ ἐπ' Ἀρχίππου
δι' ἐτῶν τετταράκοντα, σφοδρός. πονοῦσι δὲ μάλιστα τῶν τόπων οἱ κοῖ-
λοι καὶ οἱ αὐλῶνες, καὶ ὅσοι περὶ τοὺς ποταμούς. καὶ ἁπλῶς οἱ ἀπνευ-
στότατοι. τῶν δένδρων δὲ μάλιστα συκῆ. δεύτερον δὲ ἐλαίας μᾶλλον ὁ
κότινος ἐπόνησεν. ἰσχυρότερος ὤν. ὃ καὶ θαυμαστὸν ἦν. αἱ δὲ ἀμυγ-
δάλαι τὸ παράπαν. ἀπαθεῖς δὲ αἱ μηλέαι, καὶ αἱ ἄπιοι, καὶ αἱ ῥο-
αὶ ἐγένοντο. διὸ καὶ τοῦτο ἦν θαυμαστόν. ἀποκαίεται δὲ εὐθὺς ἐκ
τοῦ στελέχους. καὶ ὅλως δὲ μᾶλλον καὶ πρότερον ὡς εἶπον, ἄπεισι
τῶν κάτω. φανερὸν δὲ γίνεται τὰ μὲν ἅμα περὶ τὴν βλάστησιν. ἢ

ἡ ἐλαία διὰ τὸ ἀείφυλλον, ὕστερον. ὅσαι μὲν οὖν ἀφυλλοβολή-
σωσιν, ἀναβιβρώσκονται πάλιν. ὅσαι δὲ οὖν μὴ τελέως, ἀπόλλυνται. πα-
ρ᾽ ἐνίοις δέ τινες ἀποκαυθεισῶν, ἐπὶ τῶν φύλλων ἀναυανθέντων, ἀνεβλά-
στησαν πάλιν αὐτῷ τῷ ἀπορραγῆναι. καὶ τὰ φύλλα ἀνεβίωσεν. ἐνια-
χοῦ δὲ ἐπὶ πολλάκις τοῦτο συμβαίνει. καθάπερ ἐν Φιλίπποις.
τὰ δὲ ἐκπληγέντα, ὅταν μὴ τελέως ἀπόλλυνται, τάχιστα ἀναβλαστά-
νει. ὥστε εὐθὺς τὴν ἄμπελον καρποφορεῖν, ὥσπερ ἐν Θετταλίᾳ. ἐν δὲ τῷ
πόντῳ, περὶ Παντικάπαιον. αἱ μὲν ἐκπλήξεις γίνονται διχῶς. ὁτὲ
μὲν ὑπὸ ψύχους, ἐὰν χειμέριον ᾖ τὸ ἔτος. ὁτὲ δὲ ὑπὸ πάγων, ἐὰν πο-
λὺν χρόνον διαμένωσί γε. ἀμφότερα δὲ μάλιστα γίνονται μετὰ
τροπάς, μετὰ τετταράκοντα. γίνονται δέ, οἱ μὲν πάγοι ταῖς αἰθρίαις. τὰ
δὲ ψύχη μάλιστα ὑφ᾽ ὧν ἡ ἔκπληξις, ὅταν αἰθρίας οὔσης αἱ ξεπί-
δεις καταφέρονται. ταῦτα δ᾽ ἐστὶν ὥσπερ τὰ ξύσματα. πολλὰ πλατύ-
τερα τὰ φαινόμενα φανερά. πεσόντα δὲ ὕδατα μένει. περὶ δὲ τὴν θρά-
κην, ἐκπήγνυνται. αἱ γὰρ δὴ αἱ μὲν νόσοι, πόσαι τε καὶ ποῖαι καὶ τίνες γί-
νονται, καὶ πάλιν αἱ δι᾽ ὑπερβολὴν χειμώνων ἢ καυμάτων φθοραί.
καὶ αἱ διὰ πνευμάτων ψυχρότητα ἢ θερμότητα, διὰ τούτων θεω-
ρείσθωσαν. ὡς ἐνίας οὐδὲν ἂν κωλύοι καὶ τοῖς ἀγρίοις εἶναι κοινάς.
καὶ κατὰ τὴν ὅλην τῶν δένδρων φθοράν, καὶ ἔτι μᾶλλον κατὰ τὴν τῶν καρπῶν. ὃ
τε συμβαίνον ὁρῶμεν. οὐκ εὐκόπως πεῖραν οὐδ᾽ ἐκεῖνα πολλάκις. ἀλλ᾽ οὐχ ὁ-
μοίως οἶμαι παρατετήρηνται. λοιπὸν δὲ εἰπεῖν ὅσα περιαιρουμένων
τινῶν μορίων ἀπόλλυται. κοινὴ μὲν δὴ πᾶσι φθορὰ τοῦ φλοι-
οῦ περιαιρεθέντος κύκλῳ. πᾶν γὰρ ὡς εἰπεῖν οὕτως ἀπόλ-
λυσθαι δοκεῖ. πλὴν ἀνδράχνη. καὶ αὐτὴ δὲ ἐάν τις τὴν σάρκα
σφόδρα πιέσῃ, καὶ τὸν μέλλοντα καρπὸν διακόψῃ. πλὴν εἰ ἄ-
ρα φελλοῦ. τοῦτον γάρ φασι καὶ εὐθενεῖν μᾶλλον περιαι-
ρουμένου, δῆλον ὅτι τοῦ ἔξω καὶ κάτω πρὸς τῇ σαρκί. καθάπερ
καὶ τῆς ἀνδράχνης. ἐπεὶ καὶ τοῦ κεράσου περιαιρεῖται καὶ τῆς
ἀμπέλου, καὶ τῆς φιλύρας. ἐξ οὗ τὰ σχοινία, καὶ μαλάχης τῶν ἐ-
λαττόνων. ἀλλ᾽ οὐχ ὁ κύριος οὐδ᾽ ὁ πρῶτος, ἀλλ᾽ ὁ ἐπιπολῆς. ὃς καὶ

αὐτόματος ἐνίοτε ἀποπίπτει, διὰ τὴν ἀπόφυσιν θατέρου· καὶ γὰρ φυλλορροεῖ ἔνια τῶν δένδρων οὕτως. ὥσπερ καὶ ὁ ἄνδραχλος καὶ ἡ πλάτανος. ὡς δέ τινες οἴονται πάλιν ὑποφυέντος. ὁ δ' ἔξωθεν, ἀποξηραίνεται καὶ ῥήγνυται καὶ αὐτόματος ἀποπίπτει τῶν ἄλλων. ἀλλ' οὐχ ὁμοίως ἐπίδηλος. φθείρονται μὲν οὖν ὥς οἴονται πάντα περιαιρουμένου. διαφέρει δὲ τῷ θᾶττον καὶ βραδύτερον, ἢ μᾶλλον καὶ ἧττον. ἔνια γὰρ πλείω χρόνον διαμένει, καθάπερ συκαῖ καὶ φιλύρα ἢ δρῦς. οἱ γὰρ καὶ ζῆν φασὶ τὰ τοιαῦτα ἢ οὐκ ἀπόλλυσθαι τοῦ φλοιοῦ, οἷον πωροῦσθαι ἰδίαν τινὰ φύσιν ἔχειν. βοηθεῖν δὲ πειρῶνται, διαπλάττοντες πηλῷ, ἢ περιδοῦντες φλοιοῖς καὶ καλάμοις καὶ τοῖς τοιούτοις, ὅπως μὴ ψύχηται μὴ δ' ἀποξηραίνηται. καὶ ἤδη φασί που φῦναι καθάπερ καὶ ἐν Ἡρακλείᾳ τῇ Τραχινίᾳ τὰς συκᾶς. δεῖ δὲ ἅμα τῇ τῆς χώρας ἀρετῇ ἢ τῇ τοῦ ἀέρος κράσει, τὰ περιγινόμενα τοιαῦτα εἶναι. χειμώνων γὰρ ἢ καὶ καυμάτων ἐπιγινομένων σφοδρῶν, εὐθὺς ἀπόλλυται. διαφέρουσι δὲ καὶ αἱ ὧραι. περὶ γὰρ τὴν βλάστησιν ἐλάτης καὶ πεύκης ὅτε καὶ λοπῶσι, τοῦ θαργηλιῶνος, ἢ σκιροφοριῶνος, αὐτίς περιέλῃ παραχρῆμα ἀπόλλυται. τοῦ δὲ χειμῶνος πλείω χρόνον ἀντέχει. ἢ ἔτι μᾶλλον τὰ ἰσχυρότατα, καθάπερ πρῖνος καὶ δρῦς. χρονιωτέρα γὰρ ἡ τούτων φθορά. δεῖ δὲ καὶ τὴν περιαίρεσιν ἔχειν τι πλάτος, πάντων μὲν, μάλιστα δὲ τῶν ἰσχυροτάτων. ἐπεὶ ἄν τις παντελῶς ποιήσῃ, οὐθὲν ἄτοπον τὸ μὴ ἀπόλλυσθαι. καίτοι φασί γέ τινες ἐὰν ὁπωσοῦν, συμφθείρεσθαι πάντως. ἀλλ' ἐπὶ τῶν ἀσθενεστέρων τοῦτ' εἰκός. ἔνια γὰρ κἂν μὴ κύκλῳ περιαιρεθῇ, φθείρεσθαί φασιν. ἃ ἢ λυπρὰν ἔχειν χώραν καὶ ἄτροφον. αὕτη μὲν δὴ καθάπερ εἴρηται, κοινὴ φθορὰ πάντων. ἣν δὲ καλοῦσιν ἐπικοπὴν τῶν δένδρων μόνον πεύκης, ἐλάτης, πίτυος, φοίνικος. οἱ δὲ ἢ, κέδρου ἢ κυπαρίττου φασί. ταῦτα γὰρ ἐὰν περιαιρεθῇ τὴν κόμην, καὶ ἄνωθεν ἐπικοπῇ τὸ ἄκρον, φθείρεται πάντα καὶ οὐ βλαστάνει. καθάπερ οὐδὲ πυρικαυθέντα ἢ πάμπαν, ἢ ἔνια. τὰ δ' ἄλλα πάντα καὶ περικοπέντα βλαστάνει. καὶ ἔνια καὶ καλλίω γίνεται.

καθάπερ ἡ ἐλαία. διαφθείρεται δὲ τὰ πολλά, κἂν σχισθῇ τὸ στέλεχος· οὐδὲν γὰρ ὑπομένειν δοκεῖ, πλὴν ἀμπέλου, καὶ συκῆς, καὶ ῥοᾶς, καὶ μηλέας. ἔνια δὲ κἂν ἑλκωθῇ, καὶ μεῖζον καὶ βαθύτερον ἀπόλλυται. τὰ δ᾽ οὐδὲν πάσχει. καθάπερ ἡ πεύκη δαδουργουμένη· καὶ ἐξ ὧν δὴ τὰς ῥητίνας συλλέγουσιν· οἷον, ἐλάτας· τερμίνθους· καὶ γὰρ δὴ τούτων εἰς βάθος ἡ ξύσις καὶ ἕλκωσις. καὶ γὰρ ἐξ ἀφόρων φορίδες γίνονται· καὶ ἐξ ὀλιγοφόρων πολύφοροι. τὰ δέ, καὶ πελεκηθέντα ὑπομένει καὶ ὀρθὰ καὶ πεσόντα, ὑπὸ τοῦ πνεύματος· ὥστε πάλιν ἀνίστασθαι. καὶ ζῆν. καὶ βλαστάνειν. οἷον ἰτέα. καὶ πλάτανος. ὅπερ συνέβη καὶ ἐν Ἀντάνδρῳ, καὶ ἐν Φιλίπποις. ἐκπεσούσης γὰρ. ὡς ἀπέκοψαν τοὺς ἀκρέμονας καὶ ἐπελέκησαν, ἀνεφύη νύκτωρ πλάτανος, κουφισθεῖσα τοῦ βάρους, καὶ ἀνεβίω. καὶ ὁ φλοιὸς περιέφυ πάλιν. παραπεπελεκημένη δ᾽ ἐτύγχανεν ἐκ τοῦ δύο μερῶν. ἦν δὲ τὸ δένδρον μέγα· μῆκος μὲν μεῖζον ἢ δεκάπηχυ. πάχος, ὥστε μὴ ῥᾳδίως ἂν περιλαβεῖν τέτταρας ἄνδρας. ἡ δὲ ἐν Φιλίπποις ἰτέα, περιεκόπη μὲν τοὺς ἀκρέμονας, οὐ μὴν παρεπελεκήθη. μάντις δέ τις ἔπεισεν αὐτούς, θυσίαν τε ποιεῖσθαι, καὶ τηρεῖν τὸ δένδρον ὡς σημεῖον ἀγαθὸν γεγονός. ἀνέστη δὲ καὶ ἐν Σταγείροις ἐν τῷ μουσείῳ λεύκη τις ἐκπεσοῦσα. τῆς δὲ μήτρας ἐξαιρουμένης, ὅθεν ὡς εἰπεῖν φθείρεται δένδρον. σημεῖον δὲ ὅτι τὰ πολλὰ κοῖλα τῶν μέγεθος ἐχόντων δένδρων ἐστίν. οἱ δὲ περὶ Ἀρκαδίαν φασὶ μέχρι τινὸς ἐξῃρέθη τοῦ δένδρου. τελέως δ᾽ ἐξ ἅπαντος ἐξαιρεθείσης. καὶ πεύκην φθείρεσθαι. καὶ ἐλάτην. καὶ ἄλλο πᾶν. κοινὴ δὲ φθορὰ πάντων. κἂν αἱ ῥίζαι περικοπῶσιν, ἢ πᾶσαι. ἢ αἱ πλεῖσται καὶ μέγισται καὶ κυριώταται τοῦ ζῆν. αὐταὶ μὲν οὖν ἐξ ἀφαιρέσεως. ἡ δ᾽ ὑπὸ τοῦ ἐλαίου, προσθέσει τινὶ μᾶλλον ἢ ἀφαιρέσει. πολέμιον γὰρ δὴ καὶ τοῦτο πᾶσιν ἔλαιον ἐπιχύνουσι τοῖς ὑπολείμμασι τῶν ῥιζῶν. ἰσχύει δὲ μᾶλλον τὸ ἔλαιον ἐν τοῖς νέοις καὶ ἄρτι φυομένοις. ἀσθενέστερα γάρ. διὸ καὶ ἅπτεσθαι κωλύουσι. φθοραὶ δὲ καὶ ὑπ᾽ ἀλλήλων εἰσί, τῷ παραιρεῖσθαι τὰς τροφὰς καὶ ἐν τοῖς ἄλλοις ἐμποδίζειν. χαλεπὸς δὲ καὶ ὁ κισσὸς παραφυόμενος. χαλεπὸς

ὁ μῆνος· χαλεπὸς δὲ καὶ ὁ κύτισος, ἀπολέσει γὰρ πάνθ᾽ ὡς εἰπεῖν. ἰσχυρότερον δὲ τούτου τὸ ἅλιμον· ἀπόλλυσι γὰρ τὸν κύτισον. ἔνια δὲ, οὐ φθείρει μὲν, χείρω δὲ ποιεῖ ταῖς δυνάμεσι τῶν χυλῶν καὶ τῶν ὀσμῶν· οἷον, ἡ ῥάφανος καὶ ἡ δάφνη τὴν ἄμπελον· ὀσφραίνεσθαι γάρ φασι καὶ ἕλκειν· διὸ καὶ ὅταν ὁ πλησίον βλαστὸς γένηται, πάλιν ἀναστρέφειν καὶ ἀφορεῖν, ὡς πολεμίας οὔσης τῆς ὀσμῆς. Ἀνδροκύδης γὰρ καὶ παραδείγματι τούτῳ κατεχρήσατο πρὸς τὴν βοήθειαν τὴν ἀπὸ τῆς ῥαφάνου γινομένην πρὸς τὸν οἶνον, ὡς ἐξελαύνουσαν τὴν μέθην· φεύγειν γὰρ δεῖ ἔτι ζῶσαν τὴν ἄμπελον τὴν ὀσμήν. αἱ μὲν οὖν φθοραὶ πῶς τε γίνονται καὶ πόσαι καὶ ποσαχῶς, φανερὸν ἐκ τῶν προειρημένων.

:~

:~ΤΕΛΟΣ:~

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡῚ ΦΥΤΩ͂Ν ἹΣΤΟΡΊΑΣ ΤῸ Έ.

Περὶ δὲ τῆς ὕλης ποία τε ὅσων ἑκάστη, καὶ πότε ὡραία τέμνεσθαι, καὶ πρὸς ποῖα τῶν ἔργων χρήσιμη, καὶ ποῖα δύσεργος ἢ εὔεργος. καὶ εἴ τι ἄλλο τῆς τοιαύτης ἱστορίας ἔχεται, πειρατέον ὁμοίως εἰπεῖν. ὡραῖα δὴ τέμνεσθαι ξύλα, τὰ μὲν στρογγύλα καὶ ὅσα πρὸς φλοισμόν, ὅταν βλαστάνῃ. τότε γὰρ εὐπεριαίρετος ὁ φλοιός, ὃ δὴ καλοῦσι λοπᾶν, διὰ τὴν ὑγρότητα τὴν ὑποτιθεμένην αὐτῷ. μετὰ δὲ ταῦτα δυσπεριακάθαρος, καὶ τὸ ξύλον μέλαν γίνεται καὶ δυσειδές. τὰ δὲ τετράγωνα μετὰ τὸν λοπητόν. ἀφαιρεῖται γὰρ ἡ πελέκησις τὴν δυσείδειαν. ὅλως δὲ πᾶν πρὸς ἰσχὺν ὡραιότατον οὐ μόνον πεπαυμένον τῆς βλαστήσεως, ἀλλ' ἔτι μᾶλλον ἐκπεπαῖνον τὸν καρπόν. ἀλλὰ διὰ τὸν φλοισμὸν ἀώροις οὖσιν, ὡραίοις συμβαίνει γίνεσθαι τοῖς στρογγύλοις. ὥστε ἐναντίαι αἱ ὧραι κατὰ συμβεβηκός. εὐχρούστερα δὲ τὰ ἐλάτινα γίνεται κατὰ τὸν πρῶτον λοπητόν. ἐπεὶ δὲ μάλιστα μόνον περιαιροῦσι τὸν φλοιόν, ἐλάτης. πίτυος, ταῦτα μὲν τέμνεται τῷ ἦρος. τότε γὰρ ἡ βλάστησις. τὰ δὲ ἄλλα, ὅτε μὲν μετὰ πυροτομίαν, ὅτε δὲ μετὰ τρυγητὸν καὶ ἀρκτοῦρον. οἷον, ἀρία. πτελέα. σφένδαμνος. μελία. ζυγία. ὀξύα. φιλύρα. πηγῶσιν τε καὶ ὅλως ὅσα ὀρύττεται. δρυὸς δέ, ὀψιαίτατα καὶ τὰ χειμῶνα μετὰ τὸ μετόπωρον. ἐὰν δὲ ὑπὸ τὸν λοπητὸν τμηθῇ, σήπεται τάχιστα ὡς εἰπεῖν. ἐάν τε ἔμφλοιος. ἐάν τε ἄφλοιος. καὶ

μάλιστα

μάλιστα μὲν τὰ ἐν τῷ πρώτῳ λοπητῷ. δεύτερα δὲ, τὰ ἐν τῷ δευτέρῳ. τρίτα δὲ, τὰ ἐν τῷ τρίτῳ. τὰ δὲ μετὰ τὴν πέπανσιν τῶν καρπῶν, ἄβρωτα δὲ ἅμα μὲν, καὶ ἀλόπιστά ἐστι, πλὴν ὑπὸ τὸν φλοιὸν ὑπὸ δυὸ μὲν οἱ σκώληκες ἐπιπολῆς ἐγγράφουσι τὸ στέλεχος. οἷς καὶ σφραγῖσι χρῶνταί τινες, ὡραῖον δὲ τμηθὲν τὸ δρύινον. ἀσαπές τε καὶ ἀθριπηδέστατον γίνεται καὶ σκληρὸν καὶ πυκνὸν ὥσπερ κέρας. πᾶν γὰρ ὅμοιόν ἐστιν ἐγκαρδίῳ. πλὴν τό γε τῆς ἁλιφλοίου, καὶ τό τε φαῦλον. συμβαίνει δὲ καὶ τοῦτο ὑπεναντίως, ὅταν τε κατὰ τὴν βλάστησιν τέμνωνται. καὶ ὅταν μετὰ τοὺς καρπούς. τότε μὲν ἀναξηραίνεται τὰ στελέχη καὶ οὐ παραβλαστάνει τὰ δένδρα, μετὰ δὲ τοὺς καρποὺς, παραβλαστάνει. δυστομώτερα δὲ διὰ τὴν σκληρότητα καὶ ταύτην τὴν ὥραν. κελεύουσι δὲ καὶ δεδυκυίας τῆς σελήνης τέμνειν, ὡς σκληροτέρων καὶ ἀσαπεστέρων γινομένων. ἐπεὶ δὲ αἱ πέψεις τῶν καρπῶν παραλλάττουσι, δῆλον ὅτι καὶ αἱ ἀκμαὶ πρὸς τὴν τομὴν παραλλάττουσιν. ἀεὶ γὰρ ὀψιαίτεραι τῶν ὀψικαρποτέρων. διὸ καὶ πειρῶνταί τινες ὁρίζειν καθ' ἕκαστον. οἷον πεύκην μὲν καὶ ἐλάτην, ὅταν ὑπαλινῶσιν. ἔτι δὲ ὀξύαν, καὶ φιλύραν, καὶ σφένδαμνον, καὶ ζυγίαν, τῆς ὀπώρας. δρῦν δὲ ὥσπερ εἴρηται μετὰ τὸ φθινόπωρον. φασὶ δέ τινες καὶ τὴν ὡραίαν εἶναι τοῦ ἦρος, ὅταν ἔχῃ τὴν καλουμένην κάχρυν. καὶ τὴν πίτυν, ὅταν ὁ βότρυς αὐτῆς ἀνθῇ. ποῖα μὲν οὖν ὡραῖα καθ' ἕκαστον χρόνον, οὕτω διαιρεῖται. πάντων δὲ δῆλον ὅτι βελτίω τὰ τῶν ἀκμαζόντων δένδρων, ἢ τῶν νέων κομιδῇ, καὶ γεγηρακότων. τὰ μὲν γὰρ ὑδατώδη. τὰ δὲ γεώδη. πλείστας δὲ χρείας καὶ μεγίστας ἡ ἐλάτη καὶ ἡ πεύκη παρέχονται. καὶ αὐτὰ κάλλιστα καὶ μέγιστα τῶν ξύλων ἐστί. διαφέρουσι δὲ ἀλλήλων ἐν πολλοῖς. ἡ μὲν γὰρ πεύκη, σαρκωδεστέρα τε καὶ ὀλιγόϊνος. ἡ δὲ ἐλάτη, καὶ πολύϊνος καὶ ἄσαρκος. ὥστε ἐναντίως ἑκάτερον ἔχει τῶν μερῶν. τὰς μὲν γὰρ ἶνας, ἰσχυράς. τὴν δὲ σάρκα μαλακὴν καὶ μανήν. διὸ τὸ μὲν βαρὺ, τὸ δὲ κοῦφον. ἔνδαδον γάρ. τὸ δὲ

ἀδᾳδον, ἢ καὶ λευκότερον. ἔχει δὲ τοὺς ὄζους πλείους μὲν ἡ πεύκη σκληροτέρους δὲ ἡ ἐλάτη πολλῷ μᾶλλον ἢ τοὺς σκληροτάτους πάντων. ἄμφω δὲ πυκνοὺς καὶ κερατώδεις καὶ τῷ χρώματι ξανθοὺς, καὶ δᾳδώδεις. ὅταν δὲ τμηθῶσι, ῥεῖ καὶ ἐκ τῶν τῆς ἐλάτης καὶ ἐκ τῶν τῆς πεύκης ἐπὶ πλείω χρόνον ὑγρότης. καὶ μᾶλλον ἐκ τῶν τῆς ἐλάτης. ἔστι δὲ καὶ πολύλοπον ἡ ἐλάτη, καθάπερ τὸ κρόμυον. ἀεὶ γὰρ ἔχει τινὰ ὑποκάτω τοῦ φαινομένου, καὶ ἐκ τοιούτων ἡ ὅλη. διὸ καὶ τὰς κώπας ξύοντες ἀφαιρεῖν πειρῶνται καθ' ἕνα καὶ ὁμαλῶς. ἐὰν γὰρ οὕτως ἀφαιρῶσιν, ἰσχυρὸς ὁ κοπεών. ἐὰν δὲ παραλλάξωσι καὶ μὴ κατὰ πάντα ὁμοίως, εὐαθεμής. πληγὴ γὰρ οὕτως. ἐκείνως δὲ, ἀφαίρεσις. ἔστι δὲ τὸ μακρότατον ἡ ἐλάτη καὶ ὀρθοφυέστατον. διὸ καὶ τὰς κεραίας καὶ τοὺς ἱστοὺς ἐκ ταύτης ποιοῦσιν. ἔχει δὲ καὶ τὰς φλέβας καὶ τὰς ἶνας εὐθυεστάτας πάντων. αὐξάνεται τὸ πρῶτον εἰς μῆκος ἄχρις οὗ ἀφίκηται τοῦ ἡλίου. τὸ ὄζος οὐδεὶς, οὔτε παραβλάστησις οὔτε πάχος γίνεται. μετὰ δὲ ταῦτα εἰς βάθος καὶ πάχος. οὕτως αἱ τῶν ὄζων ἐκφύσεις τὸ παραβλαστήσεις. ταῦτα μὲν οὖν ἴδια τῆς ἐλάτης. τὰ δὲ, κοινὰ τῆς πεύκης τῆς ἐλάτης. καὶ τῶν ἐλατῶν καὶ ἄλλων. ἔστι γὰρ ἡ μὲν, τετράζοος. ἡ δὲ δίζοος. καλοῦσι δὲ τετραζόους μὲν, ὅσαις ἐφ' ἑκάτερα τῆς ἐντεριώνης δύο κτηδόνες εἰσὶν, ἐναντίαν ἔχουσαι τὴν φύσιν. ἔπειτα καθ' ἑτέραν τὴν κτηδόνα ποιοῦνται τὴν πελέκησιν. ἐναντίας τοῖς πληγαῖς κατὰ κτηδόνα φέροντες ὅταν ἐφ' ἑκάτερα τῆς ἐντεριώνης ἡ πελέκησις ἀναστρέφῃ. τοῦτο γὰρ ἐξ ἀνάγκης συμβαίνει διὰ τὴν φύσιν τῶν κτηδόνων. τὰς δὲ τοιαύτας ἐλάτας καὶ πεύκας τετραζόους καλοῦσιν. εἰσὶ δὲ καὶ πρὸς τὰς ἐργασίας αὗται κάλλισται. πυκνότατα γὰρ ἔχουσι τὰ ξύλα καὶ τὰς αἰγίδας αὗται. φύουσι δέ. αἱ δίζοοι δὲ κτηδόνα μὲν ἔχουσι μίαν ἐφ' ἑκάτερα τῆς ἐντεριώνης, ταύτας δὲ ἐναντίας ἀλλήλαις. ὥστε καὶ τὴν πελέκησιν εἶναι διπλῆν. μίαν δὲ καθ' ἑκατέραν κτηδόνα τοῖς πληγαῖς ἐναντίας. ἁπαλότη-

τα μὲν

τὰ μὲν οὖν ταῦτά φασιν ἔχειν τὰ ξύλα. χείριστα δὲ πρὸς τὰς ἐργασίας. διαστρέφεται γὰρ μάλιστα. μονοξόους δὲ καλοῦσι, τὰς ἐχούσας μίαν μόνον κτηδόνα. τὴν δὲ πελέκησιν αὐτῶν γίνεσθαι τὴν αὐτὴν ἐφ' ἑκάτερα τῆς ἐντεριώνης. φασὶ δὲ μανότητα μὲν ἔχειν τῇ φύσει τὰ ξύλα. ταῦτα δὲ πρὸς τὰς διαστροφὰς ἀσφαλέστατα. διαφορὰς δὲ ἔχουσι τοῖς φλοιοῖς καθ' ἃς γνωρίζουσιν ἰδόντες εὐθὺς τὸ δένδρον πεφυκὸς ποῖόν τί ἐστι. τὰ μὲν γὰρ εὐκτηδόνων καὶ ἀστράβων, ὁ φλοιὸς λεῖος καὶ ὀρθός. τῶν δ' ἐναντίων τραχύς τε καὶ διεστραμμένος. ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν. ἀλλ' ἔστι τετράξοα μὲν ὀλίγα. μονόξοα δὲ πλείω τῶν ἄλλων. ἅπαντα δὲ ἡ ὕλη, μείζων τε ὀρθοτέρα καὶ ἀστραβεστέρα καὶ στριφνοτέρα, καὶ ὅλως καλλίων καὶ πλείων ἡ ἐν τοῖς προσβορείοις, ὥσπερ καὶ πρότερον ἐλέχθη. καὶ αὐτοῦ τοῦ δένδρου δὴ τὰ πρὸς βορρᾶν. πυκνότερα καὶ νεανικώτερα. ὅσα δὲ ὑπὸ παραβορρᾶ ἐν περιπνῷ, ταῦτα στρέφεταί τε παραλύει γὰρ μικρὸν ὁ βορέας ὥστε εἶναι παρεστραμμένην αὐτῶν τὴν μήτραν. οὐ κατ' ὀρθόν. ἔστι δ' ὅλως μὲν τὰ τοιαῦτα, ἰσχυρά. τμηθέντα δ' ἀσθενῆ, διὰ τὸ πολλὰ ἔχειν παραλλαγάς. καλοῦσι δὲ οἱ τέκτονες ἐπίτοκα ταῦτα διὰ τὸ πρὸς τῷ χείλει οὕτω τέμνειν. ὅλως δὲ χείρω τὰ ἐκ τῆς ἐφύγρου καὶ ὑλώδους καὶ παλισκίου καὶ τῶν συνηρεφῶν, τε πρὸς τὴν τεκτονικὴν χρείαν καὶ πρὸς τὴν πυρωτικήν. αἱ μὲν οὖν τοιαῦται διαφοραὶ πρὸς τοὺς τόπους εἰσὶν αὐτῶν τῶν ὁμογενῶν. ὡς δὲ ἁπλῶς εἰπεῖν, διαιροῦσι γάρ τινες κατὰ τὰς χώρας. καὶ φασὶν ἀρίστην μὲν εἶναι τῶν ὑλῶν πρὸς τὴν τεκτονικὴν χρείαν, τὴν εἰς τὴν Ἑλλάδα παραγινομένην τὴν μακεδονικήν. λεία τε γάρ ἐστι καὶ ἀστραβής, καὶ ἔχουσα τύϊον. δευτέραν δὲ τὴν ποντικήν. τρίτην δὲ τὴν ἀπὸ τοῦ ῥυνδάκου. τετάρτην δὲ τὴν αἰανικήν. χειρίστην δὲ, τήν τε παρνασιακὴν καὶ τὴν εὐβοϊκήν. καὶ γὰρ ὀζώδεις καὶ τραχείας καὶ ταχὺ σήπεσθαι. περὶ δὲ τῆς ἀρκαδικῆς σκεπτέον. ἰσχυρότατα δὲ τῶν ξύλων ἐστὶ, τὰ ἄοζά τε λεῖα. καὶ τῇ ὄψει δὲ ταῦτα καὶ μάλιστα ὀζώδη γίνεται τὰ

κακοτροφηθέντα· καὶ ἤτοι χειμῶνι πιεσθέντα, ἢ ἄλλῳ τινί. τοιοῦτω· τὸ γὰρ ὅλον· τὴν πολυοζίαν εἶναι ἔνδειαν τροφῆς· ὅταν δὲ κακοτροφήσαντα ἀναλάβῃ πάλιν ἢ εὐθενήσῃ, συμβαίνει καταπίνεσθαι τοὺς ὄζους ὑπὸ τῆς περιφύσεως· αὐξανόμενον γὰρ καὶ αὐξανόμενον ἀναλαμβάνει· καὶ πολλάκις ἔξωθεν μὲν λεῖον τὸ ξύλον διαιρούμενον δὲ ὀζῶδες ἐφάνη· διὸ καὶ σκοποῦνται τῶν ξύλων τὰς μήτρας· ἐὰν γὰρ αὗται ἔχωσιν ὄζους, ὀζώδη καὶ τὰ ἐκτὸς καὶ φανεροί. γίνονται δὲ καὶ αἱ σπεῖραι διὰ χειμῶνας ἢ κακοτροφίαν. σπείρας δὲ καλοῦσιν, ὅταν ἡ ὑπεραφύσις ἐν αὐτῇ μείζων, καὶ κύκλοις περιεχομένη πλείοσιν. οὐχ ὥσπερ ὁ ὄζος ἁπλῶς, οὐθ' ὡς ἡ οὐλότης ἡ ἐν αὐτῷ τῷ ξύλῳ· διὸ δυσεργάστως αὕτη καὶ ὁμαλίζουσα· χαλεπώτερον δὲ τοῦτο πολὺ καὶ δυσεργότερον τῶν ἀόζων· ἔοικε δὲ παραπλησίως ἢ ὡς ἐν τοῖς λίθοις ἐγγίνεσθαι τὰ καλούμενα κέντρα· ὅτι δὲ περίφυσις καταλαμβάνει τοὺς ὄζους. φανερώτατον ἐξ αὐτῆς τῆς αἰσθήσεως· οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν ἄλλων τῶν ὁμοίων· πολλάκις γὰρ αὐτοῦ τοῦ δένδρου μέρος τι αὐτοῦ συνελήφθη ὑπὸ θατέρου συμφυοῦς γινομένου· καὶ ἐάν τις ἐκλιθωθῇ λίθον εἰς τὸ δένδρον ἢ καὶ ἄλλο τι τοιοῦτο, κατακρύπτεται περιληφθὲν ὑπὸ τῆς περιφύσεως· ὥσπερ καὶ περὶ τὸν κότινον συνέβη τὸν ἐν Μεγάροις τὸν ἐν τῇ ἀγορᾷ· οὗ καὶ ἐκκοπέντος, λόγιον ἦν ἁλῶναι καὶ διαρπασθῆναι τὴν πόλιν, ὥσπερ ἐγένετο Δημήτριος· ἐν τούτῳ γὰρ διαιρουμένων κνημῖδες εὑρέθησαν καὶ ἄλλ' ἄττα τῶν Ἀττικῶν κρεμαστά· ὅσον μὲν κοτίνῳ· οὗ ἀνετίθη τὸ πρῶτον ἐγκοιλανθέντος· τούτου δ' ἔτι μικρὸν τὸ λοιπόν· πολλαχοῦ δὲ καὶ ἄλλοθι γίνεται πλείονα τοιαῦτα. καὶ ταῦτα μὲν ὥσπερ ἐρρήθη κοινὰ πλειόνων· κατὰ δὲ τὰς ἰδίας ἑκάστου φύσεις αἱ τοιαῦταί εἰσι διαφοραί· οἷον, πυκνότης· μανότης· βρύτης· κουφότης· σκληρότης· μαλακότης· ὡσαύτως δὲ καὶ εἴ τις ἄλλη τοιαύτη· κοιναὶ δὲ ὁμοίως αὗται καὶ τῶν ἡμέρων καὶ τῶν ἀγρίων· ὥστε περὶ πάντων λεκτέον. πυκνότατα μὲν οὖν δοκεῖ καὶ βρυότατα, πύξος εἶναι καὶ ἔβενος· οὐδὲ γὰρ οὐδ' ἐπὶ τοῦ ὕδατος, ταῦτα πίνει· καὶ ἡ μὲν πύ

ξος ὅλη.

ξύλον, ὃ λέγεται τῆς ἐβένου, ἡ μήτρα, ἐν ᾗ καὶ ἡ τοῦ χρώματός ἐστι μελανία. τῶν δ' ἄλλων ὁ λωτός. πυκνὸν δὲ καὶ ἡ τῆς δρυὸς μήτρα ἣν καλοῦσι μελάνδρυον· καὶ ἔτι μᾶλλον ἡ τοῦ κυτίσου· παρομοία γὰρ αὕτη δοκεῖ τῇ ἐβένῳ εἶναι. μέλαν δὲ σφόδρα καὶ πυκνὸν τὸ τῆς τερμίνθου· περὶ γοῦν συρίαν μελάντερόν φασιν εἶναι τῆς ἐβένου. ἐκ τούτου γὰρ καὶ τὰς λαβὰς τῶν ἐγχειριδίων ποιεῖσθαι. τορνεύεσθαι δ' ἐξ αὐτῶν καὶ κύλικας θηρικλείους· ὥστε μὴ δύνασθαι διαγνῶναι πρὸς τὰς κεραμέας. λαμβάνειν δὲ τὸ ἐγκάρδιον. δεῖν δὲ ἀλείφειν τὸ ξύλον. οὕτω γὰρ γίνεσθαι καὶ κάλλιον καὶ μελάντερον. εἶναι δὲ καὶ ἄλλο τι δένδρον, ὃ ἅμα τῇ μελανίᾳ, καὶ ποικιλίαν τινὰ ἔχει ὑπέρυθρον, ὥστε εἶναι τὴν ὄψιν ὡς ἂν ἐβένου ποικίλης. ποιεῖσθαι δ' ἐξ αὐτῶν καὶ κλίνας, καὶ δίφρους καὶ τὰ ἄλλα τὰ σπουδαζόμενα. τὸ δένδρον δὲ μέγα σφόδρα καὶ καλλίφυλλον εἶναι, ὅμοιον ταῖς ἀπίοις. ταῦτα μὲν οὖν ἅμα τῇ μελανίᾳ, καὶ πυκνότητα ἔχει. πυκνὸν δὲ καὶ ἡ σφένδαμνος καὶ ἡ ζυγία, καὶ ὅλως πάντα τὰ οὖλα. καὶ ἡ ἐλαία δὲ καὶ ὁ κότινος. ἀλλὰ καὶ αὖραι. μανὰ δὲ, τῶν μὲν ἀγρίων καὶ ἐρεψίμων, τὰ ἐλάτινα μάλιστα. τῶν δ' ἄλλων τὰ ἄκτινα, καὶ τὰ σύκινα. καὶ τὰ τῆς μηλέας, καὶ τὰ τῆς δάφνης. σκληρότατα δὲ τὰ δρύϊνα, καὶ τὰ ζύγια, καὶ τὰ τῆς ἀρείας· καὶ γὰρ ἀποβρέχουσι ταῦτα πρὸς τὴν τρύπησιν μαλάξεως χάριν. μαλακὰ δὲ καθόλου μὲν τὰ μανὰ καὶ τὰ χαῦνα. τῶν δὲ σαρκωδῶν μάλιστα φιλύρα. δοκεῖ δὲ καὶ θερμότατον εἶναι τοῦτο. σημεῖον δὲ, ὅτι μάλιστα ἀμβλύνει τὰ σιδήρια. τὴν γὰρ βαφὴν ἀνίησι διὰ τὴν θερμότητα. θερμὸν δὲ καὶ κιττὸς καὶ δάφνη, καὶ ὅλως ἐξ ὧν τὰ πυρεῖα γίνεται. Μενέστωρ δέ φησι καὶ συκάμινον. ψυχρότατα δὲ τὰ ἔνυδρα καὶ ὑδατώδη, καὶ γλίσχρα δὲ τὰ ἰτέϊνα καὶ ἀμπέλινα. διὸ καὶ τὰς ἀσπίδας ἐκ τούτων ποιοῦσι. συμμύει γὰρ πληγέντα. κουφότερον δὲ τὸ τῆς ἰτέας. μανότερον γάρ. διὸ καὶ τούτῳ μάλιστα χρῶνται. τὸ δὲ τῆς πλατάνου γλισχρότητα μὲν ἔχει. φύσει δὲ ὑγρότερον τοῦτο, καὶ τὸ τῆς πτελέας. σημεῖον

δέ ἐστι μετὰ τὴν τομὴν, ὅταν ὀρθὰ σταθῇ· πολὺ ὕδωρ ἀφίησι· τὸ δὲ τῆς συκαμίνου, πυκνὸν ἅμα καὶ γλίσχρον· ἔστι δὲ καὶ ἀστραβέστατον τὸ τῆς πτελέας· διὸ καὶ τοὺς στροφεῖς τῶν θυρῶν ποιοῦσι πτελείνους· ἐὰν γὰρ οὗτοι μένωσι, καὶ αἱ θύραι μένουσιν ἀστραβεῖς· εἰ δὲ μὴ, διαστρέφονται· ποιοῦσι δὲ αὐτοὺς ἔμπαλιν τιθέντες τὰ ξύλα, τό, τε ἀπὸ τῆς ῥίζης καὶ τὸ ἀπὸ τοῦ φύλλου τὸ ἄνω· ἐναρμοσθέντα γὰρ ἀλλήλοις, ἑκάτερον κωλύει τὴν τοῦ ὁρμὴν ἐναντίως ἔχειν· εἰ δὲ ἐκεῖνο κατὰ φύσιν, ᾗ πρὸς ἥν ἐστι ῥοπὴ, ἐν ταύτῃ πάντως ἂν εἴη φορά· τὰς δὲ θύρας οὐκ εὐθὺς συντελοῦσιν· ἀλλὰ πήξαντες ἀφεστᾶσι· κἄπειτα ὕστερον· οἱ δὲ, τῷ τρίτῳ ἔτει συνετέλεσαν, ἐὰν μᾶλλον σπουδάζωσι· τοῦ μὲν γὰρ θέρους ἀναξηραινομένων διΐστανται· τοῦ δὲ χειμῶνος συμμύουσιν· αἴτιον δ᾽ ὅτι τῆς ἐλάτης τὰ μανὰ καὶ σαρκώδη ἕλκει τὸν ἀέρα ἔνικμον ὄντα· ὁ δὲ φοῖνιξ, κοῦφος καὶ εὔεργος, καὶ μαλακὸς, ὥσπερ ὁ φελλός· βελτίων δὲ τοῦ φελλοῦ, ὅτι γλίσχρος· ἐκεῖνο δὲ θραυστόν· διὰ τοῦτο τὰ εἴδωλα νῦν ἐκ τῶν φοινίκων ποιοῦσι· τοῦτο δ᾽ ὡς φαῦλον παρήκασι· τὰς ἶνας δὲ οὐ δι᾽ ὅλου ἔχει· οὐδ᾽ ἐπὶ πολὺ καὶ μακρὰς, οὐδ᾽ ὡσαύτως τῇ θέσει, ἀλλὰ κεχυμένας πάσας· ἀλλὰ παντοδαπῶς· ἀναξηραίνεται δὲ καὶ λεαινόμενον καὶ πριόμενον τὸ ξύλον· τὸ δὲ θύον, οἱ δὲ θύαν καλοῦσι, παρ᾽ ἄμμωνί τε γίνεται καὶ ἐν τῇ κυρηναίᾳ· τὴν μὲν μορφὴν ὅμοιον κυπαρίττῳ καὶ τοῖς κλάδοις καὶ τοῖς φύλλοις καὶ τῷ στελέχει καὶ τῷ καρπῷ· μᾶλλον δ᾽ ὥσπερ κυπάρισσον ἀγρίαν· πολὺ μὲν καὶ ὅπου νῦν ἡ πόλις ἐστὶ, καὶ ἔτι διαμνημονεύουσιν ὀροφάς τινας τῶν ἀρχαίων οὔσας· ἀσαπὲς γὰρ ὅλως τὸ ξύλον· οὐλότατον δὲ τὴν ῥίζαν ἐστὶ, καὶ ἐκ ταύτης τὰ σπουδαιότατα ποιεῖται τῶν ἔργων· τὰ δ᾽ ἀγάλματα γλύφουσιν ἐκ τῶν κέδρων· κυπαρίττου· λωτοῦ· πύξου· τὰ δ᾽ ἐλάττω καὶ ἐκ τῶν ἐλαΐνων ῥιζῶν· ἀρραγεῖς γὰρ αὗται, καὶ ὁμαλῶς πως σαρκώδεις· ταῦτα μὲν οὖν ἰδιότητά τινα τούτων καὶ φύσεως καὶ χρείας ἀποδηλοῖ· βα-

ρέα δὲ καὶ

ρεία δὲ καὶ κοῦφα, δῆλον ὡς τῇ πυκνότητι καὶ μανότητι καὶ γλισχρότητι καὶ ξηρότητι, καὶ τῷ λιπώδει· καὶ σκληρότητι καὶ μαλακότητι, καὶ πλέον. ἔνια μὲν οὖν ἅμα καὶ σκληρὰ καὶ βαρέα, καθάπερ πύξος· καὶ δρῦς, ὅσα δὲ κραῦρα, καὶ τῇ σκληρότητι σκληρότατα, ταῦτ' οὐκ ἔχει βάρος. ἅπαντα δὲ τὰ ἄγρια τῶν ἡμέρων, καὶ τὰ ἄρρενα τῶν θηλειῶν, πυκνότερά τε καὶ σκληρότερα καὶ βαρύτερα, καὶ τὸ ὅλον ἰσχυρότερα· καθάπερ καὶ πρότερον εἴπομεν· ὡς δὲ ἐπὶ τὸ πᾶν καὶ τὰ ἀκαρπότερα τῶν καρπίμων, καὶ τὰ χείρω τῶν καλλικαρποτέρων· εἰ μή που καρπιμώτερον τὸ ἄρρεν, ὥσπερ ἀλλά τέ φασι, καὶ τὴν κυπάριττον, καὶ τὴν κρανίαν· ἀλλὰ τῶν ἀμπέλων φανερῶς αἱ ὀλιγοκαρπότεραι, καὶ πυκνοφθαλμότεραι καὶ στερεώτεραι· καὶ μηλέων δὲ καὶ τῶν ἄλλων ἡμέρων. ἄσαπῆ δὲ φύσει, κυπάριττος, κέδρος, ἔβενος, λωτός, πύξος, ἐλαία, κότινος, πεύκη ἔνδαδος, ἀρία, δρῦς, καρύα, εὐβοϊκή. τούτων δὲ χρονιώτατα δοκεῖ τὰ κυπαρίττινα εἶναι· τὰ γοῦν ἐν Ἐφέσῳ ἐξ ὧν αἱ θύραι τοῦ νεωστὶ νεὼ, τεθησαυρισμέναι, τέτταρας ἔκειντο γενεάς· μόνα δὲ καὶ στιλβηδόνα δέχεται· διὸ καὶ τὰ σπουδαζόμενα τῶν ἔργων, ἐκ τούτων ποιοῦσι· τῶν δὲ ἄλλων ἀσαπέστατον, μετὰ τὰ κυπαρίττινα καὶ τὰ θυώδη, τὴν συκάμινον εἶναί φασι. καὶ ἰσχυρὸν ἅμα καὶ εὔεργον τὸ ξύλον καὶ παλαιούμενον μέλαν ὥσπερ λωτός· ἔτι δὲ ἄλλο πρὸς ἄλλο καὶ ἐν ἄλλῳ ἀσαπές· οἷον πτελέα μὲν ἐν τῷ ἀέρι· δρῦς δὲ κατορυττομένη, καὶ ἐν ὕδατι καταβρεχομένη· δοκεῖ γὰρ ὅλως ἀσαπὲς εἶναι· διὸ καὶ εἰς τοὺς ποταμοὺς καὶ εἰς τὰς λίμνας ἐκ τούτων ναυπηγοῦσιν· ἐν δὲ τῇ θαλάττῃ σήπεται· τὰ δ' ἄλλα διαμένει μᾶλλον· ὥσπερ καὶ εὔλογον ταριχευόμενα τῇ ἅλμῃ· δοκεῖ δὲ καὶ ἡ ὀξύη πρὸς τὸ ὕδωρ ἀσαπὴς εἶναι, καὶ βελτίων γίνεσθαι βρεχομένη· καὶ ἡ καρύα δὲ ἡ εὐβοϊκὴ, ἀσαπές. φασὶ δὲ καὶ τὴν πεύκην ἐλάτης μᾶλλον ὑπὸ τερηδόνος ἐσθίεσθαι· τὴν μὲν γὰρ εἶναι ξηράν· τὴν δὲ πεύκην ἔχειν γλυκύτητα· καὶ ὅσῳ ἐνδαδωτέρα μᾶλλον· πάντα δ' ἐσθίεσθαι

τερηδόνι, πλὴν κοτίνου καὶ ἐλαίας· τὰ δὲ οὐ διὰ τὴν πικρότητα τερηδών. θρίπες χέεσθαι· ἐσθίεσθαι δὲ τὰ μὲν ἐν τῇ θαλάττῃ σηπόμενα ὑπὸ τερηδόνος· τὰ δ' ἐν τῇ γῇ ὑπὸ σκωλήκων καὶ θριπῶν. οὐ γὰρ γίνεται τερηδὼν, ἀλλ' ἢ ἐν τῇ θαλάττῃ. ἔστι δὲ ἡ τερηδὼν τῷ μὲν μεγέθει, μικρόν· κεφαλὴν δ' ἔχει μεγάλην καὶ ὀδόντας. οἱ δὲ θρίπες ὅμοιοι τοῖς σκώληξιν, ὑφ' ὧν τετραίνεται κατὰ μικρὸν τὰ ξύλα. καὶ ἔστι ταῦτα εὐίατα. πιττοκοπηθέντα γάρ, ὅταν εἰς τὴν θάλατταν ἀνελκυσθῇ, στέγει. τὰ δὲ ὑπὸ τῶν τερηδόνων ἀνίατα. τῶν δὲ σκωλήκων τῶν ἐν τοῖς ξύλοις, οἱ μέν εἰσιν ἐκ τῆς οἰκείας σήψεως. οἱ δ' ἐκ τικτόντων ἑτέρων. ἐντίκτει γὰρ ὥσπερ ἐν τοῖς δένδροις ὁ κεράστης καλούμενος. ὅταν τετρανῇ καὶ κοιλάνῃ περιστραφεὶς ὥσπερ οἱ μυόχοδοι. φεύγει δὲ τά τε ὀσμώδη καὶ πικρὰ καὶ σκληρά, διὰ τὸ μὴ δύνασθαι τετραίνειν, καθάπερ τὴν πύξον. φασὶ δὲ καὶ τὴν ἐλάτην φλοισθεῖσαν ὑπὸ τὴν βλάστησιν ἄσαπτον διαμένειν ἐν τῷ ὕδατι. φανερὸν δὲ γίνεσθαι ἐν φενεῷ τῆς ἀρκαδίας, ὅτε αὐτοῖς ἐλιμνώθη τὸ πεδίον βραχέντος τοῦ βορέθρου. τότε γὰρ τὰς γεφύρας ποιοῦντες ἐλατίνας καὶ ὅταν ἐπαναβαίνῃ τὸ ὕδωρ ἄλλην καὶ ἄλλην ἐφιστάντες, ὡς ἐρράγη καὶ ἀπῆλθε, πάντα εὑρεθῆναι τὰ ξύλα ἄσαπτα. τοῦτο μὲν οὖν ἐκ συμπτώματος. ἐν τύλῳ δὲ τῇ νήσῳ τῇ περὶ τὴν ἀραβίαν, εἶναί τί φασι ξύλον, ἐξ οὗ τὰ πλοῖα ναυπηγοῦνται. τοῦτο δὲ ἐν μὲν τῇ θαλάττῃ σχεδὸν ἄσηπτον εἶναι. διαμένει γὰρ ἔτη πλείω ἢ διακόσια καταβυθιζόμενον. ἐὰν δὲ ἔξω, χρόνιον μέν, θᾶττον δὲ σήπεσθαι. θαυμαστὸν δὲ καὶ ἕτερον λέγουσιν. οὐδὲν πρὸς τὴν σῆψιν. εἶναι γάρ τι δένδρον, ἐξ οὗ τὰς βακτηρίας τέμνεσθαι καὶ γίνεσθαι καλὰς σφόδρα. ποικιλίαν δέ τινα ἐχούσας ὅμοιον τῷ τοῦ τίγριος δέρματι. βαρὺ δὲ σφόδρα τὸ ξύλον τοῦτο. ὅταν δέ τις ῥίψῃ πρὸς στερεώτερον τόπον, καταγνύεσθαι, καθάπερ τὰ κεράμια. καὶ τὸ τῆς μυρίκης δὲ ξύλον, οὐχ ὥσπερ ἐνταῦθα ἀσθενές. ἀλλ' ἰσχυρὸν ὥσπερ πρίνον, ἢ ἄλλο τι τῶν ἰσχυρῶν. τοῦτο μὲν

οὖν ἅμα μηνύει χώρας τινὰς ἀέρος διαφορὰς καὶ δυνάμεις. τῶν δὲ ὁμογενῶν ξύλων οἷον δρυΐνων, πευκίνων, ὅταν τὰ εἰς χύσιν ταιτάτε χέωσι· γὰρ οὐκ ἐν ἴσῳ βάθει πάντα δύονται τῆς θαλάττης. ἀλλὰ τὰ μὲν πρὸς αὐτῇ τῇ γῇ. τὰ δὲ μικρὸν ἀνωτέρω. τὰ δ' ἐν πλείονι βάθει. πάντων δὲ τὰ πρὸς τὴν ῥίζαν θᾶττον δύεται καθ' ὕδατος, καὶ ἐπινεῖ μᾶλλον. ἔστι δὲ καὶ τὰ μὲν εὔεργα τῶν ξύλων, τὰ δὲ δύσεργα. εὔεργα μὲν, τὰ μαλακά, καὶ πάντων μάλιστα φιλύρα. δύσεργα δὲ καὶ τὰ σκληρά, καὶ τὰ ὀζώδη, καὶ οὔλας ἔχοντα συστροφάς. δυσεργότατα δὲ, ἀρία καὶ δρῦς. ὡς δὲ κατὰ μέρος ὁ τῆς πεύκης ὄζος καὶ τῆς ἐλάτης. ἀεὶ δὲ τῶν ὁμογενῶν τὸ μαλακώτερον τοῦ σκληροτέρου κρεῖττον. σαρκωδέστερον γάρ. καὶ εὐθὺ σκοποῦνται ταῖς ἰδέαις οἱ τέκτονες οὕτως. τὰ δὲ μοχθηρὰ ἀσθενεῖ καὶ ἀδυνατεῖ τέμνειν τὰ σκληρὰ τῶν μαλακῶν. ἀνίησι γὰρ ἐν τοῖς μαλακοῖς, ὥσπερ ἐλέχθη περὶ τῆς φιλύρας. παρακονᾷ δὲ μάλιστα ταῦτα. διὸ καὶ οἱ σκυτοτόμοι ποιοῦνται τοὺς πίνακας ἀχράδος. μήτραν δὲ πάντα μὲν ἔχει, ὥς φασιν οἱ τέκτονες. φανερὰν δ' εἶναι μάλιστα ἐν τῇ ἐλάτῃ. φαίνεσθαι γὰρ οἷον φλοιώδη τινὰ τὴν σύνθεσιν αὐτῶν τῶν κύκλων. ἐν ἐλαίᾳ δὲ καὶ πύξῳ καὶ τοῖς τοιούτοις οὐχ ὁμοίως. διὸ καὶ οὔ φασί τινες ἔχειν τὴν δύναμιν πύξον ἢ ἐλάτην. μάλιστα γὰρ ἕλκεσθαι ταῦτα τῶν ξύλων. ἔστι δὲ τὸ ἕλκεσθαι, τὸ συμπίπτειν ἴσασθαι κινουμένης τῆς μήτρας. ζῇ γὰρ ὡς ἔοικεν ἐπὶ χρόνον πολύν. διὸ πανταχόθεν μὲν ἅμα. μάλιστα δ' ἐκ τῶν θυρωμάτων ἐξαιροῦσιν ὅπως ἀστραβῆ, καὶ διὰ τοῦτο σχίζουσιν. ἄτοπον δ' ἂν δόξειεν, ὅτι ἐν μὲν τοῖς ξύλοις τοῖς στρογγύλοις, ἄλυπος ἡ μήτρα, καὶ ἀκίνητος. ἐν δὲ τοῖς παρακινηθεῖσιν, ἐὰν μὴ ὅλως ἐξαιρεθῇ, κινεῖ καὶ παραστρέφει. μᾶλλον δὲ εἰκὸς γυμνωθεῖσαν ἀποθνήσκειν. ὁμοίως δὲ οἵ τε ἱστοὶ καὶ αἱ κεραῖαι ἐξαιρεθείσης ἀχρεῖοι. οὐ γὰρ δὴ καὶ τοῦτο συμβεβηκὸς ὅτι χιτῶνας ἔχει ἄλλους. ἰσχυρότατον δὲ καὶ λε-

πιότατον, τὸν ἔσχατον ξηρότατον· καὶ τοὺς ἄλλους ἀνάλογον. ὅταν οὖν ἀχθῇ, περιαιρεῖται τὰ ξηρότατα. ἡ δὲ μήτρα διὰ τὸ ξηρὸν σκεπτέον. διαστρέφει δὲ ἑλκομένη τὰ ξύλα, καὶ ἐν τοῖς σχιστοῖς καὶ πριστοῖς. ὅταν μὴ ὡς δεῖ πρίωσι. δεῖ γὰρ ὀρθὴν τὴν πρίσιν εἶναι καὶ μὴ πλαγίαν. οἷον οὔσης τῆς μήτρας ἐφ' ἧς τὸ α καὶ μὴ παρὰ τὴν β γ τέμνειν, ἀλλὰ παρὰ τὴν β δ. φθείρεσθαι γὰρ οὕτω φασίν. ἐκείνως δὲ ζῆν. ὅτι δὲ πᾶν ξύλον ἔχει μήτραν, ἐκ τούτων οἴονται. φανερὸν γὰρ εἶναι καὶ τὰ δοκοῦντα πάμπαν μὴ ἔχειν, οἷον πύξον. λωτόν. πρῖνον. σημεῖον δέ. τοὺς γὰρ στρόφιγγας τῶν θυρῶν τῶν πολυτελῶν ποιοῦσι μὲν ἐκ τούτων, συγγράφονται δὲ οἱ ἀρχιτέκτονες ὅτι ἐκ μήτρας. ταυτὸ δὲ τοῦτο σημεῖον, καὶ ὅτι πᾶσα μήτρα ἕλκεται, καὶ αἱ τῶν σκληροτάτων, ἃς δή τινες καρδίας καλοῦσι. πάντων δὲ ὡς εἰπεῖν ξύλου σκληροτάτου, μανοτάτη ἡ μήτρα, ἢ αὐτῆς τῆς ἐλάτης. μανοτάτη μὲν οὖν, ὅτι τὰς ἶνας ἔχει καὶ διὰ πολλοῦ. καὶ τὸ σαρκῶδες τὸ ἀνὰ μέσον, πολύ. σκληροτάτη δὲ, ὅτι καὶ ἶνες σκληρόταται καὶ τὸ σαρκῶδες. διὸ καὶ οἱ ἀρχιτέκτονες συγγράφονται παραιρεῖν τὰ πρὸς τὴν μήτραν, ὅπως λάβωσι τοῦ ξύλου τὸ πυκνότατον καὶ μαλακώτατον. τῶν δὲ ξύλων, τὰ μὲν, σχιστά. τὰ δὲ πελεκητά. τὰ δὲ στρογγύλα. σχιστὰ μὲν, ὅσα διαιροῦντες κατὰ τὸ μέσον πρίζουσι. πελεκητὰ δὲ, ὅσων ἀποπελέκουσι τὰ ἔξω. στρογγύλα δὲ, δῆλον ὅτι τὰ ὅλως ἄψαυστα. τούτων δὲ, τὰ σχιστὰ μὲν, ὅλως ἀρραγῆ, διὰ τὸ γυμνωθεῖσαν τὴν μήτραν ξηραίνεσθαι καὶ ἀποθνήσκειν. τὰ δὲ πελεκητὰ καὶ τὰ στρογγύλα. διὰ τὸ ἐναπειλῆφθαι τὴν μήτραν. οὐδὲν γὰρ ὅτι τῶν ἁπάντων οὐ ῥήγνυται. τοῖς δὲ λωτίνοις καὶ τοῖς ἄλλοις οἷς εἰς τοὺς στρόφιγγας χρῶνται πρὸς τὸ μὴ ῥήγνυσθαι, βόλβιτον περιπλάττουσιν, ὅπως ἀναξηραίνηται καὶ διαπνευσθῇ κατὰ μικρὸν ἡ ἐκ τῆς μήτρας ὑγρότης. ἡ μὲν οὖν μήτρα τοιαύτην ἔχει δύναμιν. βαρὺ δὲ ἐνεγκεῖν, ἰσχυρά, καὶ ἡ ἐλάτη καὶ ἡ πεύκη, ἁπλαῖ τιθέμεναι. οὐδὲν γὰρ ἐνδιδόασιν ὥσπερ ἡ δρῦς

ασιν, ὥσπερ ἡ δρῦς καὶ τὰ στεώδη. ἀλλ' ἀντωθοῦσι. σημεῖον δὲ ὅτι οὐδέποτε ἐξίσταται καθάπερ ἐλαία καὶ δρῦς. ἀλλὰ πρότερον σήπονται, καὶ ἄλλως ἀπαυδῶσιν. ἰσχυρὸν δὲ καὶ ὁ φοῖνιξ. ἀνάπαλιν γὰρ καὶ ἡ κάμψις ἢ τοῖς ἄλλοις γίνεται· τὰ μὲν γὰρ εἰς τὰ κάτω κάμπτεται. ὁ δὲ φοῖνιξ εἰς τὰ ἄνω. φασὶ δὲ καὶ τὴν πεύκην καὶ τὴν ἐλάτην ἀντωθεῖν. τὸ δὲ τῆς εὐβοϊκῆς καρύας, γίνεται γὰρ μέγα, ἀσχῶνται πρὸς τὴν ἔρειψιν, ὅταν μέλλῃ ῥήγνυσθαι ψόφοις, ὥστε προαισθάνεσθαι πρότερον. ὅπερ καὶ ἐν Ἀντάνδρῳ συνέπεσεν ἐν τῷ βαλανείῳ. καὶ πάντες ἐξεπήδησαν. ἰσχυρὸν δὲ τὸ τῆς συκῆς. πλὴν εἰς ὀρθόν. ἡ δὲ ἐλάτη μάλιστα ὡς εἰπεῖν ἰσχυρά. πρὸς δὲ τὰς τῶν τεκτόνων χρείας, ἐχέκολλον μάλιστα ἡ ἐλάτη, διὰ τὴν μανότητα καὶ τὴν εὐθυπορείαν. οὐδὲ γὰρ ὅλως οὐδὲ ῥήγνυσθαί φασιν. ἐὰν δὲ κολληθῇ. εὐτονώτατον δὲ φιλύκη καὶ ἡ λευκότης ὥσπερ ἡ τῆς κηλάστρου. τῶν δὲ ἄλλων ἡ φιλύρα. τὸ γὰρ ὅλον εὔοργον ὥσπερ ἐλέχθη διὰ μαλακότητα. εὔκαμπτα δὲ ὡς μὲν ἁπλῶς εἰπεῖν, ὅσα γλίσχρα. διαφέρειν δὲ δοκεῖ συκάμινος καὶ ἐρινεός. διὸ καὶ τὰ ἰκρία καὶ τὰς στεφάνας, καὶ ὅλως ὅσα περὶ τὸν κόσμον, ἐκ τούτων ποιοῦσιν. εὔπριστα δὲ καὶ εὔξεστα τὰ ἐνικμότερα τῶν πάμπαν ξηρῶν. τὰ μὲν γὰρ παίονται, τὰ δὲ ἵστανται. τὰ δὲ χλωρὰ λίαν συμμύει. καὶ ἐνέχεται ἐν τοῖς ὀδοῦσι τὰ πρίσματα, καὶ ἐμπλάττει. διὸ καὶ παραλλάττουσιν ἀλλήλων τοὺς ὀδόντας, ἵνα ἐξάγηται. ἔστι δὲ καὶ δυστρυπητότερα λίαν χλωρά. βραδέως γὰρ ἀναφέρεται τὰ ἐκτρυπήματα, διὰ τὸ βαρέα εἶναι. τῶν δὲ δρυῶν ταχέως. καὶ εὐθὺς ὁ ἀὴρ ἀναθερμαινόμενος ἀναδίδωσι. πάλιν δὲ τὰ λεῖα καὶ ξηρὰ διὰ τὴν σκληρότητα, δύσπριστα. καθάπερ ὄστρακον συμβαίνει πρίειν. διὸ καὶ τρυπῶντες ἐπιβρέχουσιν. εὐπελεκητότερα δὲ καὶ εὐτορνότερα καὶ εὐξοώτερα, τὰ χλωρά. προσκάθηται γὰρ τὸ τορνευτήριον μᾶλλον, καὶ οὐκ ἀποπηδᾷ. καὶ ἡ πελέκησις διὰ τῶν μαλακωτέρων ἐάων, καὶ ἡ ξέσις ὁμοίως. καὶ ἔτι λεο-

τέρα· ἰσχυρότατον δὲ καὶ ἡ κρανία· τῶν δὲ ἄλλων οὐχ ἥκιστα ἡ πτελέα· διὸ καὶ τοὺς στροφέας ὥσπερ ἐλέχθη ταῖς θύραις πτελεΐνους ποιοῦσιν· ὑγρότατον δὲ μελία, καὶ ὀξύη· καὶ γὰρ τὰ κλινάρια τὰ ἐνδιδόντα, ἐκ τούτων. ὅλως δὲ περὶ ποίας ὕλης ἑκάστη χρήσιμη, καὶ ποία ναυπηγήσιμος, καὶ οἰκοδομική (πλείστη γὰρ αὕτη χρεία καὶ ἐν μεγίστοις) πειρατέον εἰπεῖν, ἀφορίζοντα καθ' ἕκαστον τὸ χρήσιμον. ἐλάτη μὲν οὖν καὶ πεύκη καὶ κέδρος ὡς ἁπλῶς εἰπεῖν ναυπηγήσιμα· τὰς μὲν γὰρ τριήρεις καὶ τὰ μακρὰ πλοῖα, ἐλάτινα ποιοῦσι διὰ κουφότητα· τὰ δὲ στρογγύλα, πεύκινα διὰ τὸ ἀσαπές· ἔνιοι δὲ καὶ τὰς τριήρεις, διὰ τὸ μὴ εὐπορεῖν ἐλάτης· οἱ δὲ κατὰ Συρίαν καὶ Φοινίκην, ἐκ κέδρου· σπανίζουσι γὰρ πεύκης· οἱ δ' ἐν Κύπρῳ πίτυος· ταύτην γὰρ ἡ νῆσος ἔχει· καὶ δοκεῖ κρείττων εἶναι τῆς πεύκης· καὶ τὰ μὲν ἄλλα ἐκ τούτων· τὴν δὲ τρόπιν, τριήρεσι μὲν δρυΐνην, ἵνα ἀντέχῃ πρὸς τὰς νεωλκίας· ταῖς δὲ ὁλκάσι, πευκίνην· ὑποτιθέασι δ' ἔτι καὶ δρυΐνην, ἐπὰν νεωλκῶσι· τοῖς μὲν ἐλάττοσιν ὀξύην· καὶ ὅλως ἐκ τούτου τὸ χέλυσμα. οὐχ ἅπτεται δὲ οὐδὲ κατὰ τὴν κόλλησιν ὁμοίως τὸ δρύϊνον τοῖς πευκίνοις καὶ ἐλατίνοις· τὰ μὲν γὰρ πυκνά· τὰ δὲ μανά· καὶ τὰ μὲν ὅμοια τὰ δ' οὔ· δεῖ δὲ ὁμοιοπαθῆ εἶναι τὰ μέλλοντα συμφύεσθαι, καὶ μὴ ἐναντία καθάπερ εἰ λίθον καὶ ξύλον· ἡ δὲ τορνεία τοῖς μὲν πλοίοις γίνεται συκαμίνου, μελίας, πτελέας, πλατάνου· γλισχρότητα, γὰρ ἔχειν δεῖ καὶ ἰσχύν· χειρίστη δὲ ἡ τῆς πλατάνου· ταχὺ γὰρ σήπεται. ταῖς δὲ τριήρεσιν ἔνιοι καὶ πιτυΐνας ποιοῦσι, διὰ τὸ ἐλαφρόν· τὸ δὲ στερέωμα πρὸς ᾧ τὸ χέλυσμα, καὶ τὰς ἐπωτίδας, μελίας· καὶ συκαμίνου καὶ πτελέας· ἰσχυρὰ γὰρ δεῖ ταῦτ' εἶναι. ναυπηγήσιμος μὲν οὖν ὕλη σχεδὸν αὕτη· οἰκοδομικὴ δὲ πολλῷ πλείων· ἐλάτη τε, καὶ πεύκη, καὶ κέδρος καὶ ἄρκευθος· ἁπλῶς δὲ ὡς εἰπεῖν πᾶσα χρησίμη· πλὴν εἴ τις ἀσθενὴς παντάπασιν· οὐκ εἰς ταὐτὸ γὰρ πᾶσαι· καθάπερ οὐδ' ἐπὶ τῆς ναυπηγίας. αἱ δ' ἄλλαι πρὸς τὰ ἴδια τῶν τεχνῶν, οἷον, σκεύη καὶ ὄργανα, καὶ εἴ τι τοιοῦτον ἕτερον· πρὸς πλεῖστα δὲ σχεδὸν ἡ

ἐλάτη

ἐλάτη παρέχεται χρείαν, ἡ γὰρ πρὸς τοὺς πίνακας τοὺς γρα-
φομένους. τεκτονικῇ μὲν οὖν ἡ παλαιοτάτη κρατίστη ἐὰν ᾖ ἀ-
σαπής. εὐθετεῖ γὰρ ὡς εἰπεῖν πᾶσι χρῆσθαι. ναυπηγικῇ δ' ἡ ἐνικ-
μοτέρα διὰ τὴν κάμψιν, ἀναγκαῖον. ἐπεὶ πρός γε τὴν κόλλησιν
ἡ ξηροτέρα συμφέρει. ἵσταται γὰρ καὶ νῦν τὰ ναυπηγούμενα, καὶ
ὅταν συμπαγῇ καθελκυσθέντα, συμμύει καὶ στέγει. πλὴν ἐάν γε
παντάπασιν ἐξικμασθῇ. τότε δ' οὐ δέχεται κόλλησιν, ἢ οὐχ ὁ-
μοίως. δεῖ δὲ καθ' ἕκαστον λαμβάνειν εἰς ποῖα χρήσιμός ἐστιν. ἐλά-
τη μὲν οὖν ἡ πεύκη καθάπερ εἴρηται καὶ πρὸς ναυπηγίαν καὶ πρὸς
οἰκοδομίαν, ἡ ἔτι πρὸς ἄλλα τῶν ἔργων. εἰς πλείω δὲ ἡ ἐλάτη.
πίτυϊ δὲ χρῶνται μὲν εἰς ἄμφω, καὶ οὐχ ἧττον εἰς ναυπηγίαν.
οὐ μὴν ἀλλὰ ταχὺ διασήπεται. δρῦς δὲ πρὸς οἰκοδομίαν καὶ
πρὸς ναυπηγίαν, ἔτι δὲ πρὸς τὰ κατὰ γῆς κατορυττόμενα.
φιλύρα δὲ πρὸς τὰ σανιδώματα τῶν μακρῶν πλοίων, καὶ πρὸς
κιβώτια, καὶ πρὸς τὴν τῶν μέτρων κατασκευήν. ἔχει δὲ καὶ
τὸν φλοιὸν χρήσιμον πρός τε τὰς κίστας (ποιοῦσι γὰρ ἐξ αὐτῆς,
σφενδαμνός τε, καὶ ζυγία, πρὸς κλινοπηγίαν) καὶ πρὸς τὰ
ζυγὰ τῶν λοφούρων. καὶ ὅλως πρὸς τὰ πολυτελῆ τῶν ἔρ-
γων. μίλος δὲ εἰς παρακολλήματα κιβωτοῖς καὶ ὑπο-
βάθροις καὶ ὅλως τοῖς τοιούτοις. πρῖνος δὲ πρὸς ἀξο-
νάς τε, καὶ μονοστρόφους ἁμάξας, καὶ ὀξύαι λύραις καὶ
ψαλτηρίοις. ὀξύα δὲ πρὸς ἁμαξοπηγίαν καὶ διφροπηγίαν
τὴν εὐτελῆ. πτελέα δὲ πρὸς θυροπηγίαν καὶ σαλιάγρας. χρῶν-
ται δὲ καὶ εἰς τὰ ἁμαξικὰ μετρίως. πύξος δὲ, εἰς ἄξονάς τε
ταῖς ἁμάξαις καὶ εἰς ἔλκηθρα τοῖς ἀρότροις. ἀνδράχνη δὲ ταῖς
γυναιξὶν εἰς τὰ περὶ τοὺς ἱστούς. ἄρκευθος δὲ εἰς τεκτονίας καὶ εἰς τὰ
ὕπαιθρα καὶ εἰς τὰ κατορυττόμενα κατὰ γῆς διὰ τὸ ἀσαπές. ὡ-
σαύτως δὲ καὶ ἡ εὐβοϊκὴ καρύα. ἡ πρός γε τὴν κατόρυξιν ἔτι μᾶλ-
λον ἀπαθής. πύξῳ δὲ χρῶνται μὲν πρὸς ἔνια. οὐ μὴν ἀλλ' ἥ γε

ἐν τῷ ὀλυμπίῳ γινομένη. διὰ τὸ βραχεῖα τε εἶναι καὶ ὀζώδης.
ἀχρεῖος. τερμίνθῳ δὲ, οὐδὲν χρῶνται πλὴν τῷ καρπῷ καὶ τῇ ῥη-
τίνῃ. τῇ δὲ φιλύκῃ, πλὴν τοῖς προβάτοις. ἀεὶ γάρ ἐστι δασεῖα. τῇ δὲ
ἀφάρκῃ, εἰς χάρακάς τε καὶ τὸ καίειν. καὶ λάκτρῳ δὲ καὶ μύᾳ, πρὸς βα-
κτηρίας. ἔνιοι δὲ καὶ δάφνῃ. τὰς γὰρ γεροντικὰς καὶ κούφας
ταύτας ποιοῦσιν. ἰτέᾳ δὲ, πρός τε τὰς ἀσπίδας καὶ τὰς κίστας καὶ
τὰ κανᾶ. καὶ τἆλλα. προαναλαβεῖν δ' ἐστι καὶ τῶν ἄλλων ἕκα-
στον ὁμοίως. διῄρηται δὲ καὶ πρὸς τὰ τεκτονικὰ τῶν ὀργάνων ἕ-
καστα κατὰ τὴν χρείαν. οἷον, σφυρεῖον μὲν καὶ τερέτριον, ἄρι-
στα μὲν γίνεται κοτίνου. χρῶνται δὲ καὶ πυξίνοις καὶ μελεί-
νοις καὶ πτελείνοις. τὰς δὲ μεγάλας σφύρας πιτυΐνας ποι-
οῦσιν. ὁμοίως δὲ καὶ τῶν ἄλλων ἕκαστον ἔχει τινὰ τάξιν. καὶ
ταῦτα μὲν αἱ χρεῖαι διαιροῦσιν. ἑκάστη δὲ τῆς ὕλης ὥσπερ
καὶ πρότερον ἐλέχθη διαφέρει κατὰ τοὺς τόπους. ἔνθα μὲν
ἐλάτη, ἔνθα δὲ κέδρος γίνεται θαυμαστὴ, καθάπερ καὶ περὶ
συρίαν. ἐν συρίᾳ γὰρ ἔν τε τοῖς ὄρεσι διαφέροντα γίνεται τὰ
δένδρα τῆς κέδρου καὶ τῷ ὕψει καὶ τῷ πάχει. τηλικαῦτα
γάρ ἐστιν, ὥστ' ἔνια μὲν μὴ δύνασθαι τρεῖς ἄνδρας περιλαμ-
βάνειν. τοῖς δὲ παραδείσοις ἔτι καὶ μείζω καὶ καλλίω φαί-
νεται δὲ, ἐάν τις ἐᾷ καὶ μὴ τέμνῃ, τόπον οἰκεῖον ἕκαστον ἔ-
χον γίνεσθαι θαυμαστὸν τῷ μήκει καὶ πάχει. ἐν κύπρῳ γοῦν
οὐκ ἔτεμνον οἱ βασιλεῖς. ἅμα δὲ καὶ διὰ τὸ δυσκόμιστον
εἶναι. μῆκος μὲν ἦν τῶν εἰς τὴν ἑνδεκήρη τὴν δημητρίου τμη-
θέντων, τρεισκαιδεκαόργυιον. αὐτὰ δὲ τὰ ξύλα τῷ μήκει θαυ-
μαστὰ καὶ ἄοζα καὶ λεῖα. μέγιστα δὲ καὶ παρὰ πολὺ τὰ ἐν
τῇ κύρνῳ φασὶν εἶναι. τῶν γὰρ ἐν τῇ λατίνῃ καλῶν γινομένων ὑπερ-
βολῇ, καὶ τῶν ἐλατίνων καὶ τῶν πευκίνων, μείζω ταῦτα καὶ καλλίω
τῶν ἰταλικῶν. οὐδὲν γὰρ εἶναι πρὸς τὰ ἐν τῇ κύρνῳ. πλεῦσαι
γάρ ποτε τοὺς ῥωμαίους βουλομένους κατασκευάσασθαι πλοῖον
ἐν τῇ νήσῳ πέντε καὶ εἴκοσι ναυσί. καὶ τηλικοῦτον εἶναι τὸ μέγεθος
τῶν δένδρων, ὥστε

τῶν δένδρων· ὥστε τοὺς πλέοντας εἰς κόλπους τινὰς καὶ λιμένας διασχίζεσθαι τοῖς ἱστοῖς ἐπὶ τὸν πυκνόν· καὶ ὅλως πᾶσαν τὴν νῆσον δασεῖαν καὶ ὥσπερ ἠγριωμένην τῇ ὕλῃ· διὸ καὶ ἀποστῆναι τὴν πόλιν οἰκίζειν· διαβάντα δέ τινα ἀποτέμνεσθαι πάμπολυ πλῆθος ἐκ τόπου βραχέος· ὥστε τηλικαύτην ποιῆσαι σχεδίαν, ἣ ἐχρήσαντο οἱ πεντήκοντα ἱστοῖς· οὐ μὴν ἀλλὰ διαπεσεῖν αὐτὴν ἐν τῷ πελάγει· Κύρνος μὲν οὖν εἴτε διὰ τὴν ἄνεσιν, εἴτε καὶ τὸ ἔδαφος καὶ τὸν ἀέρα, πολὺ διαφέρει τῶν ἄλλων. ἡ δὲ τῶν Λατίνων ἔφυδρος πᾶσα· καὶ ἡ μὲν πεδεινὴ δάφνην ἔχει καὶ μυρρίνην καὶ ὀξύην θαυμαστήν· τηλικαῦτα γὰρ τὰ μήκη τέμνουσιν, ὥστ᾽ εἶναι διανεκῶς τῶν Τυρρηνίδων ὑπὸ τὴν τρόπιν· ἡ δὲ ὀρεινὴ, πεύκην καὶ ἐλάτην. τὸ δὲ Κιρκαῖον καλούμενον, εἶναι μὲν ἄκραν ὑψηλήν· δασεῖαν δὲ σφόδρα, καὶ ἔχειν δρῦν καὶ δάφνην πολλὴν καὶ μυρρίνην· λέγειν δὲ τοὺς ἐγχωρίους, ὡς ἐνταῦθα ἡ Κίρκη κατῴκει, καὶ δεικνύναι τὸν Ἐλπήνορος τάφον· ἐξ οὗ φύονται μυρρίναι καθάπερ αἱ στεφανώτιδες· τῶν ἄλλων ὄντων μεγάλων μυρρίνων· τὸν δὲ τόπον εἶναι τοῦτον εἰς ἀνδρὸς θέσιν· καὶ πρότερον μὲν οὖν νῆσον εἶναι τὸ Κιρκαῖον· νῦν δὲ ὑπὸ ποταμῶν τινων προσκεχῶσθαι καὶ εἶναι ἠϊόνα· τῆς δὲ νήσου τὸ μέγεθος, περὶ ὀγδοήκοντα σταδίους· καὶ τὰ μὲν τῶν τόπων ἴδια πολλὴν εἶναι διαφοράν, ὥσπερ εἴρηται πολλάκις. τὸ δὲ πρὸς τὴν πύρωσιν πῶς ἑκάστη τῆς ὕλης ἔχει, λεκτέον ὁμοίως καὶ πειρατέον λαβεῖν. ἄνθρακες μὲν οὖν ἄριστοι γίνονται τῶν πυκνοτάτων· οἷον, πρίνου· δρυός· κομάρου· στερεώτατοι γάρ· ὥστε πλεῖστον χρόνον ἀντέχουσι, καὶ μάλιστα ἰσχύουσι· διὸ καὶ ἐν τοῖς ἀργυρείοις, τούτοις χρῶνται πρὸς τὴν πρώτην τούτων ἕψησιν· χείριστοι δὲ τούτων οἱ δρύινοι, γεωδέστατοι γάρ· χείρους δὲ καὶ οἱ τῶν πρεσβυτέρων τῶν νέων, καὶ μάλιστα οἱ τῶν γεραιδρύων διὰ ταὐτό· ξηρότατοι γάρ· διὸ καὶ ἀποπηδῶσι καιόμενοι· δεῖ δὲ ἔνικμον εἶναι· βέλτιστοι δὲ οἱ τῶν ἐν ἀκμῇ· καὶ μάλιστα οἱ τῶν κολάβων· συμμέτρως γὰρ ἔχουσι τῷ πυκνῷ καὶ γεώδει καὶ τῷ ὑγρῷ· βελτίους δὲ οἱ τῶν εὐη-

λίων καὶ ξηρῶν καὶ προσβορείων, ἢ οἱ ἐκ τῶν παλισκίων καὶ ὑ-
γρῶν καὶ πρὸς νότον. καὶ οἱ ἐξ ἀκμητέρας ὕλης, πυκνῆς. ὑγρότε-
ρα γὰρ ἡ πυκνή. καὶ ὅλως ὅσα ἢ φύσει ἢ διὰ τὸν τόπον πυκ-
νότερα, ξηρότερα. ἐξ ἁπάντων βέλτιον διὰ τὴν αὐτὴν αἰτίαν.
χρεία δ' ἄλλων ἄλλη. πρὸς ἔνια γὰρ ζητοῦσι τοὺς μαλακούς. οἷον
ἐν τοῖς σιδηρείοις τοὺς τῶν καρύας τῶν εὐβοϊκῆς, ὅταν ἤδη κε-
καυμένος ᾖ. καὶ ἐν τοῖς ἀργυρείοις τοὺς πιτυΐνους. χρῶνται δὲ
καὶ αἱ τέχναι τούτοις. ζητοῦσι δὲ καὶ οἱ χαλκεῖς τοὺς πευκίνους
μᾶλλον ἢ δρυΐνους, καίτοι ἀσθενέστεροι. ἀλλ' εἰς τὴν φύσησιν
ἀμείνους, ὡς ἧσσον καταμαραινόμενοι. ἔστι δ' ἡ φλὸξ ὀξυτέρα,
τούτων. τὸ δ' ὅλον ὀξυτέρα φλὸξ καὶ ἡ τούτων, καὶ τῶν ξύλων
ἡ τῶν μανῶν καὶ κούφων, καὶ ἡ τῶν αὔων. ἡ δ' ἐκ τῶν πυκνῶν καὶ
χλωρῶν, νωθροτέρα καὶ παχυτέρα. πασῶν δ' ὀξυτάτη ἡ ἐκ τῶν ὑ-
λημάτων. ἄνθρακες δὲ οὐ γίνονται διὰ τὸ μὴ ἔχειν τὸ σωματῶ-
δες. τέμνουσι δὲ καὶ ἐκζητοῦσιν εἰς τὰς ἀνθρακιὰς τὰ εὐθέα καὶ τὰ
νέα. δεῖ γὰρ ὡς πυκνότατα θεῖναι πρὸς τὴν κατάπληξιν. ὅταν
δὲ περιαλείψωσι τὴν κάμινον, ἐξάπτουσι παρακεντοῦντες ὀβε-
λίσκοις. εἰς μὲν τὴν ἀνθρακιὰν τὰ τοιαῦτα ζητοῦσι. δύσκαπνα
δὲ τῷ γένει μὲν ὅλως τὰ ὑγρά. καὶ τὰ χλωρὰ διὰ τοῦτο δύσκα-
πνα. λέγω δὲ ὑγρὰ τὰ ἔλεια. οἷον πλάτανον. ἰτέαν. λεύκην.
αἴγειρον. ἐπεὶ καὶ ἡ ἄμπελος ὅτι ὑγρά, δύσκαπνος. ἐκ δὲ τῶν
ἰδίας φύσεως, ὁ φοῖνιξ. ὃν δὴ καὶ μάλιστά τινες ὑπειλήφασι δύ-
"σκαπνον. ὅθεν καὶ Χερήμων ἐποίησε. τοῦ τε δυσκαπνοτάτου φοί-
"νικος ἐκ γῆς ῥιζοφοιτήτους φλέβας. δριμύτατος δὲ ὁ κα-
πνὸς συκῆς καὶ ἐρινεοῦ καὶ εἴ τι ἄλλο ὀπῶδες. αἰτία δ' ἡ ὑγρότης.
φλογιωθέντα δὲ καὶ ἀποβρεχθέντα ἐν ὕδατι ἐπιρρύτῳ, καὶ μετὰ ταῦ-
τα ξηρανθέντα, πάντων ἀκαπνότατα. καὶ φλόγα μαλακωτάτην
ἀφίησιν. ἅτε τῆς οἰκείας ὑγρότητος ἐξῃρημένης. δριμεῖα δὲ
καὶ ἡ τέφρα καὶ ἡ κονία ἡ ἀπὸ τούτων. μάλιστα δέ φασι τὴν ἀπὸ τῶν
ἀμυγδαλῆς. πρὸς δὲ τὰς καμινίας καὶ τὰς ἄλλας τέχνας ἀλ-

λήλοις

λήλοις ἐστὶ χρησίμη. ἐμπυρευθῆ δὲ ἀρίστη συκῆ καὶ ἐλαία. συκῆ μὲν ὅτι γλίσχρον τε καὶ μανόν· ὥστε ἕλκει τε καὶ οὐδ' ἵησιν. ἐλαία δὲ ὅτι πυκνὸν καὶ λιπαρόν. πυρεῖα μὲν γίνεται δὲ ἐκ πολλῶν. ἄριστα δὲ ὥς φησι Μενέστωρ ἐκ καρύου. τάχιστα γὰρ καὶ πλεῖστον ἀναπνεῖ. πυρεῖα δέ φασιν, ἄριστον μὲν ἐκ τῆς ἀθραγένης καλουμένης ὑπό τινων. τοῦτο δέ ἐστι τὸ δένδρον ὅμοιον τῇ ἀμπέλῳ καὶ τῇ οἰνάνθῃ τῇ ἀγρίᾳ. ὥσπερ ἐκεῖνα καὶ τοῦτο ἀναβαίνει πρὸς τὰ δένδρα. δεῖ δὲ τὴν ἐσχάραν ἐκ τούτων ποιεῖν. τὸ δὲ τρύπανον ἐκ δάφνης. οὐ γὰρ ἐκ τοῦ αὐτοῦ τὸ ποιοῦν καὶ πάσχον. ἀλλ' ἕτερον εὐθὺ δεῖ κατὰ φύσιν. καὶ τὸ μὲν δεῖ παθητικὸν εἶναι, τὸ δὲ, ποιητικόν. οὐ μὴν ἀλλὰ καὶ ἐκ τοῦ αὐτοῦ γίνεται. καὶ ὥστε τινὲς ὑπολαμβάνουσιν οὐδὲν διαφέρει. ἅπτεται δὲ καὶ ἐκ ῥάμνου. ποιεῖ δὲ τοῦτο καὶ τὴν ἐσχάραν χρησίμην. πρὸς γὰρ τὸ ξηρὰν καὶ ἄχυμον εἶναι, δεῖ καὶ μανοτέραν. ἵν' ἡ τρῖψις ἰσχύῃ. τὸ δὲ τρύπανον ἀπαθέστερον. διὸ τὸ τῆς δάφνης ἀπαθέστερον ἐργάζεται τῇ δριμύτητι. γίνεται γὰρ ἐκ ῥάμνου καὶ πρίνου καὶ φιλύρας. καὶ σχεδὸν ἐκ τῶν πλείστων, πλὴν ἐλαίας. ὃ καὶ δοκεῖ ἄτοπον εἶναι. καὶ γὰρ σκληρότερον καὶ λιπαρὸν ἡ ἐλαία. τοῦτο μὲν οὖν ἀσύμμετρον ἔχει δηλονότι τὴν ὑγρότητα πρὸς τὴν πύρωσιν. πάντα δὲ τὰ πυρεῖα, βορείοις μὲν θᾶττον καὶ μᾶλλον ἐξάπτεται. νοτίοις δ' ἧττον. καὶ ἐν μὲν τοῖς μετεώροις μᾶλλον. ἐν δὲ τοῖς κοίλοις ἧττον. ἀνίει δὲ τῶν ξύλων τὰ κέδρινα, καὶ ἁπλῶς ὧν ἐλαιώδης ἡ ὑγρότης. διὸ καὶ τὰ ἀγάλματά φασιν ἰδίειν ἐνίοτε. ποιοῦσι γὰρ ἐκ τούτων. ὃ δὲ καλοῦσιν ἱλεῖαν τῆς εἰληθυίας ἔφυδρον, ὑπὲρ οὗ καὶ ἐκθύονται πρὸς τοὺς ἐκατίνους, γίνεται συνισταμένης ὑγρότητος τῷ σχήματι μὲν στρογγύλης, μέγεθος δὲ ἡλίκον ἄπιος, ἢ καὶ μικρῷ μεῖζον ἢ ἔλαττον. ἐκβλαστάνει δὲ μάλιστα τὰ ἐλάϊνα, καὶ ἀργὰ κείμενα καὶ εἰργασμένα πολλάκις, ἐὰν ἰκμάδα λαμβάνῃ καὶ ἔχῃ τὸ πυκνότερον. ὥσπερ ἤδη τις στροφεὺς θύρας ἐβλάστησε. καὶ εἰς κιλίκιον πλίνθινον τεθεὶς τῇ κώπῃ πηλός. :~

:~ΤΈΛΟΣ:~

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡῚ ΦΥΤΩ͂Ν ἹΣΤΟΡΊΑΣ ΤῸ Ζʹ.

Περὶ μὲν οὖν δένδρων καὶ θάμνων εἴρηται πρότερον· ἑπόμενον δὲ εἰπεῖν περί τε τῶν φρυγανικῶν καὶ ποωδῶν, καὶ εἴ τινες ἐν τούτοις ἕτεραι συμπεριλαμβάνονται φύσεις, οἷον ἥ γε σιτηρὰ καὶ ποώδης ἐστί. πρῶτον δὲ λέγωμεν περὶ τῆς φρυγανικῆς· αὕτη γὰρ ἐγγυτέρω τῶν προειρημένων διὰ τὸ ξυλώδης εἶναι. πανταχοῦ μὲν ἴσως ἀεὶ τὸ ἄγριον τοῦ ἡμέρου πλεῖον· εἰ δὲ μή, περί γε τὴν φρυγανικὴν οὐσίαν· ὀλίγον γὰρ τὸ ἥμερον αὐτῆς· ὅπερ σχεδὸν ἐν τοῖς στεφανωτικοῖς ἐστιν· οἷον ῥοδωνιά· ἰωνιά· Διὸς ἄνθος· ἀμάρακος· ἡμεροκαλλές· ἔτι δὲ ἕρπυλλος· σισύμβριον· ἑλένιον· ἀβρότονον· ἅπαντα γὰρ ταῦτα ξυλώδη καὶ μικρόφυλλα· διὸ καὶ φρυγανικά· καὶ ἐπὶ τῶν λαχανηρῶν ὁμοίως· οἷον, ῥάφανος· πήγανον· καὶ ὅσα παραπλήσια τούτοις ἐστίν· ὑπὲρ ὧν οὐχ ἧττον ἴσως ἁρμόττει κατὰ τὴν οἰκείαν προσηγορίαν εἰπεῖν, ὅταν περὶ στεφανωμάτων καὶ λαχάνων ποιώμεθα μνείαν· νῦν δὲ πρῶτον περὶ τῶν ἀγρίων λέγωμεν· ἔστι μὲν αὐτῶν εἴδη καὶ μέρη πλείω· καὶ τοῖς καθ' ἕκαστον γένος καὶ τοῖς ὅλοις εἴδεσιν, ἃ δεῖ διαιρεῖν· μεγίστην δ' ἄν τις λάβοι διαφορὰν τῶν ὅλων γενῶν, ὅτι τὰ μὲν, ἀνάκανθα, τὰ δὲ ἀκανθώδη τυγχάνει· πάλιν δὲ ἐν ἑκατέρῳ τούτων πολλαὶ διαφοραὶ γενῶν κεἰδῶν· ὑπὲρ ὧν καθ' ἑκάτερα πειρατέον εἰπεῖν· τῶν ἀκανθικῶν δή, τὰ μὲν ἁπλῶς εἰσιν ἄκανθαι· καθάπερ ἀσπάραγος καὶ σκορπίος· οὐδὲ γὰρ ἔχουσι φύλλον οὐδὲν παρὰ τὴν ἄκανθαν· τὰ δὲ, φυλλάκανθα· καθάπερ ἄκανος· ἠρύγγιον· κνῆκος· καὶ τὰ τοιαῦτα ἐπὶ τῶν φύλλων ἔχει τὴν ἄκανθαν· διὸ καὶ φυλ

ἀσπάραγος σκορπίος

φυλλάκανθα

λευκάκανθα καλεῖται· τὰ δὲ καὶ παρὰ τὴν ἄκανθαν ἕτερον ἔ-
χει φύλλον· ὥσπερ ἡ ὀνωνίς· καὶ ὁ ξίβολος· καὶ ὁ φλεώς· ὃ δή τινες
καλοῦσι στοίβην· ὁ δὲ ξίυωλος ἢ ἡ πεικαρπία φυλλάκανθόν
ἐστιν· ἔχει γὰρ ἀκάνθας ἐν τῷ πεικαρπίῳ· διὸ καὶ τοῦτο ἴδιον παρὰ
ἅπαντα ὡς εἰπεῖν· ἐπεὶ ὀρθάκανθά γε πολλὰ καὶ τῶν δένδρων
καὶ τῶν θαμνωδῶν ἐστιν· οἷον, ἀχράς· ῥόα· παλίουρος· βάτος· ῥο-
δωνιά· κάππαρις· ἐν μὲν τοῖς ἀκανθικοῖς ταύτας ἄν τις ὡς εἰ-
πεῖν τύπῳ λάβοι τὰς διαφοράς· ἐν δὲ τοῖς ἀνακάνθοις οὐκ
ἔστιν ὅλως διαλαβεῖν τοῖς γένεσιν. ἡ γὰρ τῶν φύλλων ἀνωμα-
λία, μεγέθει καὶ μικρότητι καὶ σχήμασιν, ἄπειρος, καὶ ἀσα-
φής· ἀλλὰ δεῖ πειρᾶσθαι κατ᾽ ἄλλον τρόπον διαιρεῖν. πλείω δὲ ἐστὶ
τὰ γένη τὰ τούτων καὶ διαφορὰς ἔχοντα μεγάλας· οἷον κισσός·
μήλωθρον· ἐρυθεδανόν· σμηρέα· κνέωρον· ὀρίγανον· θύμβρας· φα-
κὸς· ἐλελίσφακος· πράσιον· κόνυζα· μελισσόφυλλον· ἕτερα τοι-
αῦτα· καὶ τὰ τούτοις ὅμοια, ἔτι τὰ ναρθηκώδη καὶ νευρόκαυλα· καθά-
περ μάραθον· ἱππομάραθρον· ναρθηκία· νάρθηξ· καὶ τὸ κα-
λούμενον ὑπό τινων μυόφωνον· καὶ ὅσα ὅμοια τούτοις· ἅπαν-
τα γὰρ ἄν τις καὶ ταῦτα καὶ ὅλως εἴ τι ναρθηκῶδές ἐστι, τῆς φρυ-
γανικῆς φύσεως θείη· εἴδη δὲ καὶ διαφοραὶ καθ᾽ ἕκαστον τῶν
εἰρημένων εἰσί· τῶν μὲν φανερώτεραι· τῶν δέ, ἀφανέστεραι· καὶ
τοῦ κισσοῦ δύο γένη διαιροῦσι, τὸ μὲν ἄρρεν, τὸ δέ, θῆλυ· τῷ τὸ μὲν
μεῖζον καὶ σκληρότερον καὶ λιπαρώτερον ἔχειν, καὶ τὸ ἄνθος
ὑπο πορφυρίζον· ἄμφω δ᾽ ὅμοια τοῖς ἀγρίοις· πλὴν ἐλάττω καὶ
ἄοσμα· Δύο δὲ εἴδη καὶ τοῦ κνεώρου· ὁ μὲν γὰρ λευκός· ὁ δέ, μέ-
λας. ἔχει δ᾽ ὁ μὲν λευκὸς τὸ φύλλον δερματῶδες, πρόμηκες· ὁ-
μοιόσχημον τρόπον τινὰ τῇ ἐλαίᾳ· ὁ δὲ μέλας, οἷον ἡ μυρί-
κη σαρκῶδες· ἐπίγειος δὲ μᾶλλον ὁ λευκός· ἔστι δὲ ὀσμώδης·
ὁ δὲ μέλας ἄοσμος· τὴν δὲ ῥίζαν τὴν εἰς βάθος, ἄμφω μεγάλην
ἔχουσι· καὶ τοὺς ἀκρέμονας πολλοὺς καὶ παχεῖς καὶ ξυλώδεις ἀπὸ τῆς
γῆς ἢ μικρὸν ἄνω σχιζομένους· ξυλωδεστάτην δέ· γλίσχρον δὲ σφό-

θρα· διὸ καὶ χρῶνται πρὸς τὸ καταδεῖν καὶ προλαμβάνειν, ὥσπερ τῷ οἰσύῳ. βλαστάνει δὲ καὶ ἀνθεῖ μετ' ἰσημερίαν μετοπωρινήν· ἀνθεῖ πολὺν χρόνον. καὶ τῆς ὀριγάνου ἡ μὲν μέλαινα ἄκαρπος, ἡ δὲ λευκὴ, κάρπιμος. καὶ θύμου τὸ μὲν λευκόν, τὸ δὲ μέλαν· εὐανθὲς δὲ σφόδρα περὶ τροπὰς καὶ γὰρ ἀνθεῖ θερινάς· ἀφ' οὗ καὶ μέλιττα λαμβάνει τὸ μέλι. καὶ τοῦτό φασιν οἱ μελιττουργοὶ δῆλον εἶναι πότερον εὐμελιτοῦσιν ἢ οὔ. ἄλλως γὰρ ἀπανθήσαντος, οὐκ εὐμελιτεῖ. βλάπτει δὲ καὶ ἀπόλλυσι τὴν ἄνθησιν, ἐὰν ὕδωρ ἐπιγένηται. σπέρμα δὲ κάρπιμον, ἡ μὲν θύμβρα καὶ ἔτι μᾶλλον ἡ ὀρίγανος ἔχει φανερόν. τὸ θύμου δ' οὐκ ἔστι λαβεῖν. ἀλλ' ἐν τῷ ἄνθει πως ἀναμέμικται. σπείρουσι γὰρ τοῦτο καὶ ἀναβλαστάνει. ζητοῦσι δὲ καὶ λαμβάνουσιν οἱ ἐξάγειν Ἀθήνηθε βουλόμενοι τὸ γένος. ἴδιον δὲ ἔχει τι πρὸς ταῦτα καὶ σχεδὸν πρὸς τὰ ἄλλα τὰ κατὰ τοὺς τόπους. οὐ γάρ φασι δύνασθαι φύεσθαι καὶ λαμβάνειν ὅπου μὴ ἀέρα πνοὴ διικνεῖται ἡ ἀπὸ τῆς θαλάττης. διὸ οὐδὲ ἐν ἀρκαδίᾳ γίνεται. θύμβρα τε καὶ ὀρίγανον. καίτοι τοιαῦτα πολλὰ καὶ πολλαχοῦ. παραπλήσιον οὖν τὸ συμβαῖνον τοῦ τε καὶ ἐπὶ τῆς ἐλελέας. οὐδὲ γὰρ οὐδ' ἐκεῖνο δοκεῖ τριακοσίων σταδίων ἀπὸ θαλάττης ἐπάνω φύεσθαι. σφάκελος δὲ καὶ ἐλελίσφακος διαφέρουσιν, ὡς ἂν τὸ μὲν ἥμερον, τὸ δὲ, ἄγριον. λειότερον γὰρ τὸ φύλλον τοῦ σφακέλου καὶ ἔλαττον καὶ ἧττον αὐχμηρότερον. τὸ δὲ τοῦ ἐλελισφάκου βαρύτερον. δύο γένη καὶ τοῦ πρασίου. τὸ μὲν γὰρ ἔχει ποῶδες τὸ φύλλον καὶ μᾶλλον ἐπικεχαραγμένον. ἔτι δὲ τὰς ἐντομὰς ἐντόμους ἐνδήλους σφόδρα καὶ βαθείας. ᾧ καὶ οἱ φαρμακοπῶλαι χρῶνται πρὸς ἔνια. τὸ δὲ ἕτερον στρογγυλότερον καὶ ἀχνῶδες σφόδρα, καθάπερ τοῦ σφακέλου, καὶ τὰς ἐντομὰς ἀμαυροτέρας ἔχον καὶ ἐπικεχαραγμένον ἧττον. κονύζης δὲ τὸ μὲν ἄρρεν. τὸ δὲ θῆλυ. διαφορὰς δὲ ἔχει, καθάπερ τὰ ἄλλα τὰ οὕτω διαιρούμενα. τὸ μὲν γὰρ θῆλυ λεπτοφυλλότερον καὶ ξυνεστηκὸς μᾶλλον. καὶ τὸ ὅλον ἔλαττον. τὸ δὲ ἄρρεν, μεῖζόν τε καὶ παχυκαυλότερον, καὶ

πολυκλωνότερον

πολυκλωνότερον καὶ τὸ φύλλον μεῖζον καὶ λιπαρώτερον ἔχον· ἔτι δὲ τὸ ἄνθος λαμπρότερον· καρποφόρα δὲ ἄμφω· τὸ δ' ὅλον ὀψιβλαστεῖ καὶ ὀψιανθεῖ περὶ ἀρκτοῦρον, καὶ μετ' ἀρκτοῦρον λαμβάνει· βαρεῖα δ' ἡ ὀσμὴ τοῦ ἄρρενος· ἡ δὲ τῆς θηλείας δριμυτέρα· διὸ καὶ πρὸς τὰ θεῖα χρησίμη. ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα ὥσπερ διαφέρονται. πάλιν δ' ἄλλα μονοειδῆ τυγχάνουσι καὶ τῶν πρότερον εἰρημένων· καὶ ἕτερα παρὰ ταῦτα πλείω γένη ἐστί. τὸ δὲ ναρθηκῶδες (γένος γὰρ καὶ τοῦτο τῶν φρυγανικῶν) πολλὰς περιείληφεν ἰδέας· ἐν οἷς πρῶτον ὑπὲρ τοῦ κοινοῦ πᾶσι λεκτέον, ὑπὲρ νάρθηκός τε καὶ ναρθηκίας, εἴτε τὸ αὐτὸ γένος ἐστὶν ἀμφοῖν, διαφέρον δὲ κατὰ μέγεθος, εἴτε καὶ ἕτερον ὥσπερ τινές φασιν. ἡ μὲν οὖν φανερὰ φύσις ἀμφοῖν ὁμοία, πλὴν κατὰ τὸ μέγεθος. ὁ μὲν γὰρ νάρθηξ γίνεται μέγας σφόδρα. ἡ δὲ ναρθηκία μικρά. μονόκαυλα δ' ἄμφω, καὶ γονατώδη. ἀφ' ὧν τά τε φύλλα βλαστάνει, καὶ καυλοί τινες μικροὶ βλαστάνουσι παραλλὰξ τὰ φύλλα. λέγω δὲ παραλλὰξ ὅτι οὐκ ἐκ τοῦ αὐτοῦ μέρους τῶν γονάτων, ἀλλ' ἐναλλάξ. περιειληφότα δὲ τὸν καυλὸν ἐπὶ πολὺ καθάπερ τὰ τῶν καλάμων· πλὴν ἀπεκεκλιμένα ταῦτα μᾶλλον διὰ τὴν μαλακότητα καὶ τὸ μέγεθος· μέγα γὰρ τὸ φύλλον καὶ μαλακὸν καὶ πολυσχιδές, ὥστε εἶναι τριχῶδες· ἔχει δὲ μέγιστα τὰ κάτω πρὸς τὴν γῆν, καὶ ἀεὶ κατὰ λόγον. ἄνθος δὲ μηλινοειδές, ἀμαυρόκαρπον δὲ, παρόμοιον τῷ ἀνήθῳ· πλὴν μεῖζον· ἐξ ἄκρου δὲ σχίζεται· καὶ ἔχει τινὰς οὐ μεγάλους καυλούς· ἐνταῦθα δὲ τό τε ἄνθος καὶ ὁ καρπός. ἔχει δὲ καὶ ἄνθος καρπόν· καὶ ἐν τοῖς παρακαυλίζουσι δ' ὅλου καθάπερ τὸ ἄνηθον· ἐπετειόκαυλον δὲ καὶ ἡ βλάστησις τοῦ ἦρος, πρῶτον μὲν τῶν φύλλων, ἔπειτα τοῦ καυλοῦ καθάπερ τῶν ἄλλων· ῥίζαν δὲ ἔχει βαθεῖαν· ἔστι δὲ μονόρριζον· ὁ μὲν οὖν νάρθηξ τοιοῦτος· τῶν δὲ ἄλλων τὰ μὲν, ὁμοιότερον τούτῳ τὸν καυλὸν ἔχει· καθάπερ ὁ μανδραγόρας καὶ τὸ κώνειον, καὶ ὁ ἐλλέβορος, καὶ ὁ αἰθειλκό· τὰ δ' ἴδιον ἐκνυδρόκαυλα τυγχάνει· καθάπερ μάραθρον, μυό-

φῶνον· τὰ ὅμοια τούρις· ἴδιος δὲ ὁ καρπὸς τῷ μανδραγόρου, τῷ μέλας τε καὶ ξαγώδης· ἢ οἰνώδης εἶναι τῷ χυμῷ· μέγισται δὲ αἱ ἰδιαίταται φύσεις, ἥτε τοῦ σιλφίου, καὶ ἡ τοῦ παπύρου τοῦ ἐν αἰγύπτῳ· ναρθηκώδη γὰρ ἄμφω ταῦτ' ἐστίν· ὑπὲρ ὧν τοῦ μὲν παπύρου πρότερον εἴπομεν ἐν τοῖς ἐνύδροις· ὑπὲρ θατέρου δὲ νῦν λεκτέον. τὸ δὲ σίλφιον ἔχει ῥίζαν μὲν πολλὴν καὶ παχεῖαν, τὸν δὲ καυλὸν, ἡλίκον νάρθηξ· σχεδὸν δὲ καὶ τῷ πάχει παραπλήσιον· τὸ δὲ φύλλον ὃ καλοῦσι μάσπετον, ὅμοιον τῷ σελίνῳ· σπέρμα δ' ἔχει πλατὺ φυλλῶδες, οἷον τὸ λεγόμενον φύλλον· ἐπέτειόκαυλον δ' ἐστὶν, ὥσπερ ὁ νάρθηξ· ἅμα μὲν οὖν τῷ ἦρι τὸ μάσπετον τοῦτο ἀφίησιν, ὃ καθαίρει τὰ πρόβατα καὶ παχύνει σφόδρα· καὶ τὰ κρέα θαυμαστὰ ποιεῖ τῇ ἡδονῇ. μετὰ δὲ ταῦτα καυλὸν ἐσθίεσθαι πάντα τρόπον, ἑφθὸν καὶ ὀπτόν· καθαίρειν δὲ καὶ τοῦτό φασι τὸ σῶμα τετταράκοντα ἡμέραις· ὀπὸν δὲ διττὸν ἔχει· τὸν μὲν ἀπὸ τοῦ καυλοῦ, τὸν δὲ ἀπὸ τῆς ῥίζης· διὸ καλοῦσι τὸν μὲν καυλίαν, τὸν δὲ ῥιζίαν· ἡ δὲ ῥίζα τὸν φλοιὸν ἔχει μέλαινα· καὶ τοῦτον περιαιροῦσιν· ἔστι δὲ ὥσπερ μέτρα τῶν ῥιζοτομιῶν αὐτῆς· ἐξ ὧν ὁπόσον ἂν δοκῇ συμφέρειν ταμιευόμενοι πρὸς τὰς τομάς, καὶ τὸ ὑπάρχον τέμνουσιν. οὐκ ἔστι γὰρ οὔτε παρατέμνειν, οὔτε πλεῖον τῶν τεταγμένων· καὶ γὰρ διαφθείρεται καὶ σήπεται τὸ ἀργὸν ἐὰν χρονίζῃ· κατεργάζονται δὲ ἄγοντες εἰς τὸν πειραιᾶ τόνδε τὸν τρόπον· ὅταν βάλωσιν εἰς ἀγγεῖα ἢ ἄλευρα μίξωσι, σείουσι χρόνον συχνόν· ὅθεν καὶ τὸ χρῶμα λαμβάνει· καὶ ἐργασθὲν, ἄσηπτον ἤδη διαμένει· τὰ μὲν οὖν κατὰ τὴν ἐργασίαν καὶ τομὴν οὕτως ἔχει· τόπον δὲ πολὺν ἐπέχει τῆς λιβύης· πλείω γάρ φασιν ἢ τετρακισχιλίας· τὰ πλείονα δὲ γ' μυριάδας περὶ τὴν σύρτιν ἀπὸ τῶν εὐεσπερίδων· ἴδιον δὲ τὸ φύγειν τὴν ἐργαζομένην· καὶ δὴ συνεργαζομένης καὶ ἀεὶ συνημερουμένης ἐξαναχωρεῖν, ὡς οὐ δεομένην δηλονότι θεραπείας, ἀλλ' ὄντως ἀγρίου· φασὶ δὲ οἱ κυρηναῖοι φανῆ-

ναι τὸ

ναι τὸ σίλφιον ἔτεσι πρότερον ἢ αὐτοὺς τὴν πόλιν ᾤκησαι ἑπτά. οἰ-
κοῦσι δὲ μάλιστα περὶ τριακόσια, εἰς Σιμωνίδην ἄρχοντα ἀθήνη-
σιν. οἱ μὲν οὖν οὕτω λέγουσιν. οἱ δὲ τοῦ σιλφίου τὴν ῥίζαν φασὶ γίνε-
σθαι σπιθαμιαίαν ἢ μικρῷ μείζονα. ταύτην δ᾽ ἔχειν ἐπὶ τοῦ μέσου
κεφαλήν, ὃ καὶ μετεωρότατόν ἐστι, καὶ σχεδὸν ὑπὲρ γῆς, ἐξ ἧς δὴ φύ-
εσθαι, καλεῖσθαι δὲ γάλα. μετὰ ταῦτα δὲ τὸν καυλόν. ἐκ δὲ τούτου
μαγύδαριν, καὶ τὸ καλούμενον φύλλον. τοῦτο δ᾽ εἶναι σπέρμα. καὶ
ὅταν νότος λαμπρὸς πνεύσῃ μετὰ κύνα, διαρρίπτεσθαι, ἐξ ὧν φύε-
σθαι τὸ σίλφιον. τῷ αὐτῷ δὲ ἔτει τήν τε ῥίζαν γίνεσθαι καὶ τὸν καυ-
λόν. οὐδὲν δὲ τούτου ἴδιον. καὶ γὰρ τῶν ἄλλων. εἰ μὴ τοῦτο λέγουσιν
ὅτι εὐθὺς φύεται μετὰ τὴν ἔκλειψιν. καὶ τοῦτ᾽ ἴδιον καὶ διαφέρον τῶν
πρότερον. ὅτι φασὶ δεῖν ὀρύττειν ἐπέτειον. ἐὰν δὲ ἐαθῇ, φέρειν
πᾶν τὸ σπέρμα καὶ τὸν καυλόν. χείρω δὲ γίνεσθαι καὶ ταῦτα καὶ τὴν ῥί-
ζαν. ὀρυττομένας δέ, βελτίους γίνεσθαι διὰ τὸ μεταβάλλεσθαι τὴν
γῆν. ἐναντίον δὲ τοῦτο τῶν φυτῶν τῶν ἐργασίμων. ἐσθίεσθαι καὶ
τὰς ῥίζας προσφάτους κατατεμνομένας εἰς ὄξος. τὸ δὲ φύλ-
λον τῇ χροιᾷ χρυσοειδὲς εἶναι. ἐναντίον δὲ καὶ τὸ καθαίρεσθαι τὰ
πρόβατα τὸ φύλλον ἐσθίοντα. φασὶ γὰρ καὶ τοῦ ἦρος καὶ τοῦ χειμῶνος
εἰς ὄρος ἀφιέναι. νέμεσθαι δὲ τοῦτό τε καὶ ἕτερον ὅμοιον ἀβροτό-
νῳ. θερμαντικὰ δ᾽ ἄμφω δοκεῖ εἶναι. καὶ κάθαρσιν μὲν οὐ ποιεῖν.
ἀναξηραίνειν δὲ καὶ συμπέττειν. ἐὰν δέ τι προσοῦν ἢ κακῶς ἔχον εἰ-
σέλθῃ πρόβατον, ὑγιάζεσθαι ταχέως ἢ ἀποθνήσκειν. ὡς δ᾽ ἐπὶ τὸ πολὺ
σώζεσθαι μᾶλλον. ταῦτα μὲν, ὁποτέρως ἔχει, σκεπτέον. ἡ δὲ καλουμέ-
νη μαγύδαρις, ἑτέρα οὖσα τοῦ σιλφίου, μανότερόν τε καὶ ἧττον δρι- μαγύδαρις
μύ, καὶ τὸν ὀπὸν οὐκ ἔχει. διάδηλος δ᾽ ἐστὶ καὶ τῇ ὄψει καὶ τοῖς ἐμπύροις.
γίνεται δὲ περὶ Συρίαν, καὶ οὐκ ἐν Κυρήνῃ. φασὶ δὲ καὶ ἐν τῷ Παρνασῷ ὄρει
πολλήν. ἔνιοι δὲ σίλφιον τοῦτο καλοῦσιν. εἰ δὲ φύει τὴν φύσιν, ὥσ-
περ τὸ σίλφιον, σκεπτέον. ὡσαύτως δὲ καὶ εἴ τι ὅμοιον ἢ παραπλή-
σιον ἔχει, φύλλον τε περὶ καὶ καυλοῦ, καὶ ὅλως ἀφίησί τι δάκρυον.
τὴν μὲν οὖν ναρθηκώδη φύσιν ἐν τοῖς τοιούτοις θεωρητέον. τῶν δὲ

κανθικῆς, ἐπεὶ μὴ συνεγγίζει, ἐπειδὴ διῄρηται τὸ μὲν ἀκανθῶδες ὅλον, τὸ δὲ φυλλάκανθον, ὑπὲρ ἑκατέρου χωρὶς λεκτέον. καὶ πρῶτον δὲ περὶ τοῦ καὶ παρὰ τὴν ἄκανθαν ἔχοντος φύλλον. ὥσπερ ὅ τε φλεὼς καὶ ὁ τρίβολος. καὶ ἡ κάππαρις. ἴδιον ἔχει τὸ μὴ μόνον τὴν ἐκ τῶν καυλῶν ἄκανθαν ἔχειν, ἀλλὰ καὶ τὸ φύλλον ἐπακανθίζον. τῶν δὲ διῃρημένων εἰδῶν, πλεῖστον μὲν ἐστὶ τὸ φυλλάκανθον. ἐλάχιστον δὲ ὡς εἰπεῖν τὸ ἀκανθῶδες ὅλως. βραχὺ γάρ τι πάμπαν ἐστὶν, ὥσπερ ἐλέχθη. καὶ σχεδὸν οὐ ῥᾴδιον λαβεῖν παρὰ τὴν ἀσπάραγον καὶ τὸν σκορπίον. ἀμφότερα δὲ ταῦτα ἀνθεῖ μετὰ ἰσημερίαν φθινοπωρινήν. ὁ μὲν γὰρ σκορπίος ἐν τῷ σαρκώδει τῷ ἐπανθοῦντι τὸ ὑπὸ τὸ ἄκρα τοῦ φύλλου ἀκάνθης ἔχον τὸ ἄνθος, ἐξ ἀρχῆς μὲν λευκὸν, ὕστερον δὲ ἐπιπορφυρίζον. ὁ δὲ ἀσφάραγος ἐκφύων παρὰ τὰς ἀκάνθας κορυνῶδες μικρόν. ἐκ τούτου δέ ἐστι τὸ ἄνθος μικρόν. ὁ δὲ σκορπίος μονόρριζον ἢ βραχύρριζον καὶ βαθύρριζον. ὁ δὲ ἀσφάραγος, βαθύρριζόν τε σφόδρα μάλα, καὶ πολύρριζον, πυκναῖς ταῖς ῥίζαις ὥστε τὸ ἄνω συνεχὲς εἶναι αὐτῆς ἀφ᾽ ἧς καὶ αἱ βλαστήσεις αὐτῶν τῶν καυλῶν. ἀναβλαστάνει δὲ ὁ καυλὸς ἐκ τῆς ἀσφαραγίας τοῦ ἦρος καὶ ἐδώδιμός ἐστιν. εἶθ᾽ οὕτως ἀποτραχύνεται καὶ ἐξανθεῖται προϊούσης τῆς ὥρας. ἡ δὲ ἄνθησις οὐκ ἐκ τούτου μόνον, ἀλλὰ καὶ ἐκ τῶν πρότερον. οὐ γὰρ ἐπέτειος καυλός ἐστιν. τὰ μὲν οὖν ὅλως ἀκανθώδη, τοιαύτην τινὰ ἔχει φύσιν. τῶν δὲ φυλλακάνθων τὸ πλεῖστον γένος ὡς εἰπεῖν ἀκανθῶδες τυγχάνει. λέγω δὲ τὸ ἀκανθῶδες, ὅτι τὸ κύημα καὶ ἐν ᾧ τὸ ἄνθος ἢ καὶ ὁ καρπὸς, ἄκανος ἢ ἀκανῶδες. πάντων ἐστί. διαφορὰν δὲ ἔχει ἐν ἑαυτῷ καὶ μεγέθους καὶ σχήματι καὶ χρώματι καὶ πλήθει καὶ ὀλιγότητι τῶν ἀκανθῶν καὶ τῶν ἄλλων. ἔξω γὰρ ὀλίγων πάνυ, καθάπερ τοῦ στρουθίου τε καὶ τοῦ σόγκου καὶ τινῶν ἑτέρων, τὰ λοιπὰ πάντα ὡς εἰπεῖν τοιαύτην ἔχει φύσιν. ἐπεὶ καὶ ὁ κνῆκος τὴν κεφαλὴν ἀκανθώδη ἔχει. τὸ γὰρ σπερματικὸν ἀγχόμοιον. ἀλλὰ τά γε αὐτὰ πάντα. οἷον ἄκορνα. λευκάκανθα. χαλκεῖος. κνῆκος. πολυάκανθος. ἀτρακτυλίς. ὀνόπυξος. ἰξίνη. χαμαιλέων. πλὴν γὰρ οὐ φυλ

λευκάκανθος· σκόλυμος· ἡ λυλεμωνία, φυλλάκανθα· καὶ τὰ ἄλλα πλείω γὰρ ὅσα· διαφέρουσι δ' ἀλλήλων πρὸς τοῖς εἰρημένοις, τῷ τὰ μὲν, πολύκαυλα εἶναι· τὰ δ' ἀπροφύσεις ἔχειν ὥσπερ ὁ κνῆκος· ἔνια δὲ ἄνωθεν ἔχειν ἐξ ἄκρου, καθάπερ τὸ ξύτρος· καὶ τὰ μὲν εὐθὺς τοῖς πρώτοις ὕδασι τὸν βλαστάνειν· τὰ δ' ὕστερον· ἔνια δὲ καὶ τοῦ θέρους· ὥσπερ ἡ τετράλιξ ὑπό τινων καλουμένη, καὶ ἡ ἰξίνη· ἔτι δὲ καὶ τῶν ἀνθῶν ὁμοίως· ὀψανθὴς γὰρ ὁ σκόλυμος ἐπὶ πολὺν χρόνον· διαφοραὶ δὲ τῶν μὲν ἀκανῶν οὐκ εἰσί· τῶν κνήκων δ' εἰσίν· ἡ μὲν γὰρ ἀγρία· ἡ δ' ἥμερος· τῆς δ' ἀγρίας, δύο εἴδη· τὸ μὲν, προσεμφερὲς σφόδρα τῷ ἡμέρῳ· πλὴν εὐθυκαυλότερον· διὸ καὶ ἠλακατίοις ἔνιαι τῶν ἀρχαίων ἐχρῶντο γυναικῶν· καρπὸν δ' ἔχει μέλανα καὶ μέγαν καὶ πικρόν· ἡ δ' ἑτέρα δασεῖα ἔτι τοὺς καυλοὺς ἔχει σογκώδεις· ὥστε ἔοικεν τινὰ ἐπίγειόκαυλος γίνεσθαι· διὰ γὰρ μαλακότητα τῶν φύλλων κατακλίνεσθαι πρὸς τὰς ἀρούρας· καρπὸν δ' ἔχει πικρὸν πώγωνος σπερματώδεις πάππους· πλὴν μείζοσι καὶ πυκνοτέραις ἀγρίαι· ἴδιον δ' ἔχει πρὸς τὰ ἄλλα ἄγρια· τὰ μὲν γὰρ σκληρότερα καὶ ἀκανθωδέστερα τοῦ ἡμέρου· αὕτη δὲ μαλακωτέρα ἔτι λειοτέρα· ἡ δ' ἄ- *ἄκαρνα*
καρνα προσεμφερὴς ὡς ἁπλῶς εἰπεῖν κατὰ τὴν πρόσοψιν τῇ κνήκῳ τῇ ἡμέρᾳ· χρῶμα δὲ ἐπίξανθον ἔχει καὶ λιπαρόν· ἀτρακτυλὶς δέ *ἀτρακτυλὶς*
τις καλεῖται ἔτι λευκοτέρα τούτου· ἴδιον δ' ἔχει τὸ φύλλον, ὅτι ἀφαιρούμενον τῇ σαρκὶ πρότερον φοινικοῦν, αἱματώδη ποιεῖ τὸν χυλόν· διὸ καὶ φόνον *φόνος*
ἔνιοι καλοῦσι τὴν ἄκανθαν ταύτην· ἔχει δὲ τὴν ὀσμὴν δυνηλὴν καὶ φονώδη· ὀψὲ δὲ καὶ τελειοῖ τὸν καρπὸν πρὸς τὸ μετόπωρον· τὸ δ' ὅλον ὡς ἁπλῶς εἰπεῖν, ἅπασα ἡ ἀκανθικὴ φύσις, ἐπίκαρπος· ἅπαντα δὲ ταῦτα φύεται καὶ ἀπὸ τοῦ σπέρματος καὶ ἀπὸ τῆς ῥίζης· ὥστε βραχύν τινα γίνεσθαι τὸν ἀνὰ μέσον χρόνον τῆς ἐκ φύσεώς τε καὶ τῆς τοῦ σπέρματος τελειώσεως· τοῦ σκολύμου δὲ οὐχ ὅ- *σκόλυμος*
τι τοῦτο μόνον ἴδιον, ὅτι τὴν ῥίζαν ἐδώδιμον ἔχει καὶ ἑφθὴν καὶ ὠμήν· ἀλλὰ καὶ ὅτι τὰς   ἀεὶ ζῆν ὅταν ἀνθῇ· καὶ ὅτι σκληρυνομένη ἀφίησιν ὀπόν· ἴδιον δὲ ἔτι τὸ περὶ ἀνθήσεως· ἐ

πεὶ περὶ τὸ ὀπός· σαρκώδης δὲ καὶ ἐδώδιμος ἡ ἀπόγυμνος· ἡ δὲ κύνη-
σις οὐκ ἀκανθώδης, ἀλλὰ προμήκης αὐτοῦ· ἢ τοῦτ' ἴδιον μόνον
ἔχει τῶν φυλλακάνθων ἀντεστραμμένη, ἢ ὁ χαμαιλέων. ὁ μὲν γάρ, ἅ-
τε φυλλάκανθος ὤν, κακανίζει· γηράσκων δὲ τὸ ἄνθος ἐκπαππου-
ται, καθάπερ τὸ τῆς δάφνης ἢ τὸ τῆς μυρρίνης· καὶ ὅσα παρα-
πλήσια τούτοις παρακολουθεῖν μέχρι τοῦ θέρους. τὸ μὲν κυ-
οῦν. τὸ δὲ, ἀνθοῦν. τὸ δὲ, σπέρματος μὲν μικρὰν ἰκμάδα καὶ μέτριον
ἔχειν, ξηραινόμενον δὲ τὸ φύλλον διαχεῖται καὶ οὐκέτι κεντεῖ. ἡ ἰξί-
νη δὲ φύεται μὲν οὐ πολλαχοῦ· ῥιζόφυλλον δέ ἐστιν· ἀπὸ δὲ τῆς ῥίζης
μέσης ὁ σπερματικὸς ἀκανὸς ἐπιπέφυκεν, ὥσπερ μῆλον ἐν μά-
λα ἐπικεκρυμμένη ἐπὶ τῶν φύλλων. οὗτος δὲ ἐπὶ τοῦ ἄκρου φέρει τὸ δά-
κρυ ἡδύοσμον· καὶ τοῦτό ἐστιν ἡ ἀκάνθη καὶ ἡ μαστίχη· ταῦτα μὲν οὖν καὶ
τὰ τοιαῦτα πανταχοῦ σχεδόν ἐστιν. ἡ δὲ κάκτος καλουμένη περὶ Σικε-
λίαν μόνον, ἐν τῇ Ἑλλάδι δὲ οὐκ ἔστιν· ἴδιον δὲ παρὰ τὰ ἄλλα τὸ φυτόν·
ἀφίησι γὰρ εὐθὺς ἀπὸ τῆς ῥίζης καυλοὺς ἐπιγείους· τὸ δὲ φύλλον ἔχει καὶ
ἀκανθῶδες· καλοῦσι δὲ τοὺς καυλούς· ἐδώδιμοι δέ εἰσι περιλε-
πόμενοι μικρὸν ἐπίπικροι· καὶ θησαυρίζουσιν αὐτοὺς ἐν ἅλμῃ. ἕτε-
ρον δὲ καυλὸν ὀρθὸν ἀφίησιν, ὃν καλοῦσι πτέρνικα. γίνεται δὲ καὶ οὗτος
ἐδώδιμος, πλὴν ἀθησαύριστος. τὸ δὲ περικάρπιον ἐν ᾧ τὸ σπέρ-
μα, τὴν μὲν μορφὴν ἀκανθῶδες· ἀφαιρεθέντων δὲ τῶν παππωδῶν
σπερματίων, ἐδώδιμον καὶ τοῦτο καὶ ἐμφερὲς τῷ τοῦ φοίνικος
ἐγκεφάλῳ· καλοῦσι δὲ αὐτὸ σκαλίαν. τὰ μὲν οὖν φυλλάκανθα
σκεπτέον ἐν τοιαύταις διαφοραῖς. τὰ δὲ καὶ παρὰ τὴν ἄκανθαν
ἔχοντα φύλλον, οἷον τὰ τοιαῦτα, φλεώς· ὀνωνίς· παντάδυσα·
τρίβολος· ἱππόφυον· μυάκανθός τε σφόδρα καὶ τὸ φύλλον ἔ-
χει σαρκῶδες· πολυσχιδὲς δὲ καὶ πολύρριζον· οὐ μὴν κατὰ βάθος
γε τὰς ῥίζας ἔχον. βλαστάνει δὲ ἅμα πλειάδι καὶ τοῦ πρώτου ἀρότου· καὶ
ἀφίησι τὸ φύλλον· οὐ γάρ ἐστιν ἐπέτειον, ἀλλὰ χρονιώτερον.
τὸ δὲ τῆς καππάρεως ἴδιον ὥσπερ ἐλέχθη παρὰ ταῦτα. καὶ γὰρ
τὸ φύλλον ἐπακανθίζον ἔχει· καὶ τὸν καυλὸν οὐχ ὥσπερ ὄφεως

καὶ

Ἡ ἱππόφεως ἀνάκανθα τοῖς φύλλοις· μονόρριζον δὲ καὶ ἐπί-
γειον καὶ χαμαίκαυλον. βλαστάνει δὲ τὰ ἄνθη τοῦ θέρους καὶ δια-
μένει τὸ φύλλον χλωρὸν ἄχρι πλειάδος. χαίρει δὲ ὑφάμμοις καὶ
λεπτογείοις χωρίοις. λέγεται δὲ ὡς ἐν τοῖς ἐργασίμοις οὐκ ἐθέλει φύε-
σθαι. καίτοι ταῦτα περὶ τὰ ἄστη καὶ ἐν εὐηλίοις τόποις φυομένη, ἀλλ' οὐχ ὥσ-
περ σέλινον ἐν ὀργμοῖς. τοῦτο μὲν οὐ πάντως ἀληθές. ὁ δὲ τρίβολος ἴ-
διον ἔχει, διότι περικαρπιάκανθός ἐστι. δύο δ' αὐτοῦ γένη. τὸ μὲν
γὰρ ἔχει φύλλον ἐρεβινθῶδες, ἕτερον δὲ φυλλάκανθος. πρόσγειοι δὲ ἄμ-
φω, καὶ πολλαχῇ σχεδὸν σχιζόμενα. ὀψιβλαστὲς δὲ μᾶλλον ὁ φυλλάκανθος
περιφύεται ταῖς αὐλαῖς. τὸ δὲ σπέρμα τοῦ μὲν πρωΐου, σησαμῶδες. τοῦ δὲ ὀ-
ψίου, στρογγύλον ἐπίμελαν ἐν λοβῷ. καὶ τὰ μὲν ὥσπερ ἀνάφυλλα τὰ
ἀκανθικὰ ἔχοντα σχεδὸν ἐν τούτοις. ἡ δὲ ἀδωνίς ἐστι πορθάκανθον. ἐ-
πέτειον δὲ φύλλον ἔχει πηγανῶδες. περιπεφυκὸς παρ' ὅλον τὸν
καυλόν. ὥσπερ στεφάνου τὴν ὅλην εἶναι μορφὴν διαλαμβανομέ-
νην ὑπὸ τῶν φύλλων. κολλοβοανθὴς δὲ ἢ ἐλλοβοανθὴς ἀδιαφράκτου.
φύεται δὲ ἐν τῇ ὀλίγρᾳ τὰ ἰανώδη, καὶ μάλιστα ἐν τῇ σπορίμῳ καὶ
γεωργουμένῃ. διὸ καὶ πολέμιον τοῖς γεωργοῖς. τὰ ἔτι δυσώλεθρον.
ὅταν γὰρ λάβῃ χώρας βάθος, ὠθεῖ τὰ κάτω εὐθύς. καὶ καθ' ἑκάστην ἑ-
τέρας ἀποφύσεις ἀφιεμένη εἰς τὰ πλάγια, πάλιν εἰς τὸ ἕτερον
ὠθεῖται κάτω. στερεωθεῖσα μὲν οὕτως ὅλη. τοῦτο δὲ βραχείας γίνεται
τῆς γῆς. καὶ ἀπόλλυται ῥᾷον. ἐὰν δὲ μικρὸν ἀποληφθῇ, ἀπὸ τού-
του πάλιν βλαστάνει. ἄρχεται δὲ τῆς βλαστήσεως θέρους. τελει-
οῦται δὲ μετοπώρου. τὰ μὲν οὖν ἄγρια τῶν φρυγανικῶν ἐκ τούτων
θεωρείσθω. τὰ δὲ ἥμερα βραχεῖαν τινὰ ἔχει θεωρίαν, ἅπερ ἐν τοῖς
στεφανωτικοῖς ἐστι. τὰ δὲ καθόλου πειρατέον περὶ στεφανω-
μάτων εἰπεῖν, ὅπως ἅπαν περιληφθῇ τὸ γένος. ἡ γὰρ στεφανω-
ματικὴ φύσις ἰδέαν τινὰ ἔχει τάξιν, ἐπιμιγνυμένη δέ, τὰ μὲν
τοῖς φρυγανικοῖς, τὰ δὲ, τοῖς ποώδεσι. διὰ καὶ εἶναι συμπερι-
ληπτέον ἐπιμιμνησκομένους ὡς ἂν ᾖ ὁ καιρός, ἀρξαμένους πρῶ-
τον ἀπὸ τῶν φρυγανικῶν. δεῖ δὲ ἡ τούτων διαίρεσις ἢ κα-

τὰ τὴν χρείαν. τῶν μὲν γὰρ τὸ ἄνθος χρήσιμον μόνον. καὶ τού-
των τὸ μὲν, εὔοσμον. ὥσπερ ἴον. τὸ δὲ, ἄνοσμον. ὥσπερ διὸς ἄν-
θος. φλόξ. τῶν δὲ, καὶ οἱ κλῶνες. καὶ τὰ φύλλα. καὶ ὅλως ἡ πᾶσα
φύσις εὔοσμος. οἷον ἑρπύλλου. ἐλενίου. σισυμβρίου τῶν ἀγρίων. ἀμ-
φω δὲ φρυγανικά. κἀκείνων τῶν ἀνθινῶν πολλὰ ἡ φύσις φρυγα-
νώδης, ἡ μὲν ἐπέτειος ὅσα μόνον. ἡ δὲ, πολυχρονιωτέρα. πλὴν τῆς
ἰωνίας τῆς μελαίνης. αὕτη γὰρ ἀκλόνητος. ἀλλὰ προσειζόφυλλος
καὶ ἀείφυλλος. ὥς δέ τινές φασι καὶ διωαμένη διόλου φέρειν τὸ ἄν-
θος, ἐὰν τρόπῳ τινὶ θεραπεύηται. τοῦτο μὲν ἴδιον ἂν ἔχοι. τῶν δὲ ἀγρίων
μᾶλλον. τῶν πάντων αἱ μὲν ὅλαι μορφαὶ σχεδὸν πᾶσαι φανεραί.
εἰ δέ τινας ἄλλας ἰδιότητας ἔχουσι, ταύτας λεκτέον. ὅτι τὰ μὲν,
ἁπλᾶ δοκεῖ τοῖς εἴδεσιν εἶναι, τὰ δὲ, ἔχειν διαφοράς. ἁπλᾶ μὲν, οἷ-
ον τὰ ξυλώδη. καθάπερ ἕρπυλλος. σισύμβριον. ἐλένιον. πλὴν εἰ
τὰ μὲν, ἄγρια. τὰ δὲ ἥμερα καὶ εὔοσμα. τὰ δὲ, ἀοσμότερα εἶναι. τού-
των δὲ καὶ αἱ θεραπεῖαι καὶ αἱ χῶραι διάφοροι. καὶ ἀέρες. ἔνιοι δὲ τῶν
ἀνθῶν οἷον, τὸ μελάνιον. οὐδὲ γὰρ δοκεῖ τοῦτο διαφοράν. ὥσπερ τὸ λευ-
κόν. ἐμφανὴς γὰρ ἡ τούτων χροιὰ διαλλάττουσα. καὶ ἔτι δὴ μᾶλλον ἡ
τῶν κρίνων. εἴπερ δὴ καθάπερ φασὶν ἔνια καὶ πορφυρᾶ ἐστί. τῶν δὲ
ῥόδων πολλαὶ διαφοραί. πλήθει τε φύλλων, λειότητι. καὶ τραχύ-
τητι καὶ λειότητι. καὶ χροιᾷ. καὶ εὐοσμίᾳ. τὰ μὲν γὰρ πλεῖστα, πεντάφυλλα.
τὰ δὲ δωδεκάφυλλα. καὶ εἰκοσάφυλλα. τὰ δέ τι πολλῷ πλεῖον ὑ-
περαίροντα τούτων. ἔνια γὰρ εἶναί φασιν, ἃ καὶ καλοῦσιν ἑκατον-
τάφυλλα. πλεῖστα δὲ τοιαῦτα ἐστὶ περὶ Φιλίππους. οὗτοι γὰρ
λαμβάνοντες ἐκ τοῦ παγγαίου, φυτεύουσιν. ἐκεῖ γὰρ γίνεται πολ-
λά. μικρὰ δὲ σφόδρα τὰ ἐντός. ἡ γὰρ ἔκφυσις αὐτῶν οὕτως, ὥσ-
τε εἶναι τὰ μὲν, ἐκτός. τὰ δὲ ἐντός. οὐκ εὔοσμα δὲ οὐδὲ μεγάλα τοῖς
μεγέθεσιν. ἐν δὲ τοῖς μεγάλοις εὐώδη μᾶλλον, ὧν τραχὺ τὸ κά-
τω. τὸ δὲ ὅλον ὥσπερ ἐλέχθη καὶ ἡ εὐοσμία καὶ ἡ εὐχροια παρὰ τοὺς
τόπους ἐστίν. ἐπεὶ καὶ τὰ ἐν γῇ τοιαῦτα γινόμενα ποιεῖ τινα πα-

ραλλαγὴν εὐοσμίας

ρα ἄλλα γ᾽ ἢν εὐοσμίαις ἢ ἀοσμίας. εὐοσμότατα δὲ τὰ ἐν Κυρήνῃ.
διὸ καὶ τὸ μύρον ἥδιστον. ἁπλῶς δὲ καὶ τῶν ἴων καὶ τῶν ἄλλων ἀν-
θῶν ἄκρατοι. μάλιστα δ᾽ ἐκείνου αἱ ὀσμαὶ διαφέρουσι δὴ τοῦ
κρόκου. πλεῖστον γὰρ οὗτος δοκεῖ παραλλάττειν. φύεται μὲν οὖν
ἡ ῥοδωνία καὶ ἐκ τοῦ σπέρματος. ἔχει δ᾽ ὑπὸ τὸ ἄνθος ἐν τῷ μή-
λῳ κνηκῶδες ἢ ἀνθῶδες, ἔχον δέ τινα χνοῦν, ὥστε ἐγγὺς εἶναι τῶν
πρώτων σπερμάτων. οὐ μὴν ἀλλὰ διὰ τὸ βραδέως παραγίνε-
σθαι κατακόπτοντες, ὡς ἐλέχθη τὸν καυλὸν φυτεύουσιν. ἐπικαιο-
μένη δὲ καὶ ἐπιτεμνομένη, βέλτιον φέρει τὸ ἄνθος. ἐωμένη γὰρ
ἐξαύξεται καὶ ἀπολοχμοῦται. δεῖ δὲ καὶ καταφυτεύειν πολλάκις
καὶ γὰρ οὕτω φασὶ κάλλιον γίνεσθαι τὸ ῥόδον. αἱ δ᾽ ἄγριαι τρα-
χύτεραι καὶ τοῖς ῥάβδοις καὶ τοῖς φύλλοις. ἔτι δὲ τὸ ἄνθος
ἀχρούστερον καὶ ἀοσμότερον ἔχουσι καὶ ἔλαττον. τὸ δ᾽ ἴον τὸ μέ-
λαν τοῦ λευκοῦ διαφέρει, κατά τε ἄλλα καὶ κατὰ τὴν τὴν ἰ-
ωνίαν. ὅτι πλατύφυλλος καὶ ἐγγειόφυλλος, καὶ σαρκόφυλλός
ἐστι. πολλὴν ἔχουσα ῥίζαν. τὰ δὲ κρίνα τῇ μὲν χροιᾷ τὴν εἰρη-
μένην ἔχει διαφοράν. μονόκαυλα δ᾽ ἐστὶν ὡς ἐπίπαν. δικαυλεῖ
δ᾽ σπανίως. τάχα δ᾽ τοῦ τῆς χώρας καὶ ἀέρος διαφορά. καθ᾽ ἕκαστον
δὲ καυλόν, ὁτὲ μὲν ἓν κρίνον, ὁτὲ δὲ πλείω γίνεται. βλαστάνει
γὰρ τὸ ἄκρον. σπανιώτερα δὲ ταῦτα. ῥίζαν δ᾽ ἔχει πολλὴν σαρ-
κώδη καὶ στρογγύλην. ὁ δὲ καρπὸς ἀφαιρούμενος ἐκβλαστάνει καὶ
ἀποδίδωσι τὸ κρίνον, πλὴν ἔλαττον. ποιεῖ δέ τινα ἢ δακρυώδη
συῤῥογήν. ἣν καὶ φυτεύουσιν ὥσπερ εἴπομεν. ὁ δὲ νάρκισσος ἢ
τὸ λείριον, οἱ μὲν γὰρ τοῦτο, οἱ δ᾽ ἐκεῖνο καλοῦσι, τὸ μὲν ἐπὶ
τῇ γῇ φύλλον ἀσφοδελῶδες ἔχει, πλατύτερον δὲ πολύ, καθά-
περ ἡ κρινωνία. τὸν δὲ καυλὸν ἄφυλλον μέν, ποώδη δέ, καὶ ἐξ
ἄκρου τὸ ἄνθος. καὶ ἐν ὑμένι τινὶ καθάπερ ἐν ἀγγείῳ μέσαν
αὖ μάλα καὶ μέλανα τῇ χροιᾷ, σχήματι δὲ προμήκη. οὗτος
δ᾽ ἐκπίπτων ποιεῖ βλάστησιν αὐτόματον. οὐ μὴν ἀλλὰ καὶ συλλέγοντες
ἐπιτιθέασι. καὶ τὴν ῥίζαν φυτεύουσι. ἔχει ῥίζαν σαρκώδη στρογγύλην με-

πελλόψιον δὲ σφόδρα· μετὰ τὸν ἀρκτοῦρον ἡ ἄνθησις· καὶ περὶ ἰση-
μερίαν. ὁ δὲ καρπός, πώδης μὲν τῇ φύσει καθάπερ καὶ ταῦτα.
πλὴν φύλλῳ στενῷ· σχεδὸν δὲ ὥσπερ περιχόφυλλόν ἐστιν. ὀψιανθὲς
δὲ σφόδρα καὶ ὀψιβλαστές. ἢ πρωϊανθές, ὁποτέρως τις λαμβάνει
τὴν ὥραν. πλειάδος δὲ ἀνθεῖ τὰς ὀλίγας ἡμέρας. εὐθὺς δὲ ἅμα τῷ φύλ-
λῳ καὶ ἄνθος ὠθεῖ. δοκεῖ δὲ καὶ πρότερον. ῥίζα δὲ πολλὴ καὶ σαρκώ-
δης καὶ τὸ ὅλον εὔζωον. φιλεῖ δὲ καὶ πατεῖσθαι· καὶ γίνεται καλλίω
καταξιβομένης κάτω τῆς ῥίζης. διὸ καὶ παρὰ τὰς ὁδοὺς καὶ
ἐν τοῖς κροτητοῖς, κάλλιστος. ἡ δὲ φυτεία ἀπὸ ῥίζης. ταῦτα μὲν οὖν
οὕτω γίνεται. τὰ δὲ ἄλλα ἄνθη τὰ προειρημένα πάντα σπείρε-
ται, οἷον, ἰωνία. διὸς ἄνθος. ἴφυον. φλόξ. ἡμεροκαλλές. καὶ γὰρ
αὗται καὶ αἱ ῥίζαι ξυλώδεις. σπείρεται δὲ καὶ ἡ οἰνάνθη. καὶ ἔστι καὶ τοῦ-
το ἀνθῶδες. τὰ μὲν οὖν ἀκανθικὰ σχεδὸν ἐν τούτοις καὶ τοῖς ὁ-
μοίοις ληπτέον. τὰ δ' ἕτερα, πάντα μὲν ἀνθεῖ καὶ σπερμοφορεῖ·
δοκεῖ δὲ οὐ πάντα, διὰ τὸ μὴ φανερὸν εἶναι τινῶν τὸν καρπόν.
ἐπεὶ καὶ τὸ ἄνθος ἐνίων, ἀμαυρόν. ἀλλὰ δὴ βραδέως καὶ χαλεπω-
τέρως παραγίνεσθαι τῇ φυτείᾳ. χρῶνται δὲ μᾶλλον ὥσπερ ἐ-
λέχθη καὶ κατ' ἀρχάς. καίτοι διατείνονταί τινες ὡς οὐκ ἐχόν-
των καρπόν. αὐτοὶ γὰρ ξηράναι πολλάκις καὶ ἀποτρίψαι καὶ
σπεῖραι οὐδέποτε βλαστεῖν, οὔτε ἕρπυλλον· οὔτε ἑλένιον· οὔτε
σισύμβριον· οὔτε μίνθην (πεπειρᾶσθαι γὰρ καὶ ταύτης. ἀλλ' ὅμως ἐ-
κεῖνο ἀληθέστερον)· οἵ τε πεπειρᾶσθαι φάσκοντες καὶ τούτων εἰσίν.
ἥ τε τῶν ἀγρίων φύσις ἐπιμαρτυρεῖ· καὶ δὲ ἕρπυλλός ἐστιν ἄγριος·
ὃν κομίζοντες ἐκ τῶν ὀρῶν φυτεύουσι, καὶ ἐν Σικυῶνι καὶ Ἀθήνη-
σιν ἐκ τοῦ ὑμηττοῦ. παρ' ἄλλοις δὲ ὅλως ὄρη πλήρη τούτου· κα-
θάπερ ἐν τῇ Θρᾴκῃ. καὶ σισύμβριον δὲ καὶ τἄλλα δριμύτερα
ἔχοντα τὴν ὀσμήν. ἕρπυλλος δὲ ἐνίοις καὶ παντελῶς θυμώδης.
ἄδηλον ὅτι πάντα τὴν γένεσιν λαμβάνει. ἀβρότονον δὲ μᾶλλον ἀπὸ σπέρ-
ματος βλαστάνει ἢ ἀπὸ ῥίζης καὶ παρασπάδος. χαλεπῶς δὲ
καὶ ἀπὸ σπέρματος προμιγνύμενον ἐν ὀστράκῳ· ὥσπερ οἱ Ἀδώνιδος κῆ-

ρὶ τοῦ θέρους. φύεται γὰρ ὅτε σφόδρα καὶ ὅλως ἐπίκηρον. ὅταν καὶ ὁ ἥλιος σφόδρα λάμπει. ἐμβιῶσαν δὲ καὶ αὐξηθὲν, μέγα καὶ ἰσχυρὸν καὶ δενδρῶδες ὥσπερ τὸ πήγανον. πλὴν ξυλωδέστερον πολὺ γὰρ καὶ ξηρότερον καὶ αὐχμωδέστερον. ὁ δὲ ἀμάρακος, ἀμφοτέρως φύεται καὶ ἀπὸ παρασπάδος, καὶ ἀπὸ σπέρματος. πολύσπερμον δὲ καὶ τὸ σπέρμα εὔοσμον. ὀσμὴν μαλακωτέρα. δύναται δὲ καὶ μεταφύεσθαι. πολύσπερμον δὲ καὶ τὸ ἀβρότονον καὶ οὐκ εὔοσμον. τοῦτο δὲ ῥίζας μὲν ἔχει ὀρθὰς καὶ κατὰ βάθους. ἔστι γὰρ ὥσπερ μονόρριζον τῇ παχείᾳ. τὰς δὲ ἄλλας ἀπ᾽ αὐτῆς. ὁ δὲ ἀμάρακος, καὶ ὁ ἕρπυλλος. καὶ τὸ σισύμβριον, καὶ τὸ ἑλένιον, ὅλως πολλὰς καὶ πολυσχιδεῖς καὶ ταρρώδεις. ξυλώδεις δὲ πᾶσαι. πολὺ δὲ μᾶλλον ἡ τοῦ ἀβροτόνου, καὶ διὰ τὸ μέγεθος, καὶ τῇ ξηρότητι. τοῦ δὲ ἑρπύλλου, ἴδιος ἡ αὔξησις ἡ τῶν βλαστῶν. δύναται γὰρ ἐφ᾽ ὅσον οὖν προϊέναι κατὰ μῆκος, χάρακα λαβὼν, ἢ πρὸς αἱμασιὰν φυτευθεὶς, ἢ κάτω καθιέμενος. ἀνεξέταστος δὲ εἰς φρέαρ. εἴδη δὲ τοῦ μὲν ἡμέρου λαβεῖν οὐκ ἔστι καθάπερ ἐλέχθη. τοῦ δὲ ἀγρίου φασὶν εἶναι. τοῦτο γὰρ ἐν τοῖς ὄρεσι, τὸ μὲν θυμβρῶδες τινὰ καὶ δριμύτατον. τὸ δὲ εὔοσμον εἶναι καὶ μαλακώτερον. ὥρα δὲ τῆς φυτείας πλεῖστον μετόπωρον. ἐν ᾧ σπεύδουσιν ὡς πρῶτα φυτεύειν. ὁμοίως ἀλλεύνια καὶ τοῦ ἦρος φυτεύουσιν ἅπαντα, φιλοίκια καὶ φίλυδρα, καὶ φιλόκοπρα μάλιστα. αὐχμὸν δὲ δέχεται καὶ ὅλως ὀλιγυδρότατος ὁ ἕρπυλλος. κόπρῳ δὲ χαίρει. μάλιστα δὲ καὶ τῇ τῶν λοφούρων. φασὶ δὲ καὶ μεταφυτεύειν δεῖν πολλάκις. καλλίω γὰρ. τὸ δὲ σισύμβριον, ὥσπερ ἐλέχθη καὶ ὀξύτατα μὴ καταφυτευόμενον. τῶν δὲ ἀνθῶν τὸ μὲν, πρῶτον ἐκφαίνεται τὸ λευκόϊον. ὅπου μὲν ὁ ἀὴρ μαλακώτερος, εὐθὺς τοῦ χειμῶνος. ὅπου δὲ σκληρότερος, ὕστερον. ἐνιαχοῦ τοῦ ἦρος. ἅμα δὲ τῷ ἴῳ ἢ μικρὸν ὕστερον καὶ τὸ φλόγινον καλούμενον τὸ ἄγριον. ταῦτα γὰρ ὧν οἱ στεφανηπλόκοι χρῶνται, πολὺ ἐκτρέχει τῶν ἄλλων. μετὰ δὲ ταῦτα ὁ νάρκισσος. καὶ τὸ λείριον. καὶ τὸ τοῦ βολβοῦ κώδιον. ἐμπλέ-

κοῦσι γὰρ ἔνιοι καὶ τοῦτο εἰς τοὺς στεφάνους· ἔτι δὲ τούτοις ἡ οἰ
νάνθη, καὶ τὸ μελάνιον καὶ τῶν ἀγρίων ὅτε ἑλειόχρυσος, καὶ τῆς ἀ
νεμώνης ἡ λειμωνία καλουμένη, καὶ τὸ ξίφιον, καὶ ὑάκινθος· καὶ
σχεδὸν ὅσοις ἄλλοις χρῶνται τῶν ὀρείων· τὸ δὲ ῥόδον ὑστερεῖ τούτων·
καὶ τελευταῖον μὲν φαίνεται· πρῶτον δὲ ἀπολείπει τῶν ἐαρινῶν·
ὀλιγοχρόνιος γὰρ ἡ ἄνθησις· ὀλιγοχρόνια γὰρ καὶ τῶν ἀγρίων τὰ λοι
πά, πλὴν τῆς ὑακίνθου καὶ τῆς ἀγρίας καὶ τῆς σπαρτῆς· αὕτη δὲ δι
αμένει· καὶ τὸ λευκόϊον· καὶ ἔτι μᾶλλον τὸ φλόγινον· τὸ δὲ δὴ μελά-
νιον ὥσπερ εἴρηται, διενιαυτοῦ θεραπείας τυγχάνον· ὡσαύ-
τως δὲ καὶ ἡ οἰνάνθη· καὶ γὰρ τοῦτο ἀνθικὸν μέν, πολῶδες δὲ τὴν φύ
σιν, ἐάν τις ἀποκνίζῃ καὶ ἀφαιρῇ τὸ ἄνθος καὶ μὴ ἐᾷ σπερματοῦσθαι·
καὶ ὅτι τόπον εὔηλον ἔχει· τὸ δὲ ἄνθος βοτρυῶδες καὶ λευκόν, καθά
περ τῶν ἀγρίων· ταῦτα μὲν οὖν ὥσπερ ἐκεῖνα φαίνεται· τὰ δὲ θε
ρινὰ μᾶλλον, ἥ τε λυχνίς, καὶ τὸ Διὸς ἄνθος· καὶ τὸ κρίνον· καὶ τὸ ἴ
φυον καὶ ὁ ἀμάρακος ὁ Φρύγιος· ἔτι δὲ ὁ πόθος καλούμενος. οὗτος
δέ ἐστι διττός· ὁ μὲν ἔχων τὸ ἄνθος ὅμοιον τῷ ὑακίνθῳ· ὁ δὲ ἕτε-
ρος, ἄχρους, λευκός· ᾧ χρῶνται πρὸς τοὺς τάφους, καὶ χρονιώτερος οὗ-
τος· ἀνθεῖ δὲ καὶ ἡ ἶρις τοῦ θέρους· καὶ τὸ στρούθιον καλούμενον τῇ ὄ-
ψει καλὸν τὸ ἄνθος· ἄοσμον δὲ μετοπώρου· τὸ δὲ λείριον τὸ ἕτε-
ρον, καὶ ὁ κρόκος ὅ τε ὀρεινὸς ἄοσμος καὶ ὁ ἥμερος· εὐθὺς γὰρ ἀνθοῦ-
σι τοῖς πρώτοις ὕδασι· χρῶνται δὲ καὶ τῶν ἀγρίων τῷ τῆς ὀξυα-
κάνθου καρπῷ, καὶ τῷ ἄνθει τῷ τῆς μαλάκου· καὶ τρεῖς μὲν ὧραι
οὕτως ἑκάστων ἡ γένεσις· ὡς δὲ ἁπλῶς εἰπεῖν οὐδεὶς διαλείπε-
ται χρόνος οὐδέ ἐστιν ἀνανθής· ἀλλὰ καὶ ὁ χειμὼν ἔχει, καίπερ ἀγεννοῦ
δοκῶν εἶναι διὰ τὴν κατάψυξιν τῶν μετοπωρινῶν μετα-
λαμβανόντων· ἐὰν δὲ δὴ καὶ μαλακὸς ᾖ, πολλῷ μᾶλλον· ἁπλῶς
γὰρ πάντη τὰ πολλὰ καὶ ἐπεκτείνεται τῆς οἰκείας ὥρας· καὶ ἐὰν
ὁ τόπος εὔηλος ᾖ, μᾶλλον· διὸ καὶ συνέχεια γίνεται. χρόνοι μὲν οὖν οὗ
τοι καὶ ὧραι κατὰ τὰς γενέσεις· βίος δὲ, ἰωνίας μὲν τῆς λευκῆς, ἔτη
μάλιστα τρία· γηράσκουσα δὲ ἐλαττοῦται, καὶ ἀεὶ λευκότερα

φέρει

φέρει. ῥοδωνίας δὲ πέντε τὰ πρὸς τὴν ἀκτὴν καὶ ἐπικωμένης δηλονότι μὴ δ' ἐπιτετμημένης. χείρω δὲ καὶ ταύτης τὰ ῥόδα γηρασκούσης. πρὸς εὐοσμίαν δὲ καὶ ῥόδων καὶ ἴων καὶ τῶν ἄλλων ἀνθῶν μέγιστον ὁ τόπος συμβάλλεται καὶ ὁ ἀὴρ πρὸς ἕκαστον οἰκείως. ἐν αἰγύπτῳ γὰρ τὰ μὲν πάντα ἄλλα ἄοσμα καὶ ἄνθη καὶ ἀρώματα. αἱ δὲ μυρρῖναι θαυμασταὶ τῇ εὐοσμίᾳ. προτερεῖν δέ φασι τῶν ἐν ταύτῃ καὶ ῥόδα καὶ ἴα καὶ τὰ ἄλλα ἄνθη καὶ διαμένειν πλείω τῶν παρ' ἡμῖν οὐκ ἐλάττω χρόνον τούτου. δοκεῖ δὲ πρὸς εὐοσμίαν διαφέρειν ὥσπερ ἐλέχθη καὶ ὁ ἐνιαυτὸς, τοῖος ἢ τοῖος γινόμενος, οὐ μόνον ἐπομβρίαις καὶ αὐχμοῖς, ἀλλὰ καὶ κατὰ καιρόν τινα γίνεσθαι καὶ ὕδατα καὶ πνεύματα, καὶ ἁπλῶς τὰς τοῦ ἀέρος μεταβολάς. τὰ δὲ ἐν τοῖς ὄρεσιν ὡς ἁπλῶς εἰπεῖν καὶ ῥόδα καὶ ἴα καὶ τὰ ἄλλα ἄνθη, τῇ ὀσμῇ πολλῷ χείρω γίνεσθαι. καὶ περὶ μὲν τῶν στεφανωματικῶν καὶ ἁπλῶς τῶν φρυγανικῶν, σχεδὸν ἐν τούτοις καὶ τοῖς ὁμοίοις ἐστὶν ἡ ἱστορία.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡῚ ΦΥΤΩ͂Ν ἹΣΤΟΡΊΑΣ ΤῸ Η.

Ἑπόμενον δὲ τῶν εἰρημένων περὶ τῶν ποωδῶν εἰπεῖν· τοῦτο γάρ ἐστι λοιπὸν τῶν ἐξ ἀρχῆς διαιρεθέντων γενῶν· ἐν ᾧ συμπεριλαμβάνομεν πάντως τὰ λαχανηρὰ καὶ τὸ σιτῶδες. πρῶτον περὶ τῶν λαχανωδῶν λεκτέον, ἀρξαμένοις ἀπὸ τῶν ἡμέρων· ἐπεὶ γνώριμα μᾶλλον τυγχάνει τῶν ἀγρίων. εἰσὶ δὲ τρεῖς αὐτοῖς πάντων τῶν κηπευομένων, ἐν οἷς ἕκαστα σπείρουσι διαιροῦντες ταῖς ὥραις· εἷς μὲν ὁ χειμερινός, ἄλλος δέ τις ὁ θερινός, τρίτος δὲ ὁ μεταξὺ τούτων μεθ' ἡλίου τροπὰς χειμερινάς. καλοῦσι δ' οὕτως οὐ πρὸς τὴν σπορὰν βλέποντες, ἀλλὰ πρὸς τὴν γένεσιν καὶ τὴν χρείαν ἑκάστου· ἐπεὶ ἥ γε σπορὰ σχεδὸν ἐν τοῖς ἐναντίοις γίνεται. τοῦ χειμερινοῦ μὲν γὰρ ἀρχὴ μετὰ τροπὰς χειμερινάς. τοῦ δὲ Μεταγειτνιῶνος μηνός, ἐν ᾧ σπείρουσι ῥάφανον, ῥαφανῖδα, γογγυλίδα, καὶ τὰ καλούμενα ἐπίσπορα, ταῦτα δ' ἐστί, τεῦτλον, θριδακίνη, εὔζωμον, λάπαθον, νᾶπυ, κορίαννον, ἄνηθον, κάρδαμον, καλοῦσι δὲ πρῶτον τοῦτον τῶν ἀρότων. τοῦ δὲ δευτέρου πάλιν μεθ' ἡλίου τροπὰς τοῦ Γαμηλιῶνος μηνός. ἐν ᾧ σπείρουσι καὶ φυτεύουσι πράσον, σέλινον, γήθυον, ἀνάφραξιν. τοῦ τρίτου δέ, ὃν καλοῦσι θερινόν, τοῦ Μουνιχιῶνος. ἐν τούτῳ δὲ σπείρεται σίκυος, κολοκύντη, βλίτον, ὤκιμον, ἀνδράχνη, θύμβρα. πλείους δὲ ἀρότους τῶν ὁμοίων καθ' ἑκάστην ὥραν. οἷον ῥαφανίδος, ὠκίμου, τῶν ἄλλων. πᾶσι δὲ σπείρεται τοῖς ἀρότοις τὰ ἐπίσπορα. διαφύεται δὲ οὐκ ἐν ἴσοις πάντα χρόνοις, ἀλλὰ τὰ μὲν θᾶττον, τὰ δὲ βραδύτερον, ὅσα

δεύτερον. ὅσα δυσφυῆ, τάχιστα μὲν οὖν ὤκιμον ἐκβλαστάνει, καὶ βλίτον, καὶ εὔζωμον. ἔτι τῶν χειμερινῶν ῥαφανίς· τριταῖα γὰρ ὡς εἰπεῖν· θριδακίνη δέ, τεταρταία ἢ πεμπταία· σίκυος δὲ καὶ κολοκύντη, περὶ τὰς πέντε ἢ ἕξ, οἱ δέ φασιν ἑπτά· πρότερον δὲ καὶ θᾶττον ὁ σίκυος· ἀνδράχνη δ' ἐν πλείοσι τούτων· ἄνηθον δὲ τεταρταῖον· κάρδαμον δὲ καὶ νᾶπυ, πεμπταῖα. τεῦτλον δέ, θέρους μὲν ἑκταῖον, χειμῶνος δὲ δεκαταῖον· ἀνδράφαξυς δὲ ὀγδοαία, ῥάφανος δὲ δεκαταία, πράσον δὲ καὶ γήθυον, οὐκ ἐν ἴσῳ. ἀλλὰ τὸ μὲν ἐννεακαιδεκαταῖον. ἐνιαχοῦ δὲ εἰκοσταῖον γήθυον δέ, δεκαταῖον ἢ δωδεκαταῖον· κορίαννον δέ, δυσφυές, οὐ γὰρ ἐθέλει βλαστάνειν τὸ νέον ἐὰν μὴ ἐλιχθῇ. θύμβρα δὲ καὶ ὀρίγανον, ἐν πλείοσιν ἢ τριάκοντα. δυσφυέστατον δὲ πάντων τὸ σέλινον. τετταρακοσταῖον γάρ φασιν, οἱ τὰ συντομώτερα λέγοντες, οἱ δὲ πεντηκοσταῖον, καὶ τοῦτο κατὰ πάντας τοὺς ἀρότους. ἐπισπείρουσι γάρ τινες ἐπὶ πᾶσιν. ὅλως δὲ ὅσα κατὰ πλείους ὥρας σπείρεται, ταῦτ' οὐδὲ θᾶττόν γε πολλὰ γίνεσθαι τοῦ θέρους, καὶ θαυμαστόν. εἰ καὶ μηθὲν ἡ ὥρα συμβάλλεται καὶ ὁ ἀὴρ πρὸς τὸ θᾶττον. ἐὰν δὲ μοχθηρὰ καὶ ψυχρὰ καὶ τῷ ἀέρι περισκεπὴς βραδύτερον. ἐπεὶ καὶ χειμῶνος ἢ ὑδάτων ἐπιγενομένων τοῖς ἀρότοις, ὁτὲ μὲν βραδύτερον, ὁτὲ δὲ θᾶττον ἡ βλάστησις· διαφέρει δὲ ταῦτα κατὰ τοὺς ἀρότους ἕκαστον. προϊαίτατον γὰρ ἐν τοῖς εὐήλοις καὶ εὐκράσιν· ὡς γὰρ ἁπλῶς εἰπεῖν ἐν πλείοσι δεῖ τὰς αἰτίας ὑπολαμβάνειν τῶν τοιούτων, ἔν τε τοῖς σπέρμασιν αὐτοῖς καὶ ἐν τῇ χώρᾳ· καὶ τῷ ἀέρι καὶ ταῖς ὥραις· αἷς ἕκαστα σπείρουσι καὶ χειμώνων καὶ ὑδάτων. ἀλλὰ τοῦτο μὲν σκεπτέον. ἐφ' ὧν τε παραλλάττουσιν οἱ χρόνοι καὶ ἐφ' ὧν οὔ· καὶ γὰρ τὴν ῥαφανίδα φασί τινες τριταίαν καὶ θέρους καὶ χειμῶνος. τὸ δὲ τεῦτλον ὥσπερ εἴρηται παραλλάττει κατὰ τὰς ὥρας. χρόνοι δ' οὖν οὗτοι τῶν βλαστήσεών εἰσι καὶ λέγονται καθ' ἕκαστον. διαφέρει γὰρ πρὸς τὸ θᾶττον καὶ βραδύτερον καὶ ἡ τῶν σπερμάτων παλαιότης. τὰ μὲν γὰρ ἀπὸ νέων παραγίνεται θᾶττον, οἷον, πράσον, γήθυον, σίκυος, κολοκύντη. ἔνιοι δὲ καὶ προβρέχουσι

τὸ μὲν σίκυον πρὸς τὸ θᾶττον, ἢ ἐν γάλακτι ἢ ἐν ὕδατι. τὰ δ' ἀπὸ τῶν λαχάνων· οἷον, σέλινον· τεύτλιον· κάρδαμον· θύμβρα· κορίαμον, ὀρίγανον, εἴπερ μὴ φυλάττεται, οὐ τὸ ἀπὸ τοῦ νέου καθάπερ εἴπομεν· ἴδιον δὲ φασὶν ἐπὶ τοῦ τευτλίου συμβαίνειν· οὐ γὰρ διαφύεσθαι πᾶν εὐθύς, ἀλλ' ὕστερον πολλῷ τὸ μὲν δευτέρῳ ἔτει καὶ τῷ τρίτῳ· διὸ καὶ ἐκ πολλοῦ σπέρματος ὀλίγον ἐκβλαστάνειν· ἕκαστον δὲ τῶν σπερμάτων ἐὰν ἁδρυνθέντα ἀποπέσῃ, διαμένει πρὸς τὴν ὥραν τὴν ἑαυτοῦ, καὶ οὐ πρότερον ἐκβλαστάνει· καὶ κατὰ λόγον δ' ἐστί· καὶ ἐπὶ τῶν ἀγρίων ὁρῶμεν συμβαῖνον· ἐὰν μὴ φθαρῇ. αἱ δὲ τελειώσεις τῶν καρπῶν ἁπάντων ἐπιγίνονται τοῦ θέρους· πρότερον δὲ καὶ θᾶττον· ὡς ἁπλῶς εἰπεῖν πρότερον τῶν σπαρέντων· διαφέρει γὰρ καὶ ἡ ὥρα. τὰ γὰρ ἐν ταῖς θερμημερίαις σπαρέντα· θᾶττον ἐκκαυλοῖ καὶ ἐκσπερματοῦται καθάπερ ῥαφανίς· γογγυλίς· ἔνια δὲ καὶ οὐκ ἐνιαύσια φέρει τὸν καρπὸν· ἀλλὰ δίετα· καθάπερ σέλινον πράσον· γήθυον, ἃ καὶ διαμένει χρόνον πλείονα· καὶ οὐκ ἔστιν ἐπέτεια· τὰ γὰρ πολλὰ τούτων ἅμα τῇ τελειώσει τῶν σπερμάτων αὐαίνεται· πάντα δὲ ὡς εἰπεῖν ὅσα ἐκκαυλοῖ καὶ τελειοῖ τὸν καρπὸν, ἀποτελειοῦται κατὰ τὸ σχῆμα, τὰς παραβλαστήσεις ἐκ τῶν καυλῶν ἔχειν ἀκρεμονικὰς, πλὴν ὅσα μονόκαυλα, καθάπερ πράσον καὶ γήθυον· καὶ κρόμμυον· καὶ σκόροδον· φίλυδρα δὲ καὶ φιλόκοπρα πάντα· μᾶλλον δὲ τὰ ἀσθενέστερα, καὶ πλείονος ἐπιμελείας δεόμενα· τὰ δὲ καὶ τροφῆς· φύεται δὲ πάντα ἀπὸ τοῦ σπέρματος· ἔνια δὲ καὶ ἀπὸ παρασπάδος· καὶ κλωνὸς καὶ ῥίζης· ἀπὸ μὲν παρασπάδος ἡ ῥάφανος· ἀεὶ γάρ τι καὶ ῥιζῶδες προσλαβεῖν· ἀπὸ δὲ τῶν βλαστῶν, πήγανον, ὀρίγανος, ὤκιμον· ἀποφυτεύουσι γὰρ καὶ τοῦτο, ὅταν σπιθαμιαῖον ἢ μεῖζον γένηται, τεμόντες εἰς τὸ ἥμισυ· ἀπὸ ῥίζης δὲ, σκόροδον· καὶ κρόμμυον· καὶ βολβὸς, καὶ ἄρον· καὶ ἁπλῶς τὰ τοιαῦτα τῶν κεφαλορρίζων· φύεται δὲ καὶ ἐνίων αἱ ῥίζαι διαμένουσιν ἐπὶ πλείονα χρόνον ἐπετειοκαύλων· ὅτι δ' ἀπὸ τοῦ σπέρματος πάντα βλαστάνει, φανερόν· καὶ τὸ

πήγανον· ὅπερ οὔ φασί τινες, ἀλλὰ βραδέως· διὸ καὶ ἀποφυ-
τεύουσιν. ὅσα δ᾽ ἀπὸ ῥίζης φύεται, τούτων ἡ μὲν ῥίζα χρονία, αὐ-
τὰ δ᾽ ἐπέτεια καὶ λάχανα· διὸ καὶ παραβλαστάνουσιν αἱ ῥίζαι τῶν τοι-
ούτων· καὶ γίνονται πλείους οὐ μόνον ἐν τοῖς ἡμέροις καὶ κηπευο-
μένοις, ἀλλὰ καὶ ἐν τοῖς ἀγρίοις ὥσπερ εἴπομεν· οἷον βολβοῖς·
γηθύοις· σκίλλαις· καὶ τοῖς ἄλλοις· παραβλαστάνει δ᾽ ἔνια καὶ
τῶν μὴ κεφαλορριζῶν, χρονιωτέρων δέ, οἷον σέλινον· καὶ ἱππέλι-
ον· ἀφιᾶσι γὰρ ῥίζας, ἀφ᾽ ὧν φύονται φύλλα καὶ καυλοί·
παραβλαστάνει δὲ καὶ γήθυον καὶ πράσιον· καὶ παραφύει κάτω-
θεν οἷον βολβώδη τινὰ κεφαλήν, ἐξ ἧς ἡ βλάστησις γίνεται τῶν
φύλλων· ἀνανθέντος δὲ τοῦ καυλοῦ, καὶ τοῦ σπέρματος ἀφαι-
ρεθέντος· ἀλλὰ μὴ διὰ τὸ χρησίμας εἶναι τὰς τούτων κεφαλὰς
οὐ συλλέγουσι μὲν εἰς ξηρασίαν· διὸ καὶ οὐ φυτεύουσι· τάχα δὲ ταῦ-
τα καὶ ὁμογενῆ, καὶ σύνεγγύς πως τῇ τοῦ κρομμύου φύσει· διὸ
καὶ οὐ θαυμαστόν· ἀλλ᾽ ὅμως καὶ ἐπὶ πάντων καὶ ἡμέρων καὶ ἀ-
γρίων, ὅσα χρονιώτερα μέν ἐστιν, ἐπετειότερα δὲ τούτων, αἱ ῥίζαι
ἐπιβλαστάνουσιν, ὥσπερ καὶ ἐπὶ τῶν φρυγανικῶν καὶ τῶν θαμνωδῶν·
ἀλλ᾽ ἐπὶ τῶν κρομμύων καὶ σκορόδων καὶ βολβῶν, καὶ ὥσπερ
ἀριθμός τις γίνεται τούτων· ἡ δὲ γένεσις ὥσπερ εἴρηται διχῶς
ἐστίν· ἀπὸ σπέρματος μὲν πάντων, ἀπὸ δὲ καυλοῦ καὶ ῥίζης τῶν
εἰρημένων· τῶν δὲ καυλῶν κολουθέντων· πάντων μὲν ὡς εἰπεῖν
βλαστάνει, πλὴν τῶν ἀποκαύλων· ἐμφανέστατα δ᾽ ὥσπερ καὶ εἰς
χρεῖαν, ὤκιμον· θρίδαξ· ῥάφανος· καὶ τὰ μὲν θρίδακος ἰδίως φα-
σὶ τοὺς παραβλάστους εἶναι καυλούς· τὸν γὰρ πρῶτον ὀπώδη
καὶ πικρὸν εἶναι, ὡς ὑπόπιον· οἱ δὲ τὸ ἐναντίον, ὀπωδεστέρους τού-
τους· ἀλλ᾽ ἕως ἂν ὦσιν ἁπαλοί, φαίνεσθαι γλυκυτέρους· ἀλλ᾽ ἐπὶ
τῆς ῥαφανίδος τοῦτο ὁμολογοῦμεν, ὡς εἰ πάλιν βλαστήσει, ἡδί-
ων ἀφαιρεθέντων τε τῶν φύλλων πρὸ τοῦ διακαυλίσαι· διαμέ-
νουσι δὲ αἱ ῥίζαι πλειόνων· ἀλλ᾽ αἱ μὲν βλαστάνουσι πάλιν, αἱ δὲ
οὔ· ῥαφανὶς οὖν καὶ γογγυλὶς διαμένουσι γῆς ἐπιβληθείσης ἄ-
χρι θέρους· καὶ αὔξησιν λαμβάνουσιν· ὅπερ ποιοῦσί τινες ἐξε-

πίτηδες τῶν κηπωρῶν· οὐ βλαστάνουσι δέ, οὐδ' ἀφιᾶσι φύλλον, οὐδ' εἴ τις ἀφέλοι τὴν ἐπισεσαγμένην γῆν. ἰδεῖν δὲ τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ἐστί. τά τε πλεῖστα τῶν λαχανωδῶν, μονόρριζα τῇ παχείᾳ κατὰ βάθους ῥίζῃ· καὶ ὅσα παραφύει τὰς ἰσοπαχεῖς ταύτας· ὥσπερ σέλινον καὶ τεῦτλον. ἀπὸ γὰρ μέσης πως ἡ παράφυσίς ἐστι καὶ οὐκ εὐθὺς ἀπὸ τῆς ἀρχῆς ἡ σχίσις. εἰς δὲ ταύτην τὴν μίαν, ἡ ἀπ' αὐτῆς τε καὶ τῆς ἀποφυάδος, καὶ μικρὰ καὶ τῆς ῥαφανίδος καὶ τῆς γογγυλίδος· καὶ αὗται μὲν δή φασι φανεραὶ διὰ τὴν χρείαν. ἡ δὲ τοῦ τεύτλου μία μὲν μακρὰ καὶ παχεῖα καὶ ὀρθή, καθάπερ ἡ τῶν ῥαφανίδων. ἀποφύσεις δὲ ἔχει παχείας· ὁτὲ μὲν δύο· ὁτὲ δὲ καὶ τρεῖς· ὁτὲ δὲ καὶ μίαν. τὰς δὲ μικρὰς ἐκ τούτων. σαρκώδης δὲ ἡ ῥίζα, καὶ τῇ γεύσει γλυκεῖα, καὶ ἡδεῖα· διὸ καὶ ὠμὴν ἐσθίουσί τινες. ὁ δὲ φλοιὸς οὐ παχύς· οὐ δὲ ἀφαιρετός, ὥσπερ ὁ τῶν ῥαφανίδων· ἀλλὰ μᾶλλον οἷον ὁ τῶν ἱπποσελίνων· ὡσαύτως δὲ καὶ ἡ τῆς ἀνδράφαξυος· μία μὲν εἰς βάθος· ἐκ ταύτης δὲ ἄλλαι, μονορριζότατον δὲ τούτων πάντων τὸ λάπαθον· οὐ γὰρ ἔχει παχείας ἀποφύσεις· ἀλλὰ τὰς λεπτὰς βαθυρριζότατον δὲ πάντων· ἔχει γὰρ μείζω τριῶν ἡμιποδίων· τὸ δ' ἄγριον, βραχυτέραν· πολύκαυλον δὲ καὶ πολύκλαδον· καὶ ἡ ὅλη μορφὴ τελειωθεῖσα, παραπλησία τῇ τοῦ τεύτλου· πολυχρονιώτερον δὲ καὶ τοῦ ἀγρίου· καὶ ὅλως δὲ πάντων τῶν λαχάνων ὡς εἰπεῖν· διαμένει γὰρ ὁπόσον οὖν χρόνον ὥς φασιν. ἔχει δὲ σαρκώδη τὴν σάρκα καὶ ἔνικμον· διὸ καὶ ἐξαιρεθεῖσα, ζῇ πολὺν χρόνον. τὸ δ' ὤκιμον, μίαν μὲν τὴν παχεῖαν τὴν κατὰ βάθους· τὰς δ' ἄλλας τὰς ἐκ πλαγίου λεπτὰς ἐπιεικῶς μήκεις· ἔνια δὲ οὐκ ἔχει τὴν μίαν τὴν ὀρθήν οἷον τὸ βλίτον· ἀλλ' εὐθὺς πολλὰς ἐξ ἄκρου καὶ ὑπαχεῖς καὶ μακροτέρας τῆς ἀνδράφαξυος. τῶν δὲ ῥιζῶν ξυλωδέσταται πασῶν αἱ τοῦ ὠκίμου· καθάπερ καὶ ὁ καυλός· ἡ γὰρ τοῦ βλίτου, καὶ τῆς ἀνδράφαξυος· καὶ τῶν τοιούτων, ἧττον ξυλώδης. εἰσὶ γὰρ ὡς ἁπλῶς εἰπεῖν τῶν μὲν σαρκώδεις, αἱ δὲ ξυλώδεις· οἷον μὲν ἡ τοῦ τεύτλου· καὶ τοῦ σελίνου καὶ ἱπποσελίνου· καὶ λαπάθου, καὶ ῥαφανίδος· καὶ γογγυλίδος καὶ πάντων μάλιστα τῆς κεφαλωτοῦ· οὐ δὲ ἃ ἀναξηραινόμενα σκληρύνονται τε-

λεῖ. ξυλώδεις δέ, ὥσπερ αἱ τοῦ ὠκίμου, καὶ βλίτου, καὶ ἀνδραφάξυος, καὶ
εὐζώμου, καὶ ἀνήθου, καὶ λαπάθου, καὶ κοριάννου. καὶ ἁπλαῖ τῶν ὀρθοκαύλων. ἔχει γὰρ
δὴ καὶ ἄνηθον, καὶ τὸ κορίαννον, τὰ μονόρριζα ξυλώδη τε τὰς ῥίζας, καὶ οὐ μα-
κρὰς δὲ τὰς λεπτὰς ἀποφυλλάδας ἔχουσι πολλάς. πολύκαυλα γὰρ ἄμφω καὶ πο-
λύοζα. διὸ καὶ οὐ κατὰ λόγον οὐδὲ μὴν τοῦτο τὸ ἄνω πρὸς τὸ κάτω. βραχύρρι-
ζα δὲ τὰ τοιαῦτά ἐστιν. οἷον θρίδαξ. ἀνδράχνη τὴν ὀρθὴν καὶ τὴν εἰ
ἡ γὰρ θρίδαξ ὥσπερ οὐκ ἔχει τοιαύτας ἀποφύσεις, ἀλλὰ μόνον τὰς λεπτάς, καὶ
μάλιστα δὴ μονόρριζον ὡς εἰπεῖν. ἁπλῶς γὰρ πάντα τὰ θερινὰ βραχύρρι-
ζα. καὶ γὰρ ὁ σίκυς, καὶ ἡ κολοκύντη, καὶ ἡ σικύα. καὶ διὰ τὴν ὥραν ἴσως, ἔτι μᾶλ-
λον διὰ τὴν φύσιν, ἥπερ συνηκολούθηκε τῇ ὥρᾳ. ἡ δὲ μεταφυτευο-
μένη θρίδαξ, βραχυτέρας ἔχει τὰς ῥίζας τῆς σπαρείσης. παραβλαστάνει γάρ ἐκ
τῶν πλαγίων μᾶλλον. βραχυτέρα γὰρ καὶ ἡ ἀγρία τῆς ἡμέρου καὶ ἐκ τῶν ἄνω. τὰ δὲ
πολυκαυλότερα. ἀνθεῖ δὲ τῶν μὲν ἀγρίων ἕκαστον ἀθρόον. τὸ δὲ ὤκιμον
κατὰ μέρος κάτωθεν πρῶτον. εἶθ' ὅταν ταῦτα ἀπανθήσῃ, τὰ ἄνω. διὸ καὶ πολυ-
χρόνιον ἐν τῷ ἀνθεῖν. καθάπερ κύαμος καὶ τῶν ἄλλων τὸ ἡλιοτρόπιον καλού-
μενον. καὶ ἄγρια δὲ τῶν ἀγρίων. ἀνθεῖ γὰρ καὶ ὁ σίκυος καλούμενος. καὶ γὰρ ἐπικλαστὰν τού-
τῳ συμβαίνει. τὰ δὲ ἄνθη τῶν μὲν ἔκλευκα. τῶν δὲ μηλινοειδῆ. τῶν δὲ μι-
κρῶν ὑπερφυείζοντα. ὠχροῦσι δ' οὐθέν. τὰ δὲ σπέρματα διαφέρει καὶ
τοῖς σχήμασι. τὰ μὲν γὰρ πλεῖστα στρογγύλα. τὰ δὲ προμήκη. τὰ δ' αὖ πλα-
τέα καὶ φυλλώδη καθάπερ τὰ τῶν ἀνδραφάξυος. ὅμοιον γάρ ἐστι τῷ τοῦ σιλ-
φίου. τὰ δὲ στενὰ καὶ γραμμώδη. καθάπερ τοῦ κυμίνου. καὶ τοῖς χρώμασιν
ὁμοίως. τὰ μὲν γὰρ μέλανα. τὰ γὰρ ξυλώδη. τὰ δὲ λευκότερα. πάντα δὲ ἐλε-
βοσπέρματα. ἢ γυμνοσπέρματα, ἢ ἐμφλοιοσπέρματα, ἢ παππο-
σπέρματα. ῥαφανὶς μὲν γάρ ἐστι καὶ νᾶπυ, καὶ γογγυλίς, ἐλεβοσπέρματα. κο-
ρίαννον δὲ καὶ μάραθρον, καὶ ἄνηθον, καὶ κύμινον, γυμνοσπέρματα. βλί-
του δέ, καὶ τεύτλιον, καὶ ἀνδράφαξυς, καὶ ὤκιμον, ἐμφλοιοσπέρματα.

θριδακίνη δέ, παπποσπέρματον. πάντα δὲ πολύκαρπα καὶ
πολυβλαστῆ. πολυκαρπότερον δὲ τὸ κύμινον. ἴδιον δὲ καὶ ὃ λέγουσι κατὰ
τούτου. φασὶ γὰρ δεῖν καταρᾶσθαί τε καὶ βλασφημεῖν σπείροντας, εἰ μέλλει κα-
λὸν ἔσεσθαι καὶ πολύ. δυσξήραντα δὲ πάντα μὲν ὡς εἰπεῖν, πλὴν τοῦ
κυμίνου. οὐχ ὥσπερ ὁ σῖτος, κἂν ἅπαξ ἁδρυνθῇ, ταχὺ ξηραίνεται καὶ ἀποπί-

περὶ δυσξηραντότερα δὲ τὰ ἔμφλοια σπέρματα καὶ τούτων

ἔτι προσαφαιροῦντες αὐτὰ ξηραίνουσιν. ἅπαντα δὲ πολύχοα καὶ πολυσπέρματα· πολυκαρπότατον δὲ τὸ ὤκιμον· πράσον· κρόμμυον· τὰ δὲ πλαγιόκαρπα μᾶλλον· οἷον ῥαφανίς· γογγυλίς· καὶ τὰ τοιαῦτα· τὰ δὲ ἀμφοτέρως· οἷον βλῖτον ἀνδράφαξυς· ἀμφοτέρως γὰρ ταῦτα ἔτι ἐκ τοῦ πλαγίου καὶ τό τε πλεῖστον ἄνωθεν ὑπὲρ ἕκαστον ὄζον προσκαθήμενον, ἔχει τὸ σπέρμα βοτρυῶδες· τὰ δὲ ἐκ παλαιοτέρων σπερμάτων θᾶττον ἐκκαυλεῖ· τάχιστα δὲ τὰ ἐκ τῶν ἀκμαζόντων· ἔστι γάρ τις ἀκμὴ καὶ τούτων· ἀνάλογον δὲ ἔτι τὸ καὶ ἀκολουθεῖ τῶν

ἐὰν τὰ ἄλλα τὰ αὐτὰ ἔχωσι θεραπείαν. δοκεῖ δὲ ἔτι εἰς τὸ ἀθρόον αὐτὸ θεμένων, καὶ γίνεσθαι καὶ βλαστάνειν· οὕτω καὶ τὸ τοῦ πράσου καὶ τὸ τοῦ σελίνου τιθέασιν, ἀποδήσαντες εἰς ὀθόνιον· καὶ γίνονται μεγάλαι· συμβάλλεται δέ τι καὶ ὁ τόπος πρὸς αὔξησιν· κελεύουσι γοῦν ὅταν τις μεταφυτεύῃ τὰ σέλινα, πάτταλον κατακρούειν· ἡλίκον ἂν βούληται ποιεῖν τὸ σέλινον· τιθέναι δὲ καὶ αὐτὰ ἐν τῷ ὀθονίῳ πάτταλον, κατακρούσαντα καὶ πλήσαντα κόπρου καὶ γῆς· ἔνια δὲ καὶ τοῦ σχήματος ἐξομοιοῦνται τοῖς τόποις· ὥσπερ ἡ σικύα ὁμοιοσχήμων γίνεται ἐν ᾧ ἂν τεθῇ.

λαμβάνει δὲ καὶ τῶν χυμῶν ἔνια προσθεραπευθέντα τῶν σπερμάτων· οἷον τὸ τοῦ σικύου· ἐὰν ἐν γάλακτι βρέξαντες σπείρωσιν· ἀλλὰ τὰ τοιαῦτα ἴσως οἰκειότερα τῆς θεραπείας· γένη δὲ τῶν μὲν ἔστι πλείω· τῶν δ' οὐκ ἔστιν· οἷον ὠκίμου· λαπάθου· βλήτου, καρδάμου· εὐζώμου· ἀνδράφαξυος· κοριάννου· ἀνήθου, πηγάνου· τούτων γὰρ οὔ φασιν εἶναι.
τῶν δὲ ἔστι, ῥαφανίδος, ῥαφάνου· τευτλίου σικύου· κολοκύντης· κυμίνου· σκορόδου, θριδακίνης· διαφέρουσι δὲ τοῖς τε φύλλοις, καὶ ταῖς ῥίζαις· καὶ τοῖς χρώμασι καὶ τοῖς χυλοῖς· καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις· οἷον τὸ τῆς ῥαφανίδος·

τὴν μὲν ὀξεστάτην δὲ

τὴν κορινθίαν· ἣ καὶ τὴν ῥίζαν ἀνέχει γυμνήν· ὠθεῖσθαι γὰρ εἰς τὸ ἄνω, καὶ οὐχ ὥσπερ αἱ ἄλλαι κάτω· τὴν δὲ λειοθασίαν, ἥν τινες καλοῦσι θρακίαν, ἰσχυροτάτην πρὸς τοὺς χειμῶνας· τὴν δὲ βοιωτίαν, γλυκυτάτην καὶ τῷ σχήματι στρογγύλην· οὐχ ὥσπερ τὴν κλεωναίαν μακράν· ὅσων δ' ἂν ᾖ λεῖα τὰ φύλλα, γλυκύτεραι καὶ ἡδίους· ὅσων δ' ἂν τραχέα, δριμύτεραι. γένος δέ τι καὶ ταύτης ἐστίν· ὃ ἔχει τὸ φύλλον εὐζώμῳ ὅμοιον· ῥαφανίδων μὲν οὖν ταῦτα. γογγυλίδος δέ, οἱ μὲν φασὶν εἶναι· οἱ δ', οὔ φασιν· ἀλλὰ καὶ τὴν ἄρρενα καὶ τὴν θήλειαν διαφέρειν· γίνεσθαι γὰρ ἐκ τοῦ αὐτοῦ σπέρματος ἄμφω· πρὸς δὲ τὸ ἀποθηλύνεσθαι, πυκνῶσαι δεῖ μάλιστα· ἐὰν γὰρ πυκνή, πάσας ἀπαρρενοῦσθαι· τὸν αὐτὸν δὲ τρόπον κἂν ἐν γῇ μοχθηρᾷ σπαρῶσι· διὸ πολλοὺς σπερματισμοὺς μεταφέροντες, φυλάττουσι τὰς ἐκφύσεις τῶν πλατειῶν. ἔστι δὲ καὶ τὸ σπέρμα τῆς ὀψὲ τὸ χεῖρον βέλτιον φανερῶς· τῶν μὲν γὰρ χλωρόν, λεπτόν, τῶν δὲ μοχθηρᾶς, ἁδρόν· χειμαζομένη δὲ χαίρει πολὺ αὕτη καὶ ἡ ῥαφανίς· οἷον γὰρ ἅμα γλυκαίνεσθαί τε καὶ τὴν αὔξησιν εἰς τὴν ῥίζαν τρέπεσθαι, καὶ οὐκ εἰς τὰ φύλλα· τοῖς δὲ νοτίοις, καὶ ταῖς εὐδίαις ἐκκαυλεῖ ταχύ· τοῦτο μὲν οὖν λόγου δεῖ ταῖς τῶν ὁμοιώσεων ἐν ἀμφοῖν εἶναι τὰς διαφοράς. τῆς δὲ ῥαφάνου ἔστι καὶ διαιρουμένης, οὐλόφυλλος τε καὶ λειόφυλλος, καὶ τρίτης τῆς ἀγρίας· ἡ τὸ μὲν φύλλον ἔχει λεῖον, μικρὸν δὲ καὶ περιφερές, πολύκλαδος πολύφυλλος, ἔτι δὲ χυλὸν ἔχουσα δριμὺν καὶ φαρμακώδη· διὸ καὶ πρὸς τὰς κοιλίας αὐτῇ χρῶνται οἱ ἰατροί. ὁμοίως δὲ καὶ ἐν ἐκείνῳ εἶναι δοκοῦσι διαφοραὶ καθ' ἑτέραν· ἐπεὶ ἄσπερμόν τι γένος αὐτῆς ἐστὶν ἢ κακόσπερμον. τὸ δὲ ὅλον, ἡ οὔλη τῆς λείας εὐχυλοτέρα καὶ μεγαλοφυλλοτέρα, εὐχυλότερον δὲ καὶ τῶν σευτλίων τὸ λευκὸν τοῦ μέλανος, καὶ ὀλιγοσπερμότερον, ὃ καλοῦσί τινες σικελικόν. ὡσαύτως δὲ καὶ τῆς θριδακίνης· ἡ γὰρ λευκὴ γλυκυτέρα, καὶ ἁπαλωτέρα. γένη δὲ αὐτῆς ἐστὶ τρία· τό, τε πλατύκαυλον, καὶ στρογγυλόκαυλον· καὶ τρίτον τὸ λακωνικόν· αὕτη δὲ τὸ μὲν φύλλον ἔχει σκολυμῶδες· ὀρθὴ δὲ πολὺ αὔξησις καὶ ἀπαράβλαστος ἐκ τοῦ καυλοῦ. τῶν δὲ πλατειῶν οὕτω τινὲς πλατύκαυλοι γίνονται,

ὥστ' ἐνίους φασὶ καὶ θύραις χρῆσθαι κηπωρικαῖς. τὸ δὲ ὀπῶδες
σφόδρα καὶ μικρόφυλλον καὶ λευκοκαυλότερον, ἔοικεν ἀγρίῳ.
τῶν δὲ σελήνων καὶ ἐν τοῖς φύλλοις καὶ ἐν τοῖς καυλοῖς αἱ διαφοραί.
τὸ μὲν γὰρ πυκνὸν, καὶ οὖλον καὶ δασὺ τὸ φύλλον ἔχει. τὰ δὲ μα
νώτερον καὶ πλατύτερον. καυλὸν δὲ μείζω. τούτων δὲ πάλιν
τὰ μὲν λευκόκαυλα, τὰ δὲ πορφυρόκαυλα ἢ ποικιλόκαυλα. τὸ
δ' ὅλον ἅπαν τὸ τοιοῦτον ἐμφερέστατον τῷ ἀγρίῳ. σικύου δὲ καὶ
κολοκύντης φασὶ μὲν εἶναί φασι γένη. τὸ δ' οὐκ εἶναι, καθάπερ τῆς
ῥαφανίδος καὶ τῆς γογγυλίδος. ἀλλ' ἐν τῷ αὐτῷ γένει τὰς μὲν
βελτίους. τὰς δὲ χείρους. τοῦ δὲ σικύου τρία, λακωνικὸν, σκυταλί-
αν. βοιώτιον. τούτων δὲ ὁ μὲν λακωνικὸς ὑδρευόμενος βελτίων. οἱ
δ' ἕτεροι ἄνυδροι. διαφέρει δὲ εἶναι καὶ τὰ κρόμμυα, καὶ τὰ σκόρο
δα. πλείω δὲ τὰ κρομμύων τὰ γένη. οἷον τὰ κατὰ τὰς χώρας ἐπικαλούμενα γάρ
δια. κνίδια, σαμοθρᾴκια. καὶ πάλιν τὰ σητάνια καὶ σχιστὰ, ἀσκαλώνια.
τούτων δὲ τὰ μὲν σητάνια μικρὰ. γλυκέα δὲ σφόδρα. τὰ δὲ σχιστὰ καὶ ἀσκα-
λώνια καὶ τῇ θεραπείᾳ διαφέροντα. καὶ δῆλον ὅτι, τῇ φύσει. τὸ γὰρ σχιστὸν τοῦ μὲν
χειμῶνι μετὰ τῆς κοιμήσεως ἐᾶν ἔαρος. ἅμα δὲ τῷ ἦρι τὰ φύλλα περιαίρουσι
τὰ ἔξω, καὶ τὰ ἄλλα θεραπεύουσι. περιαιρεθέντων δὲ τῶν φύλλων τὰ ἕτερα
βλαστάνει. καὶ ἅμα κάτω σχίζεται. διὸ καὶ λέγουσι σχιστά. οἱ δὲ καὶ ὅλως φασὶ πάν
των δεῖν. ὅπως ἡ δύναμις εἰς τὰ κάτω, καὶ μὴ πρὸς ἀποφυῇ. τῶν δὲ ἀσκαλω
νίων, ἰδία τις ἡ φύσις. μόνα γὰρ σχιστὰ καὶ ὥσπερ ἄτονα ἀπὸ τῆς ῥίζης. ἔτι
δὲ οὐκ αὐτὰ αὐτῶν αὐξάνεται αὐτόθεν. διὸ καὶ οὐ ποιοῦσιν ἀνασπείρουσι
αὐτά. κατασπείρουσι ὀψὲ πρὸ τοῦ ἔαρος. εἶθ' ὅταν βλαστήσῃ, μεταφυτεύουσι.
τελειοῦται δὲ τῷ αὐτῷ ταχὺ ὥσθ' ἅμα τῶν ἄλλων ἢ καὶ πρότερον ἐξαιρεῖσθαι. πολὺν
δὲ χρόνον ἐαθέντα ἐν τῇ γῇ, σήπεται. φυτευθέντα δὲ καυλὸν ἀφίησι, καὶ
σπέρμα φύεται μόνον. εἶτα καὶ μονοῦται καὶ αἱμέλεται. τούτων μὲν οὖν τοιαύτη τις
ἡ φύσις. διαφέρει δ' ἐνίοις καὶ τοῖς χρώμασιν. ἐν ἴσσῳ γὰρ τὰ μὲν ἀνάλογα ὅμοια,
τὰ λευκὰ. λευκὰ δὲ σφόδρα τῇ χροιᾷ. φέρει δέ φασιν ὅμοια τοῖς σαρδιανοῖς.
ἰδιωτάτη δὲ ἡ φύσις ἡ τοῦ κρητικοῦ. παραπλήσια δὲ τρόπον τινὰ τοῖς ἀσκα
λωνίοις, εἰ μὴ ἄρα καὶ ἡ αὐτή. ἐν κρήτῃ γάρ τι γένος, ὃ σπειρόμενον μὲν ῥίζαν
ποιεῖ. φυτευόμενον δὲ καυλὸν καὶ σπέρμα. κεφαλὴν δὲ οὐκ ἴσχει. γλυκὺ δὲ ὡς χυμῷ

τοῦτο γάρ· οἷον αὐτὰ πάλιν ἔχει τὰ ἄλλα. ἅπαντα καὶ ἐπικνύμενα καὶ
βελτίω καὶ θᾶττον παραγίνεται. σπέρματα δὲ φύεται μετ' ἀρκτοῦρον
ἔτι θερμῆς οὔσης τῆς γῆς· ὅπως τὰ ὕδατα πεφυτευμένα
καταλαμβάνῃ. καὶ ὅλα δὲ φύεταί τε καὶ διατεμνόμενα παρὰ
τὴν κεφαλήν. οὐχ ὅμοιαι δὲ αἱ ἐκβλαστήσεις. ἀλλ' ἐκ μὲν τοῦ κά-
τω γίνεται κρόμμυον. ἐκ δὲ τοῦ ἄνω, χλόη μόνον. ὀρθὸν δὲ διατμη-
θὲν ὅλως, ἀβλαστές ἐστι. τὸ δὲ γήτειον καλούμενον, ἀκέφαλόν
τι καὶ ὥσπερ αὐχένα μακρὸν ἔχον. ὅθεν καὶ ἡ βλάστησις ἄκρα. καὶ
ὑποκείρεται πολλάκις ὥσπερ τὸ πράσον. διὸ καὶ σπείρουσιν αὐτὸ καὶ
οὐ φυτεύουσι. τὰ μὲν οὖν κρόμμυα σχεδὸν ταύτας ἔχει τὰς ἰδέας.
τὸ δὲ σκόροδον, φυτεύεται μὲν μικρὸν πρὸ τροπῶν ἢ μετὰ τροπάς.
διαιρούμενον κατὰ γελγῖν. διαφορὰ δὲ ἐστὶν αὐτῶν, ἥ τε τῶν ὀψίμων
πρὸς τὰ πρώϊα. γένος δέ τι τυγχάνει τοιοῦτον. ὅθεν ἑξήκοντα ἡ-
μέραις τελειοῦται καὶ μεγέθει καὶ μικρότητι. καὶ τῷ μεγέθει γέ-
νος τι διαφέρον ἐστί. μάλιστα δὲ τὸ κύπριον καλούμενον τοιοῦ-
τον. ὅπερ οὐχ ἕψουσιν. ἀλλὰ πρὸς τοὺς μυττωτοὺς χρῶνται. καὶ
ἐν τῇ τρίψει θαυμαστὸν ποιεῖ τὸν ὄγκον ἐκπνευματούμενον. ἐπὶ
ἔτι τῷ μὴ ἔχειν ἔνια τὰς γέλγεις. ἡ δὲ γλυκύτης καὶ ἡ εὐωδία καὶ
ἡ ἁδρότης, σχεδὸν παρὰ τὰς ὥρας γίνεται, καὶ τὰς θεραπείας.
ὥσπερ καὶ τῶν ἄλλων. τελειοῦται δὲ καὶ ἀπὸ σπέρματος. ἀλλὰ βρα-
δέως. τῷ πρώτῳ γὰρ ἔτει κεφαλὴν ἡλίκην πράσου λαμβάνει.
τῷ δ' ὑστέρῳ, γελγιδοῦται. καὶ τῷ τρίτῳ, τέλειον γίνεται. καὶ
οὐδὲν χεῖρον. ἀλλ' ἔνιοί γε καὶ κάλλιόν φασι τοῦ ἐπικτοῦ. τὸ δ' ἐρι-
ζωσὴ γένεσις, οὐχ ὁμοία. τοῦτο σκορόδου ὅταν ἀνοιγήσῃ ἡ γελ-
γίς, κυρτοῦται πᾶσα. καὶ ἐνταῦθα αὐξηθεῖσα, διαιρεῖται πάλιν
εἰς τὰς γέλγεις. καὶ ὀξέοι πολλὰ γίνεται τῷ τελειῶσαι τὴν κεφα-
λήν. τὸ δὲ κρόμμυον εὐθὺς ἐκ τῆς ῥίζης ἄλλο καὶ ἄλλο παραφίη-
σι, καθάπερ καὶ βολβοί. καὶ σκύλλα. καὶ πάντα τὰ τοιαῦ-
τα. καὶ γὰρ τὰ κρόμμυα καὶ τὰ σκόροδα, μὴ ἀναιρουμένων,
ἀλλ' ἐώντων, πολλὰ γίνεται. φέρει δέ φασι καὶ τὸ σκόροδον ἐπὶ
τοῦ σφυρίγγος, σκόροδα καὶ τὰ κρόμμυα. περὶ μὲν οὖν τῶν

γωνῶν ἱκανῶς εἰρήσθω· φίλυδρα δὲ πάντα τὰ ἄλλα λά-
χανα καὶ φιλόκοπρα· πλὴν τοῦ πηγάνου· τοῦτο δὲ ἥκιστα φιλόκοπρον· τὰ
χειμερινὰ δὲ οὐχ ἧττον τῶν θερινῶν· καὶ τὰ ὑπήκοα τῶν ἰσχυρῶν· κόπρος
δὲ μάλιστα ἐπαινοῦσι τὴν συρματίτιν· τὴν δὲ τῶν ὑποζυγίων μο-
χθηράν, διὰ τὸ μάλιστα ὀξικμάζεσθαι· ζητοῦσι δὲ τὴν κόπρον ἅ-
μα τῷ σπόρῳ μάλιστα συναναμιχθεῖσαν· οἱ δὲ καὶ σπείροντες
ἐπιβάλλουσι· χρῶνται δὲ καὶ τῇ αὐτῇ γνώμῃ πρὸς τὴν χύλωσιν· φι-
λυδρότερα δὲ τὰ χειμερινὰ τῶν θερινῶν, καὶ τὰ ἀσθενῆ τῶν ἰσχυρῶν· ἔτι
δὲ τὰ πλείστας δεόμενα τροφῆς, φίλυδρα· καὶ τὸ κρόμμυον καὶ τὸ γή-
θυον· καίτοι φασί τινες οὐ ζητεῖν ἐὰν τὸ πρῶτον ἐγγένηται δὶς ἢ τρίς·
τοῦ δ᾽ ὕδατος, ἄριστα τὰ πότιμα· καὶ τὰ ψυχρά· χείριστα δὲ τὰ ἁλικὰ καὶ
δυσμανῆ· διὸ καὶ ἐκ τῶν ὀχετῶν οὐ χρηστά· συμπεριφέρει γὰρ σπέρμα-
τα πολλά· ἀγαθὰ δὲ τὰ ἐκ διός· ταῦτα γὰρ δοκεῖ καὶ φθείρειν τὰ θη-
ρία γινόμενα γόνιμα, κατεσθίοντα· φασὶ δέ τινες ὅτι τοῖς σι-
κύοις συμφέρει ὅτι τοῖς κρομμύοις· ἀρδεύουσι δὲ τὰ μὲν ἄλλα πρωῒ
ἢ πρὸς ἑσπέραν· ὅπως μὴ καθάψηται· τὸ δ᾽ ὤκιμον, καὶ μεσημβρίας· καὶ
διαβλαστάνειν θᾶττόν φασι θερμῷ τὸ πρῶτον ἀρδευόμενον· τὸ δὲ πολὺ
λίαν ὕδωρ δοκεῖ συμφέρειν· ἀμῶς γέ πως καὶ ἐὰν μὴ ἔχῃ κόπρον· πολ-
λάκις γὰρ πεινῶσι τὰ λάχανά φασι καὶ ταῦτα γνωρίζειν τοὺς
ἐμπείρους τῶν κηπωρῶν· μεταφυτευόμενα δὲ πάντα, καλ-
λίω καὶ μείζω γίνεται· καὶ γὰρ τὰ τῶν πράσων μεγέθη καὶ τὰ τῶν ῥα-
φανίδων, ἐκ μεταφυτείας· μάλιστα δὲ μεταφυτεύουσι πρὸς
τοὺς σπερματικούς· καὶ τὰ μὲν ἄλλα ὑπομένει· οἷον γήθυον· πράσον·
ῥάφανον· σίκυον· σέλινον· γογγυλίς, θρίδαξ· ἐλίχρυσον· ἅπαντα δ᾽ εὐαξέ-
στερα καὶ μείζω ἐπιγινόμενα τῶν σπερμάτων σπειρομένων· θηρία δὲ γί-
νεται, τῇ μὲν ῥαφανῖδι, ψύλλαι· τῇ δὲ ῥαφάνῳ, κάμπαι καὶ σκώ-
ληκες· καὶ ἐν τῇ θριδακίνῃ· καὶ ἐν τοῖς πράσοις· καὶ ἐν ἄλλοις πλείο-
σιν αἱ πρασοκουρίδες· ταῦτα μὲν οὖν ἡ κρᾶσις ἀθροισθεῖσα ἀ-
πόλλυσι· καὶ ὅταν κόπρον ἀθρόαν που καταλάβῃ, φιλόπονον τὸ θη-
ρίον ἀναδεύεται· καὶ ἐν οἷς κοιμᾶται ἐν τῇ κόπρῳ· διὸ δὴ ῥᾴδιον θη-
ρεύειν· ἀλλ᾽ οὐκ ἔστι· ταῖς δὲ ῥαφανῖσι πρὸς τὰς ψύλλας πρὸς

τὸ ὑπερέρφην ὀρόβους· περὶ δὲ τὸ μὴ γίνεσθαι ψύλλας, οὐ φασὶν εἶναι
φάρμακον οὐδέν. ὑπὸ δὲ τὸ ἄστρον ὤκιμον μὲν λευκαίνεται· κορίαν
νον δὲ ἅλμαι. τὰ μὲν οὖν συμβαίνοντα διὰ τούτων θεωρητέον.
τῶν δὲ σπερμάτων τὰ μέν ἐστιν ἰσχυρότερα· τὰ δὲ, ἀσθενέστερα πρὸς
διαμονὴν, ἰσχυρότερα μὲν· οἷον κορίαννον· τεύτλιον· πράσον· κάρ
δαμον, νᾶπυ· εὔζωμον· θύμβρα· ἄλλως τὰ δριμέα πάντα· ἀ-
σθενέστερα δὲ γήθυον· τοῦτο γὰρ οὐκ ἐθέλει μένειν· ἀνδράφαξυς, ὤ-
κιμον· κολοκύντη· σίκυον· ἁπλῶς τὰ θερινὰ τῶν χειμερινῶν
μᾶλλον. διαμένει δὲ οὐδὲν πλέον τεττάρων ἐτῶν· ὥστε ἐστὶ χρήσι-
μον εἶναι πρὸς τοὺς σπόρους· ἀλλὰ διετῆ μὲν βελτίω. διὰ δὲ τριετῆ
οὐδὲν χείρω· τὸ δ' ὑπὲρ πλεῖον ἤδη χεῖρον. πρὸς δὲ τὴν μαγειρικὴν χρείαν
ἐπὶ πλείω διαμένει· πλὴν ἀσθενέστερα πάντα ἀναγκαῖον εἶναι διὰ
τὴν ἀναπνοὴν καὶ τὴν κώλυσιν. φθορὰ δὲ μάλιστα μὲν ὑπὸ τῶν θηρίων.
γίνεται γὰρ ἐν ἅπασι καὶ τοῖς δριμέσιν, ἥκιστα δὲ ἐν τῷ σικυῶνι. οὐ μὴν
ἀλλὰ καὶ ὀξυκμαζόμενα πικρὰ γίνεται τῇ γεύσει· διὸ καὶ πρὸς τὴν
χρείαν χείρω. καὶ περὶ μὲν τῶν σπερμάτων, καὶ ἄλλων τῶν κηπευομένων,
ἱκανῶς εἰρήσθω. περὶ δὲ τῶν ἀγρίων καὶ τῶν καλουμένων ἀρουραίων, πειρα
τέον ὁμοίως εἰπεῖν. τυγχάνει δὲ τὰ μὲν ὁμώνυμα τοῖς εἰρημένοις.
ἅπαντα γάρ ἐστι τὰ γένη ταῦτα καὶ ἄγρια· καὶ σχεδὸν τά γε πολλὰ,
παραπλησίαν ἔχοντα τὴν ὄψιν τοῖς ἡμέροις, πλὴν τοῖς φύλ
λοις ἐλάττω ταῦτα καὶ τραχύτερα, καὶ τοῖς καυλοῖς· καὶ μάλιστα τοῖς
χυλοῖς δριμύτερα καὶ ἰσχυρότερα· καθάπερ ἥ τε θύμβρα· καὶ ἡ ὀ-
ρίγανος· ἥ τε σταφυλῖνος καὶ τὸ σέλινον· ἐπεὶ καὶ τὸ λάπαθον ἄγριον.
καίπερ ἀστομώτερον τοῦ ἡμέρου· τῷ δὲ χυλῷ ὀξύτερον ἔχει καὶ
τούτῳ μάλιστα διαφέρει. πάντα δὲ καὶ ξηρότερα τῶν ἡμέρων
καὶ ἴσως αὐτῷ τούτῳ τά τε πολλὰ καὶ δριμύτερα καὶ ἰσχυρό-
τερα. ἰδίως δὲ ἡ σταφυλῖνος ἔχει παρὰ τὰ ἄλλα τοὺς καυλοὺς
περιφερεστέρους καὶ λειοτέρους τοῦ ἡμέρου· καὶ τὴν τοῦ φύλλου πρό-
σθεσιν, ἐκείνη μὲν ἔχει πλατεῖαν, αὕτη δὲ περιφερεστέραν· καὶ αὐτὸ
δὲ τὸ φύλλον ἀγριώτερον· ἐπεὶ τά γε ἄλλα τραχύτερα καὶ τοῖς καυλοῖς καὶ

τοῖς φύλλοις. ἡ δὲ γογγυλὶς καὶ τὴν ῥίζαν ἔχει μακρὰν καὶ ῥα-
φανιδώδη, καὶ τὸν καυλὸν βραχύν. θελδακίνη δὲ τό τι φύλλον βρα-
χύτερον παρὰ ἡμέρας τελειούμενον ἀκανθοῦται, καὶ τὸν καυλὸν
ὁμοίως, τὸν ὀπὸν δὲ δριμὺν καὶ φαρμακώδη. φύεται δ' ἐν τοῖς ἀγροῖς
ὀπίζουσι δὲ αὐτὴν ὑπὸ πυραμητὸν, καὶ φασὶ καθαίρειν ὕδροπας. καὶ ἀ-
χλὺν ἀπὸ ὀφθαλμῶν ἀπάγειν, καὶ ἀρχομένας ἀφαιρεῖν ἐν γάλακτι γυ-
ναικείῳ. τὸ δ' ἱπποσέλινον καὶ ἐλειοσέλινον, καὶ ὀρεοσέλινον, καὶ πρὸς
ἑαυτὰ διαφορὰν ἔχει καὶ πρὸς τὸ ἥμερον. τὸ μὲν γὰρ ἐλειοσέλινον. τὸ
παρὰ τοὺς ὀχετοὺς καὶ ἐν τοῖς ἕλεσι φυόμενον, μανόφυλλόν τε καὶ οὐ δα-
σὺ γίνεται. προσεμφερὲς δέ πως τῷ σελίνῳ καὶ τῇ ὀσμῇ καὶ τῷ χυ-
λῷ καὶ τῷ σχήματι. τὸ δ' ἱπποσέλινον, φύλλον μὲν ἐμφερὲς τῷ
ἐλειοσελίνῳ. δασὺ δὲ καὶ μεγαλόκαυλον, καὶ τὴν ῥίζαν ὥσπερ
ῥαφανὶς ἔχει τὸ πάχος μέλαιναν. μέλας δὲ καὶ ὁ καρπός. μέγεθος
δὲ μεῖζον ὀρόβου. χρήσιμον δὲ ἄμφω φασὶ πρὸς στραγγουρίαν εἶ-
ναι ἐν οἴνῳ γλυκεῖ λευκῷ. καὶ τοῖς λιθιῶσι. φύεται δὲ ὅμως παν-
ταχοῦ. γίνεται δὲ καὶ τὸ δάκρυον ἐξ αὐτοῦ ὅμοιον τῇ μύρρᾳ. οἱ
δὲ φασὶν ὅλως μύρραν. τὸ δὲ ὀρεοσέλινον μείζους ἔτι διαφορὰς
ἔχει. τὸ μὲν γὰρ φύλλον ἔοικε κονίῳ. ῥίζα δὲ λεπτή. τὸν δὲ καυ-
λὸν ἔχει καθάπερ ἄνηθον. πλὴν ἐλάττω, δίδοασι δὲ τοῦτον ἐν οἴ-
νῳ αὐστηρῷ τῶν γυναικείων χάριν. ἔνια δὲ ὅλως ἀσύμβλητα τοῖς
εἰρημένοις ἐστὶ, κατά γε τοὺς χυλοὺς καὶ τὰς δυνάμεις· ὥσπερ σί-
κυος ὅ τε ἄγριος καὶ ὁ ἥμερος. ἀλλ' ἐκ τῆς προσόψεως ἔχει τὴν ὁμοιό-
τητα, καθάπερ καὶ ἐν τοῖς στεφανώμασιν ἡ ἰωνία. τὸ γὰρ φύλ-
λον ἔχει παρόμοιον. τούτων μὲν οὖν ἐν τοῖς εἰρημένοις αἱ διαφοραί. τῶν
δὲ ἀρουραίων λεγομένων μετὰ ταῦτα ῥητέον. καὶ ὅλως ἐπὶ τῶν ποιω-
δέστερον ἐστίν. ὁ μὴ τυγχάνει βρωτόν. καλούμενα λάχανα τὰ πρὸς τὴν
ἡμετέραν χρείαν. ἐν δὲ τῷ καθόλου κἂν εἶναι περιέχεται. διὸ καὶ πε-
ρὶ ἐκείνων λεκτέον. λάχανα μὲν δὴ τὰ τοιαῦτα καλεῖται κιχώρη.
ἀφάκη. ἀνδρυάλα. ὑποχοιρὶς, ἠριγέρων. καὶ ὅλως ὅσα κιχωριώδη
ταῦτα διὰ τὴν ὁμοιότητα τῶν φύλλων. πάντα γὰρ τὴν ἐμφέρειαν ἔχει τῷ κιχωρίῳ

πάλιν καυκαλὶς, ἀνθουσικὸν ἡδύοσμον. οἱ δὲ μυεῖαι ἄλλαι
καλοῦσιν, ὃ τὴν μὲν ῥίζαν ἔχει μακρὰν καὶ γλυκεῖαν, τὰ δὲ φύλλα
τῷ κρόκῳ ὅμοια, πλὴν μακρότερα, τὸν καυλὸν δὲ βραχὺν,
ἐφ' οὗ τὴν κάλυκα μεγάλην, καὶ ἐξ ἄκρου μέσαν τὸν πάππον τὸν
πολιόν. ἀφ' οὗ καλεῖται τραγοπώγων. ὁμοίως δὲ καὶ ἄλλαι τοι-
αῦται τὰς μὲν ἰδέας ἔχει, τοὺς δὲ χυλοὺς ἐδωδίμους ἢ ὠμοὺς ἢ ἑφθούς.
ἔνια δὲ δεῖται πυρώσεως, ὥσπερ μαλάχη καὶ τευτλὶς, καὶ τὸ λάπα-
θον. καὶ ἡ ἀκαλύφη. καὶ τὸ παρθένιον. τὸν δὲ τρόχον μὲν καὶ ὠμὸν ἐσθίου-
σιν ὃ καὶ ὠνήπατον τόν τινες πρότερον. καὶ ἕτερα δὲ πλείω τούτων.
ἐν οἷς καὶ παροιμιαζόμενος ἐστὶ διὰ πικρότητα κόρχορος· ἔχει
τὸ φύλλον ὠκιμῶδες. πάντων δὲ, τὰ μὲν ἐπέτεια, τὰ δὲ, ἐπετειό-
καυλα τυγχάνει. τὰ μὲν γὰρ ξηραίνονται. ὧν δὲ διαμένουσιν εἰς
πλείω χρόνον αἱ ῥίζαι. σχεδὸν δὲ οὐκ ἔλαττον τὰ τοιαῦτά ἐστι. φύε-
ται δὲ τὰ μὲν, καὶ ἀπὸ τῶν ῥιζῶν καὶ ἀπὸ τοῦ σπέρματος. τὰ δὲ ἕτερα,
μόνον ἀπὸ σπέρματος, εἰ μή τι καὶ αὐτόματον. ἡ δὲ βλάστησις καὶ τού-
των δὲ καὶ τῶν ἄλλων, τῶν μὲν ἅμα τοῖς πρώτοις ἐστὶ μετ' ἰση-
μερίαν· οἷον ἀφάκης. καὶ τὸ τοῦ κύνωπος. καὶ ἣν καλοῦσί τινες
βούπρηστιν, τῶν δὲ μετὰ πλειάδα, καθάπερ καὶ κιχωρίου, καὶ σχεδὸν τῶν
ἄλλων τῶν κιχωριωδῶν, καὶ τὰ μὲν εὐθὺς ἅμα τῇ βλαστήσει τὸ ἄν-
θος ἀφίησι, καθάπερ ἡ ἀφία. τὰ δὲ, ὕστερον οὐ πολλῷ. καθάπερ
ἡ ἀνεμώνη. τὰ δὲ, ἅμα τῷ ἤδη καὶ ἐκκαυλεῖν καὶ ἀνθεῖ, καθάπερ τὸ
κιχώριον καὶ τὰ κιχωριώδη, καὶ τῶν ἀκανθικῶν, ὅσα λαχανώδη.
διαφορὰ δὲ τῶν ἀνθῶν πολλή, περὶ ἧς ἐν τοῖς πρότερον εἴρηται.
σχεδὸν γάρ ἐστι κοινὸν ἁπάντων. ἔνια δὲ καὶ ὅλως ἀνανθῆ, καθάπερ
καὶ τὸ ἐπίμεξον. συμβαίνει δὲ οἷς ἅμα τῷ ἐκπτῶ τὸ ἄνθος ἀφίησι
τυχεῖν εἶναι τὴν ἀπάνθησιν. πλὴν ἡ μὲν, ἀπογηράσαντος
πάλιν τοῦ πρώτου, πάλιν ἄλλο καὶ ἄλλο παραφύει καὶ τοῦτο
ποιεῖ παρ' ὅλον τὸν χειμῶνα καὶ τὸ ἔαρ, ἄχρι τοῦ θέρους. πολὺν
δὲ χρόνον καὶ ὁ ἠριγέρων. τὰ δὲ ἄλλα οὐ ποιεῖ τοῦτο. καθάπερ
οὐδὲ ὁ κρόκος. οὔτε ὁ εὔοσμος, οὔθ' ὁ λευκός, οὔθ' ὁ ἀκανθώδης

οὗτοι δὲ εὔοσμοι. κοινὴ δὲ διαφορὰ πάντων τῶν ποωδῶν ἡ τοιάδε. τὰ μὲν γάρ ἐστιν ὀρθόκαυλα καὶ μακρόκαυλα. τὰ δὲ ἐπιγειόκαυλα. καθάπερ μαλάχη. σκάνδιξ. σίκυος ἄγριος. τὸ δὲ ἡλιοτρόπιον, ἔτι μᾶλλον ὡς εἰπεῖν τούτων. ὥσπερ καὶ ἐν τοῖς ἀκανθώδεσιν οὗτος τρίβολος καὶ ἡ κάππαρις καὶ ἄλλα πλείω. καὶ γὰρ ἐκείνων ἡ διαφορὰ πλείων. ἔνια δὲ περιαλλόκαυλα, μὴ ἔχοντα δὲ ποῦ προσπέσωσιν, ἐπιγειόκαυλα, καθάπερ ἡ πιτίνη. καὶ ἡ παρείνη. καὶ ἁπλῶς ὧν ὁ καυλὸς λεπτὸς καὶ μαλακός, καὶ μακρός. διὸ καὶ φύονται ταῦτα ὡς ἐπὶ τὸ πᾶν ἐν ἄλλοις. κοινὴ δὲ καὶ αὕτη ἡ διαφορὰ πάντων, οὐ μόνον τῶν ποωδῶν καὶ φρυγανικῶν. ἀλλὰ καὶ τῶν θαμνωδῶν. καὶ γὰρ ἡ ἕλιξ, καὶ ἔτι μᾶλλον ἡ σμίλαξ, περιαλλόκαυλον. ἔτι δὲ καὶ τῶν ποωδῶν, τὰ μὲν πολύκαυλα. τὰ δὲ, μονόκαυλα. καὶ τῶν μονοκαύλων, τὰ μὲν ἀπαράβλαστα κατὰ τὸν καυλόν. τὰ δὲ παραβλαστικά. καθάπερ καὶ ἐν τοῖς ἡμέροις, ἥ τε ῥαφανὶς καὶ ἄλλ᾽ ἄττα. πολύκαυλα δὲ ὡς ἁπλῶς εἰπεῖν τὰ ἐπιγειόκαυλα. μονόκαυλα δὲ καὶ ὀλιγόκαυλα, τὰ ὀρθόκαυλα. τούτων δὲ ἀπαράβλαστα τὰ λειόκαυλα. κρόμμυον. πράσον. σκόροδον, ὥσπερ καὶ ἐν τοῖς ἡμέροις ὑπάρχει. διαφορὰ δέ τις καὶ τοιάδε τῶν ποωδῶν ἐστι. τὰ μὲν ἐπιγειόφυλλα. τὰ δὲ ἐπικαυλόφυλλα. τυγχάνει δὲ ἀμφοτέρων, ἐπιγειόφυλλα μὲν, κορονόπους. ἄνθεμον. ἄγχουσα. πόα. ἀνεμώνη. ἀφυλλανθὲς. ἀπαργία. ἀρνόγλωσσον. ἀπάτη. καὶ ἐπικαυλόφυλλα δὲ. κρηπίς. ἀνθέμου τὸ φυλλῶδες. λωτὸν λυκόϊον. ἀμφοτέρως δὲ τὸ κιχώριον. καὶ γὰρ ἐπὶ τῶν καυλῶν ἅμα ταῖς ἐκφύσεσι ταῖς ἀκρεμονικαῖς, ἐκφύει τι καὶ ἄνθος, καὶ τῶν φυλλακάνθων ἔνια πλὴν ἀκανθώδεσι κομιδῆ καθάπερ ὁ σόγκος. ἔστι δὲ καὶ τὰ μὲν ἄκαρπα. τὰ δὲ κάρπιμα. καὶ ὅλως τῶν ποωδῶν τὰ μὲν, ἄχρι τῶν φύλλων ἀφικνεῖται. τὰ δὲ καυλὸν ἔχει καὶ ἄνθος. καρπὸν δὲ οὔ. τὰ δὲ καὶ καρπὸν ὥσπερ τελειοτέραν τὴν φύσιν. εἰ μή τι καὶ ἄνευ τοῦ ἄνθους καρποφορεῖ. ὥσπερ ἐπὶ τῶν δένδρων. διαφέρει δὲ καὶ τὰ φύλλα σχεδὸν οὐκ ἐλάττοσιν. ἀλλὰ

πλείοσι

πλείοσι διαφοραῖς, ἢ τὰ τῶν δένδρων. καὶ πρὸς αὐτὰ δὲ ἐκεῖνα διαφορὰς ἔχει· μεγίστην μὲν ὡς εἰπεῖν, ὅτι τὰ μὲν ἀπὸ μίσχου προσπέφυκε· τὰ δὲ, αὐτὰ μὲν ὡς ἁπλῶς· τὰ δὲ, καυλικῷ τινὶ προσφύσει, καὶ τῶν μὲν, ἐν τῇ βλαστήσει προτερεῖ· τῶν δὲ πλείστων τὰ φύλλα καὶ σχεδὸν ἐν τῇ ἀρχῇ μέγιστα γίνονται καὶ μάλιστα ἐδώδιμα. τὰ δὲ, ἐκ τῶν δένδρων προωθεῖ τινα καυλόν. διαφέρουσι δὲ καὶ τοῖς ἄνθεσι πολύ· ἐν μὲν γὰρ τοῖς δένδροις τά τε πλεῖστα λευκά· τὰ δὲ, μικροῦ ἐπιπορφυρίζοντα· τὰ δὲ ποώδη, καὶ χλοώδη· κεχρωσμένων δὲ ἀνθικῶν πολλαὶ καὶ παντοδαπαὶ χροιαὶ καὶ ἀκέρατοι καὶ μεμιγμέναι καὶ εὔοσμοι δὲ καὶ ἄοσμοι· καὶ ἔνιοι τὰ μὲν δένδρα τὴν ἄνθην ἁθρόαν ποιεῖται· τούτων δὲ ἔνια κατὰ μέρος ὥσπερ ἐλέχθη καὶ περὶ τοῦ ὠκίμου· διὸ καὶ πολὺν χρόνον ἀνθεῖ· καθάπερ ἄλλα τε πολλὰ, καὶ τὸ ἡλιοτρόπιον καὶ τὸ κιχώριον. πολλαὶ δὲ καὶ τῶν ῥιζῶν διαφοραί· καὶ τρόπον τινὰ τούτων φανερώτεραι· εἰσὶ γὰρ αἱ μὲν, ξυλώδεις· αἱ δὲ σαρκώδεις καὶ ἰνώδεις· ὥσπερ καὶ τῶν ἡμέρων· καθάπερ αἵ τε τοῦ σίτου καὶ τῆς πόας τῆς πλείστης. αὐτῶν δὲ τούτων ἕκασται πλείστας ἔχουσι διαφοράς· χρώμασιν· ὀσμαῖς· χυλοῖς· μεγέθεσιν· αἱ μὲν γὰρ λευκαί· αἱ δὲ, μέλαιναι· αἱ δὲ ἐρυθραί· καθάπερ ἥ τε τῆς ἀγχούσης, καὶ τοῦ ἐρυθροδάνου· αἱ δὲ ὥσπερ ξανθαὶ καὶ ξυλοειδεῖς· καὶ γλυκεῖαι δὲ καὶ πικραὶ καὶ δριμεῖαι· καὶ εὐώδεις καὶ κακώδεις· καὶ ἔνιαι φαρμακώδεις, ὥς ἐν ἄλλοις εἴρηται. διαφοραὶ δὲ καὶ τῶν σαρκωδῶν· αἱ μὲν γὰρ στρογγύλαι· αἱ δὲ προμήκεις καὶ βαλανώδεις, ὥσπερ ἀσφοδέλου καὶ κρόκου· καὶ αἱ μὲν, λεπυριώδεις· ὥσπερ ἡ τοῦ βολβοῦ καὶ τῆς σκύλλης, καὶ ὅσαι βολβώδεις· καὶ κρομμύου δὲ καὶ γηθύου, καὶ ὅσα τούτοις ὅμοια· αἱ δὲ, ὁμαλεῖς, καὶ ψαθυραί, καὶ μάλα· καὶ δρόλου· καὶ ὥσπερ ἄφλοιοι καθάπερ τοῦ ἄρου· αἱ δὲ καὶ φλοιὸν ἔχουσι πρὸς τῇ σαρκί· καθάπερ ἡ τοῦ κυκλαμίνου, καὶ τῆς γογγυλίδος. οὐχ ἅπασαι δὲ εὐώδεις· αἱ γλυκεῖαι ἢ εὔοσμοι· ἢ ἐδώδιμοι· οὐδὲ αἱ πικραὶ ἄβρωτοι· καὶ ὅσαι ἀβλαβεῖς εἰσι τῷ σώματι μετὰ τὴν προσφοράν· ἔνιαι γὰρ γλυκεῖαι μέν· θανάσιμοι δὲ καὶ νοσώδεις· αἱ δὲ, πικραὶ μὲν

ἢ κακώδεις· ὠφέλιμοι δέ. τὸν αὐτὸν δὲ τρόπον καὶ φύλλα καὶ καυλοί· καθάπερ τὰ τοῦ ἀψινθίου καὶ τοῦ κενταυρείου. διαφοραὶ δὲ καὶ κατὰ τὴν βλάστησιν καὶ κατὰ τὴν ἄνθησιν· οἷον ἀρχομένου χειμῶνος, καὶ μεσοῦντος· καὶ πάλιν ἦρος· ἢ θέρους· ἢ μετοπώρου. καὶ ἐπὶ τῶν καρπῶν δὲ ὁμοίως, τὸ βρωτὰ εἶναι· καὶ καυλοὺς εἶναι καὶ φύλλα. καὶ σπέρματα· καὶ ῥίζας. καὶ ἐν αὐτοῖς τούτοις κατὰ τοὺς χυλούς· οἷον, ὀξύτητι· καὶ γλυκύτητι· καὶ αὐστηρότητι· καὶ ταῖς ἄλλαις ταῖς τοιαύταις. ἁπλῶς τε καὶ κατὰ τὸ μᾶλλον. τὰς μὲν οὖν διαφορὰς ἐν τούτοις ληπτέον. διῃρημένων δὲ κατὰ τὰς ὥρας ἑκάστων, πρός τε τὰς βλαστήσεις, καὶ κατὰ τὰς ἀνθήσεις καὶ τελειώσεις τῶν καρπῶν, οὐδὲν ἀναβλαστεῖ καὶ πρὸ τῆς οἰκείας ὥρας, οὔτε τῶν ῥιζοφυῶν οὔτε τῶν σπερμάτων. οὔτε τῶν σπερμοφυῶν· ἀλλ' ἕκαστον ἀναμένει τὴν οἰκείαν· οὔθ' ὑπὸ τοῦ ὕδατος οὐδὲν πάσχον· ἔνια δὲ θερμὰ κομιδῇ καὶ τῇ ἀνθήσει· καὶ τῇ βλαστήσει· καθάπερ ὅ,τε σκόλυμος, καὶ ὁ σίκυος ἄγριος· ὥσπερ καὶ περὶ τῶν φρυγανικῶν ἐλέχθη· περὶ κονύζης τε καὶ καππάρεως καὶ τῶν ἄλλων. οὐδὲν γοῦν οὐδὲ ἐκείνων ἀνθεῖ ἢ βλαστάνει πρὸ τῆς οἰκείας ὥρας. διὸ καὶ ταύτῃ δόξαιεν ἂν διαφέρειν τῶν δένδρων. τῶν μὲν γὰρ ἅμα πάντων ἐγγὺς ἡ βλάστησις· εἰ δὲ μή, κατὰ μίαν γε ὥραν ὡς εἰπεῖν. τούτων δὲ ἐν πολλαῖς, μᾶλλον δὲ ἐν ἁπάσαις ἡ βλάστησις· καὶ ἔτι μᾶλλον ἡ ἄνθησις. ὥστε εἴ τις ἐθέλει κατανοεῖν, σχεδὸν συνεχὴς γίνεται καθόλου ἐνιαυτοῦ καὶ ἡ βλάστησις καὶ ἡ ἄνθησις. αἰεὶ γὰρ ἕτερον ἐξ ἑτέρου διαδεχόμενα, πάσας ἀναλαμβάνει τὰς ὥρας. οἷον μετὰ τὴν ἀφάκην, ἔσται ἡ ἀνεμωλία, καὶ ὁ ἠριγέρων, καὶ τὰ ἄλλα χειμερινά. μετὰ δὲ ταῦτα, τὰ ἠρινά· καὶ μετοπωρινά. πολλὰ δὲ ὥσπερ ἐλέχθη καὶ τῶν κατὰ μέρος ἀνθέων ἐπιτείνεται ταῖς ὥραις. ἔνια γὰρ οὕτως ἀνθεῖ καθάπερ ἥ τε ἀφάκη καὶ ὁ ὀμοκίχλης· καὶ τὸ κιχώριον. καὶ τὸ ἀρνόγλωσσον. καὶ ἄλλα. διὰ δὲ τὴν συνέχειαν καὶ τὴν περικατάληψιν τὴν ὑπ' ἀλλήλων, οὐ φαίνεται ῥᾴδιον ἐνίοις, οὐδὲ εἰδέναι ποῖα πρῶτα βλαστάνει· καὶ ὅλως ποῖα πρωῒ βλαστάνει· καὶ ποῖα ὀψιβλαστεῖ, ἵνα ζῇ καὶ αὐτῶν τε τούτων τὰς γενέσεις καὶ τὰς ὥρας. ὅταν τελειω-

θέρμων τῶν τε καὶ τῶν πυρῶν, τῶν δ' ἄλλων ἀρχὰς ἐν ἴσῳ μὲν τοῦ χρόνου γίνεσθαι· ὅπερ μάλιστα δοκεῖ συμβαίνειν μετὰ τὴν ἰσημερίαν τὴν μετοπωρινήν· τότε γὰρ ἤδη τὰ σπέρματα πλεῖστά τε τελειοῦται· ἔτι τῶν δενδρικῶν καὶ τῶν πολλοί· καὶ ἅμα μεταβολή τις αὐτοῦ τοῦ ἔτους προσγίνεται τῆς ὥρας· ὅσα δὲ ἀτελῆ ἐστι ἅπαντα καὶ περικαταλαμβάνεται, τούτοις κατὰ λόγον ἐκ περιόδου ἡ βλάστησις γίνεται, ἡ ἄνθησις, ἡ τελείωσις· διὸ συμβαίνει τὰ μὲν ὑπὸ τὰς τροπὰς αὐτῶν, τὰ δ' ὑπὸ τὸ κῦμα· τὰ δὲ μετὰ ἀρκτοῦρον ἢ ἰσημερίαν μετοπωρινήν· ἀλλὰ ταῦτα μὲν ἔοικε κοινοτέραν ἔχειν σκέψιν, εἰς ἀφορισμὸν ἀρχῆς· ὅτι δὲ αἱ διαφοραὶ πλείους ἢ οὐκ ἐλάττους ἐν τούτοις φανερόν· ἐπεὶ καὶ ἀείφυλλα τῶν φυτῶν ἐστὶν ἔνια, καθάπερ τὸ ἡλιοτρόπιον· καὶ τὸ ἀδίαντον· ἀφωρισμένων δὲ τούτων περὶ τὰς διαφορὰς ἐν οἷς εἴρηνται τόποις, λεκτέον ἤδη τὰς καθ' ἕκαστον ἱστορίας.

ὅσα καὶ κατὰ τὴν ἰδέαν ἑκάστου φύσιν· λέγω δ' οἷον τὰ σταχυώδη, καὶ τὰ σκανδικώδη· καὶ μυόφυλλα· καὶ εἴ τι ἕτερόν ἐστι τοιοῦτο κοινὸν ἐπὶ πάντων λαβεῖν· ὃ τῇ αἰσθήσει γνώριμον τοῖς φύλλοις, ἢ ἀνθήσεσιν ἢ ῥίζαις· ἢ κατὰ τὸ ἐκ τῶν φανερῶν ὁ μερισμός· ὥσπερ καὶ τῶν ῥιζῶν· σταχυώδη μὲν οὖν ἐστιν, ὅ τε ἀχύνωψ ὑπο

μικρός τε λείους ἔχων ἰδέας ἐν ἑαυτῷ· καὶ ὁ ἀλωπέκουρος καὶ ὁ στελέφουρος· ὑπ' ἐνίων δὲ ἀρνόγλωσσον· ἔτι δὲ ὄρτυξ καλούμενος· παρόμοιος δὲ τούτῳ τρόπον τινὰ καὶ ἡ θρυαλλίς· ἅπαντα δὲ καὶ μονοειδῆ τρόπον τινὰ ταῦτα ἢ στάχυν οὐκ ὀξὺν οὐδὲ ἀνθερώδη ἔχοντα· ὁ δὲ ἀλωπέκουρος, μαλακὸν χνοωδέστερον, ὅτι καὶ ὅμοιον ταῖς τῶν ἀλωπέκων οὐραῖς, ὅθεν καὶ τοὔνομα μετείληφεν· ὅμοιος δὲ τούτῳ καὶ ὁ στελέφουρος· πλὴν οὐχ ὥσπερ ἐκεῖνος ἀνθεῖ κατὰ μέρος· ἀλλὰ δι' ὅλου τοῦ στάχυος ὥσπερ ὁ πυρός· ἡ δὲ ἄνθησις ἀμφοῖν χνοώδης· καθάπερ καὶ τοῦ σίτου· παρόμοιον δὲ τῇ ὅλῃ μορφῇ τῷ πυρῷ· πλὴν πλατυφυλλότερον· ὡσαύτως δὲ τούτοις καὶ τὰ ἄλλα τὰ σταχυώδη λεκτέον· τὰ δὲ κιχοριώδη, πάντα μὲν ἐπιγειόφυλλα καὶ ῥιζόφυλλα· βλαστάνει δὲ μετὰ πλειάδα πλὴν τῶν

ἀπάτης· τοῖς δὲ καυλοῖς καὶ ῥίζαις μεγάλας ἔχουσι διαφοράς· οἱ μὲν γὰρ τῶν ἄλλων ἀβλαστότεροι καὶ ἐλάττους· ὁ δὲ τοῦ κιχορίου μέγας, καὶ ἀποφύσεις ἔχων πολλάς· ἔτι δὲ ὀλίγχρος καὶ δυσδιαίρετος· διὸ καὶ δεσμοῖς χρῶνται· παραβλαστικὴ δὲ καὶ τῇ ῥίζῃ, καὶ ἄλλως μακρόρριζον· διὸ καὶ δυσώλεθρον· ὅταν γὰρ ἐκλαχανίσωνται, πάλιν τὴν ὑπόλοιπον ἀρχὴν λαμβάνει γενέσεως· συμβαίνει δὲ καὶ παρανθεῖν αὐτοῦ μέρος ἄλλο καὶ ἄλλο· καὶ τοῦτο ἄχρι τοῦ μετοπώρου, σκληροῦ δοκοῦντος εἶναι τοῦ καυλοῦ· φέρει δὲ καὶ λοβόν, ἐν ᾧ τὸ σπέρμα περὶ τὰ ἄκρα τῶν καυλῶν· ἡ δὲ ὑποχώρησις λειοτέρα καὶ ἡμερωτέρα τῇ προσόψει καὶ γλυκυτέρα· καὶ οὐχ ὥσπερ ἡ χανδράς· ἀλλὰ τὸ ὅλον οὐκ ἐδώδιμος· αὕτη γὰρ ἄβρωτος· καὶ ἐν τῇ ῥίζῃ διαφέρει μὲν ὅτι ὀπὸν ἔχει καὶ πολύν· ἄβρωτος δὲ καὶ πικρὰ ἡ ἀφάκη· πρωϊανθεῖς δὲ, καὶ ταχὺ γηράσκει καὶ ἀποπαπποῦται· εἶτ᾽ ἄλλο φύεται πάλιν καὶ ἄλλο· καὶ τοῦτο παρόλον ποιεῖ τὸν χειμῶνα καὶ τὸ ἔαρ ἄχρι τοῦ θέρους· τὸ δὲ ἄνθος μηλινοειδές· ὡσαύτως δὲ καὶ ἡ πικρίς· καὶ γὰρ αὕτη πρωῒ ἦρι ἀνθεῖ καὶ παραπλήσια δι᾽ ὅλου τοῦ χειμῶνος καὶ τοῦ θέρους παρανθεῖ· τῇ γεύσει δὲ πικρά· διὸ καὶ τοὔνομα εἴληφε· ταῦτα μὲν οὖν ἐν ταύταις ταῖς διαφοραῖς· πειρατέον δὲ ὡς ἐλέχθη καὶ τῶν ἄλλων λαμβάνειν ὁμοίως· πολὺ δέ τι γένος ἐστὶ καὶ τῶν σαρκορρίζων ἢ κεφαλορρίζων· ἃ καὶ πρὸς τὰ ἄλλα καθὰ καὶ τὰς διαφορὰς ἔχει, ῥίζαις τε καὶ φύλλοις καὶ καυλοῖς καὶ ταῖς ἄλλαις μορφαῖς· τῶν γὰρ ῥιζῶν ὥσπερ εἰρήκαμεν πρότερον, αἱ μὲν λεπυρώδεις· αἱ δὲ σαρκώδεις· καὶ αἱ μὲν ἔχουσαι φλοιόν· αἱ δὲ ἄφλοιοι· ἔτι δὲ αἱ μὲν στρογγύλαι· αἱ δὲ προμήκεις· καὶ αἱ μὲν ἐδώδιμοι· αἱ δὲ ἄβρωτοι· ἐδώδιμοι μὲν γὰρ οὐ μόνον βολβοὶ καὶ τὰ ὅμοια τούτοις· ἀλλὰ καὶ ἡ τοῦ ἀσφοδέλου ῥίζα, καὶ ἡ τῆς σκίλλης· πλὴν οὐ πάσης, ἀλλὰ τῆς ἐπιμενιδείου καλουμένης, ἣ ἀπὸ τῆς χρήσεως ἔχει τὴν προσηγορίαν· αὕτη δὲ στενοφυλλοτέρα τε καὶ λειοτέρα τῶν λοιπῶν ἐστιν· ἐδώδιμος δὲ καὶ ἡ τοῦ ἄρου καὶ αὐτὴ καὶ τὰ φύλλα προσαφεψηθέντα ἐν ὄξει· καὶ

ἔστιν

ἐστὶν ἡδεῖά τε καὶ πρὸς τὰ ῥήγματα ἀγαθή. πρὸς δὲ τὴν αὔξησιν αὐτῆς ὅταν ἀποφυλλάσωσιν. ἔχει δὲ μέγα σφόδρα τὸ φύλλον ὃ ἀνορύξαντες, στρέφουσιν ὅπως ἂν μηδὲν βλαστάνῃ, ἀλλὰ πᾶσαν ἕλκῃ τὴν τροφὴν εἰς ἑαυτήν. ὃ καὶ ἐπὶ τῶν βολβῶν τινες ποιοῦσι σποτιθέντες. ἡ δὲ τοῦ δρακοντίου (καλοῦσι γάρ τι δρακόντιον ἄρον) διὰ τὸ τὸν καυλὸν ἔχειν τινὰ ποικιλίαν ἄκρωτος καὶ φαρμακώδης. ἀλλ' ἡ τοῦ φασγάνου καλουμένου γλυκεῖά τε ἑψηθεῖσα. καὶ ξιφθεῖσα μιγνυμένη τῷ ἀλεύρῳ, ποιεῖ τὸν ἄρτον γλυκὺν καὶ ἀσινῆ. στρογγύλη δέ ἐστι καὶ ἄφλοιος καὶ ἀποφύσεις ἔχουσα μικράς, ὥσπερ τὸ γήθυον. πολλὰ δὲ ἀνείσκουσι ταῖς σκολοπίαις. χαίρει γὰρ καὶ συλλέγει τὸ ζῶον. ἡ δὲ τοῦ θησείου, τῇ μὲν γεύσει πικρά. ξιβομένη δέ, κοιλίαν ὑποκαθαίρει. φαρμακώδεις δέ τινες εἰσὶ καὶ ἕτεραι. πολλῶν δὲ οὔτε φαρμακώδεις οὔτε ἐδώδιμοι. καὶ αὗται μὲν ἐν ταῖς ῥίζαις αἱ διαφοραί. κατὰ δὲ τὰ φύλλα, τοῖς τε μεγέθεσι καὶ τοῖς σχήμασιν, ὁ μὲν ἀσφόδελος μακρὸν καὶ στενώτερον καὶ ὑπόγλισχρον ἔχει τὸ φύλλον. ἡ δὲ σκίλλα, πλατὺ καὶ ὑδαίρετον. τὸ δὲ φάσγανον, ὑπό τινων δὲ καλούμενον ξίφος, ξιφοειδές. ὅθεν ἔχει καὶ τοὔνομα. ἡ δὲ ἶρις, καλαμωδέστερον. τὸ δὲ τοῦ ἄρου, πρὸς τῇ πλατύτητι καὶ ἔγκοιλον καὶ σικυῶδές ἐστιν. ὁ δὲ νάρκισσος, στενὸν καὶ πολὺ καὶ λιπαρόν. βολβὸς δέ, καὶ τὰ βολβώδη, παντελῶς στενά. καὶ τοῦ κρόκου δέ τι στενώτερον. καυλὸν δέ, τὰ μέν, οὐκ ἔχει τὸ ὅλον. οὐκ ἄνθος, ὥσπερ τὸ ἄρον τὸ ἐδώδιμον. τὰ δὲ τὸν τοῦ ἄνθους μόνον. ὥσπερ ὁ νάρκισσος καὶ ὁ κρόκος. ἔνια δὲ ἔχει. καθάπερ ἡ σκίλλα, καὶ ὁ βολβός. καὶ τὰ βολβώδη. καὶ ἡ ἶρις. καὶ τὸ ξίφιον. μέγιστον δὲ πάντων, ὁ ἀσφόδελος. ὁ γὰρ ἀνθέρικος μέγιστος. ὁ δὲ τῆς ἴριδος, ἐλάττων μέν, σκληρότερος δέ. τὸ δὲ ὅλον ἀνθερικώδης. ἔστι δὲ καὶ πολύκαρπος ὁ ἀσφόδελος, καὶ ὁ καρπὸς αὐτοῦ ξυλώδης. τῇ μὲν μορφῇ, τρίγωνος. τῷ δὲ χρώματι, μέλας. γίνεται δὲ ἐν τῷ στρογγύλῳ τῷ ὑποκάτω τοῦ ἄνθους. ἐκπίπτων δὲ τοῦ θέρους, ὅταν γῦρ διαχάνῃ, τὴν αὐ-

αὔανσιν ποιεῖται κατὰ μέρος ὥσπερ καὶ ἐπὶ τῆς σκύλλης. ἄρχεται δὲ πρῶτον
ἀπὸ τῶν κάτωθεν. ἐν δὲ τῷ ἀνθερίκῳ συνίσταται σκώληξ, ὃς εἰς ἄλλο με-
ταβάλλει ζῷον πτηνὸν ἀνθηνοειδές. εἶθ' ὅταν ὁ ἀνθέρικος αὐανθῇ.
διεκδύον ἐκπέταται. δοκεῖ δὲ ἴδιον ἔχειν πρὸς τὰ ἄλλα τὰ λειόκαυλα.
διότι στερεὸς ὢν ἀποφύσεις ἄνωθεν ἔχει. πολλὰ δὲ εἰς τροφὴν πα-
ρέχεται χρήσιμα. καὶ γὰρ ὁ ἀνθέρικος ἐδώδιμος σταθευόμενος. καὶ τὸ σπέρ-
μα φρυγόμενον. πάντων δὲ μάλιστα ἡ ῥίζα κοπτομένη μετὰ σύκου.
καὶ πλείστην ὄνησιν ἔχει καθ' Ἡσίοδον. ἅπαντα μὲν οὖν φιλόζωα,
τὰ κεφαλόρριζα. μάλιστα δὲ ἡ σκύλλα. καὶ γὰρ κρεμαμένη ζῇ. καὶ
πλεῖστον χρόνον διαμένει. δύναται δὲ καὶ τὰ θησαυριζόμενα σῴζειν, ὥσ-
περ τὴν ῥόαν ἐκ τῆς συνημμένης τοῦ μίσχου. καὶ τῶν φυτευομένων δὲ ἔνια,
βλαστάνει θᾶττον ἐν αὐτῇ. λέγεται δὲ καὶ πρὸ τῶν θυρῶν τῆς εἰσόδου φυ-
τευθεῖσαν, ἀλεξιτήριον εἶναι τῆς ἐπιφερομένης δηλήσεως. πάντα δὲ
ταῦτα ἀθρόα φύεται καθάπερ καὶ τὰ κρόμμυα καὶ τὰ σκόροδα. πα-
ραβλαστάνουσι γὰρ ἀπὸ τῆς ῥίζης. ἔνια δὲ ἀπὸ τοῦ σπέρματος φανε-
ρῶς. οἷον ὅ,τε ἀνθέρικος καὶ τὸ λείριον. καὶ τὸ φάσγανον. καὶ ὁ βολβός.
ἀλλ' ἴδιον τοῦτο τῶν βολβῶν λέγεται, τὸ μὴ ἀπὸ πάντων βλαστάνειν ἅ-
μα τῶν σπερμάτων. ἀλλὰ τῶν μὲν, αὐτοετές. τῶν δὲ, εἰς νέωτα. καθά-
περ τὸν αἰγίλωπα φασί, καὶ τὸν λωτόν. τοῦτο μὲν οὖν εἴπερ ἀληθές.
κοινὸν ἑτέρων. κοινὸν δὲ ἴσως καὶ τὸ μέλλον λέγεσθαι, πλὴν οὐ πολλῶν. θαυ-
μαστὸν δὲ ἐπὶ πάντων, ὅπερ ἐπί τε τῆς σκύλλης καὶ τοῦ ναρκίσσου
συμβαίνει. τῶν μὲν γὰρ ἄλλων, καὶ τῶν ἐξ ἀρχῆς φυλλομένων καὶ τῶν βλαστανόν-
των, καθάπερ αὖ τὸ φύλλον ἀνατέλλει πρῶτον. εἶθ' ὕστερον ὁ καυλός.
ἐπὶ δὲ τούτων, ὁ καυλὸς πρότερον. τοῦ ναρκίσσου δὲ, ὁ τοῦ ἄνθους μόνον
εὐθὺ πρόωρον τὸ ἄνθος. τῆς δὲ σκύλλης καθ' αὑτὸν εἰς ὕστερον, ἐπὶ
τούτῳ τὸ ἄνθος ἀνίσχον προσκαθήμενον. ποιεῖται δὲ τὰς ἀνθήσεις τρεῖς.
ὧν ἡ μὲν πρώτη δοκεῖ σημαίνειν τὸν πρῶτον ἄροτον. ἡ δὲ δευτέρα,
τὸν μέσον. ἡ δὲ τρίτη, τὸν ἔσχατον. ὅσαι γὰρ ἂν αὗται γίνωνται, καὶ οἱ ἄ-
ροτοι σχεδὸν οὕτως ἐκβαίνουσιν. ὅταν δὲ οὕτως ἀπογηράσῃ, τότε ἡ τῶν
φύλλων βλάστησις πολλαῖς ἡμέραις ὕστερον. ὡσαύτως δὲ καὶ ἐπὶ

τῷ ναρκίσσου· πλὴν ὅτι καυλὸν ἕτερον ἔχει παρὰ τὸν τοῦ ἄνθους ὥσ-
περ εἴπομεν, ὅτι καρπὸν φανερόν· ἀλλὰ καὶ αὐτὸ τὸ ἄνθος ἅμα τῷ
καυλῷ καταφθίνει· καὶ ὅταν ἀνανθῇ, τότε τὰ φύλλα ἀνατέλ-
λει· πρὸς μὲν οὖν τὰ ἄλλα τὰ συνάμφω ταῦτα ἴδια· πρὸς δὲ τὰ
προανθοῦντα τῶν φύλλων καὶ τῶν καυλῶν, ὅπερ δοκεῖ περιὸν τὸ τί-
φυον καὶ ἕτερα τῶν ἀνθηρῶν, ἔτι τε τῶν δένδρων, ἡ ἀμυγδαλῆ μάλιστα
ἢ μόνον· ὅτι ταῦτα μὲν ἅμα τῷ ἄνθει προφαίνει τὸ φύλλον εὐ-
θὺς κατόπιν· ὥστε καὶ διαζητεῖται περί τινων· περὶ δὲ φυτῶν οἷον
ἀφ' ἑτέρας ἀρχῆς φαίνεται καὶ διὰ τὸ πλῆθος τῶν ἡμερῶν· ἢ διὰ τὸ μὴ
πρότερον βλαστάνειν, πρὶν τὸ μὲν, τὸ ἄνθος· τὸ δὲ καὶ ὁ καυλὸς ὅλος ἀπο-
γηράσῃ· ἡ δὲ βλάστησις, προτέρα μὲν τῆς σκίλλης, ὑστέρα δὲ ναρ-
κίσσου· πολὺ δὲ καὶ τὸ φύλλον οὕτως ἀφίησι καί ἐστιν ἡ ῥίζα αὐτῇ οὐ
μικρὰ καὶ οὐ μεγάλη· προσεμφερὴς κατὰ τὸ σχῆμα τῷ βολβῷ· πλὴν
οὐ δὲ πυρώδης· ταῦτα μὲν οὖν ἔχει σκέψιν. τῶν δὲ βολβῶν ὅτι πλείω
γένη, φανερόν· καὶ γὰρ τῷ μεγέθει καὶ τῇ χρόᾳ καὶ τοῖς σχήμασι διαφέρου-
σι καὶ τοῖς χυλοῖς· ἐνιαχοῦ γὰρ οὕτω γλυκεῖς, ὥστε καὶ ὠμοὺς ἐσθίεσθαι
καθάπερ ἐν Χερρονήσῳ τῇ Ταυρικῇ. μεγίστη δὲ καὶ ἰδιωτάτη διαφο-
ρὰ τῶν ἐριοφόρων· ἔστι γάρ τι γένος τοιοῦτον, ὃ φύεται μὲν αἰγι-
αλοῖς· ἔχει δὲ τὸ ἔριον ὑπὸ τοὺς πρώτους χιτῶνας, ὥστε ἀνὰ μέ-
σον εἶναι τοῦ τε ἐδωδίμου τοῦ ἐντὸς, καὶ τοῦ ἔξω· ὑφαίνεται δ' ἐξ
αὐτοῦ καὶ πόδια καὶ ἄλλα ἱμάτια· διὸ καὶ ἐριῶδες τοῦτο· καὶ
οὐχ ὥσπερ τὸ ἐν Ἰνδοῖς τριχῶδες· πλείω δὲ καὶ τὰ βολβώδη καὶ ἐ-
λάττω· ταῦτα δὲ καθάπερ τὸ λευκόϊον καὶ βολβίνη· καὶ ὅ τι τῇ·
καὶ κύϊξ· καὶ ἕτερον τινὰ τὸ σισυρίγχιον· βολβώδη δὲ ταῦτα, ὅτι στρογγύ-
λα ταῖς ῥίζαις· ἐπεὶ τοῖς τε χρώμασι λευκὰ καὶ οὐ λεπυρώ-
δη· ἴδιον δὲ τοῦ σισυριγχίου, τὸ τὰς ῥίζας αὐξάνεσθαι τὸ κά-
τω πρῶτον, ὃ καλοῦσι χειμῶνα, τοῦ δ' ἦρος ὑποφαίνοντος, τοῦ-
το μὲν ταπεινοῦσθαι· τὸ δ' ἄνω τὸ ἐδώδιμον αὐξάνεσθαι· καὶ τὰ
μὲν, τοιαύτας ἔχει τὰς διαφοράς· ἴδια δὲ καὶ ταῦτα ἐν τοῖς
πώεσιν τό, τε ἐπὶ τοῦ ἀδιάντου συμβαῖνον· οὐδὲ γὰρ ὑγραί

νεται τὸ φύλλον βρεχόμενον· οὐδὲ πρόδηλόν ἐστι, διὰ τὸ τὴν νοτίαν ἐπιμένειν· ὅθεν καὶ ἡ προσηγορεία· γένη δ' αὐτοῦ δύο· τὸ μὲν, λευκόν· τὸ δὲ, μέλαν· χρήσιμα δὲ ἀμφότερα πρὸς ἔκφυσιν κεφαλῆς τριχῶν ἐν ἐλαίῳ τριβόμενα. φύεται δὲ μάλιστα πρὸς τὰ ὑδρηλά· ὡς δέ οἷον ταύτην τε καὶ πρὸς στραγγουρίαν τὸ τριχομανὲς ποιεῖν· ἔχειν δὲ τὸν καυλὸν ὅμοιον τῷ ἀδιάντῳ τῷ μέλανι· φύλλα δὲ μικρὰ σφόδρα καὶ πυκνά· καὶ πεφυκότα κατ' ἀντικρὺ ἀλλήλων· ῥίζα δὲ οὐκ ἔστι· χωρία δὲ φιλεῖ σκιερά· τῶν δὲ κατὰ μέρος ἀνθούντων ἴδιον τὸ περὶ τὸ ἀνθεμον· ὅτι τῶν μὲν ἄλλων πάντων ἴδιον τὸ κάτω πρῶτον ἀπανθεῖν· τούτου δὲ, τὰ ἄνω· τυγχάνει δ' αὐτοῦ τὸ μὲν κύκλῳ τὸ λευκὸν ἄνθος· τὸ δὲ ἐν τῷ μέσῳ, τὸ χλωρόν· καὶ καρπὸς ὃς ἐκπίπτει καθάπερ τοῖς ἀκανθώδεσι, καταλιπὼν τὴν πρόσφυσιν κενήν· εἴδη δ' αὐτοῦ πλείω· ἴδιον δὲ καὶ τὸ περὶ τὴν ἀπαρίνην· ἡ γὰρ τῶν ἱματίων ἀντέχεται διὰ τὴν τραχύτητα· καὶ ἔστι δυσαφαίρετον· ἐν τούτῳ γὰρ ἐγγίνεται τῷ τραχεῖ τὸ ἄνθος οὐ προϊὸν, οὐδὲ ἐκφαῖνον, ἀλλ' ἐν ἑαυτῷ πεττόμενον καὶ σπερμογονοῦν· ὥστε παρόμοιον εἶναι τὸ συμβαῖνον, ὥσπερ ἐπὶ τῶν γαλέων καὶ κρηνῶν· ἐκεῖνά τε γὰρ ἐν ἑαυτοῖς ὠοτοκήσαντα ζωογονεῖ· καὶ αὕτη τὸ ἄνθος ἐν ἑαυτῇ κατέχουσα, πέττουσα καρποτοκεῖ· ὅσα δὲ τὰς ἀνθήσεις βλαστάνουσιν, ἀκολουθοῦντα τοῖς ἀγρίοις, οἷον τὸ ἡλιοτρόπιον καλούμενον· καὶ ὁ σκόλυμος· (ἅμα γὰρ ταῖς τροπαῖς καὶ οὗτος) ἔτι δὲ τὸ χελιδόνιον (καὶ γὰρ τοῦτο ἅμα τῇ χελιδονίᾳ ἀνθεῖ) ταῦτα δὲ δόξειεν αὐτῇ μὲν φυσικὴν ἔχειν τὴν αἰτίαν, τῇ δὲ, συμπτωματικήν· πολλὰ δὲ τοιαῦτά ἐστι καὶ ἐν ἑτέροις ἴδια· διὸ καὶ ἡ τοῦ ἀειζώου φύσις, τὸ διαμένειν ὑγρὸν ἀεὶ καὶ χλωρόν, φύλλον σαρκῶδες ἔχον καὶ λεῖον καὶ προμῆκες· φύεται δὲ ἔν τε τοῖς ἀλοπεδίοις τοῖς ἐπὶ τῶν τοίχων αὐχμηροῖς, καὶ οὐχ ἥκιστα ἐπὶ τῶν κεραμῶν· ὅταν ἐπιγένηται γῆς τι ἀμμώδους ξηρόν· πολλὰ δ' ἂν τις ἴσως λάβοι καὶ ἕτερα περιττά· χρὴ δὲ ὥσπερ πολλάκις εἴρηται τὰς ἰδιότητας θεωρεῖν καὶ τὰς διαφορὰς πρὸς τὰ ἄλλα· τὰ

μὲν, ἐν πλείοσιν ἰδέαις ἐστὶ καὶ σχεδὸν οἷον ὁμωνύμοις· ὥσπερ ὁ λωτός· τούτου γὰρ εἴδη πολλὰ, διαφέροντα καὶ φύλλοις καὶ καυλοῖς καὶ ἄνθεσι καὶ καρποῖς· ἐν οἷς καὶ ὁ μελίας σῖτος καλούμενος καὶ δυνάμεις διττὰς κατὰ τὴν προσφοράν· ὅτι τε τῶν μὴ τρὺς αὐτοὺς τόπους ζητεῖν· ὁμοίως δὲ καὶ ἕτερα πλείω. τὰ δὲ ἐν ἐλάττοσιν· ὥσπερ ὁ στρύχνος ὁμωνυμίᾳ τινὶ παντελῶς εἰλημμένος· ὁ μὲν γὰρ ἐδώδιμος καὶ ὥσπερ ἥμερον καρπὸν ἔχων ῥαγώδη· ἕτεροι δὲ δύο εἰσίν· ὧν ὁ μὲν, ὕπνον· ὁ δὲ μανίαν ἐμποιεῖν δύναται· πλείων δέ τι δοθεὶς, καὶ κτείνει· ὁμοίως δὲ τοῦτο καὶ ἐφ' ἑτέρων ἐστὶ λαβεῖν, ἃ πλείω ἔχει διάστασιν· περὶ μὲν οὖν τῶν ἄλλων τῶν ποωδῶν, ἱκανῶς εἴρηται· περὶ δὲ σίτου καὶ τῶν σιτωδῶν, μετὰ ταῦτα λεκτέον· τοῦτο γάρ ἐστι καταλοιπὸν ἦν :~:~:~:~

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡῚ ΦΥΤΩ͂Ν ἹΣΤΟΡΊΑΣ ΤῸ Θʹ

Ἰστέον ὅτι τὸ ὄγδοον τοῦ Θεοφράστου περὶ φυτῶν βιβλίον, κατὰ μὲν ἀνδρόνικον περὶ φυτῶν ἱστορίας ἐπιγέγραπται· κατὰ δὲ ἕρμιππον, περὶ φρυγανικῶν καὶ ποωδῶν.

Περὶ μὲν οὖν τῶν ἄλλων τῶν ποωδῶν, ἱκανῶς εἰρήσθω· περὶ δὲ σίτου καὶ τῶν σιτωδῶν λέγωμεν ὁμοίως τοῖς πρότερον· τοῦτο γὰρ καταλοιπὸν ἦν τῶν ποωδῶν· δύο δὲ αὐτοῦ γένη τὰ μέγιστα τυγχάνει· τὰ μὲν γὰρ σιτώδη, οἷον πυροί· κριθαί· τῖφαι· ζειαί· τὰ ἄλλα τὰ ὁμοιόπυρα· ἢ ὁμοιόκριθα· τὰ δὲ, χεδροπά· οἷον, κύαμος· ἐρέβινθος· πισός· καὶ ὅλως τὰ ὄσπρια προσαγορευόμενα· τρίτον δὲ παρὰ ταῦτα, κέγχρος· ἔλυμος· σήσαμον· καὶ ἁπλῶς τὰ ἐν τοῖς θερινοῖς ἀρότοις ἀνώνυμα κοινῇ προσηγορίᾳ· ἔστι δὲ ἡ μὲν γένεσις αὐτῶν, μία καὶ ἁπλῆ· φύεται γὰρ ἀπὸ σπέρματος, ἐὰν μή τι σπάνιον ἢ ὀλίγον ἀπὸ ῥίζης· ὥσπερ γὰρ ὁ σπόρος τῶν

πλείστων δύο· πρώτην δὲ καὶ μάλιστα, ἡ περὶ πλειάδων δύσιν· ᾗ καὶ
Ἡσίοδος ἠκολούθηκε· καὶ σχεδὸν οἱ πλεῖστοι· διὸ καὶ καλοῦσί τινες αὐτὸν
ἄροτον. ἄλλη δὲ ἀρχομένου τοῦ ἦρος μετὰ τὰς τροπὰς τοῦ χει-
μῶνος. οὐ τῶν αὐτῶν δὲ ἑκατέρα· τὰ μὲν γὰρ αὐτῶν φιλεῖ πρωϊσπο-
ρεῖσθαι· τὰ δὲ, ὀψέ· διὰ τὸ μὴ δύνασθαι φέρειν τοὺς χειμῶνας· τὰ
δὲ πρὸς ἀμφοτέρας τὰς ὥρας οὐ κακῶς ἔχει καὶ πρὸς χειμῶ-
να καὶ πρὸς ἔαρ. πρωΐσπορα μὲν οὖν ἐστι, πυρὸς· κριθή· καὶ τού-
των ἡ κριθὴ πρωϊσπορώτερον· ἔτι δὲ ζειά· τίφη· ὄλυρα· καὶ εἴ τι
ἕτερον ὁμοιόπυρον· ἁπάντων γὰρ σχεδὸν ὁ αὐτὸς χρόνος τῆς σπο-
ρᾶς· τῶν δὲ χεδροπῶν μάλιστα ὡς εἰπεῖν, κύαμος· καὶ κέγχρος· ταῦτα γὰρ
διὰ τὴν ἀσθένειαν προλαβεῖν τῇ ῥιζώσει βούλεται τὸν χειμῶ-
νος· πρωΐσπορον δὲ καὶ ὁ θέρμος· ἀπὸ τῆς ἅλω γάρ φασι δεῖν κα-
ταβάλλειν εὐθύς· ὀψίσπορα δὲ, τούτων αὐτῶν ὅσα διαφέρει τοῖς
γένεσιν· οἷον πυρῶν τι γένος καὶ κριθῶν, ὃ καλοῦσι τριγώνους
διὰ τὸ ἐν τοσούτῳ τελειοῦσθαι· καὶ τῶν χεδροπῶν τὰ τοιάδε· φα-
κός· ἀφάκη· πισός· ἐν ἀμφοτέραις δὲ ταῖς ὥραις· τῶν χεδρο-
πῶν καθάπερ ὄροβος· ἐρέβινθος· οἱ δὲ καὶ τὸν κύαμον ὀψὲ σπεί-
ρουσιν, ἐὰν ὑστερίσωσι τῶν πρώτων ἀρότων· ἁπλῶς δὲ πρωϊσπείρου-
σι τὰ μὲν, δι' ἰσχὺν ὡς οὐ δυνάμενα φέρειν τοὺς χειμῶνας· τὰ δὲ
δι' ἀσθένειαν, ὅπως προλάβωσι ταῖς ῥίζαις τὴν αὔξησιν· δύο μὲν
οὖν αὗται· τρίτη δὲ τῶν θερινῶν, ἣν εἴπομεν, ἐν ᾗ κέγχρος σπείρε-
ται καὶ μέλινος· καὶ σήσαμον· ἔτι δὲ ἐρύσιμον, καὶ ὅρμινον· χρόνοι
μὲν οὖν ἑκάστων οὗτοι· βλαστάνει δὲ τὰ μὲν, θᾶττον· τὰ δὲ, βρα-
δύτερον· καὶ κριθὴ μὲν καὶ πυρὸς, ἑβδομαῖα μάλιστα· προτε-
ρεῖ δὲ ἡ κριθὴ μᾶλλον· τὰ δὲ ὄσπρια τεταρταῖα, ἢ πεμπταῖα, πλὴν
κυάμου· κύαμος δὲ καὶ τῶν σιτωδῶν ἐν πλείοσιν· ἐνιαχοῦ δὲ καὶ πεντεκαιδε-
καταῖος· ὅτε δὲ καὶ εἰκοσταῖος· δυσφυέστατος γὰρ πάντων· ἐὰν δὲ δὴ καὶ
σπαρέντος ἐπιπλέον ὕδωρ ἐπιγένηται, καὶ παντελῶς· εἰ δὲ τῶν ἐν τοῖς ἐαρι-
νοῖς ἀρότοις θᾶττον ἡ ἔκφυσις διὰ τὴν ὥραν, σκεπτέον· χρὴ δὲ τὰς ἀνα-
βλαστήσεις καὶ τὰς διαφύσεις ταύτας ὡς ἐπὶ τὸ πᾶν διαλαβεῖν· ἐνίοτε

γὰρ ἐνιαχοῦ καὶ ἐν ἐλάττοσιν ἡμέραις, καθάπερ ἐν αἰγύπτῳ. ξιταῖον γάρ φασι τὰ τεταρταῖον ἀνατέλλειν· παρ᾽ ἄλλοις δὲ, ἐν πλείοσι τῶν εἰρημένων· ὅπερ καὶ οὐκ ἄλογον· ὅταν ἡ χώρα καὶ ὁ ἀὴρ διαφέρῃ, καὶ πρωϊαίτερον ἢ ὀψιαίτερον ἀρόσειν· καὶ τὰ ἐπιγινόμενα ἀνόμοια τυγχάνει· ἡ μὲν γὰρ μανὴ καὶ κούφη καὶ εὐκάρπῳ ἀεί, ταχὺ καὶ ῥαδίως ἀναδίδωσιν· ἡ δὲ γλίσχρα καὶ βαρεῖα, βραδέως· ἡ δὲ τοῖς τόποις αὐχμωδεστέρα βραδέως. ἔτι δὲ ἂν χειμῶνες ἐπιγίνωνται καὶ αὐχμοὶ ἢ εὐδίαι καὶ πάλιν ὕδατα· καὶ γὰρ ἐν τούτοις πολὺ παραλλάττουσιν· ὡσαύτως δὲ καὶ ἐὰν ἡ γῆ ὡς προειργασμένη καὶ κόπρον ἔχουσα τυγχάνῃ· καὶ ἐὰν μηδὲν τούτων. ἐπεὶ καὶ περὶ τὸ πρωϊσπορεῖν ἕκαστα καὶ ὀψισπορεῖν, αἱ χῶραι διαφέρουσιν· ἔνιοι δὲ καὶ περὶ τὴν ἑλλάδα πάντα πρωϊσπορεῖν εἰώθασι διὰ ψυχρότητα τῆς χώρας, ὥσπερ οἱ φωκεῖς, ὅπως ἂν οἱ χειμῶνες μὴ νήπια καταλαμβάνωσι. βλαστάνει δὲ τὰ μὲν, ἐκ τοῦ αὐτοῦ τὴν ῥίζαν ἀφιέντα καὶ τὸ φύλλον· τὰ δὲ, ἑκατέρωθεν ἐξ ἑκατέρου τοῦ ἄκρου· πυρὸς μὲν οὖν καὶ κριθὴ καὶ τίφη καὶ ὅλως ὅσα σιτώδη, πάντα ἐξ ἑκατέρου· πάντα γὰρ ἐν τῷ στάχει πέφυκεν. ἀπὸ μὲν τοῦ κάτω τοῦ πάχεος τὴν ῥίζαν· ἀπὸ δὲ τοῦ ἄνω, τὸν βλαστόν. ἓν δέ τι καὶ συνεχὲς γίνεται τὸ ἀμφοῖν τῆς τε ῥίζης καὶ τοῦ καυλοῦ. κύαμος δὲ καὶ τὰ ἄλλα χεδροπὰ, οὐχ ὁμοίως· ἀλλ᾽ ἐκ τοῦ αὐτοῦ τὴν ῥίζαν καὶ τὸν καυλόν· καθὸ καὶ ἡ πρόσφυσις αὐτῶν ἐστὶ πρὸς τὸν λοβόν· ἐν ᾧ καὶ ἔχουσιν οἷον ἀρχήν τινα φανεράν· ἐπ᾽ ἐνίων δὲ καὶ αἰδοιώδης φαίνεται καθάπερ ἐπὶ τῶν κυάμων καὶ τῶν ἐρεβίνθων· καὶ μάλιστα τῶν θέρμων· ἐκ τούτων γὰρ ἡ μὲν ῥίζα κάτω· τὸ δὲ φύλλον καὶ ὁ καυλὸς ἄνω χωρεῖ. ταύτῃ μὲν οὖν πῃ διαφέρει· τῇ δὲ ὁμοίως ἔχει, τῷ πάντα γε κατὰ τὴν πρόσφυσιν τοῦ λοβοῦ καὶ τοῦ στάχυος ἀφιέναι τὴν ῥίζαν καὶ μὴ καθάπερ ἐν τοῖς δενδρικοῖς ἐστὶν ἀνάπαλιν· οἷον, ἀμυγδάλῃ· καρύῳ· βαλάνῳ· τοῖς τοιούτοις· ἐν ἅπασι δὲ ἡ ῥίζα μικρῷ πρότερον ἐκφύεται τοῦ καυλοῦ· συμβαίνει δὲ ἔνια τῶν σιτωδῶν, ὥστε τὸ μὲν βλαστεῖν ἐν αὐτῷ τῷ σπέρματι βλαστάνειν πρῶτον· αὐξανομένου δὲ, διΐστασθαι τὰ σπέρματα· πάντα δ᾽ ἴσως καὶ ταῦτα διαμορφεῖ. τὰ δὲ δὴ χεδροπὰ φα

μερῶς πάμπαν ὀλίγα καὶ σύνθετα. τὴν δὲ ῥίζαν εὐθὺς ἔξω προωθοῦσιν. ἐν δὲ τοῖς χεδροποῖς διὰ τὸ καθ᾽ αὑτὰ εἶναι· τῶν μὲν οὖν συμβαίνει προτέρα ἡ ῥίζα μικρόν· ἀναφύεται δὲ ἡ μὲν κριθὴ καὶ ὁ πυρὸς, μονόφυλλα· ὁ δὲ πισὸς καὶ ὁ κύαμος καὶ ὁ ἐρέβινθος, πολύφυλλα. ῥίζαν δὲ ἔχει τὰ μὲν χεδροπὰ πάντα ξυλώδη καὶ μίαν, ἀπὸ δὲ ταύτης καὶ ἀποφύσεις λεπτάς· βαθυρριζότατον δὲ ὡς εἰπεῖν τούτων ὁ ἐρέβινθος· ἐνίοτε δὲ καὶ παρακαθίησιν. ἀλλ᾽ ὁ πυρὸς καὶ ἡ κριθὴ καὶ τὰ ἄλλα τὰ σιτώδη, πολύρριζα καὶ λεπτόρριζα. διὸ καὶ τὰ ὀροβώδη πολύκλαδα, καὶ πολύκαυλα πάντα τὰ τοιαῦτα. σχεδὸν δὲ καὶ ἐναντίωσίς τις ἑκατέρων ἐστί· τὰ μὲν γὰρ χεδροπὰ, μονόρριζα ὄντα, πολλὰς ἄνωθεν ἀπὸ τῶν καυλῶν ἀποφύσεις ἔχοντα· πλὴν κυάμου· τὰ δὲ σιτηρὰ, πολύρριζα, πολλοὺς καὶ αὐξήσει βλαστούς, ἀπαράβλαστοι δὲ οὗτοι· πλὴν ἔτι γένος πυρῶν τοιοῦτο, ὃ καλοῦσι σιτανίας καὶ κριθανίας. τὸν μὲν οὖν χειμῶνα ἐν τῇ χλόῃ μένει τὰ σιτώδη· διαγελώσης δὲ τῆς ὥρας, καυλὸν ἀφίησιν ἐκ τοῦ μέσου, καὶ γονατοῦται. συμβαίνει δ᾽ εὐθὺς ἐν τῷ τρίτῳ γόνατι, τοῖς δὲ ἐν τῷ τετάρτῳ, καὶ τὸν στάχυν ἔχειν, ἀλλ᾽ οὐ φανερὸν ἐν τῷ ὄγκῳ· γίνεται δ᾽ ἐν τῷ ὅλῳ καλάμῳ πλείω τούτων· ὥστε σχεδὸν ἅμα τῷ καλαμοῦσθαι συνίστασθαι μικρὸν ὕστερον. ἀλλ᾽ οὐ πρότερον φανερὸς γίνεται, πρὶν ἂν προαυξηθεὶς ἐν τῇ κάλυκι γένηται· τότε δὲ ἡ κύησις φανερὰ διὰ τὸν ὄγκον. ἀπολυθεὶς δ᾽ εὐθὺς ἀνθεῖ μεθ᾽ ἡμέρας τέτταρας ἢ πέντε καὶ πυρὸς καὶ κριθή. καὶ ἀνθεῖ σχεδὸν τὰς ἴσας. οἱ δὲ τὰς πλείστας λέγοντες, ἐν τ᾽ ἑπτά φασιν ἀπανθεῖν. ἀλλὰ τῶν χεδροπῶν χρόνιος ἡ ἄνθησις· χρονιωτάτη δὲ τῶν μὲν ἄλλων, ὀρόβου καὶ ἐρεβίνθου· τούτων δὲ ἁπάντων, τοῦ κυάμου· καὶ ἐν μεγίστῃ διαφορᾷ· τετταράκοντα γὰρ ἡμερῶν ἀνθεῖν λέγουσι. πλὴν οἱ μὲν ἀεὶ παρανθοῦντες ἑτέρου καὶ ἑτέρου λέγουσι· κατὰ μέρος γὰρ ἀνθεῖν· οἱ δὲ ἁπλῶς. ἡ γὰρ ἄνθησις τῶν μὲν σταχυηρῶν, ἀθρόα· τῶν δὲ λοιπῶν καὶ χεδροπῶν πάντων, κατὰ μέρος· πρῶτα γὰρ ἀνθεῖ τὰ κάτω· καὶ ὅταν ταῦτα ἀπανθήσῃ, τὰ ἐχόμενα· καὶ οὕτως ἀεὶ

βαδίζει πρὸς τὰ ἄνω· διὸ πολλὰ τῶν ὀρόβων τίλλεται· τὰ μὲν κάτω κα-
τερρυηκότα· τὰ δ᾽ ἔτι ἄνω χλωρὰ πάμπαν· μετὰ δὲ τὴν ἀπάνθησιν, ἁδρύ-
νονται· πυρός, μὲν καὶ κριθὴ τεσσαρακονταῖα μάλιστα· παραπλη-
σίως δὲ τίφη· καὶ τἆλλα τὰ τοιαῦτα· τεσσαρακονταῖα δέ φασι καὶ
τὸν κύαμον· ὥστε ἐν ἴσαις ἀνθεῖν καὶ τελειοῦσθαι· τὰ δ᾽ ἄλλα ἐν ἐλάττο-
σιν· ἐλαχίσταις δὲ ὁ ἐρέβινθος· εἴπερ ἀπὸ τῆς σπορᾶς ἐν τεσσαρά-
κοντα τελειοῦνται ταῖς ἁπάσαις, ὥσπερ τινές φασιν· ἐπεὶ τόν γε ὅ-
λον ὅτι τάχιστα φανερόν· οἱ δὲ κέγχροι, καὶ τὰ σήσαμα, καὶ οἱ μέλινοι
καὶ ὅλως τὰ θερινὰ σχεδὸν ὁμολογεῖται τὰς τετταράκονθ᾽ ἡμέρας λαμ-
βάνειν· οἱ δέ φασι καὶ ἐλάττους· διαφέρει δὲ καὶ πρὸς τὴν τελείωσιν,
χώρα τε χώρας· καὶ ἀὴρ ἀέρος ἐν ἐλάττοσι γὰρ ἔνιαι δοκοῦσιν ἐκφέ-
ρειν· ὥσπερ ἄλλαι τε καὶ μάλιστα ἡ περὶ Αἴγυπτον· ἐκεῖ γὰρ κριθαὶ
μὲν ἐν ἑξαμήνῳ· πυροὶ δὲ   περὶ δὲ τὴν Ἑλλάδα, πυροὶ μὲν
ἐν τῷ ἑβδόμῳ· παρὰ δὲ τοῖς πλείστοις ὀγδόῳ· πυροὶ δὲ ἔτι προσ-
επιλαμβάνουσιν· οὐ μὴν οὐδὲ ἐκεῖ τό γε πᾶν πλῆθος οὕτως· ἀλ-
λ᾽ ὅσον εἰς ἀπαρχήν· κομίζεται γὰρ πρὸς ἱερῶν τινων χρείαν, ἀλ-
φιτα νέα τῷ ἕκτῳ μηνί· καὶ ταῦτα ἐκ τῶν ἄνω τόπων ὑπὲρ Μέμ-
φιν· λέγεται δὲ καὶ ἐν Σικελίᾳ τῆς μεσημβρίας ἐν ταῖς καλουμέ-
ναις Μύλαις, ταχεῖαν τινα γίνεσθαι τὴν τελείωσιν τῶν ὀψίμων· τὸν τῶν
ὀσπρίων μὲν γὰρ σπορητὸν ἕξ μῆνας· τὸν δὲ ὡς ὑστάτῳ σπείραντα θερί-
ζειν ἅμα τοῖς πρώτοις· ἀγαθὴν δὲ διαφερόντως εἶναι τὴν χώραν ὥσ-
τε τριάκοντα χόας ποιεῖν· ἔχειν δὲ καὶ νομὰς θαυμαστὰς ὅλην· ἐν
Μήλῳ δ᾽ ἔτι θαυμασιώτερον λέγουσιν· ἐν γὰρ τριάκοντα ἡμέραις
σπαρέντα θερίζουσι· διὸ καὶ λέγειν αὐτοὺς ὅτι μέχρι τούτου
δεῖ σπείρειν, ἕως ἂν ἴδῃ τις δράγμα· γίνεσθαι δὲ οὔτι ὄψιμα
ταῦτα ἔτι πολλὰ παρ᾽ αὐτοῖς· δεῖν μὴν δέ τινα διαδοῦναι τὴν χώ-
ραν προφήν· καὶ γὰρ εἶναι σιτοφόρον μὲν καὶ ἐλαιοφόρον ἀγαθήν,
ἀμπελοφόρον δὲ μετρίαν· ὑπερβάλλον δέ τι τούτου καὶ πάντων
θαυμασιώτερον, τὸ περὶ Χαλκίαν τὴν νῆσον τῶν Ῥοδίων γινόμενον· ἐκεῖ
γάρ φασιν εἶναί τινα τόπον πρώϊον καὶ εὔφορον, ὡς σπαρέντων,

κριθῶν, ἅμα ταῖς ἄλλαις θερίσαντες ταύτας, σπείρουσιν ἐ͂ τα πάλιν· εἶτα θερίζουσιν ἅμα τοῖς λοιποῖς. μεγίστη μὲν οὖν εἴπερ ἀληθῶς αὕτη διαφορά· τὸ γὰρ εἰς ἑτέραν χώραν μετενεγκόντας σπείρειν ὥσπερ ἐκ Κιλικίας φασὶν εἰς Καππαδοκίαν καὶ ὅλως τὸ ἐπέκεινα τοῦ Ταύρου, ἧττον ἄτοπον· φανερὰ γὰρ ἡ τῶν ὡρῶν διάστασις. τὸ δὲ τῆς αὐτῆς διαφοράν, ἐν ᾧπερ ἅπαξ αἶγαι, σύνορον οὖσαν καὶ μίαν, θαυμασιώτερον· αὕτη μὲν οὖν ἐν μεγίστῃ διαφορᾷ. τὸ δὲ κατὰ τὰς ἄλλας χώρας οὐ πολλὴν οὐδὲ μίαν τυγχάνουσι λαμβάνειν διαφοράν. προτερεῖ γὰρ ταῖς ὥραις τὰ Ἀθήνησι τῶν περὶ Ἑλλήσποντον, ἡμέραις τριάκοντα ἢ οὐ πολλῷ πλείοσιν. εἰ μὲν οὖν καὶ ὁ σπορητὸς πρότερον, μετάθεσις ἂν εἴη περὶ χώρας· εἰ δ' ἅμα, δῆλον ὅτι πλείων ἂν ὁ χρόνος. οὐ μικρὰν δὲ ποιοῦσι διαφορὰν οὐδὲ οἱ τόποι, καίπερ ἔνιοι σύνεγγυς ὄντες· τὰ γὰρ ἐν Σαλαμῖνι προτερεῖ πολύ, τῶν ἄλλων τῶν ἐν τῇ Ἀττικῇ. καὶ ὅλως τὰ ἐπιθαλάττια. καὶ εἰς ταῦτα καὶ εἰς τοὺς ἄλλους καρπούς. ὡς τὰ περὶ τὴν ἀκτὴν καλουμένην περὶ Πελοποννήσου, καὶ τὰ ἐκ Φαλήκου περὶ Μεγαρείδος. πλὴν ἐνταῦθά γε συμβάλλεται καὶ τὸ λεπτόγεων εἶναι καὶ ψαφαρὰν τὴν χώραν. καὶ τὰ μὲν περὶ τὴν γένεσιν καὶ τὴν τελείωσιν, οὕτως ἔχει. διαφέρει δὲ καὶ ὅλα τὰ γένη τὰ διῃρημένα τῶν γενῶν· οἷον, σῖτος· χεδροπὰ τὰ θερινά· καὶ καθ' ἕκαστον γένος τὰ ὁμογενῆ. τὰ μὲν γὰρ σιτώδη, τὸ φύλλον ἔχει καλάμου· τῶν δὲ χεδροπῶν, τὰ μὲν περιφερές· οἷον, ὁ κύαμος· καὶ σχεδὸν τὰ πλεῖστα· τὰ δέ, προμηκέστερον· οἷον, ὁ πισός· καὶ ὁ λάθυρος· καὶ ὁ ὦχρος· καὶ τὰ τοιαῦτα. καὶ τὰ μὲν ἰνώδη· τὰ δὲ φλέβα καὶ ἶνα· τὸ δὲ σήσαμον, καὶ τὸ ἐρύσιμον, ἰδιώτερα παρὰ ταῦτα. πάλιν ὁ καυλὸς τῶν μὲν γονατώδης καὶ κοῖλος· διὸ καὶ καλεῖται κάλαμος. τῶν δ' ἄλλων χεδροπῶν ξυλωδέστερος· ξυλωδέστατος δὲ ὁ ἐρέβινθος. τῶν δὲ θερινῶν, κέγχρου μὲν καὶ μελίνου, καλαμώδης· σησάμου δὲ καὶ ἐρυσίμου ναρθηκώδης μᾶλλον. καὶ τὰ μέν ἐστιν ὀρθόκαυλα καθάπερ πυρὸς καὶ κριθὴ καὶ ὅλως τὰ σιτώδη καὶ θερινά· τὰ δὲ, πλαγιόκαυλα μᾶλλον· οἷον ἐρέ-

βίνθος· ὄροβος· φακός· τὰ δὲ ἐπιγειόκαυλα, καθάπερ ὦχρος· πισός· λάθυρος· ὁ δὲ δόλιχος, ἐὰν μὲν παρακαταπήξῃ τις ξύλα μακρά, ἀναβαίνει καὶ γίνεται κάρπιμος· εἰ δὲ μή, φαῦλος καὶ ἐρυσιβώδης· μόνος δὲ μάλιστα τῶν χεδροπῶν ὀρθόκαυλος ὁ κύαμος. ἔχει δὲ καὶ τὰ ἄνθη διαφορὰν καὶ τῇ θέσει· περὶ ὧν χωρὶς καθόλου διέλωμεν, ὅτι τὰ μὲν, χνοώδη καθάπερ πυρὸς καὶ πάντες τοι χιλώδεις· τὰ δὲ, φυλλώδη· καθάπερ τὰ τῶν χεδροπῶν καὶ τῶν πλείστων κολοβά· τὰ δὲ πολλὰ κολοβανθῆ· χνοῶδες δὲ καὶ τὸ τοῦ κέγχρου καὶ μελίνου· τοῦ δὲ σισάμου καὶ τοῦ ἐρυσίμου, φυλλῶδες. καὶ ὅτι δὴ τὰ μὲν, ἔχει περὶ αὐτὸν τὸν καρπόν· οἷον τὰ σιτώδη καὶ κεγχρώδη περὶ τὸν στάχυν· τὰ δὲ χεδροπά, ἐξ αὐτοῦ πως τοῦ ἄνθους, ἢ ἅμα ἐκ τῆς αὐτῆς ἀρχῆς γίνεται. καὶ τὴν ἄνθησιν ὅτι τὰ μὲν ἀθρόαν, τὰ δὲ κατὰ μέρος ποιεῖται. καὶ τἆλλα δὲ τὰ παραπλήσια τούτοις. ὁμοίως δὲ καὶ τὰ κατὰ τοὺς καρπούς· ὅτι τὰ μὲν ἔχει στάχυν· τὰ δὲ χεδροπά, λοβόν· τὰ δὲ κεγχρώδη, φόβην· ἡ γὰρ καλαμώδης ἀπόφυσις φόβη. τὸ δὲ ὅλον τὰ μὲν, ἀγγειόσπερμα· τὰ δὲ ἐνυμενόσπερμα· τὰ δὲ, γυμνόσπερμα. καὶ ἔτι τὰ μέν, ἀκρόκαρπα· τὰ δέ, πλαγιόκαρπα· καὶ ὅσα δὴ ἄλλα τοιαύτης ἔχεται θεωρίας. ὅλως δὲ πολυκαρπότερα καὶ πολυχούστερα τὰ χεδροπά· φύτων δὲ ἔτι μᾶλλον τὰ θερινά, κέγχρος· καὶ σίσαμον· αὐτῶν δὲ τῶν χεδροπῶν μάλιστα φακός· ἁπλῶς δὲ τὰ μικροσπερμότερα μᾶλλον ὡς εἰπεῖν ὥσπερ καὶ τῶν λαχανωδῶν κύμινον, ἁπάντων ὄντων πολυσπέρμων· ἰσχυρότερα δέ, πρὸς μὲν τὸν χειμῶνα καὶ ὅλως τὰ τῶν ἀέρων· τὰ σιτηρά· πρὸς δὲ τὴν τροφήν, τὰ χεδροπά· τάχα δὲ τοῦτό γε ἡμῖν τοῖς ἄλλοις ἀνάπαλιν. τὰ μὲν οὖν ὅλα γένη τοιαύτας ἔχει διαφορὰς τὰ μὴ ὁμογενῆ· τὰ δὲ ὁμογενῆ· δηλονότι κατὰ τὴν τῶν μερῶν ἀνωμαλίαν· οἷον τῶν σιτωδῶν, πυρὸς· κριθῆς, στεφανοφυλλότερον· καὶ λειοκαυλότερον· καὶ πυκνότερον· καὶ γλισχρότερον ἔχει τὸν καυλὸν καὶ δυσαλθατώτερον· ἅμα δὲ καὶ ὁ μέν, ἐν χιτῶσι πολλοῖς· ἡ δέ, γυμνή· μάλιστα γὰρ δὴ γυμνοσπέρμα τοῦ ἡ κριθή· πολύλοβον δὲ καὶ ἡ τίφη· καὶ ἡ ὀλύρα· καὶ πάντα τὰ

τοιαῦτα. καὶ μάλιστα πάντων ὡς εἰπεῖν ὁ καρπός ἐστι. καὶ ὑψηλότερον ὁ κάλαμος τοῦ πυροῦ καὶ τῆς κριθῆς. καὶ τὸν στάχυν ἀπηρτημένον ἔχει τοῦ φύλλου μᾶλλον ὁ πυρός. ἴδιον δὲ καὶ τὸ ἄχυρον τῆς κριθῆς τὸ πύρινον. εὐχυλότερον γὰρ καὶ μαλακώτερον. διαφέρει δὲ ἡ κριθὴ καὶ τούτῳ τῶν πυρῶν. ἡ μὲν γὰρ ἐστοιχειώδης. ὁ δὲ πυρὸς ἄστοιχος. καὶ πανταχόθεν ὁμαλής τις. τῶν μὲν ὅλως γενῶν πρὸς τὸ γένος, αὗται τινές εἰσι διαφοραί. καθ᾽ ἑκάτερον δὲ τούτων πάλιν οἷον πυρῶν καὶ κριθῶν, πολλὰ γένη, καὶ τοῖς καρποῖς αὐτοῖς διαφέροντα καὶ τοῖς στάχυσι, καὶ ταῖς ἄλλαις μορφαῖς, καὶ ἔτι ταῖς δυνάμεσι καὶ τοῖς πάθεσι. τῶν μὲν κριθῶν αἱ μὲν, εἰσὶ δίστοιχοι. αἱ δὲ τρίστοιχοι. αἱ δὲ τετράστοιχοι καὶ πεντάστοιχοι. πλεῖσται καὶ ἑξάστοιχοι. καὶ γὰρ τοιοῦτό τι γένος ἐστί. πυκνότεραι δὲ ἀεὶ κατὰ τὴν θέσιν ὡς ἐπίπαν αἱ πολυστοιχότεραι. διαφορὰ δὲ μεγάλη καὶ τὸ παραβλαστικώτεραι εἶναι καθάπερ εἴρηται τῶν ἰνδικῶν καὶ οἱ στάχυες δὲ τῶν μὲν, μετέωροι καὶ μανότεροι τῆς κριθῆς. τῶν δὲ ἐλάττους καὶ πυκνότεροι. καὶ ἀπέχοντες δὲ τῶν φύλλων. τῶν μὲν, πολύ. τῶν δὲ μικρόν. ὥσπερ τῶν ἀχιλλείων καλουμένων. καὶ αὐτῶν δὲ τῶν κριθῶν αἱ μὲν, στρογγυλότεραι καὶ ἐλάττους. αἱ δὲ, προμηκέστεραι καὶ μείζους καὶ μανώτεραι κατὰ τὸν στάχυν ἔτι δὲ αἱ μὲν, λευκαί, αἱ δὲ, ἐπιπορφυρίζουσαι. αἵπερ καὶ πολυάλφιτοι δοκοῦσιν εἶναι. καὶ πρὸς τοὺς χειμῶνας δὲ καὶ τὰ πνεύματα καὶ ὅλως τὸν ἀέρα τῶν λευκῶν ἰσχυρότεραι. πολλὰ δὲ γένη καὶ τῶν πυρῶν εὐθύς ἐστιν, ἀπὸ τῶν χωρῶν ἔχοντα τὰς ἐπωνυμίας. οἷον, λιβυκοί. πόντιοι. θρᾴκιοι. ἀσύριοι. αἰγύπτιοι. σικελοί. διαφέροντες δὲ καὶ τοῖς χρώμασι καὶ τοῖς μεγέθεσι καὶ τοῖς εἴδεσι. καὶ ταῖς ἰδιότησιν. ἔχουσι δὲ καὶ ταῖς δυνάμεσι τε καὶ ταῖς ἄλλαις, καὶ μάλιστα ταῖς πρὸς τὴν σίτησιν τινῶν καὶ ἀπ᾽ ἄλλων τὰς προσηγορίας οἷον καγχρυδίας. στλεγγύς. ἀλεξάνδρειος. ὧν ἁπάντων καὶ τὰς εἰρημένους τὰς διαφορὰς ληπτέον. οὐχ ἥκιστα δὲ οἰκεῖον, εἴ τις λαμβάνοι τὰς τοιαύτας. οἷον εἰσὶν οἱ μὲν πρώϊοι, οἱ δὲ, ὄψιοι. καὶ δυαξεῖς. καὶ πολύοχοι. οἱ δὲ καὶ ὀλιγόχοι καὶ μεγαλοστάχυες. οἱ δὲ μικροστάχυες. καὶ οἱ μὲν ἐν κάλυκι πολὺν χρόνον, οἱ δ᾽ ὀλίγον μένοντες ὥσπερ ὁ λιβυκός. καὶ κά-

λαμον

λαμον οἱ μὲν λεπτόν· οἱ δὲ παχύν. καὶ τοῦτο ὁ λιβυκὸς ἔχει· πα
χὺν γὰρ ὁ καλαμος. ἔτι δὲ χιτῶνες, οἱ μὲν ὀλίγοι, οἱ δὲ πολλοί· ὥσπερ
ὁ θράκιος. καὶ ὁ μὲν μονοκάλαμος· ὁ δὲ πολυκάλαμος· καὶ μᾶλλον
γὰρ καὶ ἧττον. ὅμοιοι δὲ καὶ εἴ τι παραπλήσιον τούτοις ἢ τοῖς πρότερον
εἰρημένοις κατὰ τὰς δυνάμεις. αἱ γὰρ τοιαῦται φυσικώτεραι δόξαι
εν ἂν εἶναι τῆς διαφορᾶς· ἐν αἷς καὶ τὸ τῆς τριμήνου, καὶ τὸ τῆς διμήνου, καὶ εἴ τι
σῖτος ἐν ἐλάττοσιν ἡμέραις τελειοῦται, καθάπερ φασὶν εἶναι πε
ρὶ τὴν εὔβοιαν τετταρακονθήμερον ἀπὸ τῆς σπορᾶς ἁδρυνόμενον καὶ τέ
λος ἴσχουσιν. εἶναι δ᾽ ἰσχυρὸν τοῦτον καὶ βαρύν· οὐχ ὥσπερ τὸν τρίμη
νον κοῦφον· διὸ καὶ τοῖς οἰκέταις παρέχειν. καὶ γὰρ οὐ γὰρ πίτυρον
ἔχειν πολύ. σπανιώτατος μὲν οὖν καὶ τάχιστος εἰς τελείωσιν οὗτος.
εἰσὶ δὲ καὶ δίμηνοί τινες, οἵπερ καὶ ἐκ σικελίας ἐκομίσθησαν εἰς ἀ
χαΐαν. ὀλιγόχοοι γὰρ καὶ ὀλιγόγονοι καὶ κοῦφοι κατὰ τὴν προσφορὰν καὶ
ἡδεῖς. καὶ ἄλλοι δέ τινες οἱ περὶ εὔβοιάν εἰσι, καὶ μάλιστα ἐν τῇ καρυ-
στίᾳ. τρίμηνοι δὲ πολλοὶ καὶ πανταχοῦ κοῦφοι. οὗτοι καὶ ὀλιγό
χοοι καὶ μονοκάλαμοι κατὰ τὴν ἔκφυσιν, καὶ τὸ ὅλον ἀσθενεῖς. κου
φότατος μὲν οὖν ὡς ἁπλῶς εἰπεῖν, πυρὸς ὁ ποντικός. βαρύ
τερος δὲ τῶν εἰς τὴν ἑλλάδα παραγινομένων ὁ σικελός. τού-
του δ᾽ ἔτι βαρύτερος ὁ βοιωτός. σημεῖον δὲ λέγουσιν ὅτι οἱ μὲν
ἀθληταὶ ἐν τῇ βοιωτίᾳ τρία ἡμιχοίνικα μόλις ἀναλίσκουσιν.
ἀθήναζε δὲ ὅταν ἔλθωσι, πένθ᾽ ἡμιχοίνικα ῥᾳδίως. κοῦφος γὰρ καὶ ἐν τῇ
λακωνικῇ. τούτων μὲν οὖν ἔν τε ταῖς χώραις καὶ τοῖς ἀέρσι τὸ αἴ
τιον. ἐπεὶ καὶ περὶ τὴν ἀσίαν πόρρω βάκτρων, ἔν τινι τόπῳ
οὕτως ἁδρὸν εἶναί φασι τὸν σῖτον, ὥστε πυρῆνος ἐλαίας μέγεθος
λαμβάνειν. ἐν δὲ τοῖς πισώτοις καλουμένοις, οὕτως ἰσχυρόν,
ὥστε εἴ τις πλεῖον προσενέγκοιτο διαρρήγνυσθαι. καὶ τῶν μακε-
δόνων πολλοὺς τοῦτο παθεῖν. ἄτοπον δὲ καὶ ἀνομολογούμενον πρὸς
τὴν τῶν τριμήνων κουφότητα, τὸ περὶ τοὺς ποντικοὺς συμβαῖνον.
εἰσὶ γὰρ οἱ μὲν σκληροί, ἠρινοί. οἱ δὲ μαλακοί, χειμερινοί. πο
λὺ γὰρ διαφέρει τῇ κουφότητι ὁ μαλακός. ὁμοίως δὲ καὶ δύο

ἀρότους ὡς ἔοικε παντὸς τοῦ σίτου ποιοῦνται· τὸν μὲν χειμερινόν, τὸν δὲ, ἠρινόν· ἐν ᾧ καὶ τὰ ὄσπρια καταβάλλουσιν. εἰσὶ δὲ καὶ οἱ μὲν καθαροὶ αἰρῶν· ὥσπερ ὁ ποντικὸς καὶ ὁ αἰγύπτιος· καθαρὸς δὲ ἐπιεικῶς καὶ ὁ σικελὸς, καὶ μάλιστα ὁ ἀκραγαντῖνος· οὐκ αἰρώδης. ὁ δὲ σικελὸς, ἴδιον ἔχει τὸ μελάμπυρον καλούμενον· ὅ ἐστιν ἀβλαβές· καὶ οὐχ ὥσπερ αἶρα βαρὺ καὶ κεφαλαλγές. ἀλλὰ τὰ μὲν τοιαῦτα καθάπερ ἐλέχθη ταῖς χώραις ἀναθετέον. καὶ ὅσον ἐπιβάλλει τοῖς γένεσιν. ἐν δὲ τοῖς ὀσπρίοις οὐχ ὁμοίως ἔστι λαβεῖν τὰς τοιαύτας διαφοράς. εἴτ' οὖν διὰ τὸ μὴ ἐζητῆσθαι ὁμοίως, εἴτε καὶ διὰ τὸ μονοειδέστερα τυγχάνειν· ἔξω γὰρ ἐρεβίνθου καὶ φακοῦ καὶ ἔτι ὀλίγον κυάμου, καὶ ὀρόβου· καθόσον ἡ τῶν χρωμάτων καὶ τῶν χυλῶν διαφορά· τῶν τ' ἄλλων οὐ ποιοῦσιν ἰδέας· οἱ δὲ ἐρέβινθοι καὶ τοῖς μεγέθεσι καὶ τοῖς χυλοῖς καὶ τοῖς χρώμασι καὶ ταῖς μορφαῖς διαφέρουσιν. οἷον κριοὶ ὀροβιαῖοι καὶ ἀνὰ μέσον. ἐπὶ πᾶσι δὲ τὰ λευκὰ γλυκύτερα. καὶ γὰρ ὁ ὄροβος, καὶ φακὸς, καὶ ἐρέβινθος, καὶ κύαμος. ἔτι σήσαμον· ἔστι γὰρ καὶ σήσαμον λευκόν. ἀλλὰ μᾶλλον ἐν τοῖς τοιοῖσδε ποιεῖσθαι τὰς διαφοράς· οἷον περὶ πάντα τὰ ἐλλέβορα· τὰ μὲν, αὐτῶν διάφρακτα καὶ ὥσπερ συμψαύοντα τυγχάνει· καθάπερ ὄροβος· πίσος· σχεδὸν τὰ πλεῖστα· τὰ δὲ λεῖα ἀπεφραγμένα· καθάπερ θέρμος· ἔτι δὲ μᾶλλον καὶ ἴδιον τὸ σήσαμον. καὶ τὰ μὲν μακρόλοβα· τὰ δὲ στρογγυλόλοβα· καθάπερ ἐρέβινθος· ἀνάλογον δὲ ἀκολουθεῖ τὰ πλήθη τῶν σπερμάτων· ἐλάττω γὰρ ἐν τοῖς μικροῖς· ὥσπερ ἔν τε τῷ τοῦ ἐρεβίνθου καὶ ἐν τῷ τοῦ φακοῦ· καὶ παραπλήσιαι δ' ἴσως αἱ τοιαῦται· καὶ ὡς περὶ τῶν σιτηρῶν ἐλέγομεν περὶ τῶν σταχύων καὶ αὐτῶν τῶν καρπῶν· ἐπεὶ καὶ οἱ καλούμενοι λοβοὶ, σχεδὸν ἀκόλουθοι τοῖς σπέρμασίν εἰσιν· οἱ μὲν ἐπιπλατεῖς ὥσπερ οἱ τοῦ φακοῦ καὶ τῆς ἀφάκης· οἱ δὲ κυλινδρώδεις μᾶλλον· ὡς οἱ τοῦ ὀρόβου· τοῦ πίσου γὰρ τὰ σπέρματα ἑκατέρωθεν τοιαῦτα τοῖς σχήμασιν. ἀλλὰ τὰς μὲν τοιαύτας διαφορὰς πολλὰς ἄν τις εὕροι καθ' ἕκαστον· ὧν αἱ μὲν, κοιναὶ πᾶσιν· αἱ δὲ ἴδιαι κατὰ γένος· ὅτι δὲ πάντα προσπέφυκε τοῖς

λοβοῖς, καὶ ἔχει καθάπερ ἀρχήν τινα, τὰ μὲν, προέχουσαν· ὥσ-
περ ὁ κύαμος, καὶ ὁ ἐρέβινθος, τὰ δὲ, καὶ ἔγκοιλον, ὥσπερ θέρμος καὶ τἆλ-
λα ἅπαντα. τὰ δὲ, οὕτω μὲν οὐ φανερόν· ἐλάττω δὲ καὶ ὥσπερ ἀποσημαί-
νουσαν μόνον. δῆλον μὲν, ἀπὸ τῶν ὄψεων. ἐξ ἧς καὶ ὅταν ἀναρραγῇ βλα-
στάνει καὶ ῥιζοῦται. καθάπερ ἐλέχθη. κατ' ἀρχὰς δὲ καὶ αὐτὰ ξύμ-
φυτα προσηρτημένα τοῖς λοβοῖς, μέχρι οὗ ἂν τελειωθῇ. φανερὸν
δ' ἐστὶ καὶ ἐκ τῶν νῦν, καὶ ἐκ τῶν προειρημένων. περὶ μὲν οὖν τῶν κα-
τὰ τὰς διαφορὰς, ἅλις. σπείρειν δὲ ξυμφέρει πάντα μάλι-
στα μὲν ἐν τοῖς ἀρότροις. οὐ μὴν, ἀλλὰ καὶ ἐν ξηρᾷ τινες κατα-
βάλλουσι. καὶ οὐχ ἥκιστα πυροὺς καὶ κριθὰς, ὡς μάλιστα αὐτὰς
κεῖν δυναμένας, ὅπου μὴ ὄρνισιν ἢ ἄλλοις θηρίοις ἐπιρρεπὴς ἡ χώ-
ρα. δοκεῖ γὰρ ὡς ἐπὶ τὸ πᾶν θ' ὁ πρῶτος πλεῖς ἡμιβρόχεις. ἀπόλλυν-
ται καὶ ἐκγαλακτοῦται τὰ σπέρματα· καὶ ἅμα ξυμβαίνει τὰ ἄγρια
ἀναφύεσθαι πολλά. μετὰ δὲ τὴν σποράν ὕδωρ ἐπιγενέσθαι πᾶσι
ξυμφέρει. πλὴν ὅσα δυσβλαστῆ γίνεται μᾶλλον· ὥσπερ ὅ τε κύαμος
ἐδόκει· καὶ τῶν θερινῶν, σήσαμον, κύμινον, καὶ ἐρύσιμον. πυκνοσπορεῖν
δὲ καὶ μανοσπορεῖν, καὶ πρὸς τὰς χώρας βλέποντα χρή. πλεῖ-
ον γὰρ ἡ πίειρα καὶ ἀγαθὴ δύναται φέρειν τῆς ὑφάμμου τινὸς καὶ
λεπτῆς. καίτοι λέγεταί τις λόγος, ὡς ὅτε μὲν πλεῖον, ὅτε δὲ ἔ-
λαττον ἡ αὐτὴ δέχεται χώρα. καὶ οἰωνίζονται τὸ πλέον ὡς οὐκ
ἀγαθόν. πεινῆν γὰρ εὐθύς φασι τὴν γῆν. οὗτος μὲν οὖν ἴσως εὐηθέ-
στερος λόγος. εἰ δέ τις πρὸς τὰ σπέρματα θεωροίη, καὶ μάλιστά γε
πρὸς αὐτοὺς τοὺς τόπους, ἅμα δὲ ἐνδέχεται καὶ τὴν θέσιν ἀναθεωρεῖν
τήν γε πρὸς τὰ πνεύματα καὶ τὸν ἥλιον, οἰκειότερον ἀναλαμ-
βάνει τὰς διαφοράς. ἀνάλογον δὲ ἔχει καὶ ἡ κόπρωσις πρὸς τὰς χώ-
ρας. ὑετὸς δ' ἀμείνων ὁ χειμέριος τοῦ ἐαρινοῦ. ἐνιαχοῦ δὲ οὐ ξυμφέρει.
βαθείας δὲ ἀρόσεις ἀν ὥσπερ ἐν συρίᾳ. διὸ μικροῖς ἀρότροις
χρῶνται. παρ' ἄλλοις δὲ τὸ λίαν ἐργάζεσθαι βλάπτει. καθάπερ ἐν
σικελίᾳ. διὸ καὶ τῶν ξένων ὡς ἔοικε πολλοὶ διαμαρτάνουσι. ταῦτα
μὲν πρὸς τὰς χώρας· διαιροῦσι δὲ καὶ τὰ σπέρματα, τρία τρίον πρὸς

φορον· ἐν γὰρ ταῖς χειμεριναῖς πυρὸν μᾶλλον ἢ κριθήν· καὶ ὀλι-
σῖτον ἢ χερσοπαί· καὶ ὅλως ἐν ταῖς χέρσοις καὶ διὰ χρόνου κινουμέ-
ναις· αἱ γὰρ αὗται πυρὸν φέρουσι μᾶλλον ἢ κριθήν· δέχεται δὲ καὶ
ἐπομβρίαν μᾶλλον πυρὸς ἢ κριθή· καὶ ἐν ταῖς ἀκόπροις φέρει
μᾶλλον· ὡσαύτως δὲ καὶ αὐτῶν τῶν πυρῶν ποῖος τῇ ποίᾳ πρόσ-
φορος· οἷον ἀγαθὴ καὶ πίειρα· καὶ ψαφαρὰ καὶ λεπτὴ ταῖς ἄλλαις
ὁμοίως. ὕδωρ δὲ ὅταν μὲν χλοηφορήσῃ καὶ κυήσῃ πλεῖον, ἅπασι
συμφέρει· ἀνθοῦσι δὲ πυροῖς μὲν ταῖς κριθαῖς τοῖς σιτώδεσι βλαβερόν· ἀ-
πόλλυσι γάρ· ὀσπρίοις δ' ἀβλαβὲς, πλὴν ἐρεβίνθου· ὅτι δὲ περικλύσε
τῆς ἅλμης, ἀπόλλυνται σφακελίζοντες, καὶ ὑπὸ καυμάτων κατε-
σθιόμενοι. ἰσχυρότερος δὲ ὁ μέλας ἐρέβινθος τοῦ λευκοῦ, τοῦ πυροῦ·
συμφέρει δέ φασιν ἐν τοῖς ἐφύδροις τόποις ὀψὲ σπείρειν αὐτόν·
κύαμος δὲ ἀνθῶν μάλιστα φιλεῖ βρέχεσθαι· διὸ καὶ οὐκ ἐθέλουσιν ὀψὲ
σπείρειν ὥσπερ εἴπομεν, ὅτι πολὺ ἀνθεῖ· μετὰ δὲ τὴν ἀπάνθησιν
ὀλίγου πάμπαν ὕδατος δεῖσθαι· σύνεγγυς γὰρ ἡ τελείωσις. ἀλ-
λ' ὅταν ἀδρυνθῇ, καὶ βλάπτειν δοκεῖ τὰ σιτώδη, καὶ κριθὴν δὲ πυ-
ροῦ μᾶλλον. ἐν Αἰγύπτῳ δὲ καὶ Βαβυλῶνι καὶ Βάκτροις, ὅπου
μὴ ὕεται ἡ χώρα, σπανίως αἱ δρόσοι τὸ ὅλον ἐκτρέφουσιν· ἐπεὶ
καὶ οἱ περὶ Κυρήνην καὶ Ἑσπερίδας τόποι· καιριώτατα δὲ πᾶ-
σιν ὡς ἁπλῶς εἰπεῖν τὰ ἠρινά· διὸ καὶ ἡ Σικελία πολύσιτος· πολ-
λὰ γὰρ τὸ ἦρος καὶ μαλακὰ γίνεται, τὰ δὲ χειμῶνος ὀλίγα. ζητεῖ δὲ
ἡ μὲν λεπτόγεως πολλάκις μικροῦ· ἡ δὲ πίειρα καὶ πλῆθος μὲν ἐνε-
γκεῖν δύναται καὶ ἀνυδρίαν· πρὸς δὲ τὴν χώρας ἀνυδρίαν, πάντα
πνεύματα καὶ αὖραι δοκοῦσι συμφέρειν. ἄλλα δὲ παρ' ἄλλοις τοι-
αῦτα, καθάπερ καὶ πρότερον εἴρηται· ὡς ἐπὶ τὸ πᾶν δὲ μᾶλλον
αὐχμὸς ἢ ἐπομβρία συμφέρει τῷ σίτῳ· οἱ γὰρ ὄμβροι καὶ ἄλλως
ἐναντίοι καὶ πολλάκις αὐτὰ τὰ σπέρματα διαφθείρουσιν· εἰ
δὲ μή, πλῆθός γε ποιοῦσι βοτάνης· ὥστε καταπνίγεσθαι καὶ ἀτρο-
φεῖν. τῶν μὲν οὖν ἄλλων σπερμάτων οὐδὲν εἰς ἄλλο πέφυκε με-
ταβάλλειν σπειρόμενον· πυρὸς δὲ καὶ κριθὴ εἰς αἶραν φασὶ καὶ μᾶλλον τὸν
πυρὸν γίνεσθαι.

πυρόν· γίνεσθαι δὲ τοῦτ' ἐν ταῖς ἐπομβρίαις· καὶ μάλιστα ἐν τοῖς ἐνύδροις καὶ ὀμβρώδεσι χωρίοις. ὅτι δ' οὐκ ἔστιν ἥμερον ἡ αἶρα καθάπερ ἡ ἄλλη πόα, ἀπειρῶν τε. καὶ αἰτιῶνται γάρ τινες τοῦτο λέγειν, ἐκεῖθεν δῆλον. εὐθὺς τὰ τοῦ χειμῶνος φανερὰ γίνεται τὰ φυκῆα· καὶ διαφέρει πολλοῖς. ἔχει γὰρ τὸ φύλλον στενὸν καὶ δασὺ καὶ λιπαρόν. καὶ τούτων ἰδιώτατον τὸ λιπαρόν. ἡ γὰρ δασύτης καὶ περὶ τὸν αἰγίλωπα ὑπάρχει τὸ ἧρος. τοῦτο μὲν ἴδιον τούτων. ἢ ἔτι περὶ λίνου. ἢ γὰρ ἐκ τούτου φασὶ γίνεσθαι τὴν αἶραν. τὸ δὲ ἐρεβίνθου πρὸς τὰ ἄλλα χεδροπά, τό τε περὶ τὴν ἄνθησιν λεχθέν· καὶ τὸ τάχιστα τελεοκαρπεῖν· ἰσχυρότατον ὂν καὶ ξυλωδέστατον. καὶ τὸ ὅλον μὴ ποιεῖν νέον καρπόν· τήν γε πόαν ἐξαπόλλυσι· μάλιστα δὲ καὶ τάχιστα τὸν τρίβολον. ὅλως δὲ οὐδὲ ἡ τυχοῦσα δύναται φέρειν αὐτόν· ἀλλὰ μελάγγειόν τινα δεῖ καὶ πίειραν εἶναι. τῶν δὲ ἄλλων καλλίστη μεῖος ἀπὸ τῶν κυάμων, καὶ περὶ πυκνοσπορουμένων καὶ πολὺν καρπὸν φερόντων. τὰ δὲ ἐν τοῖς θερινοῖς ἀρότροις ὀλίγου δεῖ πάντα. φασὶ δὲ καὶ τὰ μαματιαῖα συμφέρειν μᾶλλον αὐτοῖς τοῦ ἑκάστου· μέλινοι ἢ καὶ κέγχροι ἐλάττους ὕδατος. ἐὰν γὰρ ἔχωσι πλεῖον, φυλλοβολοῦσιν. ἰσχυρότερον δὲ ὁ κέγχρος. οἱ δὲ μέλινοι, γλυκύτεροι εἰ καὶ ἀθενέστεροι. σήσαμον δὲ οὐδεὶς ἐσθίει χλωρὸν οὐδὲ θέρμον. εἰ δὲ μὴ ἐρύσιμον, μὴ δὲ ὅρμινον, σκεπτέον καὶ ταῦτα ἐπικρά. ἔστι δὲ τὸ μὲν ἐρύσιμον ὅμοιον σησάμῳ· καὶ λίπος ἔχει. τὸ δὲ ὅρμινον· κυμινῶδες, μέλαν. σπείρεται δὲ ἅμα καὶ τὸ σήσαμον. περὶ μὲν οὖν τούτων σκεπτέον. ἐν δὲ ταῖς ἀγαθαῖς χώραις πρὸς τὸ μὴ φυλλομανεῖν, ἐπινέμουσι καὶ ἐπικείρουσι τὸν σῖτον. ὥσπερ καὶ ἐν Θετταλίᾳ. συμβαίνει δ' ἂν μὲν ἐπινέμωσιν ὁποσακισοῦν, μηδὲν ἀλλοιοῦσθαι τὸν καρπόν· ἂν δὲ ἐπικείρωσιν, ἅπαξ μόνον ὀξίσασθαι τὸν πυρόν· καὶ γίνεσθαι μακρὸν καὶ οὐχ ἁδρόν, ὃν καλοῦσι καμακίαν· καὶ οὐκ ἀποκαθίστασθαι πάλιν σπειρόμενον. τοῦτο μὲν οὖν ὡς παύροις συμβαῖνον Θετταλοὶ

λέγουσιν. ἐν Βαβυλῶνι δὲ ἀεὶ καὶ ὥσπερ τεταγμένως ἐπικείρου-
σι μὲν δίς· τὸ δὲ τρίτον τὰ πρόβατα ἐπαφιᾶσιν· οὕτω γὰρ φύει
τὸν καυλόν· εἰ δὲ μή, φυλλομανεῖ· γίνεται δὲ μὴ καλῶς ἐργασα-
μένοις πεντηκοντάχοα· τοῖς δὲ ἐπιμελῶς, ἑκατοντάχοα· ἡ δὲ ἐρ-
γασία, τὸ ὡς πλεῖστον χρόνον ἐμμένειν τὸ ὕδωρ· ὅπως ὕλην ποιή-
σῃ πολλήν· πίειραν γὰρ οὖσαν καὶ πυκνὴν τὴν γῆν, δεῖ τριῆσαι μα-
νήν· ὕλην δὲ οὐ φέρει τὸ πεδίον ὥσπερ ἐν Αἰγύπτῳ· τὰ μὲν οὖν τοι-
αῦτα χώρας ἀρετῆς· φύεται δὲ καὶ ἀπὸ τῶν ῥιζῶν πυρὸς καὶ κριθὴ
πολλαχοῦ τῷ ὑστέρῳ ἔτει· αὐτοετὴς δὲ καὶ ἀπὸ τῶν εἰς κέρας κειρο-
μένων ἑτέρου καλάμου παραβλαστάνοντος· ὡσαύτως δὲ καὶ ὑπὸ
χειμῶνος ἐκπαγεῖσι παραβλαστάνει τοῦ ὕδατος ἐπιγινομένου· ὁ δὲ στάχυς
ἀτελὴς καὶ μικρὸς ἀπὸ τῶν τοιούτων· βλαστάνουσι δὲ τῷ ὑστέρῳ ἔτει
καὶ ἀπὸ τῶν καταπατουμένων καὶ συμπατουμένων, ὥστε μηδὲν
εἶναι δῆλον ὡς εἰπεῖν· οἷον ὅταν διέλθῃ στρατὸς τὸ πεδίον, καὶ οἱ στάχυες
μικροί, καὶ τούτους οὓς καλοῦσιν ἄρνας· τὸ δὲ χερροπατῶν οὐδὲν δύ-
ναται τοιοῦτο ποιεῖν, ἢ οὐχ ὁμοίως καὶ αἱ βλαστήσεις τοιαῦται χῶσ·
προς αὔξησιν δὲ καὶ τροφὴν μέγιστα μὲν ἡ τοῦ ἀέρος κρᾶσις συμ-
βάλλεται· καὶ ὅλως ἡ τοῦ ἔτους κατάστασις· ἂν καιροῖς γὰρ ὑδάτων τε εὐδιῶν καὶ
χειμώνων γινομένων, ἅπαντα εὔφορα καὶ πολύκαρπα· κἂν ἐν
ἁλμώδεσι καὶ λεπτογείοις ᾖ· διὸ καὶ παροιμιαζόμενοι λέγουσιν,
οὐ κακῶς, ὅτι ἔτος φέρει οὐχὶ ἄρουρα· μέγα δὲ καὶ αἱ χῶραι δια-
φέρουσιν οὐ μόνον τῷ πίειραι καὶ λεπταὶ καὶ ἔνομβροι καὶ αὐχ-
μώδεις, ἀλλὰ καὶ τῷ ἀέρι τῷ περιέχοντι, καὶ τοῖς πνεύμασιν· ἔ-
νιαι γὰρ οὖσαι λεπταὶ καὶ φαῦλαι τελεσφοροῦσι διὰ τὸ πρὸς τὰ
πνεύματα τὰ ἐτήσια κεῖσθαι καλῶς· ἄλλαι δὲ ἄλλοις τοιαῦται·
καθάπερ πολλάκις εἴρηται· ταῖς μὲν γὰρ τὰ ζεφυρικά, ταῖς δὲ
τὰ βόρεια· ταῖς δέ, τὰ νότια· συμβάλλεται δὲ καὶ οὐ μικρὰ ἡ ἐρ-
γασία, καὶ μάλιστα ἡ τοῦ σπόρου· κατεργασθεῖσα γὰρ ῥᾳδίως ἐκ-
φέρει· καὶ ἡ κόπρος δὲ μεγάλα βοηθεῖ, τῷ διαθερμαίνειν καὶ συμπέτ-
τειν· προτερεῖ γὰρ τὰ κοπριζόμενα τῶν ἀκόπρων καὶ εἴκοσιν ἡμέραις.

ἅπασι

ἅπασι τοῦτο ξυμφέρει. καὶ χρήσιμος οὐ μόνον τοῖς περὶ τὸν σῖτον, ἀλλὰ καὶ τοῖς ἄλλοις. πλὴν πλείω ταύτην φθείρειν φασὶν ἐπιβαλλομένην ἀπὸ μύτου ἢ καὶ πλείοσι ἐπικοιμωμένων τῶν προβάτων. ὡς δέ τινες λέγουσι καὶ μηδὲν κακὸν διὰ τὴν κόπρον. καὶ τὸ οὖρον. τῶν δὲ σπερμάτων ἕκαστα καὶ πρὸς τὴν τῆς ὥρας φύσιν ἁρμόττει. καὶ ὅλως γένη πρὸς γένος καὶ ἐν αὐτοῖς τοῖς ὁμογενέσιν ἂν δὴ πειρῶνται διαιρεῖν. μεταβάλλει δὲ τὰ ξενικὰ τῶν σπερμάτων. μάλιστα μὲν ἐν τρισὶν ἔτεσιν εἰς τὰ ἐπιχώρια. συμφέρει δὲ ἐκ τῶν ἀλεεινῶν εἰς τὰ μικρὸν ἧττον ἀλεεινὰ καὶ ἐκ τῶν ψυχρῶν ἀνάλογον ποιεῖσθαι τὴν μεταβολήν. τὰ δὲ ἐκ τῶν δυσχειμέρων ἐν τοῖς πρώτοις ὀψὲ ἀπέρχεται ὥστ' ἀπ' αὐχμοῦ φθείρεται. ἐὰν μὴ ὄψιον ὕδωρ σώσῃ. διὰ τοῦτο καὶ εὐλαβητέον φασὶ τὸ μίσγειν τὰ ξενικὰ τοῖς ἐπιχωρίοις ἐὰν μὴ ἐξ ὁμοίας ἐπὶ τὰ σύμφωνα τῇ ὥρᾳ κατὰ τὸν σπόρον καὶ κατὰ τὴν γένεσιν. ὥστε καὶ ἐργασίας ἑτέρας δεῖται. πάσῃ τε τῆς γῆς διαφορᾶς καὶ τὰς τῶν σπερμάτων δυνάμεις. καὶ ἔτι τὰς ἑκάστων ὥρας. ὅτε δὲ ὑετηρεία γίνηται, καὶ πολυνοσώτερα τὰ σπέρματα γίνεται. ἀθήνησι δ' οὖν αἱ κριθαὶ τὰ πλεῖστα ποιοῦσι τὰ ἄλφιτα. κριθοφόρος γὰρ ἀρίστη. τοῦτο δ' οὐχ ὅταν πλεῖσται γένωνται. ἀλλ' ὅταν λάβῃ τινὰ κρᾶσιν. ἐν δὲ τῇ Φωκίδι περὶ Ἐλάτειαν οἱ πυροὶ καὶ αἱ κριθαί. καὶ παρ' ἄλλοις ἄλλα πρὸς ἅπερ εὐφυὴς ἑκάστη. βελτίω μὲν γὰρ καὶ χείρω τὰ σπέρματα καὶ διὰ τὴν ἐργασίαν καὶ διὰ τὴν γῆν γίνεται. καὶ γὰρ ἀπαγριοῦται καὶ ἡμεροῦται καθάπερ τὰ δένδρα. καὶ ὅλως μεταβάλλει τὴν χώραν ὥσπερ τῶν ἀνθρώπων εὐθὺς ἔοικε πρὸς τὸ χεῖρον. γένος δ' ὅλον ἐξαλλάττειν εἰς ἕτερον, οὐδὲν ἕτερον ἄλλο πέφυκε. πλὴν τίφη καὶ ζεὰ καθάπερ εἴπομεν ἐν τοῖς πρώτοις λόγοις. καὶ ἡ αἶρα δὲ ἐκ τῶν πυρῶν καὶ κριθῶν διαφθειρομένων. ἢ εἰ μὴ τοῦτο, ἀλλὰ φιλεῖ γε μάλιστα ἐν τοῖς πυροῖς γίνεσθαι καθάπερ καὶ ὁ μελάμπυρος ὀρμητικὸς καὶ τὸ τῶν βολβῶν σπέρμα. καὶ ἄλλα δὲ ἐν ἄλλοις τῶν σπερμάτων. ἐπεὶ καὶ ὁ αἰγίλωψ δοκεῖ μᾶλλον ἐν ταῖς κριθαῖς. ἐν δὲ τοῖς ἀφάκοις ἄρακος τὸ τραχὺ καὶ σκληρόν. ἐν

δὲ ταῖς ἀφάκαις ὁ πελεκῖνος ὅμοιον τῷ σχήματι τῷ πελέκει. ἴδιον δ' ἐστὶ καθ' ἕκαστον οὐδέν τὸ συνεκτρεφόμενον καὶ συναυξανόμενον. εἴτε διὰ τὰς χώρας (ὅπερ οὐκ ἄλογον) εἴτε δι' ἄλλην αἰτίαν. ἔνια δὲ φανερῶς ἐστι κοινὰ πλειόνων. ἀλλὰ διὰ τὸ μάλιστα ἐν τισὶν ἀσθενεῖν ἴδια τούτων φαίνεται, καθάπερ ἡ ὀροβάγχη τοῦ ὀρόβου καὶ ἡ ἀπαρίνη τοῦ φακοῦ. ἀλλ' ἡ μὲν, μάλιστα ἐπικρατεῖ τῶν ὀρόβων διὰ τὴν ἀσθένειαν. ἡ δὲ ἀπαρίνη μάλιστα ἐν τοῖς φακοῖς ἐκτρέφεται. τρόπον δέ τινα παραπλήσιόν ἐστι τῇ ὀροβάγχῃ ἐπιβάλλειν καὶ κατέχειν ὅλον ὥσπερ πλεκτάνην· ἀποπνίγει γὰρ οὕτως· ὅθεν καὶ τὸ ὄνομα εἴληφε. τὸ δ' ὑποφυόμενον εὐθὺς ἐκ τῆς ῥίζης τῷ κυμίνῳ καὶ τῷ βουκέρῳ τὸ αἱμόδωρον, μονόκαυλον. οὐκ ἀπεμφερὲς τῷ καυλῷ πλὴν βραχύτερόν τι πολὺ, καὶ ἄνωθέν τι κεφαλῶδες ἔχει. ῥίζαν δὲ ὑποστρόγγυλον. οὐδὲν δ' ἕτερον ἀφαναίνεται παρὰ τὸ βούκερας. γίνεται δὲ ταῦτα ἐν ταῖς λεπταῖς οὐκ ἐν ταῖς πετραίαις. ὥσπερ καὶ τῆς εὐβοίας ἐν τῷ ληλάντῳ μὲν οὐ γίνεται. περὶ δὲ τὸν κάνηθον καὶ εἴ τις ἄλλος τοιοῦτος τόπος. ταῦτα μὲν οὖν κοινὰ πλειόνων ὄντα κατισχύει μᾶλλον ἐν τοῖς εἰρημένοις διὰ τὴν ἀσθένειαν. τὸ δὲ τέραμον καὶ ἀτέραμον, λέγεται μὲν ἐπὶ τῶν ὀσπρίων μόνον. οὐκ ἄλογον δ' ἐστὶ καὶ ἐπὶ τῶν σιτωδῶν παραπλήσιόν τι καὶ τοῦτο συμβαίνειν. ἀλλὰ διὰ τὸ μὴ τὴν αὐτὴν εἶναι χρείαν οὐχ ὁμοίως ἐμφανές. ἐπεὶ οὐδ' ἐπὶ τούτων ἁπάντων ὁμοίως. ἀλλὰ μάλιστα ἐπὶ τοῦ κυάμου λέγεται καὶ φακοῦ. εἴτ' οὖν καὶ μάλιστα πασχόντων εἴτε καὶ διὰ τὴν χρείαν φαινομένων. γίνεται γοῦν πλέον. πολλαχοῦ γὰρ τόποι τινές εἰσιν, οἳ ἀεὶ φέρουσι τεράμονα. καὶ ἄλλοι πάλιν ἀτεράμονα. τὸ δ' ὡς ἐπίπαν, οἱ λεπτόγεω μᾶλλον τεράμονα, καὶ ἀέρος κατάστασίς τις ποιεῖ τὴν τοιαύτην παραλλαγήν. σημεῖον δὲ· ὅτι ταῦτα τὰ χωρία ἀνομοίως ἐργασθέντα φέρει τὰ μὲν τεράμονα. περὶ φιλίππους δ' ὁ κύαμος λιχμώμενος ἐὰν ὑπὸ πνεύματος ἐγχωρίου ληφθῇ, τεράμων ὢν, ἀτεράμων γίνεται. ταῦτα μὲν οὖν μηνύει διότι πολλαχοῦ τῶν δὲ τῶν χωρίων ἔνια συνορᾷ καὶ ὁμοῦ κα

θήμερα

θὴ μὲν αἱ οὐ δὲ μὴ ἀνέχονται κατὰ τὴν γῆν διαφορὰν, τὸ μὲν τετράμηνα, τὸ δὲ τετράμηνα φέρει. αἱ δ' ὅτι μόνη αὔλακι διοριζούσης καρπίζεται τὴν γῆν μάλιστα πυρός. εἶτα κριθή. διὸ καὶ ὁ μὲν ἀγαθὴν ζητεῖ χώραν. ἡ δὲ κριθὴ δύναται ἐν ταῖς ψαφαρωτέραις ἐκφέρειν. τῶν δὲ χεδροπῶν μάλιστα ἐρέβινθος, καίπερ ἐλάχιστον χρόνον ἐν τῇ γῇ μένων. ὁ δὲ κύαμος ὥσπερ ἐλέχθη καὶ ἄλλοι οὐ βαρύ. καὶ ὅτι κοπρίζειν δοκεῖ τὴν γῆν διὰ μανότητα καὶ ὡς σηψίαν. διὸ καὶ οἱ περὶ μακεδονίαν καὶ θετταλίαν ὅταν ἀνθῶσιν, ἀναστρέφουσι τὰς ἀρούρας. τῶν δὲ ὁμοιοπύρων καὶ ὁμοιοκρίθων, οἷον ζειᾶς. τίφης. ὀλύρας. βρόμου. αἰγίλωπος. ἰσχυρότερον μὲν μάλιστα καρπιζόμενον, ἡ ζειά. καὶ γὰρ πολύρριζον καὶ βαθύρριζον καὶ πολυκάλαμον. ὁ δὲ καρπὸς κουφότατος καὶ προσφιλὴς πᾶσι τοῖς ζώοις. τῶν δὲ λοιπῶν ὁ βρόμος πολύρριζος καὶ γὰρ οὗτος πολυκάλαμος. ἡ δὲ ὄλυρα, μαλακώτερον καὶ ἀσθενέστερον τούτων. ἡ δὲ τίφη, πάντων κουφότατον. καὶ γὰρ καὶ μονοκάλαμον. διὸ καὶ χώραν ζητεῖ λεπτήν. οὐχ ὥσπερ ἡ ζειὰ, πίειραν καὶ ἀγαθήν. ἔστι δὲ δύο ταῦτα καὶ ὁμοιότατα τοῖς πυροῖς. ὅ τε αἰγίλωψ καὶ ὁ βρόμος. ὥσπερ ἄγρια ἄττα καὶ ἀνήμερα. ἐπικαρπίζεται δὲ σφόδρα καὶ ὁ αἰγίλωψ τὴν γῆν καὶ ἔστι πολύρριζον καὶ πολυκάλαμον. ἡ δὲ αἶρα παντελῶς ἀπηγριωμένον. τῶν δ' ἐν τοῖς θερινοῖς ἀρότοις, τὸ σήσαμον δοκεῖ χαλεπώτατον εἶναι τῇ γῇ καὶ μάλιστα καρπίζεσθαι. καὶ πολυκαλαμώτερον καὶ παχυκαλαμώτερον καὶ πολυρριζότερον κέγχρου. διαφέρει δ' ἔτι πρὸς τὴν γῆν κοῦφα. καὶ πρὸς τὴν ἡμετέραν τροφήν. ἔνια γὰρ ἐναντίως. ὥσπερ τὰ χεδροπὰ καὶ οἱ κέγχροι. καὶ τὰ πρὸς ἡμᾶς δὲ ὥσπερ ἐλέχθη τε καὶ τἄλλα ζῷα δὲ τῶν σπερμάτων, τὰ μὲν κοινὰ πάντων ἐστίν, οἷον ἐρυσίβη, τὰ δ' ἴδια τινῶν. οἷον ὁ σφακελισμὸς τοῦ ἐρεβίνθου. καὶ τὸ ὑπὸ καμπῶν κατεσθίεσθαι καὶ ὑπὸ ψυλλων θηρίων. ἔνια δὲ καὶ φθόραις καὶ ἅλμαις καθάπερ τὸ κύμινον. τὰ δὲ ἐπιγινόμενα ζῷα εἰ μὴ ἐξ αὐτῶν, ἀλλ' ἐκ τῶν

ἔξωθεν, οὐχ ὁμοίως βλάπτει. ἐπιγίνεται γὰρ ἡ μὲν κανθαρὶς ἐν
τοῖς πυροῖς· τὸ δὲ φαλάγγιον ἐν ὀρόβοις· ἄλλα δ' ἐν ἄλλοις. ἐρυ
σίβαι δ' ὡς ἁπλῶς εἰπεῖν εἰς τὰ σιτώδη μᾶλλον τῶν ὀσπρίων. αὐ
τῶν δὲ τούτων ἡ κριθὴ μᾶλλον ἢ πυρός· καὶ τῶν κριθῶν ἕτεραι ἑτέρων.
μάλιστα δ' ὡς εἰπεῖν ἡ ἀχιλληΐς. διαφέρει δὲ καὶ τῶν χωρίων θέσις τε
καὶ φύσις οὐ μικρόν. τὰ προσήνεμα καὶ μετέωρα οὐκ ἐρυσιβοῦται ἢ ἧττον
ἀλλὰ τὰ ἔγκοιλα καὶ ἄπνοα. γίνεται δὲ ἡ ἐρυσίβη παν-
σελήνοις μάλιστα. ἀπόλλυται δὲ καὶ ὑπὸ τῶν πνευμάτων καὶ πυρὸς
καὶ κριθή, ὅταν ἢ ἀνθοῦντα ληφθῇ ἢ ἄρτι ἀπηνθηκότα τε καὶ ἀθέ
ρη. μᾶλλον δὲ καὶ κριθή. πολλάκις δ' ἤδη καὶ τῶν ἁδρυνομένων. ἐὰν μετα
λάβῃ καὶ πλείω χρόνον ἐπιγένηται. ξηραίνει γὰρ καὶ ἀφαναίνει. ὃ καλοῦσι
τινὲς ἐξανεμοῦσθαι. διαπόλλυσι δὲ καὶ ἥλιος ὁ ἐκνέφελος ἀμφοῖν
δὲ μᾶλλον πυρὸν ἢ κριθήν. ὥστε μηδ' ἐπίδηλον εἶναι τὸν στάχυν τῇ
ὄψει ὄντα κενόν. τὸν δὲ πυρὸν ἀπολλύουσι καὶ οἱ σκώληκες. οἱ μὲν εὐ
θὺς κατεσθίοντες φυόμενοι τὰς ῥίζας. οἱ δ', ὅταν αὐχμῶν τις
ἀπολυθῆναι μὴ δύνωνται. τότε γὰρ ἐγγινόμενος ὁ σκώληξ ἐσθίει
τὸν ἀποπνιζόμενον κάλαμον. ἐσθίει δὲ ἄχρι τοῦ στάχυος. εἶτ' ἐξανα
λώσας ἀπόλλυται. κἂν μὲν ὅλον ἐκφάγῃ τελέως αὐτὸς ὁ πυ-
ρός. ἐὰν δ' ἐπὶ θάτερα τοῦ καλάμου καὶ ἐκβιάσηται τὴν ἀπόχυσιν.
τοῦτο μὲν οὖν τὸ στάχυ. θάτερα δὲ ὑγιές. γίνεται δὲ οὐ πανταχοῦ
τὸ περὶ τοὺς πυρούς. οἷον ἐν θετταλίᾳ. ἀλλὰ κατὰ χώρας τινὰς ὥσ-
περ ἐν τῇ λιβύῃ καὶ τῆς εὐβοίας, ὥσπερ ἐν τῷ ληλάντῳ. σκώ
ληκες δὲ γίνονται καὶ ἐν τοῖς ὀχροῖς καὶ ἐν τοῖς λαθύροις καὶ τοῖς πισοῖς, ὅταν ὑγρανθῶσι
καὶ θερμημερίαι γίνωνται. καὶ καθάπερ ἐν τοῖς ἐρεβίνθοις αἱ κάμπαι
τὰ δὲ ἐξαναλώσαντα τὴν τροφὴν ἀπόλλυνται καὶ ἐν τοῖς χλωροῖς καὶ ἐν τοῖς
καρποῖς. οἷον οἵ τε ἶπες καὶ οἱ ἐν τοῖς κυάμοις ἐγγινόμενοι καὶ ἐν
τοῖς ἄλλοις. ὥσπερ καὶ ἐν τοῖς δένδρεσι καὶ ἐν τοῖς ξύλοις ἐλέχθη. πλὴν
τῶν κεραστῶν καλουμένων. πρὸς ἅπαντα δὲ ταῦτα μεγάλως
διαφέρουσιν αἱ χῶραι οὐκ ἀλόγως. ὁ γὰρ ἀὴρ εὐθὺς διάφορος τῷ
θερμὸς ἢ ψυχρὸς εἶναι. ἢ ὑγρὸς ἢ ξηρός. οὗτος δ' ἤδη ὁ νῶτος(?).

διὸ καὶ ἐν

διὸ καὶ ἐν αἷς εἰώθασι γίνεσθαι, οὐκ ἀεὶ γίνονται. τῶν δὲ σπερμάτων ἔχει αὐτὴ δύναμίς ἐστιν, εἴς τε τὴν βλάστησιν καὶ εἰς θησαυρισμόν. ἔνια μὲν γὰρ βλαστάνει καὶ τελειοῦται τάχιστα καὶ θησαυρίζεται κράτιστα· καθάπερ ἔλυμος, καὶ κέγχρος. ἔνια δὲ βλαστάνει μὲν οὐ ταχέως δέ· καθάπερ ὁ κύαμος καὶ μᾶλλον ὁ θέρμος. ταχὺ δὲ ἀφάκη· ἡ δὲ δολιχός· κριθὴ δὲ πυροῦ· θᾶττον δὲ καὶ ὁ κονιορτώδης καὶ ὁ κονίορτος. καὶ ὁ ἐν τοῖς κονιορτοῖς ἐν ἅπασιν. οἷον κονιάτοις ἢ ἀκονιάτοις γίνεται διαφθειρομένοις ἴδια ζῷα, καθάπερ ἐλέχθη. πλὴν ἐρεβίνθου. μόνος γὰρ οὗτος οὐ ζῳογονεῖ. καὶ σηπομένοις μὲν πᾶσι σκώληξ· κοπτομένοις δέ, καθ' ἕκαστα ἴδιον. πάντων δὲ μάλιστα διαμένουσιν ἐρέβινθος καὶ ὄροβος. τούτων δ' ἔτι μᾶλλον ὁ θέρμος. ἀλλ' ἔοικεν οὗτος ὥσπερ ἀγρίῳ. διαφέρει δ' ὡς ἔοικε χώρα χώρας, καὶ ἀὴρ ἀέρος εἰς τὸ κόπτεσθαι μή. τὰ σπέρματα ἐν Ἀπολλωνίᾳ γοῦν τῇ περὶ τὸν Ἰόνιον, οὐκ ἐσθίεσθαί φασιν ὅλως κύαμον. διὸ καὶ εἰς θησαυρισμὸν ἀποτίθεσθαι. διαμένει δὲ καὶ περὶ Κύζικον πλείω. μέγα δὲ πρὸς διαμονὴν καὶ τὸ ξηρὰ θερίζειν. ἐλάττων γὰρ ἡ ὑγρότης. θερίζουσι δ' οὐ χλωρότερα τὰ μὲν χεδροπὰ πρὸς τὸ μᾶλλον καὶ ῥᾷον συλλέξαι. ταχὺ γὰρ καταρρεῖ. καὶ αὐανθέντα θρύπτεται. τὰς δὲ κριθάς, καὶ γένος τι κριθῶν, διὰ τὸ βελτίους εἰς τὰ ἄλφιτα γίνεσθαι μὴ ἀπεξηραμμένας. διὸ καὶ εἰς θωμοὺς συντιθέασι καὶ πυροὺς καὶ κριθάς. καὶ δοκοῦσιν ἁδρύνεσθαι ἐν θωμῷ μᾶλλον ἢ λίκνῳ σπαρῶν. οὐκ ἐσθίεται δὲ σῖτος ὁ ταμιευθεὶς περιφυῆ. ἀθέριστος δὲ μάλιστα διαμένει ὁ πυρός. ἔτι δὲ μᾶλλον ὁ θέρμος. οὐδὲ γὰρ θερίζουσι τοῦτον πρὸ τοῦ ὕδωρ γενέσθαι, διὰ τὸ ἐκπηδᾶν θεριζόμενον καὶ ἀπόλλυσθαι τὸ σπέρμα. πρὸς ἔκφυσιν δὲ καὶ τὴν ὅλην σπορὰν ἄριστα δοκεῖ τὰ ἐπέτεια. τὰ δὲ δίετα χείρω καὶ τὰ τρίετα. τὰ δ' ὑπερτείνοντα σχεδὸν ἄγονα. πρὸς δὲ τὴν σίτησιν ἀρκοῦντα. χρόνος γάρ ἐστιν ἑκάστοις ὡρισμένος εἰς γονήν. καίτοι καὶ ταῦτα

παραλλάττει ταῖς δυνάμεσι διὰ τοὺς τόπους, ἐν οἷς ἀνθησαυρίζονται. περὶ γοῦν καππαδοκίας ἐν χωρίῳ τινὶ τῷ καλουμένῳ πέτρᾳ καὶ τετταράκοντα ἔτη διαμένειν φασὶ γόνιμον. ἔτι δὲ χρήσιμον πρὸς ἄρτον. εἰς δὲ τὴν σίτησιν καὶ ἑξήκοντα καὶ ἑβδομήκοντα. τὸ γὰρ ὅλον οὐκ ὄπτεσθαι. τὰ δὲ ἱμάτια καὶ τὰ ἄλλα γέζαν κόπτεσθαι. τὸ γὰρ χωρίον ἄλλως τε ὑψηλὸν εἶναι, καὶ εὔπνουν. καὶ ἐν αὔραις αἰεί. καὶ τῶν ἀνατολῆς ἔχεσθαι καὶ δύσεως καὶ μεσημβρίας. φασὶ δὲ καὶ ἐν μηδείᾳ καὶ τῶν ἄλλαις ὑψηλαῖς χώραις, διαμένειν θησαυριζόμενα πολὺν χρόνον. ἐρέβινθον δὲ καὶ θέρμον καὶ ὄροβον καὶ κέγχρον καὶ τὰ τοιαῦτα. δῆλον ὅτι πολλῷ πλείω τούτων. ὥσπερ καὶ ἐν τοῖς περὶ τὴν ἑλλάδα τόποις. ἀλλὰ ταῦτα μὲν ὥσπερ εἴρηται τῶν τόπων ἴδια. δοκεῖ δὲ καὶ γῆ τις εἶναι παρά τισιν, ἣ διαπλαττομένη συντηρεῖ τὸν πυρόν, ὥσπερ ἥ τε ἐν ὀλύνθῳ καὶ ἐν κηρίνθῳ τῆς εὐβοίας. ποιεῖ δὲ χείρω μὲν εἰς τὴν σίτησιν. ἁδρότερον δὲ τῇ προσόψει. παραπάττουσι δὲ χοίνικα εἰς τὸν μέδιμνον. πυρωθέντα δὲ πάντα τὰ σπέρματα ἀπόλλυται καὶ ἄβλαστα γίνεται. καίτοι περί γε βαβυλῶνά φασι τὰς κριθὰς ἀπὸ τῆς πυρᾶς ἐπὶ τὴν ἅλω πηδᾶν. ὥσπερ τὰ φρυγόμενα. ἀλλὰ δῆλον ὅτι διαφορά τις ἐστὶ τῆς θερμότητος ἢ ἀφ᾽ ἧς ἡ θερμασία γίνεται καὶ ἡ πήδησις. καὶ τὰ μὲν τοιαῦτα σχεδὸν ὥσπερ εἰκόνες δόξαιεν ἂν εἶναι πάντων ἢ τῶν πλείστων. ἔνια δὲ ἔχει τινὰ ἰδιότητα ἢ τῶν δοκούντων ὥσπερ ἀγρίων εἶναι κατὰ τὴν γένεσιν καὶ ἔκφυσιν ὥσπερ ὁ θέρμος καὶ ὁ αἰγίλωψ. ὁ μὲν γὰρ θέρμος καίπερ ἰσχυρότατος ὤν, ὅμως ἐὰν μὴ εὐθὺς ἅλω καταβληθῇ, κακοφυὴς γίνεται καθάπερ ἐλέχθη. τὸ ὅλον δὲ οὐκ ἐθέλει κρύπτεσθαι τῇ γῇ. διὸ καὶ οὐχ ὑπαροῦντες σπείρουσι. πολλάκις δὲ κἂν εἰς ὕλην ἢ βοτάνην τινὰ πέσῃ. διωσάμενος ταύτην, συνάπτει τὴν ῥίζαν τῇ γῇ καὶ βλαστάνει. χώραν δὲ ὕφαμμον ζητεῖ καὶ φαύλην μᾶλλον. τὸ δὲ ὅλον οὐκ ἐθέλει φύεσθαι τῇ εἰργασμένῃ. ὁ δὲ αἰγίλωψ ἀνάπαλιν. ἐν γὰρ τῇ γεωργουμένῃ κάλλιον. καὶ ἐνιαχοῦ δὲ πρότερον ἄβλαστος ὤν, ἐὰν γεωργηθῇ, βλαστάνει καὶ γίνεται πολύς, καὶ ὅλως δὲ

φιλεῖ

φιλεῖ χώραν ἀπαθῆ· ἴδιον δὲ αὐτοῦ λέγεται πρὸς τὰ ἄλλα τὰ σιτώδη σπέρματα, καὶ ἡ παρ' ἐνιαυτὸν βλάστησις ἑκατέρου τῶν σπερμάτων· διὸ καὶ οἱ βουλόμενοι τελέως φθεῖραι (δύσφθαρτον γὰρ δὴ φύσει τυγχάνει) τὰς ἀρούρας ἀφιᾶσιν ἀσπόρους ἐπὶ δύο ἔτη· ὅταν ἀναβλαστήσῃ, τὰ πρόβατα ἀφιᾶσι πολλάκις ἕως ἂν ἐκνεμηθῶσι· καὶ αὕτη γίνεται φθορὰ παντελής, ἅμα δὲ τοῦτο μαρτυρεῖ καὶ τὴν παρὰ μέρος βλάστησιν.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡῚ ΦΥΤΩ͂Ν ἹΣΤΟΡΊΑΣ ΤῸ · Θ.

Ὑγρότης ἡ οἰκεία τῶν φυτῶν, ἣν δὴ καλοῦσί τινες ὀπὸν ὀνόματι κοινῷ προσαγορεύοντες· δύναμιν δὲ ἔχει δῆλον ὅτι τὴν καθ' αὑτὴν ἑκάστη· χυμὸς δὲ τοῖς μὲν μᾶλλον, τοῖς δ' ἧττον ἀκολουθεῖ· τοῖς δ' ὅλως οὐκ ἂν δόξειεν· οὕτως ἀθερμὴς καὶ ὑδαρής τίς ἐστι· πλείστη μὲν οὖν ὑπάρχει πᾶσι κατὰ τὴν βλάστησιν· ἰσχυροτάτη δὲ μάλιστα ἐκφαίνουσα τὴν ἑαυτῶν φύσιν, ὅταν ἤδη παύσηται τὰ βλαστάνοντα καὶ κατεργοῦνται· συμβαίνει δὲ τισὶ τῶν φυτῶν καὶ χρόαν ἰδίαν ἔχειν· τοῖς μὲν λευκή· οἷον τοῖς ὀπώδεσι· τοῖς δ' αἱματώδεις· οἷον τῇ κωνείᾳ καὶ τῇ ἀξακτυλίδι καλουμένῃ ἀκάνθῃ· τοῖς δὲ χλωρὸν, τοῖς δ' ἐν ἄλλῃ χρόα· ἔνδηλα δὲ μᾶλλον ταῦτα τοῖς ἐπετείοις καὶ ἐν τοῖς ἐπετειοκαύλοις ἢ τοῖς δένδροις· ἡ δ' ὑγρότης, τῶν μὲν πάχος ἔχει μόνον, ὥσπερ τῶν ὀπωδῶν· τῶν δὲ καὶ δακρυώδης γίνεται· καθάπερ ἐλάτης· πεύκης· τερμίνθου· πίτυος· ἀμυγδαλῆς· κεράσου· προύμνης, ἀρκεύθου, κέδρου· ἔτι ἐλάας τῆς ἀκάνθης τῆς αἰγυπτίας· καὶ γὰρ αὕτη φέρει κόμμι· πλὴν οὐκ

ἐκ τοῦ φλοιοῦ· ἀλλ' ἐν τοῖς ἀγρίοις· ἔστι δ' ἀφ' ὧν ὁ λίβανος· καὶ ἡ σμύρνα· δάκρυα γὰρ καὶ ταῦτα· καὶ τὸ βάλσαμον· καὶ χαλβάνη, καὶ εἴ τι τοιοῦτον ἕτερον οἷόν φασι τὴν ἄκανθαν τὴν ἰνδικὴν, ἀφ' ἧς γίνεται τὸ ὅμοιον τῇ σμύρνῃ· συνίσταται δὲ καὶ τὸ τῆς σχίνου καὶ τὸ τῆς ἀκάνθης τῆς ἰξίνης καλουμένης, ἐξ ὧν ἡ μαστίχη· ἅπαντα δὲ ταῦτα εὔοσμα· καὶ σχεδὸν ὅσα πιότητά τινα ἔχει καὶ λίπος· ὅσα δ' ἄλιπη, ταῦτα δύσοσμα· καθάπερ τὸ κόμμι, καὶ τὸ τῆς ἀμυγδάλης· ἔχει δὲ δάκρυον καὶ ἡ ἰξία ἡ ἐν κρήτῃ, καὶ ἡ τραγάκανθα καλουμένη· ταύτην δὲ πρότερον ᾤοντο μόνον ἐν κρήτῃ φύεσθαι· νῦν δὲ φανερὰ καὶ ἐν ἀχαΐᾳ τῆς πελοποννήσου καὶ ἄλλοθι· καὶ τῆς ἀσίας περὶ μήδειαν· ἔστι δὲ τούτων μὲν πάντων ἐν τοῖς καυλοῖς καὶ τοῖς στελέχεσι καὶ τοῖς ἀκρέμοσι τὸ δάκρυον· ἐνίων δ' ἐν ταῖς ῥίζαις· ὥσπερ τοῦ ἱπποσελήνου καὶ τῆς σκαμμωνίας· καὶ τῶν ἄλλων τῶν πολλῶν τῶν φαρμακωδῶν· τῶν δὲ καὶ ἐν τῷ καυλῷ καὶ ἐν τῇ ῥίζῃ· καὶ γὰρ τὸν καυλὸν ὀπίζουσι καὶ ἐνίων τὰς ῥίζας ὥσπερ καὶ τοῦ σιλφίου· τὸ μὲν οὖν τοῦ ἱπποσελίνου παρόμοιον τῇ σμύρνῃ· καί τινες ἀκούσαντες ὡς ἐντεῦθεν ἡ σμύρνη, ἢ γοῦν τοι βλαστάνειν ἐν αὐτοῖς ἱπποσέλινον· φυτεύεται γὰρ ὥσπερ ἐλέχθη καὶ ἀπὸ δακρύου τὸ ἱπποσέλινον, ἢ καθάπερ ἡ σκαμμωνία, καὶ ἄλλα· τὸ δὲ τοῦ σιλφίου δριμύ· καθάπερ αὐτὸ τὸ σίλφιον· ὁ γὰρ ὀπὸς καλούμενος τοῦ σιλφίου, δάκρυόν ἐστιν· ἡ δὲ σκαμμωνία καὶ εἴ τι ἄλλο τοιοῦτον ὥσπερ ἐλέχθη, φαρμακώδεις ἔχει τὰς δυνάμεις· πάντων δὲ τῶν εἰρημένων, τὰ μὲν αὐτομάτως συνίσταται· τὰ δὲ, ἀπὸ ἐντομῆς· τὰ δ' ἀμφοτέρωθεν· τέμνουσι δὲ δηλονότι τὰ χρήσιμα καὶ τὰ μᾶλλον· ἐπεὶ γοῦν τὸ ἀπὸ τῆς ἀμυγδάλης, οὐδεμία χρεία δακρύου· διὸ κἂν ἀφέλκωσι, πλὴν ἐκεῖνό γε φανερόν· ὅτι ὧν αὐτόματος ἡ πῆξις, τούτων πλείων ἡ ἐπιρροὴ τῆς ὑγρότητος, οὐ τὴν αὐτὴν δ' ὥραν ἁπάντων αἱ ἐντομαὶ καὶ ἡ πῆξις· ἀλλὰ τοῦ μὲν τῆς ἀμπέλου μάλιστα συνίστασθαί φασιν, ἐὰν μικρὸν πρὸ τῆς βλαστήσεως τμηθῇ· τοῦ δὲ μετοπώρου καὶ ἀρχομένου τοῦ χειμῶνος, ἧττον· καίτοι πρόσεστι καρποτοκίαν τι ὡραιότητα· τοῖς δὲ

ἰξίνη

μαστίχη

ἰξία

ὡραιότητα, τοῖς δὲ πλεῖσται αὗται. τῆς δὲ τερμίνθου καὶ τῆς πεύκης, καὶ ἡ ἐκ τῆς ἐλάτης ἐκτομὴ γίνεται μετὰ τὴν βλάστησιν. τὸ δ᾽ ὅλον οὐκ ἐπέτειος ἡ τούτων. ἀλλ᾽ οἷς πλείων χρόνος ἡ ἐντομή. τὸν δὲ λιβανωτὸν καὶ τὴν σμύρναν ὑπὸ κύνα φασὶ καὶ ταῖς θερμοτάταις ἡμέραις ἐντέμνειν. ὡσαύτως δὲ καὶ τὸ ἐν συρίᾳ βάλσαμον. ἀκριβεστέρα δὲ καὶ ἐλάττων καὶ ἡ τούτων ἐντομή. καὶ γὰρ ἡ συρροὴ τῆς ὑγρότητος ἐλάττων. ὧν δὲ καὶ ὁ καυλὸς ἐκτέμνεται καὶ ἡ ῥίζα, τούτων ὁ καυλὸς πρότερον ὥσπερ καὶ τοῦ σιλφίου. καλοῦσι δὲ τὸν ὀπὸν τούτων, τὸν μὲν, καυλίαν. τὸν δὲ, ῥιζίαν. καὶ ἔστι βελτίων ὁ ῥιζίας. καθαρὸς γὰρ καὶ διαφανὴς καὶ ξηρότερος. ὁ δὲ καυλίας ὑγρότερος. καὶ διὰ τοῦτο ἄλευρον αὐτῷ περιπλάττουσι πρὸς τὴν πῆξιν. τὴν δ᾽ ὥραν τῆς ἐκτομῆς ἴσασιν οἱ λίβυες. οὗτοι γὰρ οἱ σιλφιολέγοντες. ὡσαύτως δὲ καὶ οἱ ῥιζοτόμοι. καὶ οἱ τοὺς φαρμακώδεις ὀποὺς συλλέγοντες. καὶ γὰρ οὗτοι τοὺς καυλοὺς ὀπίζουσι πρότερον. ἁπλῶς δὲ πάντες καὶ οἱ τὰς ῥίζας καὶ οἱ τοὺς ὀποὺς συλλέγοντες, τὴν οἰκείαν ὥραν ἑκάστων τηροῦσι. καὶ τοῦτο μὲν δὴ κοινόν. ἡ δὲ ῥητίνη γίνεται τόνδε τὸν τρόπον. ἐν μὲν τῇ πεύκῃ, ὅταν ἀφελκωθείσης, ἡ δορὰ ἐξαιρεθῇ. συρρεῖ γὰρ εἰς τὸ ἕλκωμα τοῦ περὶ πλείων ἡ ὑγρότης. ἐν δὲ τῇ ἐλάτῃ καὶ τῇ πίτυϊ, ὅταν πυρσαινόμενοι τῶν ξύλων ἀφελκώσωσιν. οὐ γὰρ πᾶς ἀφορισμὸς ὁμοίως. ἀφελκοῦσι γὰρ καὶ τὰς τερμίνθους ἐν ἀμφοῖν. καὶ ἐν τῷ στελέχει καὶ ἐν τοῖς ἀκρέμοσιν. ἀεὶ δὲ πλείων καὶ βελτίων ἡ εἰς τὸ στέλεχος συρρέουσα, τῆς εἰς τοὺς ἀκρέμονας. διαφέρουσι δὲ καὶ ταῦτα τὰ δένδρα. καλλίστη μὲν γὰρ ἡ τερμινθος. καὶ γὰρ συνεστηκυῖα καὶ εὐωδεστάτη καὶ κουφοτάτη τῇ ὀσμῇ. ἀλλ᾽ ὀλίγη. δευτέρα δὲ ἡ ἐλατίνη καὶ πιτυίνη. κουφότεραι γὰρ τῆς πευκίνης. πλείστη δὲ ἡ πευκίνη καὶ βαρυτάτη καὶ πιττωδεστάτη, διὰ τὸ μάλιστα ἔνδαδον εἶναι τὴν πεύκην. ἄγεται δὲ ἐν ἀέρι ὑγρά. κἄπειτα ὕστερον συνίσταται. καίτοι φασὶ καὶ τὴν τερμίνθου

πιττωθεῖσαν περὶ συρίαν· ἔστι γὰρ ὄρος καθάπερ ἐν τοῖς ἔμπρο-
σθεν εἴπομεν μέγα, τερμίνθων μεστὸν ἅπαν μεγάλων. ἔνιοι δὲ
φασὶ καὶ τὴν πίτυν, καὶ τὴν κέδρον, καὶ τὴν φοινικῆν. ἀλλὰ ταῦτα
μὲν ὡς ἐνδεχόμενα ληπτέον διὰ τὸ σπάνιον. ἐπεὶ οἵ γε περὶ Μα-
κεδονίαν οὐδὲ τὴν πεύκην πιττοκαποῦσιν ἀλλὰ τὴν ἄρρενα.
καλοῦσι γὰρ ἄρρενα τήν γε καρποφόρον. τῆς δὲ θηλείας ἐάν τι-
να τῶν ῥιζῶν λάβωσιν· ἅπασα γὰρ ἔνδαδος πεύκη ταῖς ῥίζαις.
καλλίστη δὲ πίττα γίνεται καὶ καθαρωτάτη, ἡ ἐκ τῶν σφόδρα προ-
σηλίων καὶ προσβόρρων. ἡ δ' ἐκ τῶν παλισκίων, βλοσηροτέρα καὶ βορ-
βορώδης. ἐν γὰρ τοῖς σφόδρα παλισκίοις οὐδὲ φύεται πεύκη
τὸ παράπαν. ἔστι δὲ καὶ εὐφορία τις καὶ ἀφορία καὶ πλήθους καὶ
καλλονῆς. ὅταν μὲν γὰρ χειμὼν μέτριος γένηται, πολλὴ γίνεται
καὶ καλὴ καὶ τῷ χρώματι λευκοτέρα. ὅταν δὲ ἰσχυρός, ὀλίγη καὶ μο-
χθηροτέρα. καὶ ταῦτά γε ἐστὶ τὰ ὁρίζοντα πλῆθος καὶ καλλονὴν πίτ-
της, οὐχ ἡ πολυκαρπία τῆς πεύκης. οἱ δὲ περὶ τὴν Ἴδην φασὶ, διαιροῦν-
τες τὰς πεύκας, καὶ τὴν μὲν καλοῦντες ἰδαίαν, τὴν δὲ παραλίαν,
τὴν ἐκ τῆς ἰδαίας πλείω καὶ μελαντέραν γίνεσθαι καὶ γλυκυτέραν καὶ
τὸ ὅλον εὐωδεστέραν ὠμήν· ἑψηθεῖσαν δὲ ἐλάττω ἐκβαίνειν· πλείω
γὰρ ἔχει τὸν ὀρόν· διὸ καὶ λεπτοτέραν εἶναι. τὴν δὲ τῆς παραλίας ξανθοτέραν
καὶ παχυτέραν ὠμήν· ὥστε καὶ τὴν ἀφέψιμ ἐλάττω γίνεσθαι. δα-
δωδεστέραν δὲ τὴν ἰδαίαν. ὡς δ' ἁπλῶς εἰπεῖν, ἐκ τῆς ἴσης δαδὸς πλείω
καὶ ὑδαρεστέραν, ἐν ταῖς ἐπομβείαις γίνεσθαι, ἢ ἐν τοῖς αὐχμοῖς· καὶ ἐκ
χειμερινῶν καὶ παλισκίων τόπων, ἢ ἐκ τῶν εὐηλίων καὶ εὐδιεινῶν. ταῦτα μὲν οὖν
οὕτως ἑκάτεροι λέγουσιν. ἀναπληροῦσθαι δὲ συμβαίνει τὰ κοιλώ-
ματα πρὸς τὸ πάλιν ἐξαίρειν. τῶν μὲν ἀγαθῶν πευκῶν, ἐνιαυτῷ·
τῶν δὲ μετριωτέρων, ἐν δυσὶν ἔτεσιν· τῶν δὲ μοχθηρῶν, ἐν τρισίν. ἡ δὲ
ἀναπλήρωσις, οὐ τοῦ ξύλου καὶ τῆς συμφύσεως ἀλλὰ τῆς πίττης ἐ-
στίν· ἐπεὶ τὸ ξύλον ἀδύνατον συμφῦναι καὶ ἓν γενέσθαι πάλιν· ἀλ-
λ' ἡ ἐργασία διὰ τοσούτου χρόνου γίνεται τῆς πίττης. ἀναγκαῖ-
ον δὲ δῆλον ὅτι καὶ τῷ ξύλῳ γενέσθαι τινὰ πρὸς φύσιν. εἴπερ ἐξαιρου-
μένης τῆς

μένης τῆς δᾳδὸς καὶ καιομένης τῆς πίττης, ἢ νεκροί· τοῦτο μὲν οὖν οὕτω ληπτέον. οἱ δὲ περὶ τὴν Ἴδην φασίν, ὅταν λεπίσωσι τὸ στέλεχος· λεπίζουσι δὲ τὸ πρὸς ἥλιον μέρος ἐπὶ δύο ἢ τρεῖς πήχεις ἀπὸ τῆς γῆς, ἐνταῦθα τὴν ἐπιρροὴν γινομένην ἔνδαδον ἐν αὐτῷ μάλιστα· τοῦτο δ' ὅταν ἐκπελεκήσωσιν, ἐν ἑτέρῳ πάλιν ἐνδαδοῦσθαι· καὶ τὸ τρίτον ὡσαύτως· τὰ δὲ τοιαῦτα διὰ τὴν ὑποτομὴν ἐκπίπτειν δένδρα ὑπὸ τῶν πνευμάτων, σαπέντα· τοὺς δ' ἐξαιρεῖν αὐτοῦ τὴν καρδίαν· τοῦτο γὰρ μάλιστα δᾳδῶδες· ἐξαιρεῖν δὲ ἐκ τῶν ῥιζῶν· καὶ γὰρ ταύτας ὥσπερ ἑπομένας ἐνδάδους πάσας· εἰκὸς δὲ δηλονότι τὰς μὲν ἀγαθὰς ὥσπερ ἐλέχθη συνεχῶς τοῦ τοδᾷν· τὰς δὲ χείρονας διὰ πλείονος χρόνου. καὶ ταμιευομένων μὲν, πλείω χρόνον ἀντέχειν· ἐὰν δὲ πᾶσαν ἐξαίρωσιν, ἐλάττω· δῶσ ἔοικε τρεῖς μάλιστα τοιαύτας ἐξαιρέσεις ὑπομένειν· οὐχ ἅμα δὲ καρποφοροῦσιν αἱ πεῦκαι καὶ δᾳδοφοροῦσι· καρποφοροῦσι μὲν γὰρ εὐθὺς νέαι· δᾳδοφοροῦσι δὲ ὕστερον πολλῷ πρεσβύτεραι γινόμεναι. τὴν δὲ πίτταν καίουσι τόνδε τὸν τρόπον. ὅταν κατασκευάσωσιν ὁμαλῆ τόπον ὥσπερ ἅλω ποιήσαντες ἔχουσαν εἰς τὸ μέσον συρροὴν, καὶ ταύτην ἐδαφίσωσι, κατασχίσαντες τοὺς κορμοὺς συντιθέασι παραπλησίαν σύνθεσιν τῇ τῶν ἀνθρακευόντων· πλὴν οὐκ ἔμβοθρον· ἀλλὰ τὰς σχίζας ὀρθὰς πρὸς ἀλλήλας· ὥστε λαμβάνειν ὕψος αἰεὶ κατὰ τὸ πλῆθος. γίνεσθαι δέ φασιν ὅταν ἡ σύνθεσις ᾖ κύκλῳ μὲν ὀγδοήκοντα ἑκατὸν πηχῶν· εἰς ὕψος δὲ ἑξήκοντα πλέον ἢ πεντήκοντα· ἢ ἑκατὸν ἀμφοτέροις, ἐάνπερ ἡ δᾳς τυγχάνῃ πίειρα. συνθέντες οὖν αὐτὴν οὕτως, καὶ κατασκεπάσαντες ὕλῃ, γῆν ἐπιβάλλοντες κατακρύπτουσιν, ὅπως μηδαμῇ ἐπιδιαλάμψῃ τὸ πῦρ· ἀπόλλυται γὰρ ἡ πίττα τούτου συμβάντος· ὑφάπτουσι δὲ κατὰ τὴν ὑπολειπομένην εἴσοδον· εἶτα δὲ ἀναπάξαντες τῇ ὕλῃ καὶ ἐπιχώσαντες, τηροῦσιν ἀναβαίνοντες κλίμακος, ᾗ ἂν ὁρῶσι τὸν καπνὸν ὠθούμενον· καὶ ἐπιβάλλουσιν αἰεὶ τῆς γῆς, ὅπως μὴ διαλάμψῃ· κατεσκεύασται δὲ ὀχετὸς τῇ πίττῃ διὰ τῆς συνθέσεως τ

ἀπορροῆς εἰς βόθυνον· ὅσον ἀπέχουσι πέντε καὶ δέκα πήχεις. ἡ δὲ προρρέουσα ἀπὸ τῆς πίττης, ψυχρὰ γίνεται κατὰ τὴν ἀφήν· καίεται δὲ μάλιστα δύο ἡμέρας καὶ νύκτας· τῇ γὰρ ὑστεραίᾳ πρὸ ἡλίου δύναντος ἐκκεκαυμένη γίνεται· καὶ ἐν ᾧ δέδωκεν ἡ πυρά· τοῦτο γὰρ συμβαίνει μηκέτι ἐξιούσης. τοῦτον δὲ τὸν χρόνον ἅπαντα τηροῦσι μάχρυ πνεῦμα τις· ὅπως μὴ διαλάμπῃ. καὶ θύουσι δὲ καὶ ἑορτάζουσιν εὐχόμενοι πολλήν τε καὶ καλὴν γενέσθαι τὴν πίτταν. οἱ μὲν δὴ περὶ μακεδονίαν καίουσι τὸν τρόπον τοῦτον. ἐν δὲ τῇ ἀσίᾳ φασὶ περὶ συρίαν οὐκ ἐκπλήττουτες τὴν δᾷδα, ἀλλ' ἐπ' αὐτῷ τῷ δένδρῳ προσκαίειν, φέροντές τι ὄργανόν τι περιπεποιημένον, καὶ τοῦτο περιαλείφοντες, εἶθ' ὅταν ἐκτήξωσι ταύτην πάλιν ἐπ' ἄλλο καὶ ἄλλο μεταφέρειν. ὅρος δέ ἐστιν αὐτοῖς τις καὶ σημεῖα τοῦ παύεσθαι. καὶ μάλιστα δῆλον ὅτι τὸ μηκέτι ἐξεῖν. πιττοκαυτοῦσι δ' ὥσπερ καὶ πρότερον ἐλέχθη ταῖς τερμίνθοις. πεύκην γὰρ οὐ φέρουσιν οἱ τόποι. τὰ μὲν οὖν περὶ τὴν ῥητίνην καὶ τὴν πίτταν, οὕτως ἔχει. περὶ δὲ λιβανωτοῦ, καὶ σμύρνης, καὶ βαλσάμου, καὶ εἴ τι τοιοῦτον ἕτερον, ὅτι μὲν καὶ διὰ τομῆς γίνεται καὶ αὐτομάτως, εἴρηται. λοιπὴ δέ τις, ἡ τῶν δένδρων φύσις. καὶ εἴ τι περὶ τὴν γένεσιν ἢ τὴν συλλογὴν ἢ τῶν ἄλλων ἴδιον αὐτοῖς ὑπάρχει, πειρατέον εἰπεῖν. ὡσαύτως δὲ καὶ περὶ τῶν λοιπῶν εὐόσμων. σχεδὸν γὰρ

τόποι εὐόσμων

τά γε πλεῖστα ἀπὸ τῶν τόπων ἐστὶ, τῶν τε πρὸς μεσημβρίαν καὶ ἀνατολήν. γίνεται μὲν οὖν ὁ λίβανος. καὶ ἡ σμύρνα καὶ ἡ κασία, καὶ ἔτι τὸ κινάμωμον, ἐν τῇ τῶν ἀράβων χώρᾳ, νήσω· περί τε σαβὰ, καὶ ἀδραμύττα καὶ κιτίβαινα καὶ μαμάλι. φύεται δὲ τὰ τοῦ λιβανωτοῦ καὶ τὰ τῆς σμύρνης δένδρα, τὰ μὲν ἐν τῷ ὄρει, τὰ δὲ ἐν ταῖς ἰδίαις γεωργίαις ὑπὸ τὴν ὑπώρειαν. διὸ καὶ τὰ μὲν θεραπεύεται, τὰ δ' οὔ. τὸ δ' ὄρος εἶναί φασιν ὑψηλὸν καὶ δασὺ καὶ νιφόμενον. ῥεῖν δ' ἐξ αὐτοῦ καὶ ποταμοὺς εἰς τὸ πεδίον. εἶναι δὲ τὸ μὲν

λιβανωτός

τοῦ λιβανωτοῦ δένδρον, οὐ μέγα. πεντάπηχυ δέ τι καὶ πολύκλαδον. φύλλον δ' ἔχειν ἐμφερὲς τῇ ἀπίῳ. πλὴν ἔλαττον πολὺ, καὶ τῷ χρώματι ποῶδες σφόδρα, καθάπερ τὸ πήγανον. λειόφλοιον δὲ πᾶν ὥσπερ τὴν δάφνην. τὴν δὲ σμύρναν ἔλαττον ἔτι τῷ μεγέθει καὶ θαμνωδέστερον δέ.

τὸ δὲ

τὸ δὲ στέλεχος ἔχει σκληρὸν καὶ συνεστραμμένον ἐπὶ τῆς γῆς· παχύ-
τερον δὲ ἢ κνημοπαχές· φλοιὸν δὲ ἔχει λεῖον ὅμοιον τῇ ἀνδράχνῃ·
ἕτεροι δὲ οἱ φάσκοντες τεθεωρηκέναι, περὶ μὲν τοῦ μεγέθους, σχεδὸν
οὐ συμφωνοῦσιν· οὐδὲ γὰρ εἶναι μέγα τῶν δένδρων· ἔλαττον δὲ τὸ τῆς
σμύρνης καὶ ταπεινότερον· φύλλον δὲ ἔχειν τὸ τοῦ λιβάνου· ἀλλὰ τὸ
μὲν, δαφνοειδὲς καὶ λειόφυλλον εἶναι· τὸ δὲ τῆς σμύρνης ἀκανθῶδες
καὶ οὐ λεῖον· φύλλον δὲ προσεμφερὲς ἔχειν τῇ πτελέᾳ· πλὴν οὖλον· ἐξ
ἄκρου δὲ ἐπακανθίζον, ὥσπερ τὸ τῆς πρίνου· ἔφασαν δὲ οὗτοι κατὰ τὸν
παράπλουν, ὃν ἐξ ἡρώων ἐποιοῦντο κόλπου, ζητεῖν ἐκβάντες ὕδωρ
ἐν τῷ ὄρει· καὶ οὕτως θεωρῆσαι τὰ δένδρα καὶ τὴν συλλογήν· εἶναι δὲ ἀμ-
φοτέρων ἐντετμημένα καὶ τὰ στελέχη καὶ τοὺς κλάδους· ἀλλὰ
τὰ μὲν, ὥσπερ ἀξίνῃ δοκεῖν πεπλῆχθαι· τὰ δὲ, λεπτοτέρας ἔχειν
τὰς τομάς· τὸ δὲ δάκρυον, τὸ μὲν καταπίπτειν· τὸ δὲ, καὶ πρὸς τῷ δέν-
δρῳ προσέχεσθαι· ἐνιαχοῦ μὲν ὑποβεβλῆσθαι ψιάθους ἐκ τῶν φοι-
νίκων πεπλεγμένας· ἐνιαχοῦ δὲ, τὸ ἔδαφος μόνον ἠδαφίσθαι καὶ κα-
θαρὸν εἶναι· τὸν μὲν ἐπὶ τῶν ψιάθων λιπαρὸν εἶναι καὶ καθαρὸν καὶ δι-
αφανῆ· τὸν δὲ ἐπὶ τῆς γῆς, ἧττον· τὸν δὲ ἐπὶ τοῖς δένδροις προσεχόμενον
ἀποξέειν σιδήροις· διὸ καὶ φλοιὸν ἐνίοις προσεῖναι· τὸ δὲ ὄρος ἅπαν
μεμερίσθαι τοῖς σαβαίοις· τούτους γὰρ εἶναι κυρίους· δικαίους
δὲ τὰ πρὸς ἀλλήλους· διὸ καὶ οὐδένα τηρεῖν· ὅθεν καὶ αὐτοὶ δαψι-
λῶς εἰς τὰ πλοῖα λαβόντες ἐνθέσθαι τοῦ λιβανωτοῦ καὶ τῆς σμύρ-
νης, ἐρημίας οὔσης, καὶ ἀποπλεῖν· ἔλεγον δὲ οὗτοι καὶ τόδε· καὶ ἔφα-
σαν ἀκούειν, ὅτι συνάγεται πανταχόθεν ἡ σμύρνα καὶ ὁ λιβανω-
τὸς εἰς τὸ ἱερὸν τὸ τοῦ ἡλίου· τοῦτο δὲ εἶναι μὲν τῶν σαβαίων· ἁσι-
ώτατον δὲ πολὺ τῶν περὶ τὸν τόπον· τηρεῖν δὲ ἔχειν τοὺς ἄρραβας
ἐνόπλους· ὅταν δὲ κομίσωσιν ἕκαστον, σωρεύσαντα τὸν ἑαυτοῦ καὶ τὴν
σμύρναν ὁμοίως καταλιπεῖν τοῖς ἐπὶ τῆς φυλακῆς· τιθέναι δὲ ἐπὶ τοῦ
σωροῦ πινάκιον, γραφὴν ἔχον τοῦ τε πλήθους τῶν μέτρων καὶ τῆς
τιμῆς ἧς δεῖ προσθεῖναι τὸ μέτρον ἕκαστον· ὅταν δὲ οἱ ἔμποροι πα-
ραγίνωνται, σκοπεῖν τὰς γραφάς· ἥτις δὲ ἂν αὐτοῖς ἀρέσκῃ, με-

τρησάμενον τιθέναι τὴν τιμὴν εἰς τοῦτο τὸ χωρίον, ἔνθεν ἀνέλωνται·
τὸν δὲ ἱερέα παραγινόμενον, τὸ τρίτον μέρος λαβόντα τῆς τιμῆς τῷ θεῷ,
τὸ λοιπὸν αὐτοῦ καταλιπεῖν· καὶ τοῦτο σῶν εἶναι τοῖς κυρίοις, ἕ-
ως ἂν ἕλωνται παραγινόμενοι. ἄλλοι δέ τινες τὸ μὲν τοῦ λιβανωτοῦ
δένδρον ὅμοιον εἶναί φασι σχοίνῳ· καὶ τὸν καρπὸν τοῖς σχοινίσι· φύλ-
λον δὲ ὑπέρυθρον· εἶναι δὲ τὸν μὲν ἐκ τῶν νέων λιβανωτὸν, λευ-
κότερον καὶ ἀοσμότερον· τὸν δὲ ἐκ τῶν παρακμαζόντων ξανθότε-
ρον καὶ εὐοσμότερον· τὸ δὲ τῆς σμύρνης ὅμοιον τῇ τερμίνθῳ· τραχύ-
τερον δὲ καὶ ἀκανθωδέστερον· φύλλον δὲ μικρῷ στρογγυλότερον· τῇ
δὲ γεύσει διαμασωμένοις, ὅμοιον τῷ τῆς τερμίνθου· εἶναι δὲ καὶ
τούτων τὰ παρηκμακότα, εὐδοκιμώτερα. γίνεσθαι δὲ ἀμφότε-
ρα ἐν τῷ αὐτῷ τόπῳ· τὴν γὰρ γῆν ὑπάργιλον καὶ πλακώδη· καὶ ὕ-
δατα πηγαῖα, σπάνια. ταῦτα μὲν οὖν ὑπεναντία τῷ νίφεσθαι
καὶ ὕεσθαι καὶ ποταμοὺς ἐξιέναι. τὸ δὲ παρόμοιον εἶναι τὸ δένδρον
τῇ τερμίνθῳ, καὶ ἄλλοι τινὲς λέγουσιν· οἱ δὲ καὶ ὅλως τέρμινθον εἶ-
ναι· κομισθῆναι γὰρ ξύλα πρὸς Ἀντίγονον ὑπὸ τῶν ἀρράβων, τῶν τὸν
λιβανωτὸν καταγαγόντων, ἃ οὐδὲν διέφερε τῶν τῆς τερμίνθου·
πλὴν οὗτοί γε μεῖζον ἕτερον ἀγνόημα προσηγνόουν· ᾤοντο γὰρ ἐκ τοῦ
αὐτοῦ δένδρου τόν τε λιβανωτὸν γίνεσθαι καὶ τὴν σμύρναν. διόπερ ἐ-
κεῖνος ὁ λόγος πιθανώτερος, ὁ παρὰ τῶν ἀναπλευσάντων ἐξ ἡρώων
πόλεως· ἐπεὶ καὶ τὸ ὑπὲρ σαρδέων πεφυκὸς τοῦ λιβανωτοῦ δέν-
δρου ἐν ἱερῷ τινι, δαφνοειδὲς ἔχει τὸ φύλλον, εἴ τι δεῖ σταθμᾶσθαι
τούτῳ. ὁ λιβανωτὸς δ' ἵεται, καὶ ὁ ἐκ τοῦ στελέχους καὶ ὁ ἐκ τῶν ἀκρεμό-
νων, ὁμοίως καὶ τῇ ὄψει καὶ τῇ ὀσμῇ θυμιώμενος τῷ ἄλλῳ λιβανωτῷ.
πέφυκε δὲ τοῦτο μὲν τὸ δένδρον οὐδεμιᾶς τυγχάνον· ἔνιοι δὲ λέ-
γουσιν ὡς ἤδη μὲν ὁ λιβ ανωτὸς ἐν τῇ ἀρραβίᾳ γίνεται· καλλίων δὲ ἐν
ταῖς ἐπικειμέναις νήσοις ὧν ἐνυπάρχουσιν· ἐνταῦθα γὰρ καὶ σχηματο-
ποιεῖν ἐπὶ τῶν δένδρων οἷον ἂν θέλωσι· καὶ τάχα τοῦτό γε οὐκ ἀπίθανον· ἐνδέ-
χεται, ὁποίαν ἂν βούληται ποιεῖν τὴν ἐντομήν. εἰσὶ δέ τινες καὶ μεγά-
λοι σφόδρα τῶν χόνδρων· ὥστε εἶναι τῷ μὲν ὄγκῳ χειροπληθι-

αίους

αἰους, σταθμῷ δὲ πλεῖον ἢ τρίτον μέρος μνᾶς. ἀργὸς δὲ κομίζεται πᾶς ὁ λιβανωτός. ὅμοιος δὲ τῇ προσόψει φλοιῷ. τῆς σμύρνης δὲ, ἡ μὲν, στακτή· ἡ δὲ, πλαστή· δοκιμάζεται δ' ἡ μὲν ἀμείνων τῇ γεύσει· καὶ ἀπὸ ταύτης τὴν ὁμόχρουν λαμβάνουσι. περὶ μὲν οὖν λιβανωτοῦ καὶ σμύρνης, ἄχρι γε τούτων σχεδὸν τοσαῦτα ἀκηκόαμεν. περὶ δὲ κινναμώμου καὶ κασίας ταῦτα λέγουσι. θάμνους μὲν ἀμφότερα ταῦτ' εἶναι οὐ μεγάλους, ἀλλ' ἡλίκους ἄγνου· πολυκλάδους δὲ καὶ ξυλώδεις. ὅταν δὲ ἐκκόψωσι τὸ κινάμωμον, ὅλον διαιρεῖν εἰς πέντε μέρη· τούτου δὲ τὸ πρῶτον πρὸς τοῖς βλαστοῖς βέλτιστον εἶναι. ὃ τέμνεται σπιθαμιαῖον, ἢ μικρῷ μεῖζον· ἐφεξῆς δὲ τὸ δεύτερον· ὃ καὶ τῇ τομῇ ἔλαττον· εἶτα τὸ τρίτον καὶ τέταρτον. ἔσχατον δὲ τὸ χείριστον, τὸ πρὸς τῇ ῥίζῃ· φλοιὸν γὰρ ἐλάχιστον ἔχει· χρήσιμος δ' οὗτος οὐ τὸ ξύλον· διὸ καὶ τὸ ἀκροφυὲς κράτιστον· πλεῖστον γὰρ ἔχειν καὶ τὸν φλοιόν. οἱ μὲν, οὕτω λέγουσιν. ἄλλοι δὲ θαμνώδη φασί· δύο δ' εἶναι γένη, τὸ μὲν μέλαν, τὸ δὲ λευκόν. λέγεται δέ τις καὶ μῦθος ὑπὲρ αὐτοῦ. φύεσθαι μὲν γὰρ φασιν ἐν φάραγξιν· ἐν ταύταις δ' ὄφεις εἶναι πολλοὺς δῆγμα θανάσιμον ἔχοντας· πρὸς οὓς φραξάμενοι τὰς χεῖρας καὶ τοὺς πόδας, καταβαίνουσι καὶ συλλέγουσιν. εἶθ' ὅταν ἐξενέγκωσι, διελόντες τρία μέρη, διακληροῦνται πρὸς τὸν ἥλιον· καὶ ἣν ἂν λάχῃ ὁ ἥλιος, καταλείπουσιν· ἀπιόντες δ' εὐθὺς, ὁρᾶν φασι καιομένην ταύτην. οὗτος μὲν οὖν τις μῦθος. τὴν δὲ κασίαν φασὶ τὰς μὲν ῥάβδους πλατυτέρας ἔχειν· ἰνώδεις δὲ σφόδρα, ὥστ' οὐκ εἶναι περιφλοιῶσαι· χρήσιμον δὲ καὶ ταύτης τὸν φλοιόν. ὅταν οὖν τέμνωσι τὰς ῥάβδους, κατακόπτειν ὡς διδάκτυλα τὸ μῆκος ἢ μικρῷ μείζω· ταῦτα δ' εἰς νεόδορον βύρσαν καταρράπτειν· εἶτ' ἐκ ταύτης καὶ τῶν ξύλων σηπομένων, σκωλήκια γίνεσθαι, ἃ τὸ μὲν ξύλον κατεσθίει· τοῦ φλοιοῦ δὲ οὐχ ἅπτεται, διὰ τὴν πικρότητα καὶ δριμύτητα τῆς ὀσμῆς. καὶ περὶ μὲν κασίας καὶ κιναμώμου, τοσαῦτα λέγεται. τὸ δὲ βάλσαμον γίνεται μὲν ἐν τῷ αὐλῶνι

τῷ περὶ συρίαν. παραδείσους δ᾽ εἶναί φασι δύο μόνους, τὸν μὲν ὅ-
σον εἴκοσι πλέθρων. τὸν δ᾽ ἕτερον πολλῷ ἐλάττονα. τὸ δὲ δένδρον
μέγεθος μὲν, ἡλίκον ῥόα μεγάλη. πολύκλαδον δὲ σφόδρα. φύλ-
λον δὲ ἔχειν ὅμοιον πηγάνῳ, πλὴν ἔκλευκον. ἀείφυλλον δὲ εἶναι.
καρπὸν δὲ παρόμοιον τῇ τερμίνθῳ, καὶ μεγέθει καὶ σχήματι καὶ
χρώματι. εὐώδης σφόδρα καὶ τοῦτο καὶ μᾶλλον τοῦ δακρύου. τὸ δὲ
δάκρυον ἀπὸ ἐντομῆς συλλέγειν. ἐντέμνειν δὲ ὄνυξι σιδηροῖς ὑ-
πὸ τὸ ἄστρον, ὅταν μάλιστα πνίγη ὦσι, καὶ τὰ στελέχη καὶ τὰ ἄ-
νω. τὴν δὲ συλλογὴν ὅλον τὸ θέρος ποιεῖσθαι. οὐκ εἶναι δὲ πολὺ τὸ
ῥέον. ἀλλ᾽ ἐν ἡμέρᾳ τὸν ἄνδρα συλλέγειν ὅσον κόγχην. τὴν δὲ ὀσμὴν
διαφέρουσαν καὶ πολλήν, ὥστε ἀπὸ μικροῦ πολλὴν ἐφικνεῖ-
σθαι τόπον. ἀλλ᾽ οὐ φοιτᾶν ἐνταῦθα ἄκρατον. ἀλλὰ τὸ συνηγμέ-
νον κεκραμμένον. πολλὴν γὰρ δέχεσθαι κρᾶσιν. καὶ τὸ ἐν τῇ ἑλλά-
δι πολλάκις εἶναι κεκραμμένον. εὔοσμα δὲ σφόδρα καὶ τὰ ῥάβ-
δια. καθαίρειν γὰρ καὶ τῶνδε ἕνεκα. καὶ τοῦ διαφόρου πωλεῖσθαι τί-
μια. καὶ τὴν ἐργασίαν τὴν περὶ τὰ δένδρα σχεδὸν ταύτην αἰτί-
αν εἶναι. καὶ τὴν βροχήν. βρέχεσθαι γὰρ συνεχῶς. συναιτίαν δὲ δοκεῖν
εἶναι τοῦ μὴ μεγάλα γίνεσθαι τὰ δένδρα, καὶ τὴν τῶν ῥαβδίων το-
μήν. διὰ γὰρ τὸ πολλάκις ἀποκείρεσθαι, ῥάβδους ἀφιέναι. καὶ οὐκ
εἰς ἓν ἐκτείνειν τὴν ὁρμήν. ἄγριον δὲ οὐδὲν εἶναι βάλσαμον
οὐδαμοῦ. γίνεσθαι δὲ ἐκ μὲν τοῦ μείζονος παραδείσου, ἀγγεῖα
δώδεκα ὅσον ἡμιχόα. ἐκ δὲ τοῦ ἑτέρου, δύο μόνον. πωλεῖσθαι
δὲ τὸ μὲν ἄκρατον δὶς πρὸς ἀργύριον. τὸ δ᾽ ἄλλο κατὰ λόγον
τῆς μίξεως. καὶ τοῦτο μὲν διαφέρον τι φαίνεται κατὰ τὴν
εὐοσμίαν. ὁ δὲ κάλαμος γίνεται καὶ ὁ σχοῖνος ὑπερβάλλοντι
τὸν λίβανον, μεταξὺ τοῦ τε λιβάνου καὶ ἄλλου τινὸς ὄρους μικροῦ
ἐν τῷ αὐλωνίσκῳ τούτῳ. καὶ οὐχ ὥς τινές φασι τοῦ ἀντιλιβάνου.
καὶ μεταξὺ τούτων ἐστὶν, ὃν αὐλῶνα καλοῦσι πεδίον πλατὺ
καὶ καλόν. ὅπου δὲ ὁ κάλαμος καὶ ὁ σχοῖνος φύεται, λίμνη μεγά-
λη τυγχάνει. πρὸς ταύτην δὲ ἐν τοῖς ἕλεσι τοῖς ἀνεξηραμμένοις πε-

φύκασι

φύκασι· ἔτη δ' ἔχουσι πλεῖον ἢ τριάκοντα σταδίων. οὐκ ὄζουσι δὲ
χλωροί· ἀλλὰ ξηρανθέντες. τῇ προσόψει δὲ οὐδὲν διαφέρουσι
τῶν ἄλλων. εἰσβάλλοντι δὲ εἰς τὸν τόπον, εὐθὺς ὀσμὴ προσβάλ-
λει. οὐ μὴν πορρωτέρω γε ἡ ἀπὸ πνοὴ γίνεται, καθάπερ τινὲς
φασὶ ταῖς προσφερομέναις εἶναι πρὸς τὴν χώραν. καὶ γὰρ ὁ τό-
πος οὗτος ἀπὸ θαλάττης ἀπέχει πλείους ἢ ἑκατὸν πεντήκοντα
σταδίους. ἀλλ' ἐν τῇ ἀρραβίᾳ τὴν ἀναπνοὴν εἶναί φασι τὴν ἀ-
πὸ τῆς χώρας εὔοσμον. ἐν μὲν οὖν συρίᾳ τὰ περιττὰ τῇ ὀσμῇ, σχε-
δὸν ταῦτ' ἐστιν. ἡ γὰρ χαλβάνη, βαρύτερον καὶ μᾶλλον φαρμακώ-
δες. ἐπεὶ καὶ γίνεται αὕτη περὶ συρίαν, ἐκ τοῦ πάνακος καλου-
μένου. τὰ δὲ ἄλλα πάντα τὰ εὔοσμα, οἷς πρὸς τὰ ἀρώματα χρῶν-
ται, τὰ μὲν ἐξ ἰνδῶν κομίζεται. κἀκεῖθεν ἐπὶ θάλατταν κα-
ταπέμπεται. τὰ δὲ ἐξ ἀρραβίας. οἷον πρὸς τῷ κιναμώμῳ καὶ
τῇ κασίᾳ, καὶ κώμακον. ἕτερον δ' εἶναι τὸ κώμακον, καρπόν. τὸ
δ' ἕτερον παραμίσγουσιν εἰς τὰ σπουδαιότατα τῶν μύρων. τὸ δὲ
καρδάμωμον καὶ ἄμωμον, οἱ μὲν ἐκ μηδείας, οἱ δ' ἐξ ἰνδῶν, καὶ
ταῦτα, καὶ τὴν νάρδον, καὶ τὰ ἄλλα ἢ τὰ πλεῖστα. οἷς μὲν οὖν εἰς
τὰ ἀρώματα χρῶνται, σχεδὸν τάδ' ἐστί. κασία. κινάμωμον. καρ-
δάμωμον. νάρδος. νάρον. βάλσαμον. ἀσπάλαθος. στύραξ. ἴ-
ρις. νάρτη. κόστος. πάνακες. κρόκος. σμύρνα. κύπειρον.
σχοῖνος. κάλαμος. ἀμάρακον. λωτός. ἄνητος. τούτων δὲ τὰ
μὲν, ῥίζαι. τὰ δὲ, φλοιοί. τὰ δὲ κλῶνες. τὰ δὲ ξύλα. τὰ δὲ
σπέρματα. τὰ δὲ δάκρυα. τὰ δὲ ἄνθη. καὶ τὰ μὲν πολλαχοῦ
γίνεται. τὰ δὲ περιττότατα καὶ εὐοσμότατα, πάντα ἐκ τῆς
ἀσίας καὶ ἐκ τῶν ἀλεεινῶν τόπων. ἐκ γὰρ τῆς εὐρώπης οὐδὲν
ἐστιν ἔξω ἰρεως. αὕτη δὲ ἀρίστη ἐν ἰλλυριοῖς, οὐκ ἐν τῇ πρὸς θά-
λατταν χώρᾳ, ἀλλ' ἐν τῇ ἀνακεχωρηκυίᾳ κειμένῃ δὲ μᾶλλον
πρὸς ἄρκτον. τόποι δὲ τούτων διαφέρουσιν, ἐν οἷς ἀμείνω γί-
νεται. ἐργασία δὲ περὶ αὐτὴν οὐδεμία πλὴν τοῦ περικαθήραντα ἀ-
ναξηραίνειν. τὰ γὰρ ἐν τῇ θρᾴκῃ φυόμενα ῥίζια, καθάπερ τὸ ἐλ... [marginal: ἐρίον]

τι τῇ νάρδῳ προσεμφερῆ τὴν ὀσμὴν ἔχον, καὶ ἕτερα ἄττα μικρά τινα ἃ ἀηδῆ τὴν ὀσμὴν ἔχει. καὶ περὶ μὲν τῶν εὐόσμων ἐπὶ τοσοῦτον εἰρήσθω. περὶ δὲ τῶν ὀπῶν, ὅσα μὴ πρότερον εἴρηται, λέγω δ' οἷον εἴ τινες φαρμακώδεις ἢ καὶ ἄλλας ἔχουσι δυνάμεις, πειρατέον ὁμοίως εἰπεῖν· ἅμα δὲ καὶ περὶ ῥιζῶν· καὶ γὰρ τῶν ὀπῶν τινες ἐκ τούτων· καὶ χωρὶς αὗται καθ' αὑτὰς πολλὰς ἐναντίας ἔχουσι δυνάμεις. ὅλως δὲ περὶ πάντων τῶν φαρμακωδῶν· οἷον, καρποῦ· χυλισμοῦ· φύλλων· ῥιζῶν· πόας· καλοῦσι γὰρ καὶ πόαν ἔνια τῶν φαρμακωδῶν οἱ ῥιζοτόμοι. τῶν δὲ ῥιζῶν πλείους μέν εἰσι δυνάμεις, καὶ πρὸς πλείω· ζητοῦνται δὲ μάλιστα αἱ φαρμακώδεις ὡς χρησιμώταται. διαφέρουσι τῷ τε μὴ περὶ ταῦτα, ἢ τῷ μὴ ἐν αὑταῖς ἔχειν τὴν δύναμιν· ὡς δ' οὖν ἐπίπαν, αἱ πλεῖσται μὲν ἐν αὑταῖς ἔχουσι καὶ τοῖς καρποῖς ἢ τοῖς ὀποῖς· ἔνιαι δὲ καὶ ἐπὶ τοῖς φύλλοις· τὰς δὲ φυλλώδεις δυνάμεις, τὰς πολλὰς σχεδὸν πόας καλοῦσιν ὥσπερ εἴρηται οἱ ῥιζοτόμοι. ὁ μὲν οὖν ὀπισμὸς γίνεται τῶν ὀπιζομένων ὡς ἐπίπαν τοῦ θέρους, τῶν μὲν, ἱσταμένου· τῶν δὲ, προεληλυθότος. τὴν δὲ ῥιζοτομίαν, γίνεσθαι μὲν τινῶν καὶ ὑπὸ πυροτομίαν, καὶ μικρῷ πρότερον· οὐ μὴν ἀλλ' ἔγε πλείων, τῷ μετοπώρου μετ' ἀρκτοῦρον, ὅταν φυλλορροήσωσιν· ὅσων δὲ καὶ ὁ καρπὸς χρήσιμος, ὅταν ἀμέρσωσι τὸν καρπόν· ἔστι δὲ ὁ ὀπισμὸς, ἢ ἀπὸ τῶν καρπῶν ὥσπερ τοῦ τιθυμάλλου· καὶ τῆς θριδακίνης, καὶ σχεδὸν τῶν πλείστων. ἢ ἀπὸ τῶν ῥιζῶν· ἢ τρίτον ἀπὸ τῆς κεφαλῆς· ὥσπερ τῆς μήκωνος· ταύτης γὰρ μόνης καὶ τοῦτο ἴδιον αὐτῆς· τῶν μὲν οὖν, καὶ αὐτόματος ὁ ὀπὸς συνίσταται δακρυώδης· ὥσπερ τῆς τραγακάνθης· ταύτης γὰρ οὐδὲν τέμνειν ἐστί· τῶν δὲ πλείστων δεῖν τομῆς· ὧν τινας μὲν εὐθὺς εἰς ἀγγεῖα συνάγουσιν· ὥσπερ καὶ τιθυμάλλου ἢ τοῦ μηκωνίου· καλοῦσι γὰρ ἀμφοτέρως· καὶ ἁπλῶς ὅσοι πολύοποι τυγχάνουσι· τῶν δὲ μὴ πολυόπων, ἐρίῳ λαμ

βάνουσι

βάνουσιν· ὥσπερ καὶ τῆς θριδακίνης· ἐνίων δὲ οὐδὲ ὀπισμός.
ἀλλ' οἷον χυλισμός ἐστιν· ὥσπερ ὅσα καίοντες καὶ ὕδωρ ἐπιχέ-
αντες, ἀπωθοῦσι καὶ λαμβάνουσι τὴν ἀπόσταξιν. ξηρὸς δὲ
δηλονότι καὶ ἐλάττων ὁ χυλὸς τούτων. ἔστι δὲ τῶν μὲν ἄλλων
ῥιζῶν τὸ χύλισμα ἀσθενέστερον τοῦ καρποῦ· τοῦ κωνείου δὲ ἰσχυ-
ρότερον· καὶ τὴν ἀπαλλαγὴν ῥᾳδίως ποιεῖ καὶ θᾶττον μικρὸν
πάνυ κατὰ τὸ ποτὸν δοθέν· ἐνεργότερον δὲ καὶ εἰς τὰς ἄλλας χρεί-
ας. ἰσχυρότερον δὲ καὶ τὸ τῆς θαψίας. τὰ δὲ ἄλλα πάντα ἀ-
σθενέστερα. οἱ μὲν οὖν ὀπισμοὶ σχεδὸν τοσαυταχῶς γίνονται. τῆς
δὲ ῥιζοτομίας, οὐκέτι τοιαύτη διαφορά, πλὴν ἐν ταῖς ὥραις.
οἷον θέρους ἢ μετοπώρου· καὶ τὸ τάσδε ἢ τάσδε τῶν ῥιζῶν· οἷον
τοῦ ἐλλεβόρου τὰς κάτω τὰς λεπτάς· τὴν γὰρ ἄνω τὴν παχεῖ-
αν τὴν κεφαλώδη, φασὶν ἀχρεῖον εἶναι, καὶ διδόναι ταῖς κυσίν.
ὅταν βούλωνται καθαίρειν· καὶ ἑτέρων δέ τινων τοιαύτας
λέγουσι διαφοράς. ἔτι δὲ ὡς οἱ φαρμακοπῶλαι καὶ οἱ ῥιζοτό-
μοι, τὰ μὲν ἴσως, οἰκείως· τὰ δὲ καὶ ἐπιτραγῳδοῦντες λέγουσι.
κελεύουσι γὰρ τὰς μὲν, κατάνεμον ἱσταμένους τέμνειν, ὥσπερ
ἑτέρας τέ τινας, καὶ τὴν θαψίαν, ἀλειψαμένους λίπα· τὸ γὰρ
σῶμα ἀνοιδεῖν, ἐὰν ᾖ ἐναντίας. κατάνεμον δὲ καὶ τοῦ κυνοσ-
βάτου τὸν καρπὸν συλλέγειν· εἰ δὲ μή, κίνδυνον εἶναι τῶν ὀφθαλ-
μῶν. τὰς δὲ νύκτωρ· τὰς δὲ, μεθ᾽ ἡμέραν· ἐνίας δὲ πρὶν αὐτὸν
ἥλιον ἐπιβάλλειν· οἷον καὶ τὸ καλούμενον κλύμενον. καὶ ταῦ-
τα μὲν καὶ τὰ παραπλήσια τούτοις, τάχ᾽ ἂν οὐκ ἀλλοτρίως δό-
ξαιεν λέγειν. ἐπισινεῖς γὰρ τινῶν αἱ δυνάμεις· ἐξάπτειν γάρ φα-
σιν ὥσπερ πῦρ καὶ κατακαίειν· ἐπεὶ καὶ ὁ ἐλλέβορος ταχὺ καρη-
βαρεῖν ποιεῖ, καὶ οὐ δύνανται πολὺν χρόνον ὀρύττειν· διὸ καὶ προεσθίουσι
σκόροδα· καὶ ἄκρατον ἐπιπίνουσιν. ἀλλὰ τὰ τοιαῦτα ὥσπερ
ἐπίθετα καὶ πόρρωθεν· οἷον τὴν παιωνίαν, οἱ δὲ γλυκυσίδην κα-
λοῦσι· νύκτωρ κελεύουσιν ὀρύττειν· ἐὰν γὰρ ἡμέρας, καὶ ὀφθῇ τις
ὑπὸ δρυοκολάπτου, τὸν μὲν καρπὸν ἀπολέγων κινδυνεύει

τοῖς ὀφθαλμοῖς· τὴν δὲ ῥίζαν τέμνων, ἐκ τοῦ ὄπισθεν τὴν ἕδραν φυλάσσεσθαι δὲ καὶ τὴν κενταυρίδα τέμνοντα τὸν τριόρχην· ὅπως ἂν ἄτρωτος ἀπέλθῃ· καὶ ἄλλας δέ τινας ὁμοίως· τὸ δ᾽ ἐπευχόμενον τέμνειν, οὐδὲν ἴσως ἄτοπον· ἀλλ᾽ ἔτι καὶ ἄλλο προστιθέασιν, οἷον τὸ πάνακες, τὸ ἀσκληπιεῖον καλούμενον ἀντεμβάλλειν τῇ γῇ παγκαρπίαν μελιτοῦτταν· ὅταν δὲ τὴν ξίριν, τριμήνους μελιτούττας, ἀντεμβάλλειν μισθόν· τέμνειν δὲ ἀμφήκει ξίφει περιγράψαντα εἰς τρεῖς· καὶ ὅ τι ἂν πρῶτον τμηθῇ, μετέωρον ἔχειν· εἶθ᾽ οὕτω τὸ ἕτερον τέμνειν· καὶ ἄλλα δὲ τοιαῦτα πλείω· περιγράφειν δὲ καὶ τὸν μανδραγόραν εἰς τρεῖς ξίφει· τέμνειν δὲ πρὸς ἑσπέραν βλέποντα· τὸν δ᾽ ἕτερον κύκλῳ περιορχεῖσθαι καὶ λέγειν ὡς πλεῖστα περὶ ἀφροδισίων· τοῦτο δὲ ὅμοιον ἔοικε τῷ περὶ τοῦ κυμίνου λεγομένῳ κατὰ τὴν βλασφημίαν, ὅτ᾽ ἂν σπείρωσι· περιγράφειν δὲ καὶ τὸν ἐλλέβορον τὸν μέλανα ἱστάμενον πρὸς ἕω, καὶ προσκατευχόμενον· τὸν δὲ ἀετὸν δὲ φυλάττεσθαι καὶ ἐκ δεξιᾶς καὶ ἐξ ἀριστερᾶς· κίνδυνον γὰρ εἶναι τοῖς τέμνουσιν· ἐὰν δὲ ὁ ἐγγὺς μὴ διατέμνῃ, ὁ ἀετὸς ἀποθνήσκει ἐν ἐνιαυτῷ· ταῦτα μὲν οὖν ἐπιθέτως ἔοικεν ὥσπερ εἴρηται· τρόποι δ᾽ οὐκ εἰσὶ τῶν ῥιζοτομιῶν, πλείους ἑπόμενοι· ὅτι δ᾽ ὥσπερ ἐλέχθη τῶν μὲν πάντα χρήσιμα καὶ ἡ ῥίζα καὶ ὁ καρπὸς· καὶ ὁ ὀπός· ὥσπερ ἄλλων τινῶν τοῦ πάνακος· τῶν δέ, ἡ ῥίζα καὶ ὁ ὀπός· οἷον τῆς σκαμωνίας, καὶ τοῦ κυκλαμίνου· καὶ τῆς θαψίας, καὶ ἑτέρων· καθάπερ καὶ τοῦ μανδραγόρου, τὸ μὲν φύλλον χρήσιμον εἶναί φασι πρὸς τὰ ἕλκη μετὰ ἀλφίτου· τὴν δὲ ῥίζαν πρὸς ἐρυσιπέλας, ξυσθεῖσάν τε καὶ ὄξει δευθεῖσαν· καὶ πρὸς τὰ ποδαγρικά· καὶ πρὸς ὕπνον καὶ φίλτρα· διδόασι δὲ ἐν οἴνῳ ἢ ἐν ὄξει· τέμνουσι δὲ τροχίσκους ὥσπερ ῥαφανῖδος· ἐνείραντες δ᾽ ἐν λίνῳ ἐκρέμασαν ὑπὲρ καπνοῦ· ὁ δ᾽ ἐλλέβορος ἐπὶ ταῦτα, τῇ τε ῥίζῃ καὶ τῷ καρπῷ χρήσιμος· εἴπερ οἱ ἐν ἀγκύρᾳ καθάπερ φασὶ τῷ καρπῷ καθαίρουσιν· ἔχει δὲ σησαμώδη τοῦτον· πλείω δὲ καὶ τοῦ πάνακος τὰ χρήσιμα καὶ οὐ πάντα πρὸς τὸ αὐτό· ἀλλ᾽ ὁ μὲν καρπὸς πρὸς τὰς ἐξαμβλώσεις, καὶ πρὸς τὰ στο-

μάτια,

στομάτια, καὶ τοὺς τοιούτους πόνους· ἔτι δὲ πρὸς τὰ ὦτα καὶ τὰς φωνασκίας· ἡ δὲ ῥίζα πρός τε τοὺς τόκους καὶ τὰ γυναικεῖα, καὶ πρὸς ὑποζυγίων φύσεις. χρήσιμοι δὲ καὶ πρὸς τὸ ἴρινον μύρον διὰ τὴν εὐωδίαν· ἰσχυρότερον δὲ τὸ σπέρμα τῆς ῥίζης. γίνεται δὲ περὶ Συρίαν· καὶ τέμνεται περὶ πυραμητόν· τοῦ δὲ κυκλαμίνου, ἡ μὲν ῥίζα πρός τε τὰς ἐκπυήσεις τῶν φλεγμονῶν, καὶ πρόσθετον ταῖς γυναιξί, καὶ πρὸς τὰ ἕλκη, ἐν μέλιτι· ὁ δὲ ὀπὸς πρὸς τὰς ἀπὸ τῆς κεφαλῆς καθάρσεις ἐν μέλιτι ἐγχεόμενος· καὶ πρὸς τὸ μεθύσκειν, ἐν οἴνῳ διαβρέχοντα διδόναι πίνειν· ἀγαθὴ δὲ τὴν ῥίζαν καὶ εἰς ὠκυτόκιον περιάπτειν, καὶ εἰς φίλτρα· ὅταν δὲ ὀρύξωσι, κατακαίουσιν· εἶτ' οἴνῳ δεύσαντες τροχίσκους ποιοῦσιν, ὡς τῆς τρυγὸς ἥ ἐστι πρόμεθα· καὶ τοῦ σικύου δὲ τοῦ ἀγρίου, τὴν μὲν ῥίζαν ἀλφοῖς καὶ ψώραις βοσκήμασι· τὸ δὲ σπέρμα χυλισθὲν ποιεῖ τὸ ἐλατήριον· τίλλεται δὲ τοῦ φθινοπώρου· ὅ τι γὰρ βέλτιστον· τῆς δὲ χαμαίδρυος, τὰ μὲν φύλλα πρὸς τὰ ῥήγματα καὶ πρὸς τραύματα ἐν ἐλαίῳ τριβόμενα· πρός τε τὰ νεμόμενα ἕλκη· τὸν δὲ καρπὸν καθαίρειν χολήν· ἀγαθὸν δὲ καὶ ὀφθαλμοῖς· πρὸς δὲ τὰ ἀργέματα, προσάττειν τὸ φύλλον τρίψαντα ἐν ἐλαίῳ. ἔχει δὲ τὰ φύλλα οἷά περ δρυός· τὸ δὲ ἀνάστημα τῆς ὅλης ὅσον σπιθαμιαῖον· εὔοσμον δὲ καὶ ἡδύ· τὸ μὲν οὖν μὴ πρὸς τὸ αὐτὸ πάντα τὰ μέρη χρήσιμα τυγχάνειν, οὐκ ἴσως ἄτοπον· τὸ δὲ τῆς αὐτῆς ῥίζης τὰ μὲν, ἄνω, τὰ δὲ, κάτω καθαίρειν, θαυμασιώτερον· οἷον τῆς τε θαψίας καὶ τῆς ἰσχάδος· οἱ δὲ ἄπιον καλοῦσι· καὶ τῆς λιβανωτίδος· τὸ γὰρ αὐτὸ καὶ κάτω καὶ ἄνω τὰ αὐτὰ δύνασθαι καθαίρειν καθάπερ τὸ ἐλατήριον, οὐδὲν ἄτοπον· ἔχει δὲ ἡ θαψία, φύλλον μὲν ὅμοιον μαράθρῳ, πλὴν πλατύτερον· καυλὸν δὲ ναρθηκώδη· ῥίζαν δὲ λευκήν· ἡ δ' ἰσχὰς ἢ ἄπιος, φύλλον μὲν ἔχει πηγανῶδες βραχύ· καυλοὺς δὲ ποιώδεις τρεῖς, ἢ τέτταρας· ῥίζαν δὲ, οἷον ἀσφόδελος, πλὴν λεπυρώδη· φιλεῖ δὲ ὀρεινὰ χωρία καὶ κολλακώδη· τίλλεται δὲ, τοῦ ἦρος· τοῦτο μὲν οὖν ἴδιον

τῶν εἰρημένων. ὁ δὲ ἐλέβορος ὅ, τε μέλας καὶ λευκὸς, ὥσπερ ὁ-
μώνυμοι φαίνονται· περὶ δὲ τῆς ὄψεως διαφωνοῦσιν. οἱ μὲν γὰρ
ὁμοίους εἶναι, πλὴν τῷ χρώματι μόνον διαφέρειν· τὴν δὲ ῥί-
ζαν τοῦ μὲν λευκὴν, τοῦ δὲ, μέλαιναν. οἱ δὲ τοῦ μέλανος τὸ φύλλον
δαφνοειδές· τοῦ δὲ λευκοῦ, πρασοειδές· τὰς δὲ ῥίζας ὁμοίας, πλὴν
τῶν χρωμάτων. οἱ δ᾽ οὖν ὁμοίας λέγοντες, τοιάνδε φασὶν εἶναι
τὴν μορφήν.. καυλὸν μὲν ἀνθερικώδη βραχὺν σφόδρα. φύλλον
δὲ πλατύσχιστον ὅμοιον τῷ τοῦ νάρθηκος. μῆκος ἔχον σύμμηκες. εὐ-
θὺς δ᾽ ἐκ κεφαλῆς ῥίζης ἠρτημένον τι καὶ ἐπίγειόφυλλον. πολύρρι-
ζον δὲ μάλα ταῖς λεπταῖς καὶ χρησίμοις. ἀναιρεῖν δὲ τὸν μὲν μέλα-
να καὶ ἵππους καὶ βοῦς καὶ ὗς. διὸ καὶ οὐδὲ νέμεσθαι τοῦτον. τὸν λευ-
κὸν δὲ νέμεσθαι τὰ πρόβατα· καὶ ἐκ τούτου πρῶτον συνοφθῆναι
τὴν δύναμιν, καθαιρομένων ἐκείνων. ὡραῖος δὲ μετοπώρου. τοῦ
δ᾽ ἦρος, ἄωρος. ἀλλὰ πρὸς τὴν πυλαίαν οἱ ἐκ τῆς οἴτης συλλέ-
γουσι. πλεῖστος γὰρ ἐνταῦθα φύεται καὶ ἄριστος. μοναχοῦ δὲ φύ-
εται τῆς οἴτης περὶ τὴν πυράν. μίσγεται δὲ πρὸς τὴν πό-
σιν, ὅπως ἐμέσῃ, τὸ τῆς ἐλεβορίνης σπέρμα. τοῦτο δ᾽ ἐστὶ πο-
άριον. φύεται δὲ ὁ μὲν μέλας πανταχοῦ. καὶ γὰρ ἐν τῇ βοιω-
τίᾳ καὶ ἐν εὐβοίᾳ καὶ παρ᾽ ἄλλοις πολλοῖς. ἄριστος δὲ ὁ ἐκ τοῦ ἑλι-
κῶνος. καὶ ὅλως τὸ ὄρος εὐφάρμακον. ὁ δὲ λευκὸς, ὀλιγαχοῦ.
βέλτιστοι δὲ καὶ οἷς γε χρῶνται μάλιστα τέτταρες. οἰταῖος. πον-
τικός. ἐλεάτης. μασσαλιώτης. φασὶ δὲ τὸν ἐλεάτην ἐν ταῖς ἀμ-
πέλοις φύεσθαι, καὶ ποιεῖν τὸν οἶνον οὕτω διουρητικὸν, ὥστε λαγαροὺς εἶ-
ναι πάνυ τοὺς πίνοντας. ἄριστος δὲ πάντων καὶ τούτων καὶ τῶν ἄλλων ὁ οἰ-
ταῖος. ὁ δὲ παρνάσιος καὶ ὁ αἰτώλιος (ὠνοῦνται γὰρ καὶ ἐνταῦθα πολλοὶ
καὶ ὠνοῦνται καὶ πωλοῦσιν οὐκ εἰδότες) σκληροί τε καὶ ἄγαν πε-
ρισκελεῖς. ταῦτα μὲν οὖν ὅμοια ταῖς μορφαῖς ὄντα, δυνάμεις
ἰδίας ἔχουσι. καλοῦσι δὲ τὸν μέλανά τινες ἐκ τοῦ τεμόν-
τος καὶ ἀνευρόντος, μελαμπόδιον, ὡς ἐκείνου πρώτου τεμόντος.
καθαίρουσι δὲ καὶ οἰκίας αὐτῷ καὶ πρόβατα, συνεπᾴδοντές τι-

να

να ἐπωδύνων. καὶ εἰς ἄλλα δὲ πλείω χρῶνται. πολλὰ δέ ἐστι καὶ
τὰ πανάκη, ὥσπερ οἱ τιθύμαλοι καὶ ἑτεροειδῆ. πανάκη γὰρ καλοῦσι
πρῶτον μὲν τὸ ἐν Συρίᾳ, περὶ οὗ μικρῷ πρότερον εἴρηται. ἄλλα δὲ τρία·
τὸ μὲν χειρώνειον καλούμενον· τὸ δὲ, ἡρακλεῖον· τὸ δὲ ἀσκληπιεῖον. ἔχει δὲ τὸ μὲν
χειρώνειον, φύλλον μὲν ὅμοιον λαπάθῳ· μεῖζον δὲ καὶ δασύτερον· ἄν-
θος δὲ, χρυσοειδές· ῥίζαν δὲ, μακράν. φιλεῖ δὲ τὰ χωρία τὰ πίονα.
χρῶνται δὲ πρός τε τὰς ἔχεις καὶ τὰ φαλάγγια καὶ τὰς σῆψεις καὶ τἄλλα ἑρ-
πετά. διδόντες ἐν οἴνῳ, καὶ ἀλείφοντες μετ' ἐλαίου. πρὸς δὲ τὸ δῆγμα
καταπλάττοντες ἐν ὄξει, καὶ πιεῖν διδόντες. ἀγαθὴν δέ φασι καὶ ἑλ-
κῶν, ἐν οἴνῳ καὶ ἐλαίῳ, καὶ φυμάτων ἐν μέλιτι. τὸ δὲ ἀσκληπιεῖον τὴν
ῥίζαν μικρὰν μέν ἐστιν ὡς σπιθαμιαία. λευκὴν δὲ καὶ παχεῖαν σφόδρα.
καὶ φλοιὸν παχὺν καὶ ἁλικώδη. καυλὸν δὲ ἔχει γονατώδη πανταχό-
θεν. φύλλον δὲ ὅμοιον τῇ θαψίᾳ, πλατὺ παχύτερον. ἀγαθὸν δὲ
εἰς αἱμαίφασιν ἑρπετῶν ξύοντα πίνειν, καὶ σπληνὸς ὅταν αἷμα πε-
ρὶ αὐτὸν ἐν μελικράτῳ. καὶ κεφαλῆς ξύοντα ἐν ἐλαίῳ ἀλείφειν.
καὶ ἄλλο τι ἐὰν τρυπῇ τις ἀφανές. καὶ γαστρὸς ὀδύνης ἐν οἴνῳ ξύον-
τα. δύναται δὲ καὶ τὰς μακρὰς ἀρρωστίας ἐκκλίνειν. ἔπειτα τῶν
ἑλκωδῶν, τῶν μὲν ὑγρῶν, ξηρὸν ἐπιπάττοντα, προκατακλύ-
ζοντα οἴνῳ θερμῷ. τῶν δὲ ξηρῶν, ἐν οἴνῳ δεῦσαι καὶ καταπλάτ-
τειν. τὸ δὲ ἡράκλειον, φύλλον μὲν ἔχει μέγα καὶ πλατὺ καὶ ξι
σπίθαμον πανταχῇ. ῥίζαν δὲ δακτύλου τὸ πάχος, δικρανῆ
ἢ τρικρανῆ. τῇ γεύσει μὲν ὑπόπικρον. τῇ δὲ ὀσμῇ καθάπερ λι-
βανωτοῦ καθαροῦ. ἀγαθὴν δὲ περὶ ἱερᾶς νόσου μιγνυμένην
φώκης πυτίᾳ, ὅσον τεταρτημόριον, πίνειν. καὶ ὀδύναις κα-
τὰ γαστέρα, ἐν οἴνῳ γλυκεῖ. καὶ ἑλκῶν τῶν μὲν ὑγρῶν, ξηράν.
τῶν δὲ ξηρῶν, ἐν μέλιτι. αὗται μὲν οὖν ταύτας ἔχουσι τὰς
διαφοράς τε καὶ δυνάμεις. ἄλλα δὲ πανάκη, τὸ μὲν λεπτό-
φυλλον· τὸ δὲ, πλατύφυλλον. αἱ δὲ δυνάμεις ἀμφοῖν αἱ αὐταί. προσθε-
τέον τε ταῖς γυναιξί, καὶ κατάπλασμα μετ' ἀλφίτων, καὶ πρὸς τὰ ἕλ-
κη τὰ ἄγρια καὶ πρὸς τὰ νεμόμενα. συνώνυμοι δὲ καὶ οἱ στρύχνοι ὥσπερ οἱ τιθύμαλοι.

τὸν δὲ στρύχνον ὁ μὲν, ὑπνώδης· ὁ δὲ, μανικός· καὶ ὁ μὲν ὑπνώδης ἐρυθρὰν ἔχει τὴν ῥίζαν ὥσπερ αἷμα· ξηραινομένην, ὀφυττομένην δὲ λευκήν· καὶ καρπὸν ἐρυθρότερον κόκκου· φύλλον δὲ τιθυμάλλῳ ὅμοιον, ἢ μηλέᾳ τῇ γλυκείᾳ· καὶ αὐτὸ δασὺ, πυθμιαῖον μέγεθος. τούτου τῆς ῥίζης τὸν φλοιὸν κόπτοντες λίαν, καὶ βρέχοντες ἐν οἴνῳ ἀκράτῳ, διδόασι καὶ ποιεῖ καθεύδειν. φύεται δὲ ἐν χαράδραις καὶ τοῖς μνήμασιν. ὁ δὲ μανικὸς, οἱ μὲν, θρύορον καλοῦσιν αὐτὸν, οἱ δὲ περιττόν· λευκὴν δὲ ἔχει τὴν ῥίζαν, καὶ μακρὰν ὡς πῆχυς· καὶ κοίλην. δίδοται δὲ ταύτης, ἐὰν μὲν οὕτως ὥστε παίζειν καὶ δοκεῖν ἑαυτῷ κάλλιστον εἶναι, δραχμῇ σταθμῷ· ἐὰν δὲ μᾶλλον μαίνεσθαι, φαντασίας τινὰς φαίνεσθαι, δύο δραχμάς· ἐὰν δὲ ὥστε μὴ παύσασθαι μαινόμενον, τρεῖς· καὶ συμπαραμιγνύουσι, φασὶν ὥς τὸ κένταυρον. ἐὰν δὲ ὥσπερ ἀποκτεῖναι, τέτταρας. ἔχει δὲ τὸ μὲν φύλλον ὅμοιον εὐζώμῳ, πλὴν μεῖζον· τὸν δὲ καυλὸν ὥσπερ ὀργυιάς· κεφαλὴν δὲ ὥσπερ σηθύς· μείζω δὲ καὶ δασυτέραν· ἔοικε δὲ καὶ πλατάνου καρπῷ. τῶν δὲ τιθυμάλλων, ὁ μὲν παράλιος καλούμενος κόκκος, φύλλον ἔχει περιφερές· καυλὸν δὲ καὶ τὸ ὅλον μέγεθος ὡς σπιθαμῆς· τὸν δὲ καρπὸν λευκόν· ἀμῶνται δὲ ὅταν ἄρτι περκάζῃ ἡ σταφυλή. καὶ ξηρανθεὶς ὁ καρπὸς δίδοται πιεῖν τριφθεὶς, ὅσον τρίτον μέρος ὀξυβάφου. ὁ δὲ ἄρρην καλούμενος, τὸ μὲν φύλλον ἐλαιῶδες ἔχει· τὸ δὲ ὅλον μέγεθος, διπηχυαῖον. τοῦτον ὀπίζουσιν ἅμα τρυγητῷ· καὶ θεραπεύσαντες, οὕτω χρῶνται. καθαίρει δὲ κάτω μᾶλλον. ὁ δὲ μυρτίτης καλούμενος τιθύμαλλος λευκός, τὸ μὲν φύλλον ἔχει καθάπερ ὁ μύρρινος· πλὴν ἀκανθῶδες ἐπ' ἄκρου· κλημάτια δὲ ἀφίησιν ἐπὶ γῆν, ὡς σπιθαμιαῖα· ταῦτα δὲ οὐχ ἅμα φέρει τὸν καρπόν· ἀλλὰ παρ' ἔτος· τὰ μὲν, νῦν, τὰ δ' εἰς νέωτα πεφυκότα ἀπὸ τῆς αὐτῆς ῥίζης. φιλεῖ δὲ ὀρεινὰ χωρία. ὁ δὲ καρπὸς αὐτοῦ καλεῖται κάρυον. ἀμῶσι δ' ὅταν ἁδρύνωνται. αἱρεῖσθαι ξηραίνοντες δὲ καὶ ἀποκαθαίροντες αὐτὸν τὸν καρπὸν, πλύναντες ἐν ὕδατί τινι καὶ πάλιν ξηράναντες, διδόασι παρασυμμιγνύντες δύο μέρη τῆς μελαίνης μήκωνος. τὸ δὲ συναμφότερον

ὅσον

ὅσον ὀξύβαφον· καθαίρει δὲ φλέγμα κάτω. ἐὰν δὲ τὸ κάρυον αὐ-
τὸ διδῶσι, τρίψαντες ἐν οἴνῳ γλυκεῖ διδόασιν ἢ ἐν σησαμίνῳ τεφρευ-
γμένῳ κατατραγεῖν. ταῦτα μὲν οὖν ἴσως τοῖς φύλλοις καὶ τοῖς ὀποῖς καὶ τοῖς
καρποῖς χρήσιμα. τῶν δὲ λιβανωτίδων (δύο γάρ εἰσιν) ἡ μὲν ἄκαρπος.
ἡ δὲ κάρπιμος καὶ ἡ μὲν καὶ τῷ καρπῷ καὶ τῷ φύλλῳ χρησίμη· ἡ δὲ μόνον τῇ
ῥίζῃ. καλεῖται δὲ ὁ καρπὸς κάχρυς. ἔχει δὲ αὕτη τὸ μὲν φύλλον ἐοι-
κὸς σελίνῳ ἐλείῳ· μεῖζον δὲ πολύ· καυλὸν δὲ μέγεθος πήχεος
ἢ μείζω· ῥίζαν δὲ μεγάλην καὶ παχεῖαν λευκὴν ὄζουσαν ὥσπερ λι-
βανωτοῦ· καρπὸν δὲ λευκὸν τραχὺν προμήκη. φύεται δὲ μάλι-
στα ὅπου αὐχμηρὰ χωρία ἢ καὶ πετρώδη. χρησίμη δὲ ἡ μὲν ῥί-
ζα, πρός τε τὰ ἕλκη καὶ πρὸς τὰ γυναικεῖα πινομένη ἐν οἴνῳ αὐστη-
ρῷ μέλανι. ὁ δὲ καρπὸς πρός τε τὰς στραγγουρίας, καὶ πρὸς τὰ ὦτα καὶ
ἄργεμα καὶ πρὸς ὀφθαλμίας, καὶ ὥστε γάλα γυναιξὶν ἐμποιεῖν. ἡ δὲ
ἄκαρπος, ἔχει τὸ φύλλον ὅμοιον θριδακίνης τῆς πικρᾶς. τραχύτε-
ρον δὲ καὶ λευκότερον· ῥίζαν δὲ βραχεῖαν. φύεται δὲ ὅπουπερ εἴρηται
πλείστη. δύναται δὲ καθαίρειν ἡ ῥίζα καὶ ἄνω καὶ κάτω. τὸ μὲν γὰρ πρὸς τὴν
βλάστησιν ἄνω, τὸ δὲ πρὸς τὴν γῆν κάτω. κωλύει δὲ καὶ εἰς ἱμάτια
τιθεμένη τοὺς σῆτας. συλλέγεται δὲ περὶ πυροτομίας. χαμαιλέ-
ων δὲ ὁ μὲν λευκός· ὁ δὲ, μέλας. αἱ δὲ δυνάμεις τῶν ῥιζῶν, καὶ αὐταὶ
δὲ αἱ ῥίζαι τοῖς εἴδεσι διάφοροι. τοῦ μὲν γὰρ λευκή, καὶ γλυκεῖα· καὶ
παχεῖα· καὶ ὀσμὴν ἔχουσα βαρεῖαν· χρησίμη δέ φασι πρὸς τοὺς
ῥοῦς ὅτε ἑψηθῇ κατατμηθεῖσα, ὥσπερ ῥαφανὶς ἐμβαλλομένη ἐφθο-
λογοίνου καὶ πρὸς τὰς ἕλμινθας τὰς πλατείας. ὅταν ἀσταφίδα προ-
φάγῃ, πίνειν ἐπεξύοντα ταύτην, ὅσον ὀξύβαφον ἐν οἴνῳ αὐστηρῷ.
ἀναιρεῖ δὲ καὶ κύνας καὶ ὗς· κύνας μέν, ἐν ἀλφίτοις ἀναφυραθεῖσα
μετὰ ἐλαίου καὶ ὕδατος· ὗς δέ, μετὰ ῥαφάνων μιγνυμένη τῶν ὀ-
ρείων. γυναικὶ δὲ δίδοται ἐν τρυγὶ γλυκεία καὶ ἐν οἴνῳ γλυκεῖ. καὶ
ἐὰν βούληταί τις ἀσθενοῦντος ἀνθρώπου διαπειρᾶσθαι εἰ βιώσιμος,
λούειν κελεύουσι τρεῖς ἡμέρας· κἄνπερ περιενέγκῃ, βιώσιμος. φύεται
δὲ ὁμοῦ πανταχοῦ. ἔχει τὸ φύλλον ὅμοιον σκολύμῳ· μεῖζον δὲ καὶ

τὸ δὲ περὶ τῇ γῇ. τὴν δὲ κεφαλὴν ἔχει ὁμοίαν ἀκάνθῳ μεγάλῃ. οἱ δ' ἄκανον καλοῦσιν. ὁ δὲ μέλας, τὸ μὲν φύλλον παρόμοιον σκολύμῳ δὲ ἔχει, πλὴν ἔλαττον καὶ λειότερον. αὐτὸς δ' ὅλος ἐστὶν ὥσπερ σκιάδιον. ἡ δὲ ῥίζα παχεῖα καὶ μέλαινα. διαβραχεῖσα δὲ, ὑπόξανθος. φιλεῖ δὲ χωρία ψυχρὰ καὶ ἀργά. δύναται δὲ λέπραν ἐξελαύνειν ἐν ὄξει τριβομένη, καὶ τριβεὶς ἐπαλειφόμενος. καὶ ἀλφὸν ὡσαύτως. ἀναιρεῖ δὲ καὶ τοὺς κύνας. μήκωνος δὲ εἴδη ἄγριαι πλείους. ἡ μὲν κερατῖτις καλουμένη. ἡ δὲ μέλαινα. ταύτης τὸ φύλλον ὡς φλόμου τῆς μελαίνης. ἧττον δὲ μέλαν. τοῦ δὲ καυλοῦ τὸ ὕψος ὡς σπιθαμιαῖον. ῥίζα δὲ βραχεῖα καὶ ἐπιπόλαιος. ὁ δὲ καρπὸς καμπύλος ὥσπερ τῶν κερατίων. συλλέγεται δὲ περὶ πυροτομίας. δύναται δὲ καθαίρειν κοιλίαν. τὸ δὲ φύλλον ἄργεμα προβάτοις ἀφαιρεῖ. φύεται δὲ παρὰ τὴν θάλατταν, οὗ ἂν ᾖ πετρώδη χωρία. ἑτέρα δὲ μήκων ῥοιὰς καλουμένη παρομοία κιχωρίῳ τῷ ἀγρίῳ. διὸ καὶ ἐσθίεται. ἐν τοῖς ἀρουραίοις δὲ φύεται μάλιστα ἐν ταῖς κριθαῖς. ἄνθος δὲ ἔχει ἐρυθρόν. κωδύαν δὲ ὅσον ὄνυχα τοῦ δακτύλου. συλλέγεται δὲ πρὸ τοῦ θερισμοῦ τῶν κριθῶν. ἐγχλωροτέρα δὲ μᾶλλον. καθαίρει δὲ κάτω. ἑτέρα δὲ μήκων, ἡρακλεία καλεῖται. τὸ μὲν φύλλον ἔχουσα οἷον στρουθός, ᾧ τὰ ὀθόνια λευκαίνουσι. ῥίζαν δὲ λεπτὴν ἐπιπόλαιον. τὸν δὲ καρπὸν, λευκόν. καθαίρει ἄνω ταύτης ἡ ῥίζα. χρῶνται δ' ἐπὶ τῶν ἐπιλήπτων ἐν μελικράτῳ. ταῦτα μὲν οὖν ὥσπερ ὁμώνυμά πως εἴληπται. τῶν δὲ ῥιζῶν καὶ ἐν τοῖς χυλοῖς αἱ διαφοραὶ καὶ ἐν ταῖς ὀσμαῖς. αἱ μὲν γὰρ, φρέσι δριμεῖαι. αἱ δὲ, πικραί. αἱ δὲ γλυκεῖαι. καὶ αἱ μὲν εὔοσμοι. αἱ δὲ βρεῖαι. γλυκεῖα μὲν, ἥ τε νυμφαία καλουμένη. φύεται δὲ ἐν ταῖς λίμναις, καὶ ἐν τοῖς ἑλώδεσιν. οἷον ἔν τε τῇ Ὀρχομενίᾳ, καὶ Μαραθῶνι, καὶ περὶ Κρήτην. καλοῦσι δ' αὐτὴν οἱ Βοιωτοὶ μαδωνάϊν. καὶ τὸν καρπὸν ἐσθίουσιν. ἔχει δὲ τὸ φύλλον μέγα ἐπὶ τοῦ ὕδατος. ἣν δὲ λέγουσιν ἴσχαιμον, ἐὰν τρίψας τις ἐπὶ τὴν πληγὴν ἐπιθῇ. χρησίμη δὲ καὶ πρὸς τὰς δυσεντερίας πινομένη. γλυκεῖα δὲ καὶ ἡ σκυθική. καὶ ἔνιοί γε καλοῦσιν αὐτὴν εὐ

θυ γλυκεῖαν αὐτήν. γίνεται δὲ περὶ τὴν μαιῶτιν. χρησίμη δὲ πρός τε τὰ ἄσθματα, καὶ πρὸς βῆχα ξηρὸν, καὶ ὅλως τοὺς περὶ τὸν θώρακα πόνους. ἔτι δὲ πρὸς τὰ ἕλκη ἐν μέλιτι. δύναται δὲ καὶ τὴν δίψαν παύειν, ἐάν τις ἐν τῷ στόματι ἔχῃ. διὸ ταύτῃ τε καὶ τῇ ἱππάκῃ διάγειν φασὶ τοὺς σκύθας ἡμέρας καὶ ἕνδεκα καὶ δώδεκα. ἡ δὲ ἀριστολοχία τῇ ὀσφρήσει μὲν εὐώδης. τῇ δὲ γεύσει πικρὰ σφόδρα. τῇ χροιᾷ δὲ μέλαινα. φύεται δὲ ἐν τοῖς ὄρεσιν ἡ βελτίστη. φύλλον δὲ ἔχει προσεμφερὲς τῇ ἀλσίνῃ. πλὴν στρογγυλότερον. χρησίμη δὲ πρὸς πολλά. καὶ ἀρίστη πρὸς κεφαλῆς. ἀγαθὴ δὲ καὶ πρὸς τὰ ἄλλα ἕλκη, καὶ πρὸς ἑρπετὰ καὶ πρὸς ὕπνον καὶ πρὸς ὑστέρα. τὰ μὲν οὖν προσάττειν κελεύουσιν ἐν ὕδατι ἀναδεύσαντα καὶ καταπλάττοντα. τὰ δὲ ἄλλα εἰς μέλι ἐγξύσαντα καὶ ἔλαιον. πρὸς δὲ τὰ τῶν ἑρπετῶν ἐν οἴνῳ ὀξίνῃ πίνειν, καὶ ἐπὶ τὸ δῆγμα ἐπιπλάττειν. εἰς ὕπνον δὲ ἐν οἴνῳ μέλανι αὐστηρῷ κνίσας. ἐὰν δὲ αἱ μῆτραι προσπέσωσι τῷ ὕδατι ἀποκλύζειν. αὗται μὲν δὴ γλυκεῖαι. ἄλλαι δὲ πικραί. αἱ δὲ βαρεῖαι τῇ γεύσει. γίνονται δέ τινες τῶν γλυκειῶν. αἱ μὲν ἐκστατικαί. καθάπερ ἡ ὁμοία τῇ σκολύμῳ ἡ περὶ τέγεαν. ἣν καὶ γάντιος ὁ ἀνδριαντοποιὸς φαγὼν ἐργαζόμενος ἐν τῷ ἱερῷ ἐξέστη. αἱ δὲ θανατηφόροι. καθάπερ αἱ περὶ τὰ μέταλλα τὰ ἐν τῇ θράκῃ. κούφη δὲ καὶ ἡ λεία πάνυ τῇ γεύσει. καὶ τὸν θάνατον ὑπνώδη τινὰ ποιοῦσα καὶ ἐλαφρόν. ἔχουσι δὲ καὶ τοῖς χρώμασι διαφοράς, οὐ τῷ λευκῷ καὶ μέλανι καὶ ξανθῷ μόνον, ἀλλ᾽ ἔνιαι καὶ οἰνοχρῶτες καὶ ἐρυθραὶ καθάπερ ἡ τοῦ ἐρυθροδάνου. ἡ δὲ τοῦ πενταφύλλου ἢ πενταπέτου. (καλοῦσι γὰρ ἀμφοτέρως) ὀρυττομένη μὲν ἐρυθρά. ξηραινομένη δὲ μέλαινα γίνεται καὶ τετράγωνος. ἔχει δὲ τὸ μὲν φύλλον ὥσπερ οἴναρον. μικρὸν δὲ καὶ τὴν χροιὰν ὅμοιον. καὶ αὔξεται καὶ φθίνει ἅμα τῇ ἀμπέλῳ. πίπτει δὲ ὥσπερ τὰ φύλλα. διὸ καὶ προσηγορία. καυλοὺς δὲ οὐκ ἴσχει λεπτούς. καὶ κνήμας ἔχει πυκνάς. τὸ δὲ ἐρυθρόδανον καὶ φύλλον ὅμοιον κιττῷ, πλὴν στρογγυλότερον. φύεται

δι' ὧν τινὲς ὥσπερ ἄγρωστις· φιλεῖ δὲ καὶ παλίσκια χωρία· οὐρητι-
κὴ δέ· διὸ καὶ χρῶνται πρὸς τὰ τῆς ὀσφύος ἀλγήματα καὶ πρὸς
τὰς περὶ ἰσχιάδας. ἔνιαι δὲ ἰδιόμορφοί τινες· ὥσπερ ἥ τε τοῦ σκορπίου
καλουμένου, καὶ ἡ τοῦ πολυποδίου. ἡ μὲν γὰρ ὁμοία σκορπίῳ· καὶ
χρησίμη δὲ πρὸς τὴν πληγὴν αὐτοῦ καὶ πρὸς ἄλλα. ἡ δὲ τοῦ
πολυποδίου δασεῖα καὶ ἔχουσα κοτυληδόνας ὥσπερ αἱ τοῦ πολύ-
ποδος πλεκτάναι· καθαίρει δὲ κάτω· κἂν περιάψηταί τις ὥς φα-
σιν ἐμφύεσθαι πολύπουν· ἔχει δὲ φύλλον ὅμοιον τῇ πτερίδι τῇ με-
γάλῃ· καὶ φύεται ἐν ταῖς πέτραις. πασῶν δὲ τῶν ῥιζῶν αἱ μὲν
πλείω χρόνον· αἱ δὲ, ἐλάττω διαμένουσιν. ὁ μὲν γὰρ ἐλέβορος καὶ
τριάκοντα ἔτη χρήσιμος· ἡ δὲ ἀριστολοχία πέντε ἢ ἕξ· χαμαιλέ-
ων δὲ ὁ μέλας, τετταράκοντα· κενταυρὶς δὲ, δέκα ἢ δώδεκα·
πτέρα δὲ ἡ ῥίζα καὶ πυκνή· πευκέδανον δὲ πέντε ἢ ἕξ· ἀμπέ-
λου δὲ ἀγρίας, ἐνιαυτὸν, ἐὰν ἐν σκιᾷ ᾖ καὶ ἄπληκτος· εἰ δὲ μὴ
σαπρὰ καὶ σογκώδης· ἄλλαι δὲ ἄλλους ἔχουσι χρόνους· πάντων δὲ ὅ-
λως τῶν φαρμάκων πλεῖστον διαμένει χρόνον, τὸ ἐλατήριον· καὶ
τὸ παλαιότερον ἄριστον· ἰατρὸς δ' οὖν τις ἔλεγεν οὐκ ἀλαζὼν οὐδὲ ψεύ-
στης, ὡς εἴπερ αὐτοῦ διακοσίων ἐτῶν· θαυμαστὸν δὲ τῇ ἀρετῇ·
δύναται δὲ τινὰ αὐτῶν δῶρον· αἰτία δὲ τὸ χρονιότητος ἡ ὑγρότης· διὰ
δὲ ταύτην καὶ ὅταν κόψωσι τιθέασιν εἰς τέφραν ὑγρόν· καὶ οὐδ'
ὡς ξηρὸν γίνεται· ἀλλ' ἄχρι πεντήκοντα ἐτῶν σβεννύουσι προσα-
γόμενον τοὺς αὐχμούς· φασὶ δὲ μόνον μάλιστα ὑπεριῦ ἀγώπρε-
εἶν τῶν φαρμάκων· αὕτη μὲν οὖν ἰδιότης περὶ δυνάμεως. τῶν δὲ ῥι-
ζῶν ὅσαι μὲν γλυκύτητά τινα ἔχουσι, συμβαίνει θριπηδέστους
γίνεσθαι χρονιζομένας· ὅσαι δὲ δριμεῖαι, τοῦτο μὲν μὴ πάσχειν·
ἀμαυροῦσθαι δ' αὐτῶν τὰς δυνάμεις μανουμένων καὶ κενουμένων.
τῶν δ' ἔξω θηρίων, ἄλλο μὲν οὐδὲν ἅπτεται ῥίζης οὐδεμιᾶς· ἡ δὲ
σφονδύλη πασῶν. τοῦτο μὲν οὖν ἴδιον περὶ τοῦ ζώου φύσεως·
πάσαις δὲ χεῖρω γίνεσθαι ῥίζαν, ἐὰν ἐάσῃ τις τελειωθῆναι καὶ ἀ-
δρυνθῆναι τὸν καρπόν· ὡσαύτως δὲ καὶ τὸν καρπὸν ἐὰν ὀπίσῃς

τὴν ῥίζαν, ὡς ἐπὶ τὸ πολὺ δὲ αἱ φαρμακώδεις, οὐκ ὀπίζονται. ὧν δ' ἐνίων τὰ σπέρματα φαρμακώδη, αὗται δὲ ὀπίζονται. χειμῶνος δέ τινος μᾶλλόν φασι ταῖς ῥίζαις· ὅτι ἰσχυρότερος ὁ καρπὸς, ὥστε ὑπενεγκεῖν τὸ σῶμα. φαίνεται δὲ οὐ καθόλου τοῦτο ἀληθές. ἐπεὶ καὶ οἱ ἐν Ἀντικύρᾳ τῷ σησαμώδει ἐλλεβόρου διδόασιν. ὅτι ὁ καρπὸς ὅμοιος σησάμῳ. φαρμακώδεις δὲ δοκοῦσιν εἶναι τόποι. μάλιστα μὲν ἔξω τῆς Ἑλλάδος οἱ περὶ Τυρρηνίαν καὶ τὴν Λατίνην. ἐν ᾗ καὶ τὴν Κίρκην εἶναι λέγουσι. καὶ ἔτι γε μᾶλλον ὡς Ὅμηρός φησι περὶ Αἴγυπτον. ἐκεῖθεν γὰρ τὴν Ἑλένην λαβεῖν, ἐσθλά, τά οἱ πόρε Πολύδαμνα Θῶνος παράκοιτις, Αἰγυπτίη. τόθι πλεῖστα φύει ζείδωρος ἄρουρα φάρμακα, πολλὰ μὲν ἐσθλὰ τετυγμένα, πολλὰ δὲ λυγρά. ἐν οἷς δὲ καὶ τὸ νηπενθὲς ἐκεῖνό φησιν εἶναι καὶ ἄχολον ὥστε λήθην ποιεῖν καὶ ἀπάθειαν τῶν κακῶν. καὶ σχεδὸν αὗται μὲν ἐοίκασιν ὥσπερ ἀπὸ τῶν ποιητῶν ὑποδέχεσθαι, καὶ γὰρ Αἰσχύλος ἐν ταῖς ἐλεγείαις ὡς πολυφάρμακον λέγει τὴν Τυρρηνίαν. Τυρρηνὸν γενεάν, φαρμακοποιὸν ἔθνος. οὐδὲ γάρ που πάντες πως φαίνονται μετέχειν τῶν φαρμάκων, ἀλλὰ τῷ μᾶλλον καὶ τῷ ἧττον διαφέρειν. καὶ γὰρ οἱ πρὸς ἄρκτον καὶ μεσημβρίαν καὶ οἱ πρὸς ἀνατολὰς, ἔχουσι θαυμαστὰς δυνάμεις. ἐν Αἰθιοπίᾳ γάρ ἐστιν ἣν λέγουσι ῥίζα τίς ἐστι θανατηφόρος. ἐν δὲ Σκύθαις αὐτή τε καὶ ἕτεραι πλείους· αἱ μὲν παραχρῆμα ἀποκτείνουσαι τοὺς προσενεγκαμένους· αἱ δ' ἐν χρόνοις· αἱ μὲν, ἐλάττοσιν· αἱ δὲ, πλείοσιν· ὥστ' ἐνίους καταφθίνειν. εἰς Ἰνδούς τε καὶ ἕτερα μέρη πλείω. ποικιλωτάτη δὲ, εἴπερ ἀληθῆ λέγουσιν. ἥ τε δυναμένη τὸ αἷμα διαχεῖν, καὶ οἷον ὑποφεύγειν. καὶ πάλιν ἡ συνάγουσα καὶ πρὸς ἑαυτὴν ἐπισπωμένη. ᾗ δή φασιν εὑρῆσθαι πρὸς τὰ τῶν ὄφεων τῶν θανατηφόρων δήγματα. περὶ δὲ τὴν Θρᾳκίαν εἶναι μὲν καὶ ἑτέρας οὐκ ὀλίγας· ἰσχυροτάτην δ' ὡς εἰπεῖν τὴν ἴξαι μὲν ἣν δὴ λέγουσιν. οἱ μὲν κεντηθείσης τῆς φλεβὸς, οἱ δὲ καὶ σφοδρότερον διατμηθείσης ἴσχειν καὶ κωλύειν τὴν χύσιν. ταῦτα

μὲν οὖν ὥσπερ εἴπομεν ἔοικε δηλοῦν τὸ κοινόν. καὶ τῶν ἔξω τό-
πων οἱ φαρμακωδέστατοι, οὗτοί εἰσι. τῶν δὲ περὶ τὴν ἑλλάδα
τόποι φαρμακωδέστατοι τό, τε πήλιον τὸ ἐν θετταλίᾳ. καὶ τὸ τελέ
θριον τὸ ἐν τῇ εὐβοίᾳ. καὶ ὁ παρνασός. ἔτι δὲ ἡ ἀρκαδία. καὶ ἡ λακω
νική. καὶ γὰρ αὗται φαρμακώδεις ἀμφότεραι. διὸ καὶ οἵ γε ἀρ-
κάδες εἰώθασιν ἀντὶ τοῦ φαρμακοποτεῖν, γαλακτοποτεῖν περὶ
τὸ ἔαρ. ὅταν οἱ ὀποὶ μάλιστα τῶν τοιούτων φυτῶν ἀκμάζωσι. τότε γὰρ
φαρμακωδέστατον τὸ γάλα. πίνουσι δὲ τὸ βόειον. ἐκεῖ γὰρ πολυνο-
μώτατον καὶ παμφαγώτατον πάντων ὁ βοῦς. φύεται δὲ πα-
ρ' αὐτοῖς, ὅ τε ἐλλέβορος ἀμφότερος καὶ ὁ λευκὸς καὶ ὁ μέλας. ἔτι
τε δαῦκον, δαφνοειδὲς κροκόεν. καὶ ἣν ἐκεῖνοι μὲν ῥάφανον ἀγρίαν
καλοῦσι. τῶν δ' ἰατρῶν τινές, κέραν. καὶ ἣν οἱ μὲν ἀλθίαν. ἐκεῖνοι
δὲ μαλάχην ἀγρίαν. καὶ ἡ ἀριστολοχία. ἔτι τὸ σέσελι, ἔτι τὸ ἱπποσέ
λινον. καὶ τὸ πευκέδανον, καὶ ἡ ἡράκλεια, καὶ ὁ στρύχνος ἀμφότε
ρος, ὅ, τε φοινικοῦν ἔχων τὸν καρπόν. καὶ ὁ μέλανα. φύεται δὲ καὶ
ὁ σίκυος ὁ ἄγριος. ἐξ οὗ τὸ ἐλατήριον συντίθεται. καὶ τὸ τιθύ-
μαλλον ἐξ οὗ τὸ ἱππομανές. ἄριστον δὲ τὸ περὶ τεγέαν, καὶ ἐκεῖ μά
λιστα σπουδάζεται. φύεται δὲ καὶ ἐπὶ πλέον. πλεῖστον δὲ καὶ κάλ
λιστον φύεται περὶ τὴν κλειτορίαν. ἡ δὲ πανάκεια γίνεται καὶ
τὸ πεζαῖον περὶ ψωφίδα καὶ πλείστη καὶ ἀρίστη. τὸ δὲ μῶλυ περὶ
φενεὸν καὶ ἐν τῇ κυλλήνῃ. φασὶ δ' εἶναι καὶ ὅμοιον ὡς Ὅμηρος εἴ
ρηκε. τὴν μὲν ῥίζαν ἔχον στρογγύλην. προσεμφερῆ κρομμύῳ.
τὸ δὲ φύλλον ὅμοιον σκίλλῃ. χρῆσθαι δὲ αὐτῷ πρός τε τὰ ἀλεξιφάρ
μακα καὶ τὰς μαγείας. οὐ μὴν ὀρύττειν γε εἶναι χαλεπὸν ὡς Ὅμη
ρος φησί. τὸ δὲ κώνειον, ἄριστον περὶ σοῦσα, καὶ ἐν τοῖς ψυχροτά-
τοις τόποις. γίνεται δὲ καὶ ἐν τῇ λακωνικῇ τὰ πολλὰ τούτων. ἔτι
γὰρ αὐτὴ πολυφάρμακος. ἐν ἀρκαδίᾳ δὲ ἡ τραγάκανθα πολ
λὴ καὶ οὐδὲν χείρων ὡς οἴονται τῆς κρητικῆς. ἀλλὰ καὶ τῇ ὄψει καλ
λίων. καὶ δαῦκον, περὶ τὴν πατρικὴν διαφέρει. τοῦτο δὲ θερμαν
τικὸν φύσει. ῥίζαν δὲ ἔχει μέλαιναν. φύεται δὲ τὰ πολλὰ τούτων καὶ

ἐν τοῖς σπέρμασιν· καὶ περὶ τὸ πλέθριον· καὶ ταῦτα μὲν κοινὰ πλει-
όνων χώρων· τὸ δὲ δίκταμον, ἴδιον τῆς κρήτης· θαυμαστὸν δὲ τῇ
δυνάμει καὶ πρὸς πλείω χρήσιμον· μάλιστα δὲ πρὸς τοὺς τόκους
τῶν γυναικῶν· ἔστι δὲ τὸ μὲν φύλλον παρόμοιον τῇ βληχοῖ· ἔχει
δέ τι κατὰ τὸν χυλὸν ἐμφερές· τὰ δὲ κλωνία λεπτότερα· χρῶνται
δὲ τοῖς φύλλοις· οὐ τοῖς κλωσὶν, οὐδὲ τῷ καρπῷ· χρήσιμον δὲ πρὸς
πολλὰ μὲν καὶ ἄλλα· μάλιστα δὲ ὥσπερ ἐλέχθη πρὸς τὰς δυσ-
τοκίας τῶν γυναικῶν· ἢ γὰρ εὐτοκεῖν φασι ποιεῖν· ἢ παύειν γε τοὺς
πόνους ὁμολογουμένως· δίδοται δὲ πίνειν ἐν ὕδατι· σπάνιον δὲ
ἐστι· καὶ γὰρ ὀλίγος ὁ τόπος ὁ φέρων· τοῦτον αἱ αἶγες ἐκνέμου-
σι διὰ τὸ φιληδεῖν· ἀληθὲς δέ φασιν εἶναι καὶ τὸ περὶ τῶν βελῶν
ὅτι φαγοῦσαι ὅταν τοξευθῶσιν ἐκβάλλουσι· τὸ μὲν οὖν δίκταμον
τοιοῦτόν τε καὶ τοιαύτας ἔχει τὰς δυνάμεις· τὸ δὲ ψευδοδίκτα-
μον, τῷ μὲν φύλλῳ ὅμοιον· τοῖς κλωνίοις δὲ ἔλαττον· τῇ δυνά-
μει δὲ πολὺ λειπόμενον· βοηθεῖ μὲν γὰρ καὶ ταῦτα· χεῖρον δὲ πολ-
λῷ καὶ ἀσθενέστερον· ἔστι δὲ εὐθὺς ἐν τῷ στόματι φανερὰ ἡ τοῦ δι-
κτάμου δύναμις· θερμαίνει γὰρ ἀπὸ μικροῦ σφόδρα· τιθέασι
δὲ τὰς δεσμίδας ἐν νάρθηκι καὶ καλάμῳ πρὸς τὸ μὴ ἀπο-
πνεῖν· ἀσθενέστερον γὰρ, ἀποπνεῦσαν· λέγουσι δέ τινες ὡς ἡ μὲν
φύσις μία ἡ τοῦ δικτάμνου καὶ τοῦ ψευδοδικτάμνου· διὰ δὲ τὸ
ἐν πιοτέροις φύεσθαι τόποις, χεῖρον εἶναι· καθάπερ ἄλλα,
πολλὰ πλείω τούτων κατὰ τὰς δυνάμεις· τὸ γὰρ δίκταμνον φι-
λεῖ χώραν τραχεῖαν· ἔστι δὲ καὶ ἕτερον δικτάμνου ὥσπερ ὁμώνυ-
μον· οὔτε τὴν ὄψιν ἔχον, οὔτε τὴν δύναμιν τὴν αὐτήν· φύλλον
τε γὰρ ἔχειν ὅμοιον σισυμβρίῳ· τούς τε κλῶνας μείζους· ἔτι δὲ
τὴν χρείαν καὶ τὴν δύναμιν ἧττον ἐν τοῖς αὐτοῖς· τοῦτο μὲν οὖν
ὥσπερ ἐλέχθη θαυμαστὸν ἅμα καὶ ἴδιον τῆς νήσου· φασὶ δέ τινες ὅ-
λως τῶν φύλλων καὶ τῶν θάμνων καὶ ἁπλῶς τῶν ὑπὲρ γῆς τὰ
ἐν κρήτῃ διαφέρειν· τῶν δὲ ἄλλων τῶν πλείστων τὰ ἐν τῷ παρ-
νασῷ· τὸ δ᾽ ἀκόνιτον γίνεται μὲν ὥς φασι καὶ ἐν κρήτῃ καὶ ἐν ζα

κύμθω· πλεῖστον δὲ καὶ ἄριστον ἐν ἡρακλείᾳ τῇ ἐν τῷ πόντῳ. ἔχει δὲ φύλλον μὲν κιχωριῶδες· ῥίζαν δὲ ὁμοίαν τῷ σχήματι καὶ τῷ χρώματι καρύῳ· τὴν δὲ δύναμιν τὴν θανατηφόρον ἐν ταύτῃ· τὸ δὲ φύλλον καὶ τὸν καρπὸν οὐδέν φασι ποιεῖν· καρπὸς δέ ἐστι πόας καὶ οὐχ ὑλήματος· βραχεῖα δ' ἡ πόα καὶ οὐδὲν ἔχουσα περιττόν· ἀλλὰ παρομοία τῷ σίτῳ· τὸ δὲ σπέρμα οὐ σταχυηρόν· φύεται δὲ πανταχοῦ καὶ οὐκ ἐν ταῖς ἀκόναις μόνον, ἀφ' ὧν ἔχει τὴν προσηγορίαν· αὕτη δέ ἐστι κώμη τις τῶν περιανδύνων· φιλεῖ δὲ μάλιστα τοὺς πετρώδεις τόπους· οὐ νέμεται δὲ οὔτε πρόβατον οὔτε ἄλλο ζῷον οὐδέν· συντίθεσθαι δὲ λέγουσι τινὰ πρὸς τὸ ἐργάζεσθαι, καὶ ἄπειρον τὸ εἶναι· διὸ καὶ τοὺς ἰατροὺς οὐκ ἐπισταμένους συντιθέναι, σηπτικῷ τι χρῆσθαι· καὶ πρὸς ἄλλα αἴτια ἀπὸ μὲν οὖν οὐδεμίαν αἴσθησιν ποιεῖ, οὔτ' ἐν οἴνῳ οὔτ' ἐν μελικράτῳ· συντίθεσθαι δὲ, ὥστε κατὰ χρόνους τακτοὺς ἀναιρεῖν, οἷον δίμηνον· τρίμηνον· ἑξάμηνον· ἐνιαυτόν· τοὺς δὲ, καὶ δύο ἔτη· χαλεπώτατα δὲ ἀπαλλάττειν τοὺς ἐν πλείστῳ χρόνῳ καταφθίνοντας τοῦ σώματος· ῥᾷστα δὲ τοὺς παραχρῆμα· λυτικὸν δὲ φάρμακον οὐχ εὑρῆσθαι ὥσπερ ἀκούομεν ἑτέρων τι φύεσθαι· ἀλλὰ τηρεῖσθαι τοῖς ἐγκαλουμένοις βοηθεῖν ἐλῶντας τοὺς ἐγχωρίους ἀνασώζειν τινὰς μέλιτι καὶ οἴνῳ καὶ τοιούτοις τισί· πάνυ δ' δὲ καὶ γούρους καὶ ἐργώδεις· ἀλλὰ καὶ τὸ ἐφήμερον φάρμακον λέγεσθαι ἕτερον γάρ τι ῥίζιον εἶναι ὃ τὴν ἐφήμερον ἀπαλλάττει. τοῦτο δὲ τὸ φύλλον ὅμοιον ἔχειν τῷ ἐλλεβόρῳ ἢ τῷ αἰρίῳ· καὶ τοῦτο πάντας εἰδέναι· διὸ καὶ τὰ ἀνδράποδά φασι πολλάκις παροργισθέντα χρῆσθαι· κἄπειτα ἰατρεύειν αὐτὰ πρὸς τοῦτο ὁρμῶντα· καὶ γὰρ οὐδὲ ταχεῖαν ποιεῖσθαι τὴν ἀπαλλαγήν, οὐδὲ ἐλαφράν· ἀλλὰ δυσχερῆ καὶ χρόνιον· εἰ μὴ ἄρα διὰ τὸ ἀθεράπευτον εἶναι καὶ ἀκατασκεύαστον ὡς δεῖ· φασὶ γοῦν καὶ παραχρῆμα ἀπαλλάττεσθαι· καὶ ὕστερον χρόνῳ· τοὺς δὲ καὶ εἰς ἐνιαυτὸν ἄγειν· καὶ τὰς δόσεις ἀβοηθήτους εἶναι· ταῦτα δ' ἐξακριβωθῆναι μάλιστα παρὰ τοῖς τυρρηνοῖς τοῖς ἐν ἡρακλείᾳ· τοῦτο μὲν οὐδὲν ἄτοπον· εἰ λέγουσι μέν τινα ἀ-

βοήθητον

βοήθητον ἄλλως δὲ βοηθήσιμον· ὥσπερ καὶ ἕτερα τῶν θανατηφόρων· τὸ γὰρ μὴν ἀκόνιτον, ἄχρηστον ὥσπερ εἴρηται τοῖς μὴ ἐπισταμένοις· οὐδὲ κεκτῆσθαι δὲ ἔξεστιν· ἀλλὰ θάνατον εἶναι τὴν ζημίαν. τὴν δὲ τῶν χρόνων διαφορὰν ἀκούειν εἶναι κατὰ τὰς συλλογάς· ἰσοχρόνους γὰρ τοὺς θανάτους γίνεσθαι τοῖς ἀπὸ τῆς συλλογῆς χρόνοις· Θρασύας δὲ ὁ Μαντινεὺς εὑρηκέναι τι τοιοῦτον ὥσπερ ἔλεγεν· ὥστε ῥᾳδίαν ποιεῖν καὶ ἄπονον τὴν ἀπόλυσιν· τοῖς ὀποῖς χρώμενος, κωνείου τε καὶ μήκωνος καὶ ἑτέρων τοιούτων· ὥστε τὴν ὁλκὴν εἶναι πάνυ τε καὶ μικρὸν ὅσον εἰς δραχμῆς ὁλκήν· ἀβοήθητον δ' εἶναι παντελῶς καὶ δύνασθαι διαμένειν ὁποσονοῦν χρόνον καὶ οὐδὲν ἀλλοιοῦσθαι· ἐλάμβανε δὲ τὸ κώνειον, οὐχ ὅθεν ἔτυχεν· ἀλλ' ἐκ Σούσων, ἢ εἴ τις ἄλλος τόπος ψυχρὸς καὶ παλίσκιος· ὡσαύτως δὲ καὶ τὰ ἄλλα. συνετίθει δὲ καὶ φάρμακα πολλὰ ἐκ πολλῶν. δεινὸς δὲ καὶ Ἀλέξιας ὁ μαθητὴς αὐτοῦ, καὶ οὐχ ἧττον ἔντεχνος ἐκείνου· καὶ τῆς ἄλλης ἰατρικῆς ἔμπειρος· ταῦτα μὲν οὖν εὑρῆσθαι δοκεῖ πολλῷ μᾶλλον νῦν ἢ πρότερον· ὅτι δὲ διαφέρει τὸ χρῆσθαί πως ἑκάστῳ, φανερὸν ἐκ πολλῶν· ἐπεὶ καὶ Κεῖοί φασι τῷ κωνείῳ πρότερον οὐχ οὕτω χρῆσθαι, ἀλλὰ τρίβοντας καθάπερ οἱ ἄλλοι χρῆσθαι· νῦν δὲ οὐδ' ἂν εἷς τρίψειεν· ἀλλὰ περιπτίσαντες καὶ ἀφελόντες τὸ κέλυφος (τοῦτο γὰρ τὴν δυσχέρειαν παρέχειν οὐ κατεργαζόμενον) μετὰ ταῦτα κόπτουσιν ἐν ὅλμῳ, καὶ διαπτίσαντες λεπτά, ἐπιπάττοντες ἐφ' ὕδωρ πίνουσιν, ὥστε ταχεῖαν καὶ ἐλαφρὰν γίνεσθαι τὴν ἀπαλλαγήν· ἁπάντων δὲ τῶν φαρμακωδῶν αἱ δυνάμεις ἀσθενέστεραι τοῖς συνήθεσι μέν. τοῖς δὲ καὶ ἀνενεργεῖς τὸ ὅλον· ἔνιοι γὰρ ἐλλέβορον ἐσθίοντες πλείω ὥστε καὶ ἀναλίσκειν δέσμας ὅλας, οὐδὲν πάσχουσιν· ὅπερ ἐποίει καὶ Θρασύας δεινότατος ὢν ὡς ἐδόκει τὰ περὶ τὰς ῥίζας. ποιοῦσι δὲ τοῦθ' ὡς ἔοικε καὶ γυμναζόμενοί τινες· διὸ καὶ πρὸς τὸν φαρμακοπώλην τὸν θαυμαζόμενον, ὡς κατήσθιε μίαν ῥίζαν ἢ δύο, παραγενόμενός τις καὶ ἀναλώσας ὅλην τὴν δέσμην, ἐποίησεν ἄδοκιμον· ἐλέγχθη δ' ὅτι καθ' ἑκάστην ἡμέραν τοῦτο ποιεῖ καὶ αὐτὸς καὶ ἕτεροι· κινδυνεύειν γὰρ ἔνια,

τῶν φαρμάκων τῇ ἀσυνηθείᾳ φάρμακα γίνεσθαι· τάχα δὲ ἀληθέστερον εἰπεῖν ὡς τῇ συνηθείᾳ τὰ φάρμακα· προσδεξαμένης γὰρ τῆς φύσεως καὶ κατακρατούσης, οὐκέτι φάρμακα· καθάπερ ὁ Θρασύας ἔλεγεν· ἐκεῖνος γὰρ ἔφη τὸ αὐτὸ, τοῖς μὲν, φάρμακον εἶναι, τοῖς δὲ, οὐ φάρμακον, διαιρῶν τὰς φύσεις ἑκάστων· ᾤετο γὰρ δεῖν καὶ τὴν διαμονὴν διαγνῶναι· ἔτι δέ τι δηλονότι πρὸς τῇ φύσει καὶ τὸ ἔθος. Εὔδημος γοῦν ὁ φαρμακοπώλης εὐδοκιμῶν σφόδρα κατὰ τὴν τέχνην, συνθέμενος μηδὲν πείσεσθαι πρὸ ἡλίου δύνοντος, κατέφαγε μέτριον πάνυ καὶ οὐ κατέσχεν ὁ δ' ἐγκρατής· ὁ δὲ Χῖος Εὔδημος πίνων ἐλλέβορον οὐκ ἐκαθαίρετο. καίτοι ποτὲ ἔφη πιεῖν ἐν μιᾷ ἡμέρᾳ δύο καὶ εἴκοσι πόσεις ἐν τῇ ἀγορᾷ, καθήμενος ἐπὶ τῶν σκευῶν· καὶ οὐκ ἐξαναστῆναι πρὸ τοῦ δείλην γίνεσθαι· τότε δὲ λαβὼν ἐκλούσασθαι, ἀποδειπνεῖν ὥσπερ εἰώθει, καὶ οὐκ ἐξεμέσαι· πλὴν οὗτος βοήθειάν τινα παρασκευασάμενος κατεῖχε· κίσηριν γὰρ ἔτι πάλιν ἐπ' ὄξος δριμὺ, πιεῖν ἔφη μετὰ τὴν ἑβδόμην πόσιν, καὶ πάλιν ὕστερον ἐν οἴνῳ τὸν αὐτὸν ξέσας· τὴν δὲ τῆς κισσήρεως τοσοῦτον ἰσχυρὰν εἶναι δύναμιν, ὥστε ἐάν τις εἰς πίθον ζέοντα ἐμβάλῃ, παύειν τὴν ζέσιν, οὐ παραχρῆμα μόνον, ἀλλὰ καὶ ὅλως· καταξηραίνουσαν δηλονότι, καὶ ἀναδεχομένην τὸ πνεῦμα, καὶ τοῦτο διιέναι. τοῦτο μὲν οὖν ἔχει πλῆθος, ταύτῃ τῇ βοηθείᾳ κατεῖχεν· ὅτι δὲ καὶ τὸ ἔθος ἰσχυρὸν, ἐκ πολλῶν φανερόν· ἐπεὶ καὶ τὸ ἀψίνθιον, τὰ μὲν ἐν αὐτῷ πρόβατα, οὐ φασί τινες νέμεσθαι· τὰ δ' ἐν Πόντῳ νέμεσθαι, καὶ γίνεσθαι πιότερα καὶ καλλίω· ὡς δέ τινες λέγουσιν οὐκ ἔχοντα χολήν· ἀλλὰ ταῦτα μὲν ἑτέρων ἂν τινῶν εἴη θεωρεῖν. αἱ δὲ ῥίζαι καὶ τὰ ὑλήματα, καθάπερ εἴρηται, πολλὰς ἔχουσι δυνάμεις· οὐ πρὸς τὰ ἔμψυχα σώματα μόνον, ἀλλὰ καὶ πρὸς τὰ ἄψυχα. λέγουσι γὰρ ἀκαρπῆ τινα εἶναι, ἣ ἐπειδάν τισι τὸ ὕδωρ ἐμβαλλομένη πηγνῦναι δὲ τὴν τῆς ἀλθαίας ῥίζαν ἐάν τις ξηρὰν ἐμβάλῃ καὶ θῇ ὑπαίθριον. ἔχει δὲ ἡ ἀλθαία, φύλλον μὲν ὅμοιον τῇ μαλάχῃ, πλὴν μεῖζον καὶ δασύτερον· τοὺς δὲ καυλοὺς μαλακούς· ἄνθος δὲ μήλινον· καρπὸν δ' οἷον μαλάχη· ῥίζαν δὲ γλισχρὰν λευκήν· τῇ γεύσει

δ' ὥσπερ

δὲ ὥσπερ τοῦ μαλαχίου ὁ καυλός. χρῶνται δὲ αὐτῇ πρός τινα ἐκλείγματα
καὶ τὰς βῆχας ἐν οἴνῳ γλυκεῖ. καὶ πρὸς τὰ ἕλκη ἐν ἐλαίῳ. ἕτεραι δέ τινα,
συνεψομένην τοῖς κρέασι συνάπτειν εἰς τὸ αὐτό. καὶ τῶν μὲν ἐπισυνάγειν
τῶν δὲ καὶ ἕλκειν, ὥσπερ ἡ λίθος καὶ τὸ ἤλεκτρον. καὶ αὗται μὲν ἐν τοῖς ἀ-
ψύχοις. τὸ δὲ θηλύφονον, οἱ δὲ σκορπίον καλοῦσι διὰ τὸ τὴν ῥίζαν ὁμοί-
ως ἔχειν τῷ σκορπίῳ, ἐπιξυόμενον ἀποκτείνειν τὸν σκορπίον. ἐὰν δέ-
τις ἐλλέβορον λευκὸν κατασείσῃ, πάλιν ἀνίστασθαί φασιν. ἀπόλλυσι
δὲ καὶ βοῦς, καὶ ὑποζύγια, καὶ πρόβατα, καὶ ἁπλῶς πᾶν τετράπουν ἐὰν εἰς
τὰ αἰδοῖα τεθῇ ἡ ῥίζα ἢ τὸ φύλλον αὐθημερόν. χρήσιμον δὲ πρὸς σκορ-
πίου πληγὴν πινόμενον. ἔχει δὲ τὸ μὲν φύλλον, ὅμοιον κυκλαμίνῳ. τὴν
δὲ ῥίζαν ὥσπερ ἐλέχθη σκορπίῳ. φύεται δὲ ὥσπερ ἡ ἄγρωστις. καὶ γόνατα
ἔχει. φιλεῖ δὲ χωρία σκιώδη. εἰ δὲ ἀληθῆ τὰ περὶ τῶν σκορπίων, ἤδη καὶ
τἆλλα οὐκ ἀπίθανα τὰ τοιαῦτα. καὶ τὰ μυθώδη δὲ οὐκ ἀλόγως σύγκει-
ται. ἐν δὲ τοῖς ἡμετέροις σώμασι χωρὶς τῶν πρὸς ὑγίειαν καὶ νόσον καὶ θάνα-
τον καὶ πρὸς ἄλλας δυνάμεις, ἔχειν φασὶν οὐ μόνον περὶ τὰ σωματικὰ, πε-
ρὶ τὸ γόνιμον καὶ ἄγονον καὶ ἐνίας ἅμα πρὸς τὸ αὐτὸ ποιεῖν ἄμφω καθάπερ
τῶν ὄρχεων καλουμένων. δυοῖν γὰρ ὄντοιν, τοῦ μὲν μεγάλου, τοῦ δὲ μι-
κροῦ, τὸν μὲν μείζω, συντονώτερον ποιεῖν πρὸς τὸ ὁμιλεῖν ἐν γάλακτι διδό-
μενον αἰγὸς ὀρεινόμου. τὸν δὲ ἐλάττω σίνεσθαι καὶ κωλύειν. ἔχει δὲ τὸ μὲν φύλλον
σιλφῶδες. λειότερον δὲ καὶ ἔλαττον. τὸν δὲ καυλὸν ὁμοιότατον ἀπιωπύ-
ρῳ ἤτοι ἀκάνθῃ. ἄτοπον δὲ ὥσπερ ἐλέχθη τὸ ἀπὸ μιᾶς φύσεως καὶ τῆς αὐτῆς.
ἐπεὶ τὸ δύο εἶναι τινὰς τοιαύτας δυνάμεις, οὐκ ἄτοπον. καὶ γὰρ καὶ ἄλλοι
τινὲς καὶ Ἀριστόφιλος ἔλεγεν ὁ Πλαταιικὸς ὁ φαρμακοπώλης
ὅτι πρὸς ἀμφότερα δυνάμεις τινὰς ἔχει. τὴν μὲν ὥστε μᾶλ-
λον δύνασθαι, τὴν δὲ ὥστε ἁπλῶς μὴ δύνασθαι. ταύτης δὲ καὶ
τὸ ὅλον δύνασθαι τὴν ἀδυναμίαν. καὶ γὰρ εἰς χρόνον ὡρισμένον
οἷον δίμηνον ἢ τρίμηνον. ἣ κεχρῆσθαι πρὸς τοὺς παῖδας ὁπότε βού-
λοιντο τινὰ κολάσαι καὶ σωφρονίσαι. ἔνια δὲ εἶναι καὶ εἰς τὸ ἀρ-
ρενογονεῖν ἢ θηλυγονεῖν. διὸ καὶ καλοῦσι φύλλον, τὸ μὲν ἀρρενόγο-
νον, τὸ δὲ θηλυγόνον. ὅμοια δὲ ἄμφω. καὶ μορφὴν ἔχοντα ὠκίμου.
ὁ δὲ καρπὸς, τοῦ μὲν θηλυγόνου, καθάπερ ἐλαίας βρύου. ὠχρότε-

ρος δὲ τοῦ ἀρρενογόνου· οἷον περὶ ἐλαίαν ὅταν ἄρτι φύηται ἐκ τοῦ
βρύου· δικάρυον δὲ ὥσπερ ὄρχεις ἀνθρώπων· τούτου δὲ τὸ μὴ γόνιμον εἶναι τὸ σπέρ-
μα, τὸ λευκὸν καὶ τὸ τοῦ καρποῦ ἔμφασιν· τοῦ δὲ αὖ τὸ γόνιμον, τὸ τοῦ κερα-
τοειδοῦς καρποῦ ἐν ὕδατι. φύεται δὲ τοῦτο ὥσπερ λίμνην πύρειον· ὅ τε καρ-
πὸς οἷον κέγχρος· ἀδύνατον δέ φασι γυναῖκα, καὶ ἐάν τις τὸ καλούμενον
τοῦ καρποῦ δώῃ συνεχῶς τριάκοντα ἡμέρας ἐν οἴνῳ λευκῷ, συλλέ-
ξας ὅσον χοίνικα τὸ ἴσον ἀν' ἑκάστην ἡμέραν· ἐὰν δὲ ἐκτελέσῃ τὴν πόσιν, ἀ-
γονον τὸ ὅλον. τὸ δὲ ἡμιόνου τὸ φύλλον, τὰς γυναῖκας εἰς τὸ ἄτοκον· μίγνυσθαι
δέ φασι τῇ ὁπλῇ τῆς ἡμιόνου καὶ τῷ δέρματι· ὅμοιον δὲ τὸ φύλλον σκο-
λοπενδρίῳ· ῥίζας δὲ λεπτάς· ὀρφνὰ δὲ χωρία φιλεῖ καὶ πετρώδη. χαί-
ρει δὲ σφόδρα τῇ ἡμιόνῳ αὐτῶν· χρῆσθαι δὲ καὶ πρὸς τὰς σπλῆνας ὥσ-
περ τῷ καλουμένῳ· ἡ δὲ θηλυπτερὶς χρήσιμον πρὸς τὰς ἕλμινθας,
τάς τε πλατείας καὶ τὰς λεπτάς· πρὸς μὲν τὰς πλατείας, ἀνὰ δύο μὲν
μέλιτι· πρὸς δὲ τὰς λεπτὰς ἐν οἴνῳ γλυκεῖ μετὰ ἀλφίτων διδομένη.
γυναικὶ δὲ ἐὰν γε δοθῇ, ἐὰν μὲν ἐγκύμονι, ἐκβάλλειν φασίν· ἐὰν δὲ μή,
τὸ ὅλον ἄτοκον εἶναι. διαφέρει δὲ τῆς πτερίδος θηλυπτερίς· τῷ τὴν μὲν
φύλλον ἔχειν μονόκαυλον, ῥίζαν δὲ μετρίαν καὶ μακρὰν καὶ μέλαιναν. τούτων μὲν
οὖν αἱ δυνάμεις πρὸς τὰς γενέσεις· θαυμασιωτάτη δὲ ἣν ὁ ἰνδὸς εἶ-
χεν· οὐ γὰρ προσενεγκαμένου, ἀλλ' ἀλειψαμένου ἔφασκεν ἐπὶ τὸ αἰδοῖον τείνε-
σθαι· τὴν δύναμιν δὲ ὑπερβάλλειν ἰσχυρὰν εἶναι, ὥσθ' ὁπόσαις ἂν βούλοιντο, πλη-
σιάζειν· τοὺς δὲ χρησαμένους φάναι καὶ δώδεκα· αὐτὸν γοῦν λέγειν (καὶ γὰρ
ἦν ἰσχυρὸς καὶ μέγας) ὅτι ἑβδομήκοντά ποτε πλησιάσειε· τὴν
δὲ πρόεσιν αὐτῷ τοῦ σπέρματος εἶναι κατὰ σταγόνα· τελευτῶν
δὲ εἰς αἷμα ἀγαγεῖν. ἔτι δὲ σφοδροτέρως ὁρμᾶν τὰς γυναῖκας
ὅταν χρήσωνται τῷ φαρμάκῳ. αὕτη μὲν οὖν εἴπερ ἀληθὴς, ὑ-
περβάλλουσά τις δύναμις· τὸ δ' ὅλον εἶναι φύσεις τινὰς τοι-
αύτας αἳ ποιοῦσιν ὁρμητικωτέρους, οὐκ ἄτοπον. ἐπεὶ καὶ ἐν
τοῖς τροφίμοις χυλοῖς ὁρῶμεν οὔσας καὶ ἐν ὑγροῖς, καὶ ἐν ξη-
ροῖς. ἔτι δὲ παρὰ τούτους ἄλλας δυνάμεις πάθη ποιεῖν. ἐνιαχοῦ μὲν γὰρ
φασὶ τὸ ὕδωρ παιδογόνον εἶναι γυναιξὶν ὥσπερ καὶ ἐν Θεσπιαῖς· ἐνια-

χοῦ δὲ

χοῦ δὲ ἄγονον, ὡς ἐν πυρᾷ· τοῦτο γὰρ ἦν τῶν τοιούτων οἱ ἰατροί. ἐν Ἡρακλείᾳ δὲ ὥς φασι τῆς Ἀρκαδίας οἶνος ἐστὶν· ὃς τοὺς μὲν ἄνδρας πινόμενος ἐξίστησι· τὰς δὲ γυναῖκας ἀτοκεῖν ποιεῖ. περὶ δὲ ἐν Ἀχαΐᾳ καὶ μάλιστα περὶ Κερωνείαν ἀμπέλου τι γένος ἐστὶν ἀφ' οὗ ὁ οἶνος ἐξαμβλοῦν ποιεῖ τὰς γυναῖκας ἐγκύμονας οὔσας. κἂν αἱ κύνες φάγωσι τῶν βοτρύων ἐξαμβλοῦσι καὶ αὗται. ἔστι δὲ τῇ γεύσει, οὐθὲ ὁ βότρυς οὐδεμίαν αἴσθησιν ποιεῖ διάφορος, οὐθ' ὁ οἶνος. ἐν Τροιζῆνι δὲ ὁ οἶνος ἀγόνους ποιεῖ τοὺς πίνοντας. ἐν Θάσῳ δὲ αὐτοὶ τινὰ ποιοῦσιν ὑπνωτικὸν οἶνον. ἕτερον δὲ ἀγρυπνεῖν ποιεῖ τοὺς πίνοντας. ἀλλ' αὗται μὲν αἱ δυνάμεις πρὸς τὰ σώματα καὶ ἐν τοῖς σωματικοῖς. πρὸς δὲ τὴν ψυχὴν, τὸ μὲν στρύχνον ὥσπερ παρακινεῖν καὶ ἐξιστάναι καθάπερ ἐλέχθη πρότερον. ἡ δὲ τοῦ οἰνοθήρα ῥίζα δοθεῖσα ἐν οἴνῳ πραοτέρους ποιεῖ καὶ ἱλαρωτέρους τὸ ἦθος. ἔχει δὲ ὁ οἰνοθήρας, τὸ μὲν φύλλον ὅμοιον ἀμυγδαλῇ. πλατύτερον δέ. τὸ δὲ ἄνθος ἐρυθρὸν ὥσπερ ῥόδον. αὐτὸς δὲ μέγας ὡς θάμνος. ῥίζα δὲ ἐρυθρὰ καὶ μεγάλη. ὄζει δὲ αὐανθείσης ὥσπερ οἴνου. φιλεῖ δὲ ὀρεινὰ χωρία. φαίνεται δὲ οὐ τοῦτο ἄτοπον. οἷον ἡ προσφορά τις γίνεται δύναμιν ἔχουσα τοῦ οἰνώδους. ἀλλὰ τὰ εὐηθέστερα καὶ ἀπιθανώτερα, τά τε περὶ τῶν ἀλεξιφαρμάκων λεγομένων, τοῖς τε σώμασι καὶ ταῖς οἰκίαις. καὶ ὡς δή φασι τὸ τριπόλιον καθ' Ἡσίοδον καὶ Μουσαῖον εἰς πᾶν πρᾶγμα σπουδαῖον χρήσιμον εἶναι. διὸ καὶ ὀρύττουσιν αὐτὸ νύκτωρ σκηνὰς πηξάμενοι. καὶ τὰ περὶ τῆς εὐκλείας δὲ καὶ εὐδοξίας ὁμοίως καὶ μᾶλλον. εὐκλεᾶ γάρ φασιν ἀεὶ ποιεῖν τὸ ἀντίρριζον καλούμενον. τοῦτο δὲ ὅμοιόν ἐστι τῇ ἀπαρίνῃ. ῥίζαν δὲ οὐκ ἔχει. ὁ δὲ καρπὸς ὥσπερ μόσχου ῥῖνας ἔχει. τὸν δὲ ἀπὸ τούτου ἀλειφόμενον εὐδοξεῖν. εὐδοξεῖν δέ, καὶ ἐάν τις τῷ ἑλειοχρύσῳ στεφανῶται, μύρῳ ῥαίνων ἐκ χρυσίου ἀπύρου. ἔχει δὲ ὁ ἑλειόχρυσος, τὸ μὲν ἄνθος χρυσοειδές. φύλλον δὲ λευκόν. καὶ τὸν καρπὸν δὲ λεπτὸν καὶ σκληρόν. ῥίζαν δὲ ἐπιπόλαιον καὶ λεπτήν. χρῶνται δὲ αὐτῷ πρὸς τὰ δηκτὰ ἐν οἴνῳ. καὶ πρὸς τὰ πυρίκαυστα κατακαύσαντες καὶ μίξαντες μέλιτι. τὰ μὲν οὖν τοιαῦτα, καθάπερ καὶ πρότερον ἐλέχθη, συνάξειν βουλομένων ἐστὶ τὰς ἑαυ

τῇ τέχνῃ, αἱ δὲ ῥίζαι καὶ τὰ καρπὰ κατὰ τὴν φύσιν. ἐπεὶ πολλὰς ἔχουσι καὶ
παντοίας δυνάμεις, ὅσαι ταὐτὸ δύνανται καὶ τὰς αὐτὰς αἰτίας, ἔτι δὲ
ὅσαι τὰ ἐναντία, διαπορήσειεν ἄν τις. κοινὸν ἴσως ἀπόρημα καὶ ἐ-
φ' ἑτέρων ἀνθρώπων· πότερον ὅσα τὰς αὐτὰς αἰτίας κατὰ μίαν τινὰ δύναμίν
ἐστιν, ἢ καὶ ἑτέρων ἐνδέχεται ταὐτὸ γίνεσθαι. τοῦτο μὲν οὖν ταύτῃ ἀπορή-
σθω. εἰ δέ τινες ἐπάγουσι ταῖς φύσεσιν ἢ τὰς δυνάμεις ἔχουσι μὲν, εἴπομεν, ταῦ-
τα ῥητέον. τὸ δὲ πέπερι, καρπὸς μέν ἐστι, διττὸν δὲ αὐτοῦ τὸ γένος. τὸ
μὲν γὰρ στρογγύλον ὥσπερ ὄροβος, κέλυφος ἔχον καὶ σάρκα καθάπερ
αἱ δαφνίδες, ὑπέρυθρον. τὸ δὲ πρόμηκες, μέλαν, σπερμάτια μηκω-
νικὰ ἔχον. ἰσχυρὸν δὲ πολὺ τοῦτο θατέρου. θερμαντικὰ δὲ ἄμφω. διὸ
καὶ πρὸς τὸ κώνειον βοηθεῖ ταῦτά τε καὶ ὁ λιβανωτός. ὁ δὲ κνίδιος
κόκκος, στρογγύλος, ἐρυθρὸς τῇ χροιᾷ, μεῖζον δὲ τοῦ πεπερίου, ἰσχυ-
ρότερος δὲ πολὺ τῇ θερμότητι. διὸ καὶ ὅταν διδῶσι κατὰ τὸ πόμα (δι-
δόασι γὰρ πρὸς κοιλίας λύσιν) ἐν ἄρτῳ ἢ στέατι περιπλάτ-
τοντες. καίει γὰρ ἄλλως τὸν φάρυγγα. θερμαντικὸν δὲ καὶ ἡ τοῦ
πευκεδάνου ῥίζα. διὸ καὶ ἀλείμματι ποιοῦσιν ἐξ αὐτῆς ἱδρω-
τικόν, ὥσπερ ἐξ ἄλλων. δίδοται δὲ ἡ τοῦ πευκεδάνου καὶ πρὸς τοὺς
σπλῆνας. τὸ δὲ σπέρμα οὐ χρήσιμον, οὐδὲ ὁ ὀπὸς αὐτῆς. γίνεται δὲ ἐν
ἀρκαδίᾳ. δαῦκον δὲ περὶ τὴν σπαρτικὴν τῆς ἀχαΐας διαφέ-
ρον θερμαντικὸν φύσει. ῥίζαν δὲ ἔχει μέλαιναν. θερμαντικὸν δὲ
καὶ δριμὺ καὶ τῆς ἀμπέλου τῆς ἀγρίας ἡ ῥίζα. διὸ καὶ εἰς ψί-
λωθρον χρήσιμον, καὶ ἐφηλίδας ἐπάγει. τὰ δὲ καρπῶν ψιλοῦ-
σι τὰ δένδρα. τέμνεται δὲ πᾶσαν ὥραν, ὀπώρας δὲ μάλιστα.
δρακοντίου δὲ ῥίζα, βῆχας ἐν μέλιτι διδομένη καὶ πεύψει χρησίμη.
καυλὸν δὲ ἔχει ποικίλον ὀφιώδη. σπέρματι δὲ οὐ χρῶνται.
ἡ δὲ τῆς θαψίας ἐμετική. ἐὰν δέ τις κατάσχῃ, καθαίρει
καὶ ἄνω καὶ κάτω. δύναται δὲ καὶ τὰ πελιώματα ἐξαίρειν
ὑπώπια δὲ ποιεῖ. ἀλλὰ ἐκλευκαίνει. ὁ δὲ ὀπὸς ἰσχυρότερος αὐτῆς.
καθαίρει δὲ καὶ ἄνω καὶ κάτω. σπέρματι δ' οὐ χρῶνται. γίνεται
δὲ καὶ ἄλλοθι μὲν, ἀτὰρ καὶ ἐν τῇ ἀττικῇ. καὶ τὰ βοσκήματα

ταύτης

ταύτης οὐχ ἅπτεται τὰ ἐγχώρια· τὰ δὲ ξένα βόσκεται· καὶ διάρροια αὐτοῖς γίνεται· ἢ διαφθείρεται. τὸ δὲ πολυτρόσιον μετὰ τὰ ὕδατα αἰεὶ βάλλει· σπέρμα δὲ οὐ φύει. τὸ δὲ τῆς ἐβένου ξύλον, καὶ ἔτι μᾶλλον τὸ πρόσοψιν ὅμοιον πύξῳ· φλοιωθὲν δέ, μέλαν γίνεται· χρήσιμον δὲ πρὸς ὀφθαλμοὺς ἀκόνῃ τριβόμενον. ἡ δὲ ἀριστολοχία, παχεῖα, ἐάθι ὁμοίη, πικρά· τῷ χρώματι μέλαινα εὔοσμος· τὸ δὲ φύλλον στρογγύλον· οὐ πολὺ δὲ τὸ ὕψος ὑπὲρ τῆς γῆς· φύεται δὲ μάλιστα ἐν τοῖς ὄρεσι· καὶ αὕτη βελτίστη. τῇ δὲ χρείᾳ αὐτῆς εἰς πολλὰ καταριθμοῦσιν· ἀρίστη μὲν πρὸς τὰ κεφαλόθλαστα· ἀγαθὴ δὲ πρὸς τὰ ἄλλα ἕλκη, καὶ πρὸς ὕπνον, καὶ πρὸς τὰ ἑρπετά, καὶ πρὸς ὑστέρας ὥστε πεσσός· τὰ μὲν σὺν ὕδατι ἀρδευομένη καταπλαττομένη· τὰ δὲ ἄλλα εἰς μέλι ξυομένη ἐν ἐλαίῳ· τοῖς δὲ ἑρπετοῖς ἐν οἴνῳ ὀξίνῃ πινομένη καὶ ἐπὶ τὸ δῆγμα πλαττομένη· εἰς ὕπνον δὲ ἐν οἴνῳ μέλανι αὐστηρῷ κριμνισθεῖσα· ἐὰν δὲ αἱ μῆτραι προπέσωσι, τούτου ὕδατι ἀποκλύζειν. αὕτη μὲν οὖν ἔοικε διαφέρειν τῇ πολυχρηστίᾳ. τοῦ δὲ σκαμμωνίου ὥσπερ ἐξ ἐναντίου ὁ ὀπὸς μόνον χρήσιμος· ἀγαθὸν δ' οὐδέν. ἡ δὲ τοῦ πτελεΐδου ῥίζα μόνου τῷ χυλῷ γλυκύστρυφνος· ἕλμινθα δὲ πλατεῖαν ἐκβάλλει· σπέρμα δὲ οὐκ ἔχει οὐδὲ ἄνθος· τέμνεσθαι δὲ ὡραίαν, μετοπώρου φασίν. ἡ δὲ ἕλμις σύμφυτος ἐνίοις ἔθνεσιν· ἔχουσι γὰρ ὥσπερ αἰγύπτιοι, ἀράβιοι, ἀρμένιοι, μετὰ δὲ σύροι, κίλικες· θρᾷκες δ' οὐκ ἔχουσιν, οὐδὲ φρύγες. τῶν δὲ ἑλλήνων θηβαῖοί τε οἱ περὶ τὰ γυμνάσια καὶ ὅλως βοιωτοί· ἀθηναῖοι δ' οὔ. πάντων δὲ τῶν φαρμάκων ὡς ἁπλῶς εἰπεῖν βελτίω τὰ ἐκ τῶν χειμερινῶν καὶ προσβόρρων καὶ ξηρῶν· διὸ καὶ τὰ ἐν εὐβοίᾳ τὰ ἐν ταῖς αἰγαῖς, ἢ τὰ ἐν τῷ τελεθρίῳ φασὶ ξηρότερα γάρ· τὸ δὲ τελέθριον σύσκιον.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΔΥΝΑΜΕΩΣ ῬΙΖΩΝ ΤΟ Κʹ.

Περὶ δὲ τῶν ῥιζῶν, ὅσαι φαρμακώδεις καὶ ὁ ποίας ἔχουσι δυνάμεις, εἴτε ἐν αὐταῖς, εἴτε ἐν τοῖς ὀποῖς, ἢ καὶ ἐν ἄλλῳ τῳ τῶν μορίων, ἢ καὶ τὸ ὅλον ἔτι φρυγα

μικὸν ἢ πρῶδες ἔχει τοιαύτας δυνάμεις, καὶ περὶ τῶν χυλῶν τῶν εὐόσμων, καὶ τῶν ἀόσμων, ποιοῦσι διαφοράς, αἵπερ μάλιστα ὅθεν ἧττον φυσικαί· τῆς ῥιζῶν, πλείους μέν εἰσιν αἱ δυνάμεις ἐπὶ τῶν πλείω· ζητοῦνται δὲ μάλιστα αἱ φαρμακώδεις ὡς χρησιμώταται· διαφέρουσαι, τῶ τε μὴ περὶ ταῦτα ἐπὶ τῶν μὲν ἐν τῷ αὐτῷ ἔχειν τὰς δυνάμεις· ὥσπερ εἴρηται μικρῷ πρότερον· ὡς δ' οὖν ἐπίπαν αἱ πλεῖσται μὲν ἐν αὐτῷ ἔχουσι· καὶ τῷ καρπῷ καὶ τῷ ὀπῷ· ἔνιαι δὲ καὶ ἐπὶ τῶν φύλλων· χυλώδεις δὲ ταῖς τε φυλλώδεις δυνάμεις τὰς πολλὰς πόας καλοῦσιν οἱ ῥιζοτόμοι.

Ταῦτα μόνα τοῦ δεκάτου ἐν τοῖς ἀντιγράφοις εὑρήκαμεν· εἰ μὴ ἄρα περὶ ἐννάτῳ συγκέχυνται τὰ λοιπά.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΑΙΤΙΩΝ ΤΟ Α.

ΤΩΝ φυτῶν αἱ γενέσεις, ὅτι μέν εἰσι πλείους, καὶ πόσαι, καὶ τίνες, ἐν ταῖς ἱστορίαις εἴρηται πρότερον· ἐπεὶ δὲ οὐ πᾶσιν οἰκείως ἔχει διελθεῖν, τίνες ἑκάστοις καὶ διὰ ποίας αἰτίας οὐχ αἷς χρώμενοί γε ταῖς κατὰ τὴν ἰδίαν οὐσίαν· εὐθὺ γὰρ χρὴ συμφωνεῖν ἀεὶ τοὺς λόγους τοῖς εἰρημένοις· ἡ μὲν οὖν ἀπὸ σπέρματος γένεσις, κοινὴ πάντων ἐστὶ τῶν ἐχόντων σπέρμα· πάντα γὰρ δύναται γεννᾶν· τοῦτο δὲ καὶ τῇ αἰσθήσει φανερὸν ὅτι συμβαίνει· κατὰ δὲ τὸν λόγον ἴσως ἀναγκαῖον· ἡ γὰρ φύσις οὐδὲν ποιεῖ μάτην, ἥκιστα δὲ ἐν τοῖς πρώτοις καὶ κυριωτάτοις· πρῶτον δὲ καὶ κυριώτατον τὸ σπέρμα· ὥστε τὸ σπέρμα μάτην ἂν εἴη μὴ δυνάμενον γεννᾶν, εἴπερ τούτου χάριν ἀεὶ τὸ σπέρμα· ἐπεὶ καὶ τοῦτο πέφυκεν

ὅπερ

ὅπερ ἐκ τῶν ἄλλων πάντων λαμβάνειν ἔστιν ὁμολογουμένων. ἀλλὰ
διὰ τὸ μὴ χρῆσθαι τοὺς γεωργοὺς ἐπὶ τούτου ὅτι θᾶττον ἀπὸ φυτευμάτων πα-
ραγίνεται· τὰ δὲ διὰ τὸ μὴ εἶναι καρπὸν ἐπί τινων λαμβάνειν μήτε τοῦ δένδρου μή-
τε τοῦ πρώτου τὰ σπέρματα, διὰ τοῦτ' οὐκ οἷον ταύτην πάνυ ἀπὸ τοῦ σπέρ-
ματος ἐνδέχεσθαι· καίτοι καθάπερ ἐν τοῖς ἱστορίαις εἴρηται, φανερώτα-
την τῆς συκῆς. ἔτι δὲ κατὰ τοῦτον τὸν τρόπον ἡ βλάστησις αὐτῶν, εἰ μή τι τῶν αὐ-
τομάτων ἐκ συρροῆς καὶ σήψεως, μᾶλλον δὲ ἀλλοιώσεως γινο-
μένης φυσικῆς. ὅτι μὲν οὖν κοινὴ πᾶσιν ἡ διὰ τοῦ σπέρματος
γένεσις, φανερόν. εἰ δὲ ἀμφοτέρως ἔνια καὶ αὐτόματα καὶ ἐκ σπέρ-
ματος, οὐδὲν ἄτοπον· ὥσπερ καὶ ζῷά τινα καὶ ἐξ ἀλλήλων καὶ ἐκ τῆς γῆς.
διὸ καὶ αἱ γενέσεις κατὰ τὰς ἰδίας ἑκάστων φύσεις. ὅσα μὲν οὖν ξηρὰ καὶ μονο-
φυῆ καὶ ἀπαράβλαστα, αὐτοῦ οὐδεμίαν ὡς εἰπεῖν δέχεται φυτείαν, οὔτε ἀ-
πὸ παρασπάδος, οὔτε ἀπὸ ἀκρέμονος. τὸ μὲν ἀπὸ παρασπάδος, τῷ μὴ
ἔχειν τὰ μονοφυῆ. τὴν δ' ἀπὸ ἀκρέμονος, καὶ κλωνὸς, διὰ τὴν ξηρότη-
τα. ἀεὶ γὰρ τὸ μέλλον βλαστάνειν ἔχειν τι δεῖ τὴν ἔμβρυον ὑγρότητα,
καὶ ταύτην δύνασθαι τηρεῖν. τὰ δὲ φύσει ξηρὰ, διὰ τὸ ὀλίγον ἔχειν, ὅταν
ἀπὸ τοῦ δένδρου ἀφαιρεθῇ, ταχὺ διαπνεῖται καὶ ἀτμίζεται, συνεξάγε-
ται μετὰ καὶ τὸ σύμφυτον θερμόν. καὶ αὕτη μὲν διὰ τὴν ἐρημίαν αἰτία. τὰ δὲ ἀ-
παράβλαστα, συμμετρίᾳ τινὶ τοῦ θερμοῦ καὶ ὑγροῦ, καὶ μονοφυῆ δέχεται
καὶ τὰς ἄλλας δύναται τηρεῖν τὴν ὑγρότητα καὶ θερμότητα τὴν
σύμφυτον. ὥστε βλαστάνειν καὶ μόνον ἀπὸ παρασπάδος ἀλλ' ἔνια
καὶ ἀπὸ τῶν ἀκρεμόνων· οἷον συκῆ· καὶ ἄμπελος· καὶ τῶν ἀκάρπων ἔνια· φιλύ-
ρα· ὥσπερ ἰτέα· καὶ ἀκτῆ· καὶ λεύκη· καὶ αἴγειρος. καθόλου μὲν οὖν ἐν τύπῳ
τοῦτον διωρίσθω τὸν τρόπον. οὐ μὴν ἀλλὰ μάλιστα μόνον τῶν ξηρῶν καὶ μονοφυῶν καὶ ἀ-
παραβλαστῶν ὁ φοῖνιξ, δέχεται καὶ ἑτέρας γενέσεις παρὰ τὴν σπερματικήν.
τούς τε γὰρ ῥάβδους φασὶ μοσχεύειν περὶ Βαβυλῶνα τὰς ἁπαλωτάτας.
καὶ ὅταν ἐμβιώσωσι μεταφυτεύουσι. καὶ ἐν τοῖς περὶ τὴν Ἑλλάδα τό-
ποις ἐὰν ἀποκόψας τις ἄνω φυτεύσῃ, ῥιζοῦσι· καὶ βλαστάνειν οὐκ ἀ-
πὸ τοῦ ἐγκεφάλου μόνου, ἀλλὰ καὶ κάτωθεν αὔξειν τὰς ῥίζας. ἔτι δὲ αὐ-
πλεῖον ἐν ᾧ καὶ ἔνικμος ἡ γῆ τυγχάνῃ, πολλαχόθεν ῥιζοφυεῖν καὶ

ἐκβλαστάνειν. οὐ μήν τοι μέγεθος τοῦτο λαμβάνει. ἐπὶ δὲ πεύκης, καὶ ἐλάτης, καὶ εἴ τι παραπλήσιον τούτοις, τοιοῦτον συμβαίνει οὐδέν. οὐδ' ἐπὶ κυπαρίσσου. πλὴν εἴ τί που ἄρα παραβλαστάνει. καθάπερ φασὶν ἐν κρήτῃ περὶ τοὺς καλουμένους δρυΐτας. ἐνταῦθα γὰρ ἄλογον οὐδέν, ὥστε καὶ τὰς ἄλλας παραφυάδας ὑπερρίζους οὔσας καὶ ἐνύδρους καὶ ταύτας βλαστάνειν. ἐπεὶ εἴ γε μὴ ἦσαν ὑπόρριζοι, χαλεπὸν ἢ ἀδύνατον. τοῦτο μὲν οὖν ὡς πρὸς ὑπόθεσιν λεγόμενον. ὁ δὲ φοῖνιξ, ἀπὸ μὲν τῶν ῥάβδων κλαστάνει, χώρας ἰδιοσίᾳ καὶ εὐφυΐᾳ πρὸς τὸ θᾶττον κλαστάνειν. τὸ δὲ ἀπὸ τῶν ἀπαλοτάτων, εὔλογον εἰς ὑγρότητα τοιαῦτα καὶ ζημιτικώτατα. ἀπὸ δὲ τοῦ ἐγκεφάλου διὰ τῶν ὑποκάτω μάλιστα· οὐδὲ τοῦτ' ἄλογον. ἐνταῦθα γὰρ καὶ ἡ τῶν ῥάβδων φύσις. καὶ ὅλως οἷον ἀρχή τις αὕτη ζωτική. διὸ καὶ ἐξαιρουμένου καὶ τμήσαντος, θνήσκει. ἐπεὶ καὶ ἡ ἐκ τῶν πλαγίων ἔκφυσις, ἔχοντος οὐδὲ τὸν ἐγκέφαλον. ἐξαιρουμένου γὰρ ἀναιρεῖσθαι κατὰ λόγον. εἰ πρὸς καὶ πεφυκότος καὶ ἐρριζωμένου οὕτω συμβαίνει. ἡ δὲ ἔκφυσις, δῆλον ὅτι πανταχόθεν· πανταχοῦ γὰρ διαμένει μέχρι τινὸς ἡ ὑγρότης καὶ ἡ θερμότης. διὰ τὸ μὴ ἀξήραντον εἶναι τῇ πυκνότητι τῶν πόρων. διὸ καὶ δυσίατόν ἐστιν. ὁ μὲν οὖν φοῖνιξ διὰ ταῦτα πλεοναχῶς γίνεται. τῶν δὲ ἄλλων τῶν ὁμοφυῶν οὐδέν. διὰ τὸ μὴ τοιαύτην ἔχειν τὴν φύσιν. ὅσα δὲ πλείους γίνονται τρόπους, ἔχει καὶ ἐν αὐτοῖς διαφοράν. τὰ γὰρ ἀπὸ παρασπάδος καὶ ῥίζης καὶ κλωνὸς, οὐ πάντως δύναιντ' ἂν καὶ ἀπὸ ξύλου καὶ ἀπὸ ἀκρέμονος. καθάπερ ἄμπελος. καὶ συκῆ. τὰ δὲ πάλιν ἀπὸ τῶν βλαστῶν. ὥσπερ καὶ ἡ ἐλαία. τὸ δὲ αἴτιον ἐν ἀμφοῖν, ταυτὸν καὶ παραπλήσιον. ἀμπέλου μὲν γὰρ καὶ συκῆς ἄρα τῶν ἄλλων τῶν τοιούτων, ξηρὰ καὶ ξυλώδη τὰ μέσα. καὶ ἐνίων τραχύ. τὸ δὲ τραχύ, δυσβλαστές. τὰ δὲ ἄκρα, ἁπαλὰ καὶ ἔνυγρα. καθάπερ τὸ κλῆμα καὶ ἡ καρδία. καὶ ἐπὶ ἰτέας δὲ καὶ τῶν ἄλλων ὁμοίως. ἐλαίας δὲ, τὰ μὲν τῶν ἀκρεμόνων ἔνικμα, διὰ τὴν λιπαρότητα καὶ πυκνότητα. ἄρα ἀμφοτέρων ἀξήραντα. τὰ δὲ ἄκρα διὰ λεπτότητα

τα ξηρὰ καὶ

τα, ξηρὰ καὶ οὐ δυνάμενα διαμένειν. ὡσαύτως καὶ ἀπὸ τῶν ἀ-
μυγδάλης, καὶ μηλέας, καὶ δάφνης, καὶ ἄλλων. ἀβλαστῆ γὰρ τὰ τού-
των, διὰ τὴν αὐτὴν αἰτίαν. πλὴν καὶ ἔστι σπάνιον καὶ ὡς παρὰ
λόγον. καὶ γὰρ τὸ ἀπὸ τῶν ἀκρεμόνων ἐνίων, σπάνιον. οἷον ἀμυγδάλης.
δάφνης δὲ ἀδύνατον. ἐπεὶ οὐδὲ ἀπὸ παρασπάδος ἐθέλει ῥᾳ-
δίως. αἰτία δ' ὥσπερ ἐλέγομεν ἡ ξηρότης, καὶ πρὸς τούτῳ ἔτι ἡ πυ-
κνότης. ἀσθενέστερον γὰρ καὶ πρὸς τὸ διατηρῆσαι ἐπὶ πλεῖον τὸ μᾶλ-
λον. ὅσα δὲ καὶ ἀπὸ ξύλων ἔμβια καὶ δύναται βλαστάνειν, οἷον, ἐλαία
μύρρινος. κότινος. καὶ αὐτὰ τῇ πυκνότητι καθάπερ ἐλέχθη τη-
ρεῖν τὴν ζωτικὴν ἀρχὴν, ἔχειν τά τινα ὑγρότητα τοιαύτην. οὐ γὰρ
ἱκανὸν ἐὰν ᾖ πυκνόν γε ἢ ξηρὸν καὶ ἀπαρ ἄβλαστον. ἐπεὶ δὲ καὶ ἡ παρα-
βλάστησις τῶν τοιούτων. διὰ τὸ πρεμνῶδες καὶ ξυνεστραμμένην πως εἶ-
ναι τὴν ῥίζαν, ὥσπερ καὶ τῆς δάφνης. ἰσχύει γὰρ μᾶλλον, ἢ καὶ δυσώλεθρα
τὰ τοιαῦτα. τὸ γὰρ κατὰ λόγον μὴ ἀεὶ βλαστητικόν. τῶν δὲ μακρορρί-
ζων, διὰ τὴν τῶν ῥιζῶν ἰσχύν. ὥσπερ ἀπιοῦ. καὶ κοκκυμηλέας. καὶ ἑτέρων.
τάχα δὲ καθόλου περὶ πάντων ὧδε λεκτέον. πρῶτον μὲν ὅτι με-
τέωρα καὶ οὐ βαθύρριζά ἐστι, εἰ καί τινας εἰς βάθος καθιᾶσιν, ἀλ-
λὰ ῥίζας καὶ τὰς ἐπιπολῆς. ἔπειτα ὅτι πάντων, ὅταν συρροῆς γινομέ-
νης συνθερμανθῇ τοῦτο, καὶ πεμφθὲν ὑπὸ τοῦ ἡλίου καθάπερ κυή-
σαν ἐκτέκῃ. καὶ γὰρ ἐκ τῶν ἀκρεμόνων, οὕτω καὶ ἐκ τῶν ἄλλων οἱ βλαστοί.
τούτων δὲ ὑποκειμένων, κατὰ λόγον ἤδη τὸ παραβλαστάνειν. ἡ γὰρ ῥίζα με-
τέωρος οὖσα καὶ συρροὴν λαμβάνουσα, ταύτην ἐκθερμαίνουσα καὶ
πέττουσα, μεθίησι τὸν βλαστόν. τὰ μὲν οὖν πλεῖστα παρ' αὐτὸ τὸ στέ-
λεχος ἐκβλαστάνει. μετεωρότατα γὰρ αὗται. καὶ ἥ γε ἐλαία καὶ ἐκ
τῶν πρέμνων. ἄτοπος δὲ καὶ ῥόα, καὶ ὅσα μὴ μόνον σύνεγγυς, ἀλλὰ διὰ
πολλοῦ μακρόρριζα ὄντα, ἢ ὧν ἂν ἡ ῥίζα μετέωρος ᾖ, ταύτῃ τὸν
βλαστὸν ἀφίησι. ἐνταῦθα γὰρ ἡ συρροὴ καὶ πέψις θερμαινομένης.
διὸ καὶ ἄτακτος ὁ τόπος. ἄτακτος ὁ μετεωρισμὸς καὶ ἡ συρροή. τὰ
δὲ ἐξ ἄνω καὶ ῥίζωα καθάπερ αἴγειρος καὶ λεύκη. καὶ συμπληροῦν δύ-
ναται βλαστάνειν. τὰ δ' ἄλλα οὐχ ὁμοίως, ἀλλ' ἐπὶ τῶν ὑλημάτων καὶ πο-

ὅσων ἐνίων τοῦτο συμβαίνει. πρὸς ἃ καὶ δεῖ μεταβῆναι τὸν λόγον. ὑπὲρ γὰρ τῶν δένδρων ἱκανῶς εἴρηται. φύτων δὲ τὰς μὲν γενέσεις ἐκ τῶν αὐτῶν θεωρητέον, κοινοτάτην πᾶσι τὴν ἀπὸ σπέρματος τιθέντας. οὐ μὴν ἀλλὰ καὶ πλείους εἰσὶ καὶ τούτων. εἰ δὲ ἑκάστῳ τῶν προειρημένων ἐφάπτεται, ταύτῃ διαιρετέον. οἷον ὑπὲρ ἧς νῦν λέγομεν τῆς ἀπὸ τῶν ῥιζῶν. ἔνια γὰρ καὶ αὐτόματα βλαστάνει, καὶ φυτεύουσιν ἀπὸ τῶν ῥιζῶν. ὥσπερ τὰ κεφαλόρριζα, καὶ ὅλως ὧν παχεῖα καὶ σαρκώδης ἐστὶν ἡ ῥίζα. δεῖ δὲ καὶ τὸ μὲν ὑδατῶδες μηδεμίαν ἔχειν. ὥσπερ τῆς γογγυλίδος καὶ ῥαφανίδος. οὐ ξηραντοὶ γὰρ αὗται καὶ ἀσθενεῖς εἰς διαμονήν. ἀλλ᾽ ἤτοι χιτῶνας ἔχειν πλείους καὶ ἅμα γλισχρότητά τινα καθάπερ καὶ τοῦ βολβοῦ, καὶ σκίλλης. ἢ ὅλως ξυλώδη τινὰ καὶ ἄσαρκον εἶναι καθάπερ αἱ τοῦ ἀμαράκου τοῦ χλωροῦ καὶ τοῦ λειρίου καὶ τῶν ὁμοίων. αἱ γὰρ τοιαῦται φυτείαν μόνον δέχονται καὶ μετάρσιν. καὶ τούτων αἱ μὲν, καὶ πλείω χρόνον διαμένουσιν. αἱ δὲ, ἐλάττω κατὰ τὰς ἰδίας φύσεις ἑκάστου. ἄλλαι δὲ οὖν πάλιν εἰσί τινες, αἳ μένουσαι μὲν ἐν ταῖς ἑαυτῶν χώραις ἀφιᾶσι βλαστόν. οἷον αἱ τῶν ἐπετειοκαύλων. μεταιρόμεναι δὲ οὐ δύνανται διὰ τὴν ξηρότητα. τὴν γὰρ αὐτὴν αἰτίαν ὑποληπτέον καὶ ἐπὶ τούτων, ἥνπερ ἐπί τινων. ἔστι δέ τινων καὶ ἀπὸ παρασπάδος, καὶ ἀπὸ τοῦ ἄκρου φύτευσις καὶ γένεσις. ἀπὸ παρασπάδος μὲν, ῥαφάνου καὶ πηγάνου. τῶν δὲ στεφανωτικῶν, οἷον ἀβροτόνου καὶ σισυμβρίου καὶ ἑρπύλλου. καὶ ἀπὸ τῶν ἄλλων ἐνίων τῶν αὐτῶν πηγάνου τε καὶ ἀβροτόνου καὶ τῶν στεφανωτικῶν. καὶ γὰρ ἔχει ταῦτά γε, καὶ καθίησιν εὐθὺς ῥίζας ἐκ τῶν βλαστῶν, ὥσπερ ὁ κιττός. οὗτος γὰρ δὴ μάλιστα ὅλως ἔμβρυος, καὶ εἰσδυόμενος εἰς αὐτὰ τὰ δένδρα, καὶ ἐν τῇ γῇ κρυπτόμενος. τῶν δὲ λαχανωδῶν, τὸ ὤκιμον. καὶ γὰρ τοὺς ἀπὸ φυτείας ἐκ τῶν ἄνω δέχεται. καίπερ ξυλῶδες ὄν, ἀλλ᾽ ἔτι δυσξήραντόν ἐστι, ταύτῃ φύεται. διὸ καὶ πολὺν χρόνον διαμένει. καὶ κολουόμενον, πάλιν βλαστάνει. ξυλῶδες δὲ καὶ τὸ ἀβρότονον. ἀλλ᾽ ἔχει τινὰ τῇ πυκνότητι καὶ δρι-

μύτητι

μύτητι φυλακήν· ὥσπερ ὁ κιττός· καὶ οὕτω φύεται καταπη-
γνύμενος· αὗται μὲν οὖν κοιναὶ πλειόνων· αἱ δὲ τοιαῦται καὶ σπά-
νιαι καὶ ἐλάττους· ὥσπερ τῆς κειμωνίας καὶ ῥοδωνίας· καὶ ὁ
κάλαμος ὀκλαθεὶς φύεται καὶ βλαστάνει· ταῦτα δὲ ὅμοια καὶ πα-
ραπλήσια, καὶ τὰ περὶ ἐλαίας, καὶ εἴ τι ἄλλο βλαστητικὸν ἀπὸ τοῦ
ξύλου· διὸ καὶ ὑπὸ τὴν αἰτίαν πίπτειν δύναται, καὶ διατηρεῖν τὴν ὑ-
γρότητα καὶ θερμότητα τὴν γόνιμον· καὶ τό τι κατακόπτειν καὶ κατα-
ξέειν ἄλογον· ἐκ γὰρ τοῦ ἐλάττονος καὶ αὐξεῖ μὲν οὖν, θᾶττον ἡ ἀρχὴ καὶ
εὐκολωτέρα· τὸ δὲ μέγα καὶ συμπεπτωκός, οὐχ ὁμοίως παθητικὸν
οὐδὲ βλαστητικόν· διὸ καὶ τὰ σκόροδα διαιροῦσιν εἰς τὰς γέλ-
γεις· καὶ τοῦ κρομμύου ἀφαιροῦσι τὰς ῥίζας τὰς κάτω καὶ τὰ κελύφη·
ταῦτα γὰρ παρέχει πᾶν τὸ ἀλλότριον· ἀλλότριον δὲ τῷ ζωτικῷ, τὸ μὴ
ζῶν· ὥσπερ καὶ τῶν δένδρων τὰ ἀφαυαινόμενα· τῆς μὲν οὖν γε
ἐλαίας καὶ τῶν μυρρίνων οὐ δεῖ περιαιρεῖν τὸν φλοιόν· ἀποστέ-
γει γὰρ καὶ τηρεῖ τὴν ζωήν· τῶν δὲ κρομμύων καὶ σκορόδων γε
δεῖ, διὰ τὸ μὴ τοὺς ζῶντας μηδὲ τοὺς κυοῦντας ἀφαιρεῖν· ἐπεὶ
κἀκείνων εἴ τις ἀφαιρέει τούτους, βλαστάνουσιν· ἰδιωτάτη δὲ βλά-
στησις ἡ ἐκ τῶν δακρύων· οἷον τοῦ θ' ἱπποσελίνου· καὶ τοῦ κείνου,
καὶ ἐνίων ἑτέρων· οὐκ ἄλογος δὲ ἀλλ' ὁμολογουμένη τῇ ἐκ τῶν
καυλῶν· οὐδὲν γὰρ ἕτερον, ἀλλ' ἢ ξυνηθροισμένοις δεῖ εἶναι, καὶ τὴν
ἐκεῖθεν ἀρχὴν τὴν γόνιμον· οὐ γὰρ ἄνευ θερμότητος· ἡ τοι-
αύτη ὑγρότης· ὅτι δ' οὐ πάντων οἱ ὀποὶ καὶ τὰ δάκρυα γε-
νητικά, πρὸς τὰς ἐπάνω καὶ προτέρας αἰτίας ἀνενεκτέον· ὅτι
οὐδ' οἱ καυλοί, οὐδ' αἱ ῥίζαι· κατὰ λόγον δὲ καὶ τοῦτό ἐστιν, ὅπερ ἐλέχθη
πρότερον· ὅτι πλείους αἱ γενέσεις καὶ τῶν ἄλλων ἢ τῶν ἀγρίων, ῥᾷδιον γεν-
νῶσαι τὰ ἀτελέστερα, καὶ ἀπ' ἐλάττονος ἀρχῆς· αἱ μὲν οὖν ἐκ τῶν μορί-
ων, ὁποῖαι καὶ διὰ τίνας αἰτίας, ἐκ τούτων θεωρείσθω· καὶ γὰρ εἴ τι παραλέ-
λειπται, προσθεῖναι καὶ συνιδεῖν οὐ χαλεπόν· αἱ δ' αὐτόματοι, γί-
νονται μὲν ὡς ἁπλῶς εἰπεῖν τῶν ἐλαττόνων, καὶ μάλιστα τῶν ἐπετείων καὶ
ποωδῶν· οὐ μὴν ἀλλὰ καὶ τῶν μειζόνων ἐστὶν ὅτι συμβαίνουσιν, ὅταν ἢ ἐπομ-

βρίαι κατάσχωσιν, ἢ ἄλλη τις ἰδιότης γένηται περὶ τὸν ἀέρα καὶ τὴν
γῆν· οὕτω γὰρ καὶ τὸ σίλφιον ἀνατεῖλαί φασιν ἐν Λιβύῃ, πιττώ-
δους τινὸς ὕδατος γενομένου καὶ παχέος· καὶ τὴν ὕλην ἣν νῦν
οὖσαν δι' ἑτέρας τινὸς τοιαύτης αἰτίας· οὐ γὰρ εἶναι πρότερον. αἱ δ' ἐ-
πομβρίαι, τε σήψεις τινὰς ποιοῦσι καὶ ἀλλοιώσεις, ἐπὶ πολὺ διικνουμέ-
νου τοῦ ὑγροῦ· καὶ τρέφειν τε ἐπαυξάνειν δύναται τὰ συνιστάμενα
θερμαίνοντος τοῦ ἡλίου καὶ καταξηραίνοντος· ὥσπερ τε τὴν τῶν
ζώων γένεσιν οἱ πολλοὶ ποιοῦσιν. εἰ δὲ δὴ καὶ ὁ ἀὴρ σπέρματα δί-
δωσι συγκαταφέρων, ὥσπερ φησὶν Ἀναξαγόρας, καὶ πολλῷ μᾶλ-
λον· ἅμα γὰρ ἂν ποιοῖεν ἀρχὰς καὶ τροφάς. ἔτι δ' οἱ ποταμοὶ καὶ
αἱ συρροαὶ τε ἐκρήγματα τῶν ὑδάτων πολλαχόθεν ἐπάγουσαι
σπερμάτων τε δένδρων καὶ ὑλημάτων· διὸ καὶ αἱ μεταστάσεις τῶν
ποταμῶν πολλοὺς τόπους ποιοῦσιν ὑλώδεις τοὺς πρότερον
ἀνύλους. ἀλλ' αὗται μὲν οὐκ αὐτόματοι δόξαιεν ἄν· ἀλλ' ὥσπερ
σπειρόμεναί τινες ἢ φυτευόμεναι· τὸ δὲ τῶν καρπῶν, οἷον θείη τις
ἂν μᾶλλον αὐτόματον εἶναι, μήτε φυτευομένων μήτε ἀπὸ
σπέρματος γινομένων· ὅπερ δὴ ἀναγκαῖον μὴ δι' ἑτέρου τούτων·
ἀλλὰ μή ποτ' οὐκ ἦν τοῦτ' ἀληθὲς ἐπί γε τῶν μειζόνων· ἀλλὰ μᾶλλον
λανθάνουσιν αἱ πᾶσαι τῶν σπερμάτων φύσεις, ὅπερ καὶ ἐν ταῖς ἱ-
στορίαις ἐλέχθη περί τε τῆς ἰτέας καὶ τῆς πτελέας. ἐπεὶ καὶ τῶν ἐλαττόνων
πολλοὶ διαλαμβάνουσι τῶν ποωδῶν· ὥσπερ καὶ περὶ τοῦ θύμου καὶ ἑ-
τέρων ὡς εἴπομεν, κατὰ μὲν τὴν ὄψιν οὐ φανερά, κατὰ δὲ τὴν
δύναμιν φανερά· σπειρομένων γὰρ τῶν ἀνθῶν γίνεται· καὶ δυσ-
όρατα καὶ μικρά· καὶ τῶν δένδρων ἔνια σπέρματα τυγχάνει·
καθάπερ καὶ τὸ τῆς κυπαρίττου· ταύτης γὰρ ὁ ὅλος ὁ καρπὸς σφαι-
ροειδής ἐστιν· ἀλλὰ τὸ ἐγγινόμενον ἐν τούτῳ λεπτὸν καὶ ὥσπερ
πιτυῶδες τε ἀμενηνόν· ἅπερ ἐκπέταται διαχασκόντων τῶν
σφαιρῶν· διὸ καὶ ἐμπείρου τινός ἐστι συλλέξαι τὴν θεωρίαν προ-
ρατηρῶν αὐτὸ τὸ σπέρμα γνωρίζειν δυνάμενον· ἐπὶ πολλῶν μὲν
οὖν καὶ τοῦτο συμβαίνει· καὶ μάλιστα ὅσα συνεχῶς ἐν ταῖς ὕλαις

ταῖς

ταῖς ἀγρίαις καὶ τοῖς ὀρεσίν ἐστιν. οὐ γὰρ ῥᾴδιον αὐτομάτως συνισταμένων διαμένειν τὸ συνεχές· ἀλλὰ δυοῖν θάτερον, ἢ ἀπὸ ῥίζης ἢ ἀπὸ σπέρματος βλαστάνειν. ὀλίγα δὲ ἄκαρπα τῶν ὁμογενῶν οἱ ὑλοτόμοι φασὶν εἶναι ταῦτα, ἤτοι λανθάνειν εἰκός, ἢ διὰ τὸ καταναλίσκειν εἰς ἄλλα τὴν τροφὴν ἄκαρπα γίνεσθαι, καθάπερ τὰς ἀμπέλους τὰς τραγώσας, ὃ καὶ ἄλλοις τισὶ τοῦτο συμβαίνει γινόμενον, ἐπὶ τῶν καρπίμων ἢ καρποφόρων. τί δὴ κωλύει τοῦτο συμβαίνειν ἐπὶ τῶν ὅλων ὥσπερ τηρουμένων πρὸς καρπογονίαν. ἀλλὰ τοῦτο μὲν ὡς ἐπιδοξαζόμενον εἰρήσθω. δεῖ δὲ ἀκριβέστερον ὑπὲρ αὐτοῦ σκέψασθαι καὶ ἀνιστορῆσαι τὰς αὐτομάτους γενέσεις. ὡς δὲ ἁπλῶς εἰπεῖν, ἀναγκαῖον γίνεσθαι διαθερμαινομένης τῆς γῆς, καὶ ἀλλοιουμένης τῆς ἀθροισθείσης μίξεως ὑπὸ τοῦ ἡλίου· καθάπερ ὁρῶμεν καὶ τὰς τῶν ζῴων.

Λοιπὸν δὲ εἰπεῖν ὑπὲρ τῶν ἐν ἄλλοις γενέσεων, οἷον τῶν κατὰ τὰς ἐμφυτείας καὶ τοὺς ἐνοφθαλμισμούς. ἁπλοῦς δέ τις λόγος καὶ σχεδὸν εἰρημένος πρότερον· ὥσπερ γὰρ ἡ γῆ χρῆται τὰ ἐφυτευόμενα, καὶ φυτεία δὲ τοῦ ὁ ἐνοφθαλμισμός, οὐ μόνον παρὰ τάξιν· ἀλλ' ἐνταῦθα δηλονότι καὶ τὸ βλαστάνειν καὶ τὸ γεννᾶν, ἡ ὑγρότης ἐστὶν ἡ γόνιμος. ὥσπερ ὀφθαλμὸν ἔχων ἁρμόττεται θατέρῳ καὶ τὴν τροφὴν ἔχων ἀποδίδωσι τὴν οἰκείαν βλάστησιν. ὡς ἄξιον δὲ πάντα τὰ τοιαῦτα, διὰ τὸ κατεργάζεσθαι τὰς τροφάς, καὶ τῶν διὰ τῶν ἐνοφθαλμισμῶν ἔτι μᾶλλον. καθαρωτάτη γὰρ αὕτη. ὥσπερ ἐν τοῖς στελέχεσιν ἤδη τῶν καρπῶν. ὁ πρόσφυτος δεῖ εἰ τῷ ὁμοίῳ τὸ ὅμοιον. ὁ δὲ ὀφθαλμὸς ὥσπερ ὁμογενής. εὔλογος δὲ καὶ ἡ ἀντίληψις μάλιστα τῶν ὁμοφύλων· ἐλαχίστη γὰρ ἡ ἐξαλλαγὴ τῶν ὁμογενῶν, καὶ ὥσπερ μετάθεσις γίνεται μόνον. ἅμα γὰρ συμβαίνει καὶ τοὺς καρποὺς ὀργῶν καὶ τὰ ὀλαδ... πρὸς τὴν βλάστησιν. ὥστε δεῖ τούτων ὁμοιότητα καὶ ὁμοιοπαθεῖς τοῦ καρποῦ, ἐξ ἀμφοτέρων εὔλογον τὸ τάχος τῆς αὐξήσεως. ἐν δὲ τοῖς ἄλλοις, ὅταν ἧττον. ὃ καὶ τοῖς γένεσι καὶ τοῖς ὅροις καὶ τοῖς καιροῖς παραλλάττῃ. εὔλογοι δὲ καὶ αἱ ὧραι. μᾶλλον δὲ ἴσως ἀναγκαῖαι, καθάπερ καὶ ὅλως ἐπὶ βλαστήσεις γίνονται, μετὰ τὸ πωροῦντι καὶ

ἔαρ καὶ κυῶδες ἐπὶ τὸ λύ· δεῖ τὸ ὀργῶν φέρειν. παραπλήσιοι δὲ καὶ οἱ λόγοι καὶ περὶ ἑκάστης, οἵπερ καὶ περὶ τῆς φυτείας. οἱ μὲν τὸν ἐαρινὸν ἐπαινοῦσιν ἐπισημασίαις, ἔτι κυόντων· ἅμα τῇ ἐγκυήσει βλαστήσει καὶ ὁ φλοιὸς ἐπιφύεται καὶ περιλαμβάνει· οἱ δὲ περὶ τὸν ἐπ᾽ ἀρκτούρῳ· παραχρῆμα μὲν τὸ οἷον ῥιζοῦται, καὶ οἷον ἐπισημαίνει· προσφυὴς δὲ γινομένη πρὸς τὸ ἔαρ, ἀθρόον ἀποδίδωσι τὴν βλάστην ἀπὸ ἰσχυροτέρας ἀρχῆς. εὐλόγως δὲ καὶ τὸ τὰς μασχάλας ἐνοφθαλμίζειν τὰς τελειοτάτας καὶ νεωτάτας· ἀντιλαμβάνεται γὰρ ἐντεῦθεν μάλιστα διὰ τὴν τελειότητα καὶ ἡλικίαν· εὔζωα τε καὶ εὐβλαστῆ ἐστι τὰ νέα. μάλιστα δὲ εὐφυῆ πρὸς ἐνοφθαλμισμόν, ὧν οὐκ ἔστι λαβεῖν ὅσων ἡ ὑγρότης ἔχει τι γλίσχρον. ἔτι δὲ μαλακόφλοια καὶ ὁμόφλοια καὶ ὁμοιοπαθῆ. διὸ καὶ εἰς τὰ παραπλήσια φύσει καὶ ἡλικίᾳ, κάλλιστος ὁ ἐνοφθαλμισμός. ἥ τε τὸ γλισχρότης, καὶ αὐτὴ ληπτική· ὅ τε φλοιὸς μαλακὸς ὤν, καὶ ὁμοίως ἐν μὲν ἧς, καὶ οὐ ποιεῖ μεγάλην τὴν μεταβολήν. ἔτι δὲ τοῖς μὲν ἄλλοις βραχὺς ὁ καιρός, διὰ τὸ ταχεῖαν εἶναι τὴν βλάστησιν· τῇ ἐλαίᾳ δὲ πλείω χρόνον, διὰ τὸ πλείω χρόνον ποιεῖν τοὺς ὀφθαλμούς. ἔτι γὰρ ἁπαλὰ εἶναι καὶ ἀθρόα διὰ τέλους, καὶ τὸν τόπον αὐτῆς ὑγρὸν εἶναι πᾶν τὸ θέρος, καὶ ἀπὸ τούτων μάλιστα πάντως βλαστάνειν. διὰ γὰρ τούτων οἷον ταύτην καὶ τέτταρας καὶ πέντε μῆνας δύνασθαι τὴν ἐμφυτείαν. τὸ δ᾽ ὕδωρ τῷ μὲν ἐνοφθαλμισμῷ πολέμιον· ἐκσήπει τε καὶ ἀπολύει παραρρέον διὰ τὴν ἀσθένειαν. διὸ καὶ ἐπὶ κυνὶ δοκεῖ ἀσφαλέστατος εἶναι. καὶ τίνω γέτι νῶν οὕτω περιδοῦσι τοῖς φλοιοῖς, ὥστε μὴ παραρρεῖν. τῇ δὲ ἐμφυτείᾳ χρήσιμον, ἂν μὴ ᾖ ὑγρὸν τῇ φύσει· διὸ καὶ οἱ μέν, αὐτὸ τὸ ἐπὶ ἄλλ ἐπικολλαίουσιν· οἱ δέ, χύτραν προσβάλλουσιν ὕδατος, ὥστε κατὰ μικρὸν ἐπιρρεῖν· ἀναξηραίνεται γὰρ ἂν ταχύ, μὴ ἔχον ὑγρότητος διὰ τὸ μέγεθος τῆς ἑλκώσεως. ὀρθῶς γὰρ εἰς τὸ διατηρεῖν ἀρραγῆ τὸν ὀφθαλμὸν καὶ τὸν φλοιὸν καὶ τὸ ἔνθεμα οὕτως ἀποξύειν, ὥστε μὴ συμμύειν τὸ μὴ ξαίνειν· ἐαγότος τὸ ἢ γυμνωθεῖσα, ἀναξηραίνεται καὶ

νεται ἢ διαφθείρεται· διὰ τοῦτο γὰρ καὶ περιαιροῦσι φιλορὰ κενω-
θὲν φλοιούς· καὶ ἐπὶ τούτοις περιαλείφουσι πηλῷ περιεχομέ-
νῳ, ὅπως ἔμμονος ἡ ὑγρότης ᾖ, καὶ μήθ᾽ ἥλιος μήθ᾽ ὕδωρ μήτε ψῦ-
χος παραλυπῇ· καὶ ὅταν σχίσαντες ἐντιθῶσι τὸ ἔνθεμα, σφηνο-
δὲς ποιήσαντες, ἐν σφύρᾳ ἐλαύνουσιν, ὅπως ὅτι μάλιστα προσα-
χθῇ· χρὴ δὲ καὶ τῆς ὑγρότητος τῆς αὐτῶν, συμμετρίαν τινὰ ὑπάρ-
χειν· διὸ καὶ τὴν μὲν ἄμπελον προαποτέμνουσιν ἡμέραις τι-
σὶ πρότερον, ὅπως προαπορρυῇ τὸ δάκρυον καὶ μὴ σήπηται
μηδὲ ὑδρωπιᾷ· ἔοικε δὲ καὶ συκῆ καὶ ὅσα τούτων ἐστὶ ξηρότερα, πα-
ρὰ χεῖμα· δεῖ δὲ καὶ πρὸς τὰς χώρας προσλαμβάνειν τὰς οἰ-
κείας ὥρας καὶ πρὸς τὰς τῶν δένδρων φύσεις· ἐπεὶ τὰ μὲν, ἔνυ-
δρα· τὰ δὲ, ξηρὰ καὶ λεπτόγεια· καὶ ἄμεινον τὸ ἔαρ· οἰκεῖον γὰρ
οὕτως διὰ τὸ ὀλίγον ἔχειν τὸ ὑγρόν· ἐν δὲ τῇ ὑγρείᾳ καὶ πηλώδει,
τὸ μετόπωρον· τοῦ γὰρ ἦρος, πολλὴ λίαν ὑγρότης πρὸς τὸ διατη-
ρεῖν, ἕως ἔτι διαμένει τὸ δάκρυον· ὁρίζονται δέ τινες τοῦτο τρι-
άκονθ᾽ ἡμέραις· εὔλογον δὲ καὶ τὸ καλλικαρπότερα ταῦτα γί-
νεσθαι· καὶ μάλιστα ἐὰν τὰ ἥμερα εἰς τὰ ἄγρια τιθῆται τῶν φλοι-
ῶν· εὐτροφία γὰρ συμβαίνει πλείων, διὰ τὴν ἰσχὺν τῶν ὑποκειμένων·
διὸ καὶ κελεύουσι, κοτίνους φυτεύσαντες, ἐνοφθαλμίζειν ἢ ἐμφυ-
τεύειν ὕστερον· ἀντιλαμβάνονται γὰρ μᾶλλον ἰσχυρότερον· καὶ τροφὴν ἐπι-
σπῶνται πλείω, καὶ καλλίκαρπον τὸ δένδρον ποιεῖ· ἐπεὶ εἴ γέ τις
ἀνάπαλιν τὸ ἄγριον εἰς τὸ ἥμερον ἐμβάλοι, διαφορὰν μέν τι-
να ποιήσει· τὸ δὲ καλλικαρπεῖν, οὐχ ἕξει· καὶ τὰ μὲν περὶ τὰς φυτείας
καὶ τὰς ἐμφυτείας, ἱκανῶς εἰρήσθω· τὰ δὲ σπέρματα πάντων ἔχειν
τινὰ τροφὴν ἐν αὐτοῖς, ἣ συναποτίκτεται τῇ ἀρχῇ, καθάπερ ἐν τοῖς ᾠοῖς·
ἣ καὶ οὐ κακῶς, Ἐμπεδοκλῆς εἴρηκε, φάσκων ᾠοτοκεῖν μακρὰ δέν-
δρα· παραπλησία γὰρ τῶν σπερμάτων ἡ φύσις τοῖς ᾠοῖς· πλὴν ἔδει πε-
ρὶ πάντων εἰπεῖν καὶ μὴ μόνον τῶν δένδρων· ἅπαντα γὰρ ἔχει τινὰ τρο-
φὴν ἐν αὐτοῖς· διὸ καὶ δύνανται διαμένειν εἰς χρόνους· οὐχ ὥσπερ τὰ τῶν
ζώων εὐθὺ φθείρεται χωριζόμενα, πλὴν τὰ τῶν ᾠοτόκων· ταῦτα γὰρ ὡς

περ εἴρηται τροφὴν ἔχοντα καὶ φυλακὴν ἅμα τῆς ἀρχῆς δια-
μένει· χρονιώτερα δὲ ἑτέρων ἕτερα· καὶ μάλιστα τὰ πυκνὰ καὶ ξη-
ρὰ καὶ ξυλώδη· καθάπερ τὸ τοῦ φοίνικος· οὐκ ἔχει γὰρ οὔτε ἔξωθεν
οὐδεμίαν παρείσδυσιν, οὔτε ἐν αὑτοῖς ὑγρότητα τὴν διαφθειρο-
μένην· ὅθεν καὶ οὔτε θηριοῦται, καθάπερ τὰ σιτηρὰ τῶν σπερμά-
των, οὔτε ἀναξηραίνεται, καθάπερ τὰ τῶν λαχάνων· ἀλλ' ἐν αὑτῷ πε-
ριέχον σώζει τὴν ἀρχήν. ὅτι δὲ ἅπασι σπέρματα, κἀκεῖθεν δῆ-
λον· ἃ γὰρ δοκεῖ ξηρὰ καὶ ὥσπερ κελυφανώδη πάμπαν, οἷα τὰ τῶν
λαχάνων, ταῦτα κινεῖται κατὰ τὰς οἰκείας χώρας· ἐὰν καὶ ὁποθε-
νοῦν ἰκμάδος λάβῃ. καὶ διὰ τοῦτο ἐν ὑπερῴοις τιθέασι, καὶ κρε-
μαννύουσιν ἐν ἀῤῥίχοις· καὶ οὔτε ῥαίνουσιν, οὔθ' ὕδωρ ὅλως ἐκφέρου-
σιν εἰς τὰ οἰκήματα. τῶν δὲ δὴ λοιπῶν καὶ τῇ αἰσθήσει φανερὰ τὰ
προσόντα· ἐπί γε δὴ τῶν σαρκωδῶν ὡσπερεὶ γαλακτοῦται διαλαμ-
βανόντων· σχεδὸν γὰρ ὁμολογούμενόν τοῦτο καὶ ἐπὶ τῶν ζῴων ἐστίν. οὐδὲ
γὰρ ἐν τούτοις ἅπαν τὸ κάτω προϊὸν σπέρμα, καθάπερ ἐπὶ εἰλικρι-
νὲς ὑποληπτέον. ὅσα δὲ ξυλώδη καὶ πυρρηνώδη περιείληπται τισί, φυ-
λακῆς χάριν οἰητέον· ὥσπερ ἐπὶ τὰ δέρματα. καὶ καὶ ὑμενώδη. πάν-
τα γὰρ ταῦτα πρὸς τὴν σωτηρίαν ἐστίν. ὑγρὰ γὰρ ἡ ἀρχὴ δυνάμει πάν-
των. ἔχουσι δὲ τῶν ζωτικὰς ἀρχὰς ὥσπερ ἐλέχθη, καὶ ῥίζαι ἐπὶ ἀκρέμο-
νες καὶ ξύλα καὶ καυλοὶ χωριζόμενοι τῶν φυτῶν· ὥστε κινεῖν καὶ μέ-
χρι τοῦ βλαστάνειν· οἷον αἵ τε σκίλλαι, καὶ ὅσα σκιλλώδη. ἐπὶ τὰ τῶν
ἐλαίας ξύλα, καὶ οἱ τῶν κρίνων καυλοί· καὶ οἱ τῆς βλήχωνος κλῶνες.
ἀνθεῖ γὰρ ἐπ' αὐτῇ περὶ τροπάς· ὃ καὶ μάλιστα θαυμαστόν· ἐπεὶ
τά, τε ἄγαν φαίνεται τινὰ ἔχειν ὑγρότητα κούφην καὶ ὀλίγην.
τὰ δὲ λιπαρὰ καὶ ἔτι περιέχεσθαι· τὰ μὲν, χιτῶσι, τὰ δὲ, πυκνό-
τητι τῇ αὐτῶν· ὥστε μὴ ἀξήραντα εἶναι τοῦ ἀέρος μεταβάλλοντος.
ἐπὶ τῆς οἰκείας χώρας συμπαθῆ τε γίνεται καὶ βλαστάνει· ἡ δὲ βλήχων
ξηρὰ φαίνεται παντελῶς. ἀλλὰ δῆλον ὡς ἔχει τινὰ τοιαύτην ἀρ-
χήν, ἣ κινεῖται τῇ τοῦ ἀέρος ἅμα μεταβολῇ καὶ ἀλλοιώσει. θαυ-
μαστὸν δὲ τὸ τῆς ὥρας· οὐ γὰρ ἀνιεμένης, ἀλλ' οὖν μᾶλλον ἐπιτει-

νόσοις, εἰ μὴ ἄρα περὶ τὰς ἀλκυονίδας. ἱκανὸς γὰρ ὁ προσσοῦν χρόνος εἰς τὰς τῶν ἀσθενῶν καὶ μικρῶν μεταβολάς. αἱ μὲν οὖν γενέσεις, πόσαι τε καὶ ποσαχῶς καὶ τίνες ἑκάστοις οἰκεῖαι, φανερὸν ἐκ τῶν εἰρημένων. βλαστάνει δὲ καὶ αὔξει τὰ ἐκ τῶν φυτευομένων μᾶλλον ἢ τῶν σπερμάτων, εὐλόγως. ἄλλως τε κἂν ὑπὸ ῥίζαν ληφθῇ. προϋπάρχει γὰρ πολλὰ τῶν μορίων, ἃ δεῖται μόνον τροφῆς. τῶν δὲ ἐκ τῶν σπερμάτων ἅπαντα ταῦτα ἀνάγκη γενέσθαι πρῶτον. ἔπειθ' οὕτως αὐξηθῆναι. τὸν αὐτὸν δὲ τρόπον καὶ ὅσα ῥιζοφυῆ τυγχάνει. καθάπερ τὰ κεφαλόριζα. καὶ γὰρ ἐν τούτοις προΐσταται τῆς φύσεως. ἐξ ὧν πλείων ἡ ὁρμὴ πρὸς τὴν βλάστησιν, ἢ τῶν σπερμάτων. εἰ ζωθῆναι γὰρ ἐκεῖνα δεῖ πρότερον. ὅσα δὲ κατὰ τὰς ἰδίας φύσεις, ὡς ἂν γένος πρὸς γένος ὁ συγκρίνων λάβοι τις ποτέρῳ κατὰ τὰς εὐθύτητας τῶν πόρων ληπτέον ὥσπερ Δημόκριτος. ῥύσις γὰρ ἡ φορὰ καὶ ἀνεμπόδιστος, ὡς φησίν. ἢ μᾶλλον ὅσα μανότερα καὶ ὑγρότερα. τὰ μὲν γὰρ πυκνὰ καὶ ξηρὰ, δυσαύξητα. πᾶν γὰρ ἔμπυρον τὸ πυκνὸν καὶ ξηρὸν καὶ πικρὸν, ὥστε βραδεῖαν εἶναι τὴν ἐπίδοσιν. θάτερον δὲ ὀλίγον μὲν πολλὰ διὰ τὴν μανότητα. καὶ ὅλως ἡ ὑγρότης εὐβλαστόν τι καὶ εὔτροφον. σημεῖον δὲ καὶ τὸ κατὰ τοὺς τόπους καὶ τὰς φυτείας συμβαῖνον. ἐν μὲν γὰρ τοῖς εὐδίοις καὶ ἀπνευμάτοις, ἔτι δ' ὅταν ἡ φυτεία πυκνὴ, αὐξάνει μὲν τὰ δένδρα. μανὰ δὲ καὶ ὑγρὰ μᾶλλον. ἐν δὲ τοῖς πνευματώδεσι καὶ ψυχροῖς καὶ τῇ φυτείᾳ μανῇ, ἀναυξέστερα μὲν, πυκνότερα δὲ καὶ ξηρότερα. συνίστησι γὰρ τὰ πνεύματα καὶ τὰ ψύχη, ὅλως ὁ προσπίπτων ἀήρ. ἅμα δὲ καὶ συστέλλεται καὶ οὐ λαμβάνει τὸν ἴσον ὄγκον. ὡσαύτως δὲ ὅταν ἡ φυτεία μανή. καὶ γὰρ ἐνταῦθα πυκνότερα καὶ εἰς βάθος αὐξανόμενα μᾶλλον. ἐν δὲ ταῖς πυκναῖς ἀνάπαλιν. φανερῶς δὲ καὶ ἐπὶ τῶν ἄλλων ζώων τοῦτο συμβαῖνον. καὶ μάλιστα ἐπὶ τῶν αἰγῶν. εὐαυξέστερα γὰρ τὰ θήλεα τῶν ἀρρένων, ὑγρότερα καὶ μανότερα τὴν φύσιν ὄντα. δῆλον δὲ ὅτι καὶ ἐπὶ αὐτῶν τῶν δένδρων, οἷα μὲν καὶ συκῆ, καὶ ἄμπελος, εὐαυξῆ. φοίνιξ δὲ καὶ κυπάριττος καὶ δάφνη καὶ πεύκη καὶ ἐλαία,

δυσαυξῆ. καίτοι τὸ εὐθυπορεῖν ὑπάρχει τισὶ φυτῶν. ἀλλ' ἤτοι πυκνότης ἢ ξηρότης ἢ ἄμφω κωλύει. καὶ γὰρ ἡ ξηρότης ἀναυξής. ἔτι δὲ πρὸς τούτοις ἔνια διὰ ἀσθενείας. καὶ γὰρ τοιαῦτα δυσαυξῆ, καὶ δύστροφα. δεῖ γὰρ μὴ κρατεῖσθαι μὴ δὲ κωλύεσθαι τὴν κράδην ὑπὸ τοῦ περιέχοντος. ἐπειδὴ καὶ τὸ εὐθυπορεῖν προσδεῖται δυνάμεως καὶ τῆς κατεργαστικῆς καὶ τῆς ἀπαθοῦς. ἀλλ' ὅμως οὐδὲν ὄφελος. εὐαυξῆ μὲν οὖν καὶ δυσαυξῆ τὸν τρόπον τοῦτον ἀφορισθείη. ἅπαντα δὲ χείρω τὰ ἐκ σπέρματος ὡς ἐπίπαν. ἔνδε τοῖς ἡμέροις, οἷον ῥόα. συκῆ. ἄμπελος. ἀμυγδαλῆ. καὶ γὰρ ὅλα γένη μεταβάλλει. καὶ ἐκπαππούται πολλάκις ἔνια. καθάπερ ἐν ταῖς ἱστορίαις εἴρηται. τούτου δ' αἴτιον ἡ ἀσθένεια τῶν σπερμάτων. κρατεῖται γὰρ ὑπὸ τῆς ἐπιρροῆς πλείονος οὔσης. καὶ ὥσπερ ἀκαρπία γίνεται διὰ πλῆθος τροφῆς οὐ δυνάμενα πέττειν, οὕτω καὶ χείρω γίνεται διὰ τὸ μὴ κρατεῖν. καὶ διὰ τοῦτο θάσιοι τὰς ἀμυγδαλᾶς, ὅταν προσαυξηθῶσιν, ἐνοφθαλμίζουσιν. ἐκ γὰρ μαλακῶν σκληραὶ γίνονται μετὰ τὴν φυτείαν. εἴη δ' ἂν τοῦτο καὶ ἐπὶ τῶν ἀγρίων τινῶν. ὅσα δὲ ἰσχυρὰ τῶν σπερματικῶν, ταῦτα διαμένει μᾶλλον. ὥσπερ ὅ, τι φοίνιξ, καὶ πεύκη ἡ κωνοφόρος καλουμένη. καὶ πίτυς ἡ φθειροφόρος. ὡσαύτως δὲ καὶ τὰ τῶν ἀγρίων. ἴσως δ' οὐκ ἔχει ταῦτά γε μετάβασιν εἰς τὸ χεῖρον. ἡ γὰρ ἀγριότης ἔσχατον. αἰτία δ' ἡ εὐχυλία καὶ ἡ συσαρκία τούτων πρὸς ἄλληλα γίνεται. διὰ τὸν ἀέρα καὶ ἀπὸ τῆς τροφῆς. ἐπεὶ καὶ τὰ ἥμερα εἰς τοῦτο διαφέρει. δύνανται γάρ τινες χῶραι διατηρεῖν τὰς φύσεις. αἱ μὲν μέχρι τινός, αἱ δὲ πάντα. αἱ δὲ, καὶ μεθίστανται πρὸς τὸ βέλτιον, καθάπερ εἴρηται περί τε τὴν ἐν αἰγύπτῳ καὶ κιλικίᾳ ῥόαν. αἱ μὲν γὰρ γλυκεῖαι καὶ οἱ νώδεις. αἱ δὲ πύρηνοι καὶ καλλίκοκκοι γίνονται περὶ τὸν πίναρον ποταμόν. ἁπλῶς δ' ὅταν οἰκείαν χώραν λάβωσιν οἱ καρποί, μᾶλλον δύνανται τὰ γένη διατηρεῖν. ὅταν μάλιστ' εὐθενῇ καὶ καλλικαρπῇ τὰ δένδρα. ἐν δὲ τοῖς ἐπετείοις σπέρμασι πανταχοῦ πρὸς τὴν χώραν ἡ μεταβολὴ γίνεται, πλὴν οὐκ εὐθὺς σπαρέντων. ὀλίγος γὰρ ὁ ἐν τῇ γῇ χρόνος. ἀλλὰ τρίτῳ δὴ ἔτει. τότε γὰρ ἀλλοιοῦται πρὸς τὴν ἐκτελείωσιν ὥσπερ καὶ τὰ ζῷα. καὶ γὰρ ταῦτα τριγονήσαντα συνεξομοιοῦται. οὐ μὴν

ἀλλ' ἐπίδηλον

ἀλλ' ἐπίδηλόν γέ τι ποιεῖ καὶ ὁ πρῶτος ἐνιαυτός. καὶ τὰ μὲν ἐκ τῶν σπερμάτων χεῖρω διὰ ταύτας τὰς αἰτίας. ἡ δ' ἐπέτειος βλάστησις (αὕτη γὰρ οἷον δευτέρα γένεσίς ἐστιν) οὐχ ἅμα συμβαίνει πᾶσιν. ἀλλὰ παραλλάττει ταῖς ὥραις. ὥστε σχεδὸν ἐν ταῖς ἐναντίαις ἐνίων εἶναι. καὶ τὰ μὲν θέρους. τὰ δὲ χειμῶνος βλαστάνει. ὁμοίως δὲ καὶ ἡ καρποτοκία. καὶ γὰρ αὕτη διέστηκε τοῖς χρόνοις. ὡς μὲν οὖν ἁπλῶς εἰπεῖν τὰ πρὸς ἑκάστην ὥραν σύμμετρον ἔχοντα τὴν κρᾶσιν, ταῦτα καὶ τὰς βλαστήσεις ἐν ἑκάστῃ καὶ τὰς τελειώσεις τῶν καρπῶν ἀποδίδωσιν. οὐ μὴν ἀλλὰ δεῖ καὶ τοῖς καθ' ἕκαστα πειρᾶσθαι διαιρεῖν. ἔνια μὲν γὰρ εὐβλαστῆ καὶ ἡ βλάστησις διὰ τὴν πολυτροφίαν. ὥσπερ ἀμυγδάλη. ῥοιά. καὶ ὅλως τὰ ἄγρια τῶν ἡμέρων μᾶλλον. ἔνια δὲ δι' ἀσθένειαν. ὥσπερ τὰ ποώδη καὶ ἐπέτεια. καὶ γὰρ ἀνθεῖ πολλὰ τοῦ χειμῶνος καθάπερ καὶ ἡ ἀνεμώνη. φαίνεται δὲ οὐδ' ἡ μηλέα προανθεῖν δι' ἣν, ἀλλ' ἄλλην αἰτίαν ἑκατέρα δυοῖν λόγοιν πρωϊβλαστεῖ καὶ τὰ ἰσχυρὰ καὶ τὰ ἀσθενῆ. τὰ μὲν γὰρ τῇ δυνάμει καὶ τῷ πλήθει προωθεῖ. τὰ δὲ ὑπὸ μικρῶν εὐκίνητα τῶν κατὰ τὸν ἀέρα. μέγα δὲ καὶ ἡ ὑγρότης καὶ ἡ μαλακότης εἰς τὸ προϊέναι. ὥσπερ καὶ ἐπὶ τῆς πρώτης φύσεως ἐλέχθη. τὸ γὰρ ξηρὸν καὶ πυκνὸν οὔτε εὐδίοδον ὁμοίως, οὔθ' ὕλην ἔχει πλήθους. ὅσα δὲ ἐν ταῖς ἐναντίαις ὥραις ἐκβλαστάνει, τούτων αἰτιατέον τὴν ὑγρότητα καὶ θερμότητα. τὰ μὲν ψυχρὰ τοῦ θέρους, τὰ δὲ θερμὰ τοῦ χειμῶνος βλαστάνει. ὥστε ἑκατέρου τὴν φύσιν σύμμετρον εἶναι πρὸς ἑκατέραν τῶν ὡρῶν. οὕτω γὰρ οἴεται καὶ Κλείδημος. ὃ καλῶς μὲν οὖν ἴσως. ὃ δὲ τοῦτο λέγεται. δεῖ δὲ καὶ τὴν ὀλιγότητα καὶ ἀσθένειαν, καὶ εἴ τι ἄλλο συναίτιον προστιθέναι, καθάπερ καὶ ἐπὶ τῶν λαχανωδῶν ὁρῶμεν. ἡ μὲν γὰρ ἀνδράχνη καὶ ὁ σίκυος καὶ ὅλως τὰ τοιαῦτα, κάθυγρα καὶ ψυχρά. τὸ δὲ ὤκιμον, ξηρὸν καὶ ξυλῶδες. ἀλλ' ὅμως οὐδὲν ἧττον πρὸ τῶν θερμημερινῶν βλαστάνει, εἰς τὰ διαμονὴν γὰρ τελειοῦσιν. αἴτιον δὲ ἡ ἀσθένεια. καθάπερ καὶ τῆς σικύας καλουμένης. αὕτη γὰρ δένδρου ὕψος λαμβάνουσα γὰρ ἐρχομένη τῆς κλώσιν ὥσπερ ἡ ἀναδενδράς, ὅμως ἐπὶ κηρόντι γὰρ ὑδάτων πρὸ τοῦ θερι-

νῶν· ἀλλὰ δεῖται προσωτέρω ταῖς ὥραις παρατείνειν πρὸς τὸ με-
τόπωρον, καὶ τὰ ἀκανθώδη καὶ ποώδη καὶ ῥιζοκέφαλα· καθάπερ
ὅ τε σκόρπιος καὶ λέμμυος, καὶ τὰ τίφυα καὶ ἡ ἄκανθα βασιλι-
κή· ἢ τὸ λείριον· ἔνια δὲ καὶ μετὰ ἀρκτοῦρον· εἴτε οὖν ὕστερα χρὴ καὶ
ὀψιαίτερα ταῦτα λέγειν, εἴτε ἢ πρωϊαίτερα, γινομένων τῶν πρώτων
ὑδάτων (οὐδὲν γὰρ διαφέρει πρός γε τὸ νῦν) ἀλλ' ἐκεῖνο φανερὸν, ὡς οὔτε
μεγέθει καὶ σμικρότητι τὸ πρωϊβλαστὲς ἢ ὀψιβλαστὲς ἀφοριστέον,
οὔτ' ἴσως θερμότητι καὶ ὑγρότητι καὶ ξηρότητι μόνον· ἀλλὰ δεῖ τινα,
συμμετρίαν ἕκαστον ἔχειν πρὸς τὴν ὥραν· γίνεται γὰρ ἁπαλωτά-
τη· φαίνεται γὰρ ἅπαντα τὴν οἰκείαν ἀναμένειν τελείωσιν· τὰ
δὲ, καὶ βλαστάνειν· τελέως δὲ καὶ ἀκίνητα ὄντα ὁμοίως δένδρα,
καὶ ὑλήματα καὶ ποώδη· φανερώτατον γὰρ ἐπὶ τῶν ἐν τοῖς ἀγρίοις· ἐν
οἷς δὴ καὶ ἡ γένεσις αὐτοφυὴς καὶ ἄνευ παρασκευῆς· πάντα δ' ὥστ' εἰ-
πεῖν ἢ τά γε πλεῖστα τῶν μετοπωρινῶν ἐν τοῖς ὑλήμασι καὶ τοῖς
φρυγανικοῖς καὶ ποώδεσίν ἐστιν· ἐπεὶ δένδρον γε οὐδὲν, πλὴν εἰ
μή τι κατὰ τὴν παραβλάστησιν· παραβλαστάνει γὰρ ἔνια μετ' ἀρκ-
τοῦρον· ὡς δ' ἐπίπαν καὶ καθόλου λαβεῖν τὰ ἀείφυλλα τῶν
δένδρων, καὶ ὀψιβλαστότερα ἢ ὀψικαρπότερα, διά τε πυκνό-
τητα καὶ ξηρότητα· κατὰ μικρὸν γὰρ ἡ ἐπιρροή, καὶ διὰ τὸ συνε-
χὲς ἀεὶ τῆς εἰς τὰ φύλλα διαδομῆς τροφῆς· οὐ γίνεται ὁ ἀθροισμὸς
ὥστε παρορμᾶν· ἀλλ' ἀπὸ τῆς ὥρας κινεῖται τῆς οἰκείας τὸ καθῆ-
κον· ἐπεὶ ἔνια γὰρ ἄν τις λάβοι τὰ πρωϊβλαστῆ καὶ πρωϊκάρπα
τῶν ἀειφύλλων· οἷον τόν τε κιττὸν ἢ τὴν ῥάμνον καὶ εἴ τι τοιοῦτον·
ἡ δὲ ἰδιότης, εἴτε διὰ θερμότητα φυτῶν, εἴτε μανότητα καὶ ὑ-
γρότητα, εἴτε καὶ διὰ ταύτας πάσας τὰς αἰτίας συμβαίνει, διαι-
ρετέον, αὐτὸ τοῦτο πρῶτον ἴσως εἰπόντας, ποῖα θερμὰ, καὶ ποῖα,
ψυχρά· καὶ τοῖς ποίοις ληπτέον· ἀλλὰ περὶ μὲν τούτων ἐν
τοῖς ὕστερον πειρατέον εἰπεῖν· διὰ τί δὲ τὰ μὲν, πρωϊβλαστῆ,
τὰ δὲ, ὀψιβλαστῆ, ταύτας αὖ τις ἀποδοίη τὰς αἰτίας· ὅσα δὲ κα-
τὰ πᾶσαν ὥραν βλαστάνει τε καὶ ἀνθεῖ καὶ καρποτοκεῖ, καθά-

περ ἡ περσικὴ μηλέα, καὶ εἴ τι ἄλλο τοιοῦτον, ἀπορήσειεν ἄν τις οὐ μόνον ὅτι οὐ πρὸς πάσας ἁρμόττει τὰς ὥρας ἡ κρᾶσις, ἀλλ' ὅτι οὐδ' αὖ τὰ αὐτοῖς ὁμοιοβλαστεῖ μηδὲ τὰ γένη καὶ ὁμοιοκαρπεῖ. τούτων γὰρ ἐν τοῖς κεχωρισμένοις τῶν ὁμογενῶν ἀξιοῦμεν καὶ ὁρῶμεν συμβαῖνον. τὸ μὲν οὖν πάθος, ὅμοιον φαίνεται τοῖς ἐπικυΐσκομένοις ζώοις πλάγια· τοῖς μὲν, φανερά· τοῖς δὲ, λόγου δεόμενα. τὰ μὲν γὰρ οὐχ ἅμα λαμβάνοντα τὰς παρ' ἑτέρων ἀρχὰς, οὐδ' ἴσως εἰς τὸν αὐτὸν τόπον, οὐδ' ἅμα κύσκεται, εἰ μὴ καθάπερ ἅμα καταλάβοι· τῶν δὲ, διὰ τί ἡ βλάστησις οὐχ ἅμα, οὐ ῥᾴδιον εἰπεῖν· ἀνάγκη γὰρ διὰ τὸ τὰς ῥίζας μηδαμῇ μηδ' ὁμοίως ἔχειν ἢ τοὺς ἀκρέμονας, μὴ δέχεσθαι μηδ' ἐκπέττειν ὁμοίως τὴν πρώτην βλάστησιν. ταῦτα δὲ διὰ τί καὶ τίνος ἕνεκα γένοιτ' ἄν, οὐκ εὔλογον εἰπεῖν. εἰ μὲν γὰρ ἅμα πολλοὺς σημαινομένους, τάχα δόξειεν οὐκ ἀλόγως λέγεσθαι· τὸ μὲν γὰρ μὴ ἐκπέττειν τὸν καρπὸν, ὑπόλειμμα τὰ πολλὰ ποιεῖται ὑγρότητος γονίμου· ταῦτα δ' ὥσπερ ἀὴρ ἐπιλαβὼν μαλακὸς, ἐκτίκτει· καθάπερ καὶ ἄλλοις τῶν δένδρων αἱ πρῶται βλαστήσεις ἐπιγίνονται· καὶ ἡ μελία ὅσα ἄλλα τοιαῦτα, τελεογονεῖ ἐκπέττει· διὸ τὸ μερίζεσθαι ἀπὸ ταὐτοῦ ἄλλο βλαστεῖν, ἄτοπον· καὶ ταῦτ' ἐστὶν ἀπὸ μιᾶς ὁρμῆς. αἱ μὲν οὖν ἀπορίαι σχεδὸν αὗται καὶ τοιαῦτα εἴρηνται περὶ τούτων. πρὸς δὲ τὴν αἰτίαν τοῖς ἀπορουμένοις λέξειν, πρῶτον ληπτέον ὅπερ εἴρηται καὶ πρότερον, ὅτι πᾶν δένδρον ἀρχὰς πολλὰς ἔχει πρὸς τὴν βλάστησιν, κατὰ τὴν καρποκίαν. τὴν δ' ὥσπερ ἐλέγχει φύσις οὐσίας ὅτι καὶ πολλαχόθεν ζῇ· διὸ καὶ βλαστικόν. εἰ δ' οἱ πρῶτοι τούτων ἀνασκαιότεροι ἐκ τῶν ἀρχῶν ἢ τούτων, οὐθ' ὅμοιοι πάντες, οὔτ' ἴσοι· οὐθ' ἅμα βλαστάνουσιν οἱ βλαστοί. ἀλλ' ὅταν ἢ πλείων συρροὴ καὶ ἰσχυροτέρα, κατὰ ταῦτα θᾶττον καὶ πλεῖον. ἕκαστος γὰρ αὐτῶν ὥσπερ φυτόν ἐστιν ἐν τῷ δένδρῳ καθάπερ ἐν τῇ γῇ· μὴ ἅμα δὲ τῆς βλαστήσεως οὔσης, μηδ' ἴσης φλοιῷ ἰσχύος, οὐκ ἀλόγως οὐδὲ τῶν καρπῶν ἡ πέψις ἅμα γίνεται πάντων. ἐπεὶ καὶ ἡ θέσις διαφορὰν ποιήσει τῶν μερῶν· οἷον, ἡ πρὸς ἀνατολ.

ἢ δύσεις ἢ πρὸς ἄρκτον ἢ μεσημβρίαν· ὥσπερ ἐπὶ καὶ ὅλως τῶν δέν-
δρων εἰ ἐν εὐδιεινῷ τόπῳ· πρωϊβλαστῆ ἅπαντα, καὶ πρωΐκαρπα· τοι-
αύτης δὲ τῆς φύσεως οὔσης τῆς κοινῆς, ὅπου μὲν ὁ ἀὴρ μαλακὸς
καὶ εὐδιεινὸς, ὀλίγον χρόνον βλαστητικὰ τὰ δένδρα γίνεται· κα-
θάπερ καὶ περὶ αἴγυπτον· ὅπου δὲ χειμέριος σκληρὸς, πλείω·
τὸ γὰρ ὅλον βραχεῖά τις γίνοιτ' ἂν διάλειψις· ἢ τῆς τροφῆς
διάλειψις εἴη, ὡς ὁ ἀὴρ εὐκραής· ἐπεὶ καὶ τὰ μὴ φυλλορροοῦντα
παρά τισιν, οἷον συκῆ καὶ ἄμπελος, διὰ τοῦτο οὐ φυλλορροεῖ
καθάπερ εἴρηται, διότι διαρκὴς ἡ τροφή· ταῦτα μὲν οὖν κοινὸν
τῶν πλειόνων ἐστί· τὰ μὲν γὰρ διὰ τὴν φύσιν, τὰ δὲ, διὰ τὸν τό-
πον ἔχει τι ταυτόν· διῃρημένων δὲ τῶν μὲν, φυλλοβόλων, τῶν δὲ ἀ-
ειφύλλων, αἰτίας δὲ οὔσης τοῖς ἀειφύλλοις τῆς διαρκείας τῆς τρο-
φῆς, διὰ τῶν τὰ μὲν, διὰ τὴν ἰδίαν φύσιν, τὰ δὲ διὰ τὸν τόπον τοι-
αῦτα· τρίτον δὲ καὶ ὥσπερ ἐφεξῆς τούτοις τὴν ἀειβλάστη-
σιν θετέον· ὅτι τὸ ἀείφυλλον οὐκ ἀειβλαστές· ἀλλ' ἐκεῖνα μὲν ὥσ-
περ διατηρεῖν μόνον δύνανται τὰ προϋπάρχοντα· ταῦτα δὲ καὶ
προσεπιγεννᾶν ἑτέραν διὰ τὴν ἰδίαν δηλονότι φύσιν· τοῦτο δὲ καὶ
ἐν ἄλλοις μέχρι τινός· ἐπιβλαστάνει μὲν γάρ, τὰ μὲν, ἅμα τοῖς
ἄστροις, τὰ δὲ, καὶ ἀορίστως· ὥσπερ ἡ ἄμπελος· ὁ δὲ χρόνος μέ-
χρι τινὸς ἀπόλυσιν δέδωκεν ἡ φύσις, ὥστε τὴν ἐκτροφὴν τὴν ἐκ προσομένειν· οὔ-
σης δὲ τοιαύτης τῆς οὐσίας, οὐδὲν ἄτοπον ἤδη, τὰ μὲν, τελειοῦσθαι,
τὰ δ' ἀνθεῖν, τὰ δὲ βλαστάνειν· τὰ δέ, μέλλειν· ἐπείπερ οὐδὲν τοῖς ἄλ-
λοις δένδρεσιν ἅπαντ' ἅμα τὰ μέρη· διαφέρει τι τοῖς χρόνοις, ὅ-
τι τὰ μὲν ἅμα, τὰ δὲ παρ' ὀλίγον τῷ ἐφεξῆς· ἀλλ' ἐκεῖνο μᾶλλον ζητη-
τέον τίς ἡ πόθεν ἡ κρᾶσις ἢ σύστασις τῶν τοιούτων· ἔοικε δὲ παραπλή-
σιον πλὴν χαλεπωτέρως καὶ τὶς ἡ τῶν ἀειφύλλων· προσεπιπε-
πέττειν γὰρ δεῖ· καὶ διά τι ταύτην λαμβάνει· καὶ δύναται πέ-
ττειν ὥστε γίνεσθαι αὖ· ἡ γὰρ ἐπιβλάστησις ἐκ περιουσίας γίνεται· ἐπεὶ γάρ
τι πλείω ἅμα καὶ περιέχειν· τὸν μὲν τέλειον· τὸν δ' ἀτελῆ, τὸν δ' ὑποφυ-
όμενον συμβαίνει καὶ περὶ ἀρκευθώδεσι παλαιοῖς· ὧν βραδεῖά τις ἡ ἔκ-
πεψις

πέψις, καὶ δυσαπόπτωτος ὁ καρπός· ἡ μὲν οὖν τούτων αἰτία, μέ-
χρι τούτων εἰρήσθω τανῦν. πότερα δ' ἡ βλάστησις καὶ αὔξησις ἅμα
τῶν ἄνω τε γίνεται καὶ τῶν ὑπὸ γῆς, ἢ διῃρημέναι τοῖς χρόνοις· ὥς
περ τινές φασι, τὰς μὲν ῥίζας αὐξάνεσθαι μετοπώρου καὶ χειμῶ-
νος· τὰ δὲ στελέχη καὶ τοὺς ἀκρέμονας, ἔαρος ἔτι θέρους· ἔτι μάλιστα δὲ
ὑπὸ τὸ ἄστρον· τοῦτο δὲ κατὰ λόγον. οὕτω συμβαίνει· ἐν μὲν τῇ πρώτῃ γε-
νέσει κατακολουθεῖν· ἐν ἐκείνῃ γὰρ τὴν ῥίζαν πρότερον ἢ τὸν βλα-
στὸν ἀφιέναι πάμπαν· προϋπάρχειν γὰρ ἀναγκαῖον, ᾧ τὴν τρο-
φὴν ἐπάξεται. φανερὸν δὲ καὶ ἐν ταῖς μετοπωριναῖς φυτεί-
αις· τότε γὰρ ῥιζοῦνται· οὐ βλαστάνει δὲ τὰ φυτὰ ὁμοίως ἢ διὰ τρα-
χύτητα τοῦ ἀέρος· εἰ γὰρ ἦν ἄρριζα, ἐσήπετ' ἄν. ἀλλὰ διὰ τοῦ-
το ἐπαινοῦσι ταύτην τὴν φυτείαν, ὅτι μᾶλλον τὰς ἀρχὰς ἰσχυρο-
τέρας ποιεῖ δι' ὧν ἐστὶν ἡ τοῦ στελέχους καὶ ἡ τῶν ἄνω γένεσις· ὡς τά-
χ' εὐθὺς ἀναφέροντα πρὸς τὴν βλάστησιν, ἀσθενῆ καὶ ἄκαρπα γίνεται, κα-
θάπερ ἐπὶ τῶν σπερμάτων οἱ ἀδώνιδος κῆποι. πιθανὸς δὲ καὶ ταύτῃ
δόξειεν ὁ λόγος, ὅτι τὰ μὲν ἄνω κωλύεται διὰ τὸν πέριξ ἀέρα ψυχρὸν ὄντα·
τὰ δὲ κάτω στεγαζόμενα τῇ γῇ, καὶ ἅμα συγκατακλειόμενα ὑπὸ τοῦ
θερμοῦ διὰ τὴν ἀντιπερίστασιν· ἔτι τῇ ὑγρότητι καὶ τροφὴν προσ-
αύξεται· πάντα γὰρ αὐτοῖς ὑπάρχει, δι' ὧν ἡ αὔξησις καὶ ἡ γένεσις.
σημεῖον δὲ καὶ τὸ ἐπὶ τοῦ σίτου συμβαῖνον· ὃς ὑπὸ τοῦ χειμῶνος
πιλούμενος, ῥιζοῦται μᾶλλον, ὃ δὴ καρκινοῦσθαι λέγουσιν· ὡς τὴν
ἀπὸ τοῦ ἄνω δύναμιν καὶ τροφὴν εἰς τὰ κάτω τρεπομένην. ταύ-
τῃ μὲν οὖν δόξειεν ἂν μερίζεσθαι τὸ τῆς αὐξήσεως. τῇδε δ' ἔστι πά-
λιν οὐκ ἂν δόξειεν· ἔν τε γὰρ τῇ πρώτῃ γενέσει προτερεῖ μὲν ἡ ῥί-
ζα τῶν βλαστῶν, οὐ μὴν τοσοῦτον, ὥστε χρόνου γίνεσθαι πλῆθος·
ἀλλὰ βραχύτατον πάντων, ὥσπερ ἐστὶν ἐπὶ τῶν ζώων ἡ καρδία καὶ
τὰ περὶ καρδίαν· ἁπλῶς γὰρ ὡς εἰπεῖν ἡ φύσις οὐδὲν καθάπερ
ἡ τέχνη ποιεῖ κατὰ μέρος· ἀλλὰ πάντα ἀθρόα καταβάλλεται· συν-
τελεῖ δὲ ἑτέρων ἕτερα πρότερον. εἰ δ' ἐστὶν ἐν τῇ πρώτῃ γενέσει τοῦτ' ἐπὶ πό-
τινων ἀναγκαῖον ἐστιν, ἀλλ' οὔτι γε ἐν τῇ τροφῇ ἐστὶν αὐξήσει. τὰ μὲν, πρό

τερον τρέφεσθαι, τὸ δ' ὕστερον· ὥσπερ οὐδ' ἐπὶ τῶν ζώων· ἀλλ' ἅμα πάντα
μάλιστα πάντων καὶ ὅλος ὄγκος· ὥστε κατὰ συνέχειαν καὶ τρέφεται
καὶ ἐπιδίδωσιν· ὃ καὶ κατὰ τὴν αὔξησιν ἐστὶ φανερόν· ἐπεὶ καὶ ἀρχή πού ἐστι
τὸ θρεπτικὸν ὃ δὴ διαπλάττει καὶ δίδωσι τροφάς· διαιρεῖται δὲ
κατὰ μέρη τὴν ἐνέργειαν· ἢ πάλιν ἐπὶ τῶν σωματικῶν τὸ ἐνεργοῦν· οἷον
πνεῦμα· ἢ πῦρ· οὐδὲ γὰρ ταῦτα εἰκός· ἀλλ' ὅταν ἅμα ταῖς ὥραις κι-
νηθῶσιν, ὁμοίως δι' ὅλων διήκειν τῶν φυτῶν· ἓν γὰρ ἔτι τὸ γινόμενον,
οὐχ ὥσπερ Ἐμπεδοκλῆς διαιρεῖ καὶ μερίζει, τὴν μὲν γῆν εἰς τὰς
ῥίζας, τὸν δ' αἰθέρα, εἰς τοὺς βλαστοὺς, ὡς ἑκάτερον ἑκατέρῳ
χωριζόμενον· ἀλλ' ἐκ μιᾶς ὕλης, καὶ ὑφ' ἑνὸς αἰτίου γινόμενον τος·
ὡς ἡ τῶν ὅλων σύστασις μικρά, εἴπερ ἐλάμβανε πρὸς ἕξιν, καὶ κα-
τὰ τὰς τροφὰς καὶ κατὰ τὰς αὐξήσεις· ὥστε δι' ὅλαις χώραις χω-
ρίζειν, μέγα κομιδῇ τὸ διάστημα τῶν χρόνων· ἡ δ' αὐτὸ τοῦ ψύχους
κώλυσις τῆς βλαστήσεως, ἀληθὴς μὲν, οὐκ ἔτι δὲ ποιεῖ μερι-
σμὸν φυσικόν· ἀλλ' ὥσπερ εἰ συμβαῖνόν τι τινὶ πρὸς αὔξεστερ
τὰς ῥίζας· ὃ καὶ καθηκούσης ἐνίοτε γίνεσθαι τῆς ὥρας· ὅταν αὐ-
τίκα ἐπῇ ὁ χειμών· ἡ μὲν γὰρ βλάστησις κατέχεται· τὸ δὲ τῶν ῥι-
ζῶν οὐ κωλύεται διὰ τὴν ἀλέαν· ὅταν δ' ἤδη προορώμεναι τύ-
χωσιν, εἰς ἔκφυσιν καὶ αὔξησιν ἔρχονται· ἀλλὰ τοῦτο οὕτω φύ-
σεως θετέον· ὃ διακωλύειν ποτὲ συμβαίνει τι τῶν ἐκτός· ἀλλ' ὅ-
σα τῇ ὁρμῇ γίνεται τῇ αὐτῆς· ὡραίων δὲ χειμώνων καὶ εὐδιεινῶν
γινομένων, ἅμα τά, τε ἄνω καὶ τὰ κάτω λαμβάνει τὰς αὐ-
ξήσεις· ἐπεὶ ὅπου ἀὴρ εὐβλαστὴς καὶ μαλακὸς, βραχύν τινα χρό-
νον ὥσπερ εἴρηται διαλείπουσιν αἱ βλαστήσεις, οὐ μεριζομένων
τοὺς χρόνους· τοὺς δὲ χειμῶνας οὐ μόνον τὰς βλαστήσεις καὶ τὰς ῥί-
ζας εὔλογον κατέχειν, εἴπερ ἀπὸ τῆς τοῦ ἡλίου θερμότητος καὶ αἱ
τούτων αὐξήσεις καὶ γενέσεις· οὐκ εἰς πλεῖον καταλαμβάνουσαι
βάθος, ἀλλ' ὁ ἥλιος ἐφικνεῖται· πλὴν ἐάν που τόπος εὔδιος ᾖ καὶ
μανὸς καὶ κενός· μὴ γὰρ τούτου συμβαίνοντος ἀπορήσειεν ἄν-
τις εὐλόγως· διὰ τί ποτ' οὐκ αὐξάνονται τοῦ χειμῶνος, τροφήν τε

λαμβάνοντα

λαμβανόντων καὶ ἀποστεροῦντος τοῦ ψύχους· τάχα δὲ καὶ τοῦτο κοινὸν ἀπόρημα καὶ ἐπὶ τῶν ἄλλων μερῶν. ἅπαν μὲν γὰρ ζῷον τρέφεται· τὸ δ' ἐν ὅρμῳ τῆς αὐξήσεως ὂν, οὐκ αὔξεται. τὰ δὲ φυτὰ πάντα χρῆ, καὶ τὰ νέα καὶ τὰ παλαιὰ παρορμᾶ πρὸς αὔξησιν εἰ μὴ ἄρα συμβαίνει, τότε μὲν αὐξάνεσθαι τοὺς ὅλους ὄγκους ἅμα δὲ τῇ ὥρᾳ διαγγελώσῃ τὰς ἐκβλαστήσεις γίνεσθαι. τοῦτο δὲ οἷον γένεσίς τις ἤδη· διὸ καὶ οὐκ ἄλογον ἐπεὶ τοῖς ὥσπερ κύοντα κατέχειν ἢ συναθροίζοντα καὶ λαμβάνοντα πρὸς τὴν κύησιν· ἐν οἷς ὄγκος γίνεται καὶ αὔξησις· εἶθ' ἅμα ταῖς ὥραις ἀποτίκτουσιν. ἔχουσι γὰρ δή τινας οἱ κλάδοι καὶ οἱ ἀκρέμονες ἐν ἑαυτοῖς ἀρχὰς ζωτικάς· αἳ διαθερμαινόμεναι τῇ ὥρᾳ, προΐενται τοὺς βλαστοὺς, καὶ μὴ ῥιζουμένων τῶν κάτω. οὗτο δὲ μάλιστα φανερὸν ἐν τοῖς ἀφαιρουμένοις φυτοῖς τῶν ἀμπέλων τε καὶ ἑτέρων καὶ συντιθεμένοις ἐν πίθοις. προβλαστάνουσι γὰρ οἱ βλαστοὶ τῆς ὥρας καθηκούσης· ὅτε δὲ καὶ τὰ ἐπικείμενα κλήματα καὶ κράδαι, καὶ χάρακες· ἐξ ὧν ἄνωθεν ἐβλάστησεν ὅσ' εἰς ἀρχήν. κάτωθεν δὲ οὐκ ἐρριζώθησαν· ὡς ἔχοντα μὲν ἐν ἑαυτοῖς ἤδη τὰς ἀρχὰς καὶ τὰς δυνάμεις. τροφῆς δὲ δεόμενα κατὰ τὸν τόκον· ἧς μὴ γινομένης καταξηραίνεται. διὸ καὶ οὐκ ἐοίκασι κακῶς λέγειν, οἱ φάσκοντες εὐθὺς ἀνθεῖν τοὺς νέους καρπούς, ἔτι τῶν ἑτέρων ἐπόντων. τοῦτο γὰρ δῆλον, οὐ δυνάμεις λέγουσιν. ὡς μὲν οὖν αὐξήσεις, εἴη ἂν ἀμφοτέρως συμβαίνειν· οὐ μὴν ἀλλὰ διὰ ταῦτά γε μᾶλλον ἄν τις ὅλως τῶν δένδρων μειζόνων ὑπολαμβάνοι γίνεσθαι. ζητήσειε δ' ἄν τις ἐκ τῶν μικρῶν πρότερον εἰρημένων, πότερον τὰ δένδρα κατὰ χειμῶνα κύει πρὸς τὴν καρπογονίαν, τὸ δ' ἦρος ἀποτίκτει, καὶ τοῦθ' οἷον περίοδός ἐστι χρόνοις ὡρισμένοις καθάπερ τοῖς ζῴοις, ἢ διὰ τὴν ἔνδειαν τῆς τροφῆς συμβαίνει, καὶ διὰ τὴν ψυχρότητα τοῦ ἀέρος. εἰ γὰρ ἐν τοῖς εὐδιεινοῖς καὶ μαλακοῖς αἰεὶ βλαστάνουσιν, οὐκ ἂν εἴη τεταγμένη ἐν τοῖς χρόνοις ἡ κύησις. εἰ δὲ μὴ οὔτι γε ταύταις ταῖς ὥραις· ὡς ὅλον ἀναβλαστάνειν πάλιν ἔτι τὸ

ὀργῶν ἀντιτίκτειν, ἔτι καὶ συνεχὴς ὁ ἀὴρ ἀκολουθοίη τούτοις. ἴσως οὐδὲ τὰ παρὰ τῶν ποιητῶν λεγόμενα, δόξειεν ἂν ἀλόγως ἔχειν, οἷον ὡς Ἐμπεδοκλῆς ἀείφυλλα καὶ ἐμπεδόκαρπα φησὶ θάλλειν, καρπῶν ἀφθονίῃσι κατ' ἠέρα πάντ' ἐνιαυτόν. ὑποτίθεται μέν τινα τοῦ ἀέρος κρᾶσιν τὴν εἰρημένην κοινήν. ἐκεῖνο δ' ἄν τις ἴσως ἐν τούτοις ἀπορήσειε, πότερα καὶ αἱ πεπάνσεις ὅμοιαι τῶν καρπῶν ἢ ἐνδεέστεραι γίνονται. ἀτμιωτέρου ὄντος τοῦ θερμοῦ τῆς ὥρας ὑγροτέρας. τοῦτο μὲν οὖν ὡς καθ' ὑπόθεσιν θεωρείσθω. ἐν δὲ τῇ νῦν περιόδῳ τῶν ὡρῶν, ἔοικε τὰ δένδρα κενωθέντα τοῦ θέρους, ἐκ τῆς βλαστήσεως καὶ τῆς καρπογονίας ἀντιπληροῦσθαι πάλιν. εἶτ' ἐκ ταύτης τῆς ἀντιπεριστάσεως ἀποτίκτειν καὶ βλαστάνειν καὶ τοὺς ἱκνουμένους καιροὺς ἔχοντάς πως τὴν κίνησιν καὶ ἐν τοῖς μέρεσι καὶ ἐν τοῖς ὅλοις. εὐλόγως δὲ καὶ αἱ φυτεῖαι καὶ αἱ ἐπιβλαστήσεις γίνονται κατὰ πλείους ὥρας. δοκοῦσι δ' ἐναντία πως εἶναι μετόπωρόν τε καὶ ἔαρ καὶ κυνὸς ἐπιτολή. εἰ γὰρ αἱ τροπαὶ βραχεῖα, ἀλλὰ μετ' ἀρκτοῦρον αἱ βλαστάνει πλεῖον καὶ ὑπὸ κύνα. τὸ μὲν οὖν ἔαρ οὐδὲ θαυμάζεται. ζωτικωτάτη γὰρ ἡ ὥρα καὶ μάλιστα γόνιμος, ὑγρά τις οὖσα καὶ θερμή. τὸ δὲ θέρος ὥσπερ ἐναντίον. ξηρά τε γὰρ καὶ ἐμπυροτάτη καὶ μάλιστα ὑπὸ τὸ ἄστρον. ἔτι δὲ τὸ μετόπωρον οὐ μόνον ξηρὸν ἀλλὰ καὶ ψυχρὸν ἤδη μεταβάλλον ἐπιλαμβανούσης τῆς ὥρας. ἐναντίω τούτῳ δὲ βλαστήσει ψυχρότης καὶ ξηρότης. ἀλογία μὲν γὰρ δή τις φαίνεται διὰ τούτων. οὐ μὴν οὔτε πρὸς τὰς βλαστήσεις ἐναντία ταῦτά ἐστιν, οὔτε αὖ ἀσύμφωνα κατὰ τὰς δυνάμεις ἀλλ' ἔχοντά τινα ὁμοιότητα. δεῖ γὰρ δὴ τὴν ὥραν ὑγρότητά τινα καὶ θερμότητα ἔχειν. ὥσπερ καὶ τὸ ἔαρ. αὕτη μὲν ὁμολογουμένη μάλιστα πρὸς βλάστησιν. ἐν ἀμφοῖν δὲ τοῦτο συμβαίνει. καὶ ἐν τῇ τοῦ κυνὸς ἐπιτολῇ μετ' ἀρκτοῦρον. ὑπὸ γὰρ αὐτὸ τὸ ἄστρον, καὶ παρόντος ἐμπύρου τοῦ ἀέρος, ὁμῶς καὶ νότια πνεῖ. καὶ νεφώδη ἵσταται. καὶ αὐτὰ τὰ δένδρα διυγραίνεται φανερῶς. καὶ ὑπὸ τὸν φλοιὸν αὐτῶν διαδίδοταί τις ὑγρότης, ὅθεν καὶ ῥόαι

κατὰ

κατὰ τοῦτον τὸν καιρόν, εἴτ' οὖν συνελαυνομένου τοῦ ὑγροῦ καὶ ἀντιπεριστάσεως γινομένης, εἴτε δι' ἄλλην αἰτίαν. πλὴν συμβαίνει γε τοῦτο καὶ τοῖς ἀνθρώποις. διὸ καὶ κοιλίαι μάλιστα λύονται. καὶ πυρετοὶ πολλοὶ γίνονται, καθυγραινομένων τῶν σωμάτων. δοκεῖ δὲ καὶ ἡ γῆ τότε καθυγραίνεσθαι μᾶλλον. ὅθεν αἱ ὑδάτων ἀναδύσεις αἱ ἕτεραι μεταβολαὶ γίνονται πλείους. ἀλλὰ δὴ μὲν αἰτίαν ἕκαστα συμβαίνει τούτων, ἑτέρου λόγου. ὅτι δ' ὀξυδραινομένου τοῦ φυτοῦ καὶ τοῦ ἔξωθεν ἀέρος οὐκ ἀντιπίπτοντος, ἡ ἐπιβλάστησις οὐκ ἄλογος, φανερὸν ἐκ τῶν εἰρημένων. τὸ δὲ μετόπωρον οὐχ ὥσπερ ἔλεγον ξηρὸν καὶ ψυχρόν ἐστιν. ἀλλὰ μᾶλλον θερμόν. ἅμα δ' ἐν τῇ τοῦ ἄστρου μεταβολῇ, ἐν τῷ ἀέρι γίνεται. διὸ καὶ ὥσπερ μῖξιν τινὰ συμβαίνει γίνεσθαι τοῦ ὑγροῦ καὶ θερμοῦ, καθάπερ καὶ ἐν τῷ ἦρι προσγίνεται τὸ θερμὸν ἀπὸ τῆς ὥρας. ἐνταῦθα δὲ τοῦ θερμοῦ προϋπάρχοντος ὑγρότης ἐπιγίνεται διὰ τὴν πύκνωσιν καὶ κατάψυξιν τοῦ ἀέρος. εὔλογον δὲ καὶ τὰ μὴ κάρπιμα, καὶ ὅλως τὰ νέα τῶν πρεσβυτέρων ἐπιβλαστικώτερα. καὶ τὰ ἐν τοῖς ὑγροῖς καὶ χειμερίοις ὥραις. τὰ μὲν γὰρ κάρπιμα καὶ πρεσβύτερα, ξηρότερα, τὰ μὲν εἰς τοὺς καρποὺς κατηναλωκότα. τὰ δὲ καὶ τῇ φύσει τοιαῦτα. τὰ δ' ἄκαρπα καὶ νέα, καὶ ὑγρότητα ἔχει καὶ θερμότητα πλείω. πάλιν δὲ ὅταν μὲν οἱ ὑετοὶ χειμέριοι καὶ ὑγροὶ τυγχάνουσι καὶ ὁ ἀὴρ εὔπνους, ἐνταῦθα καὶ τὰ μετοπωρινὰ γίνεται μακρὰ καὶ ὑγρὰ καὶ καλά. πολλάκις δὲ καὶ ὕδατα θερινὰ κατέχει τὰς βλάστας. ὥσθ' ὑγροῦ τοῦ ἀέρος ὄντος, ἐπιγινομένου ἑτέρου, εὐβλαστότερα γίνεται καὶ αὔξει μᾶλλον. ἐπεὶ καὶ τὰ δοκοῦντα δικαρπεῖν μηλεῶν τέ τινα καὶ ἀπίων, ἐν τούτοις μάλιστα γίνεται τοῖς τόποις, ἅτε περιπιπτούσης ἐπὶ πολὺ τῆς ὥρας καὶ ταχὺ τῶν προτέρων ἀφαιρουμένων. ἃ καὶ πρωϊκαρποῦντα, ὅμως διαφέρει. θᾶττον γὰρ πάλιν ἀναπληροῦται. διὸ καὶ χρῶνται τισὶν αὐτῶν τῶν πρὸς τὴν ἀγορὰν βλεπόντων καὶ κυΐσκονται τινὲς αὐτῶν τῶν πρὸς τὴν ὥραν βλεπόντων. οὐ μὴν ἀλλ' οὐδέν πως εἰπεῖν τῶν δικαρπούντων ὅμοιον γίνεται τοῖς ἐξ ἀρχῆς. ἀλλ' ὡς ὁρμὴν μόνον τοῦ φυτοῦ λαμβάνοντος.

οὐ συνεκτελέσαντος τοῦ ἡλίου καὶ τοῦ ἀέρος· καὶ ἐφ' ἑτέρων ἔτι μᾶλλον συμβαίνει· προφαίνει γὰρ καρπὸν καὶ ἡ ῥόα· καὶ ἡ μυρρίνη· ἀλλὰ μέχρι τοῦ προδεῖξαι μόνον· ἐπεὶ γὰρ βλαστικώτατα, βλαστικώτατα δ' ὧν ὡς εἴπομεν τὰ μάλιστα ἐναυξῆ τῇ φύσει· πολλὰ δ' ἔτι διὰ ξηρότητα κωλύεται καθάπερ ἡ ἀμυγδάλη· καὶ ἔτι τῶν ὑπέργειος ἡ ἀφαίρεσις τῶν καρπῶν πρὸς τὸ τῆς ὥρας ἐπιβλάστησιν· ἐὰν οὖν μακρὸς γένηται ὁ μετόπωρον, οὐκ ἄλογον καὶ ῥόδα ἔσεσθαι καὶ ἄλλα ἄττα τῶν τοιούτων· ὥσπερ καὶ περὶ δῖον φασὶ τῆς μακεδονίας· οὐκ ἰσχυρῶς γε δεόμενα τῆς πέψεως, χρόνον δὲ λαβόντα ἱκανὸν, ἐξέφηνε τὸ ἄνθος· ὅλως δὲ ὃ πλεονάκις εἴρηται, μαλακοῦ γὰρ ὑγροῦ τοῦ ἀέρος καὶ τὸ ζῶον ὅλου εὐκράτου, αἰεὶ δυνατὸν βλαστάνειν, οὐ πάντα, ἀλλ' ἔνια τῶν δένδρων· τὰ δ' ἐλάττω τούτων, ἔτι μᾶλλον· ὅπερ καὶ νῦν ἐπί τινων στεφανωμάτων συμβαίνει τόπους ἐχόντων εὐσκεπεῖς καὶ προσηλεῖς· διατελεῖ γὰρ ἀνθοῦντα δοκεῖ καὶ ἡ οἰνάνθη· καὶ τὸ ἴον τὸ μέλαν, καὶ ἄλλα πλεῖω θεραπείας δέ τινος προσγινομένης, ἔτι μᾶλλον· ὅτι δὲ μεγάλην ῥοπὴν ὁ τόπος παρέχεται πρόσηλος ὢν γὰρ εὐσκεπὴς, καὶ αὐτὰ τὰ δένδρα μαρτυρεῖ· φύεται γὰρ ἐν τούτοις ἔνια, κατὰ τὴν ἄλλην χώραν οὐ φυόμενα· καὶ καρποφορεῖ, τῶν ἄλλων οὐ φερόντων· καὶ προανθεῖ· γὰρ προεκβλαστάνει πρότερον τῶν λοιπῶν· ὑπὲρ μὲν οὖν τούτων, ἱκανῶς εἰρήσθω· τὸ δ' ἐπὶ τῶν διαφερόντων δένδρων, ὁμοιόν τινα τρόπον ἐστὶ τῷ ἐπὶ τῶν προβάτων γινομένῳ· ἐκεῖνα γὰρ ἀποτοκήσαντα καὶ εὐθηνοῦντα, πάλιν ὁρμᾷ πρὸς κύησιν ἐκ πιούσης ἔτι τῆς ὥρας· καὶ τὰ δένδρα παραιρεθέντων τῶν πρώτων καρπῶν, γεννᾷ πάλιν ἑτέρους· δεῖται δ' ἴσως χώρας τε εὐτρόφου τὰ τοιαῦτα, τῆς τε θεραπείας πλείονος ἢ ἀμφοῖν· καὶ μάλιστα ὡς εἰπεῖν τῆς τοῦ ἀέρος κράσεως· ὅπως λάβῃ τὸν χρόνον ἱκανὸν εἰς τὴν κύησιν· διὰ τοῦτο γὰρ οὐδ' ἐάν τις ἀφέλῃ τὸν καρπὸν ἢ ἄνθος, δύναται πάλιν ἕτερα γεννᾶν· διὰ τὸ μὴ λαμβάνειν τὸν τῆς κυήσεως χρόνον· οὐ γὰρ οἷόν τε ἅμα καὶ τοῦ κυῆσαι γεννᾶν· ἐξαναλωμένου τοῦ προϋπάρχοντος· ἅμα δὲ ὥσπερ ὑστεροῦσθαι συμβαίνει τὴν

ἀρχὴν διὰ τὴν ἕλκωσιν, ὥστε μὴ βλαστάνειν ἀπὸ τούτου καὶ μὴ τῆς
ἄλλης γινομένης οὐκ ἐκ τριετοῦς ὥρας· τούτων μὲν οὖν οὕτως ταύ
τας ὑποληπτέον τὰς αἰτίας· αἱ δ᾽ ἀνθήσεις τῶν καρπῶν οὐ κα
τὰ τὰς βλαστήσεις γίνονται· βλαστάνει γὰρ τάχα πολλὰ σύνεγγυς
αὐτοῖς κατὰ μίαν ὡς εἰπεῖν ὥραν· τὸ δὲ πεπαίνειν τοὺς καρ-
ποὺς πολλοῖς χρόνοις ὕστερον, ἐκείνην τὴν αἰτίαν ὑποληπτέον· ὅτι
τῶν μὲν φύλλων καὶ βλαστῶν εὐκινητότερα, καὶ ῥᾷον ἂν σω-
ματικωτέραν ἔχοντα καὶ περιττωματικὴν τὴν ὕλην· οἱ δὲ καρ
ποὶ καθαρωτέραν· καὶ μάλιστα δὴ τοὺς χυλοὺς αὐτούς· αὐτὴ δ᾽
ἡ τῶν καρπῶν πέπανσις, εἰς τὴν πλείονος δεῖται κατεργασί-
ας· ἔτι δὲ μεγάλας εὐθὺς διαφορὰς ἔχουσιν οἱ καρποί· τῷ ξυ
λώδεις ἢ γεώδεις ἢ ξηροὶ ἢ λιπαροὶ τὴν φύσιν εἶναι· δυσκατερ
γαστότεροι γὰρ οἱ τοιοῦτοι· διὸ καὶ προανθοῦντα ἔνια τὸν καρ-
πὸν ἔχειν πολὺν χρόνον, ὥσπερ ἀμυγδαλῆ· δυσπέπαντος γὰρ
ὁ ξυλώδης· τὸ δὲ ἄνθος ὠθεῖ διὰ τὴν προτέραν λεχθεῖσαν αἰτίαν· ὑπερ
καίοντα δὲ ταῦτα συμμετρίαν τινὰ ἔχει καὶ τάξιν· ἀλλὰ καὶ
αὐτῶν τῶν ἀνθῶν· ὅσα μετὰ τῶν σωματικωτέρων ὄγκων ὀψιαίτερον
γίνεται, καθάπερ τὸ τῆς ῥόας· ἐν γὰρ τῷ κυτίνῳ τὸ ἄνθος· τὰ δ᾽ ἀρ
γὰ τῶν εἰργασμένων πρωϊβλαστότερα· καθάπερ ἄμπελος· μη-
λέα· ἐλαία· συκῆ· τὰ δ᾽ ἄλλα διὰ τὸ κατέχειν ἔνια τὴν θερμότη
τα μᾶλλον, μὴ ἀνασκαπτομένης τῆς γῆς, μὴ δὲ γυμνουμένης τῶν
ῥιζῶν· αὕτη γὰρ ἡ κινοῦσα· καὶ διὰ τὸ μηδεμίαν ἐν τοῖς ἄνω γίνε
σθαι πληγὴν, κλωμένων ἢ καρπολογουμένων· ἀφελκούμενα
γὰρ πόνον τε παρέχει, καὶ καταψύχει, καὶ εἰς ὀλίγον συστέλλει· τὸ
δὲ πολλοῖς διαδίδοται καὶ τὰ μικρά· διὸ ταύταις ταῖς ὥραις
ὑπακούει· καὶ ἔτι δὲ καὶ μάλιστα ὡς εἰπεῖν, διὰ τὸ ἀβλάστων ὄν-
των καὶ ἀκαθάρτων ἐν πολλοῖς εἶναι, καὶ τὰ μικρὰ τὰς μονίμους
ἀρχάς· ὧν ἕκαστον διὰ τὴν ὀλιγότητα δεῖται μικρᾶς κινήσεως·
καὶ εὐθὺς ποιεῖται τὰς ἐκβλαστήσεις· ὃ καὶ ἐπὶ τῶν ἀγρίων συμβαί
νει· καὶ γὰρ ἐκεῖνα ἀβλαστότερα τῶν ἡμέρων ἐστὶ, διὰ τὰς αὐτὰς

αἰτίας· εἰς πλείω δ' ἅμα καὶ μικρὰ μεμερισμένων τῶν ἀρχῶν, εὐκίνητα γίνεται τῷ περιέχοντι πρὸς βλάστησιν. ἔτι δὲ καὶ ἡ ξηρότης συμβάλλεται. καὶ γὰρ διὰ τοῦτ' ἐλάττων ἡ ὑγρότης· τὸ δὲ ἔλαττον εὐκινητότερον. καγίων μὲν οὖν καὶ ἀθροωτέρα τῶν εἰργασμένων ἡ βλάστησις καὶ ἡ καρπογονία· προτέρα δὲ, ἐκείνη. αὐτὸ δὲ τοῦτ' αὖ τις ἀπορήσειε· διὰ τί τὰ ἄγρια τῶν ἡμέρων ἰσχυρότερα ὄντα, τοὺς καρποὺς οὐ πεπαίνει· κατὰ γὰρ τὰς δυνάμεις ἐχρῆν καὶ τὰς πέψεις εἶναι· μία μὲν δή τις αἰτία τὸ πλῆθος τῶν καρπῶν· οὐ γὰρ τοσοῦτον ὑπερέχουσι τῇ ἰσχύϊ, ὅσῳ πλείω τοῦ συμμέτρου τὸν καρπὸν ἴσχουσιν· ἅμα δὲ πλῆθος πολὺ, καὶ οὐκέτι γίνεται πέψις. διὸ καὶ οἱ γεωργοὶ παραιροῦσιν, ὅταν ὦσι πλείω. ἑτέρα δ' ὅτι πυκνότερα καὶ ξηρότερα καὶ εἰς ἑαυτὰ μᾶλλον ἕλκοντα τὸ ὑγρόν. ἡ δὲ τροφὴ καὶ ἡ πέψις ἐν δόσει τινὶ ὑγρότητος· ἣν οὐ ῥᾴδιον αὐτοῖς ἀπολαμβάνειν. ἁπλῶς δ' οὐ τὰ ἰσχυρότερα καὶ τροφιμώτερα· καθάπερ οὐδ' ἐπὶ τῶν ζώων· ἀλλ' ἑτέρα τις καθ' ἑαυτὴν πρὸς καρπογονίαν ἰσχὺς καὶ δύναμις. μόνον γὰρ καὶ εὔοδον καὶ ὑγρὸν εἶναι δεῖ τὸ καρποτοκῆσον. ἡ δὲ πυκνότης ἐναντίον· ὥσπερ καὶ ἐπὶ τῶν γυναικῶν καὶ ἐπὶ τῶν ἄλλων ζώων· ὃ καὶ ἡ γεωργία βούλεται ποιεῖν· ἀφαιροῦσά τε τὰ περιττὰ καὶ τροφὴν παρέχουσα καὶ εὔδιαπνοα ποιοῦσα. προφαίνει μὲν οὖν πλείω καρπὸν, διὰ τὸ πρότερον εἰρημένον. τὸν δὲ οὐκ ἐκπέττει διὰ ταύτας τὰς αἰτίας. ἡ δὲ πέψις ἐστὶν ἐν τοῖς περικαρπίοις· οὗ τὸ δεῖ γίνεσθαι καὶ λαβεῖν χυλὸν ἁρμόττοντα πρὸς τὴν ἡμετέραν φύσιν. ἴσως δ' αὐτὸ τοῦτο πρότερον ἔχει διελεῖν, ὅτι πέψις ἐστὶν ἡ μὲν τῶν περικαρπίων, ἡ δ' αὐτῶν τῶν καρπῶν. καὶ ἡ μὲν πρὸς τὰς ἡμετέρας τροφάς. ἡ δὲ πρὸς γένεσιν καὶ διαμονὴν τῶν δένδρων· οἱ γὰρ καρποὶ καὶ τὰ σπέρματα τούτων χάριν. ἑκατέρα δέ πως ἐναντιοῦται πρὸς τὴν ἑτέραν· ἅμα γὰρ τὸ ἐπικάρπιον ὑγρότερον καὶ πλεῖστον, καὶ ὁ καρπὸς ἐλάττων. καὶ ἅμα μείζων οὗτος, καὶ τὸ περικάρπιον ἔλαττον καὶ

λαττον καὶ

λαττον καὶ σκληρότερον καὶ δυσχυλότερον. πρὸς ὃ δὴ καὶ ἡ γεωρ-
γία μεμηχάνηται, κωλύουσα τὴν τούτων αὔξησιν καὶ τροφήν.
ἅπαν γὰρ ὡς εἰπεῖν καὶ ἥμερον ἀγρίου καὶ γεωργούμενον
ἀγεωργήτου, καὶ κάλλιον ἐργασμένον τοῦ χείρονος. μικροπυρη-
νότερον ἂν ὑγραινόμενόν τε μᾶλλον καὶ τὴν τροφὴν περισπῶν
εἰς τὸ περικάρπιον. ἔτι δὲ τοὺς χυλοὺς ἐκπεπαίνον εἰς συμμε-
τρίαν τῆς ἡμετέρας χρείας. αἱ μὲν οὖν πέψεις τοσοῦτον διεστᾶσιν.
εἴπερ χρὴ καὶ τὴν μὴ εἰωθυῖαν πέψιν λέγειν. τάχα δ' ἄν τις ἀπο-
ρήσειεν ἐκεῖνο καὶ ἀξιώσειεν. ὃ τὰ ἰσχυρότερα κατακρατεῖ, τοῦ-
το καὶ τὰ ἀσθενέστερα κατακρατεῖν. τὸ δὲ σπέρμα πάντων ἰσχυ-
ρότατον. κοινὸν γὰρ τέλος πάντων τῶν φυτῶν ἐστιν. ἐπείπερ
ἡ τοῦ ὁμοίου γένεσις τέλος. ἅμα δὲ καὶ ἐν τοῖς ζώοις δοκεῖ τε-
λειουμένης ἐπιγίνεσθαι τῆς φύσεως. ὅταν δὲ ἐλλείπῃ διὰ τὴν
ἡλικίαν, ἢ παρακμάσιν διὰ τὸ γῆρας, ἐξαδυνατεῖ τὸ γεννᾶν. οὐκ
ἀλόγως δ' ἂν οὔτε ἀπορήσειεν, οὔτε ἀξιώσειεν. ἐν τελειότητι μὲν γάρ τι-
νι τὸ σπερμοφυεῖν. ἐπὶ τῶν ζώων ὡς ἂν ἡλικίαν λάβοι τις ἄν. οὐ μὴν γε
οὔτε τὰ ἰσχυρότατα σπερματικώτατα, ἀλλὰ σχεδὸν ἐναντίως. ἑ-
τέρωθεν μεριζομένης τῆς τροφῆς καὶ δυνάμεως. ὃ δὴ καὶ ἐπὶ τῶν φυ-
τῶν σημαίνει κατὰ λόγον συμβαῖνον. οὕτω δὲ καὶ τὴν ἀναλογί-
αν λαμβάνειν. ὡς ὁπότερον ἂν τούτων ὁρμήσῃ, θάτερον ἐλλιπέ-
στερον ἔσται. διαρκεῖν γὰρ οὐ δύναται πρὸς ἄμφω. τοῦτο γὰρ σχε-
δὸν ἐν ἅπασιν ὁμολογούμενον. ἐν δὲ τοῖς φυτοῖς τρεῖς τινές εἰ-
σιν οἱ μερισμοὶ πρὸς αὐτὸ τὸ δένδρον καὶ τὴν βλάστησιν. ὅπερ ἐ-
ναντίον τοῦ καρποῦ, ἐὰν πλεῖον γένηται τοῦ συμμέτρου. διὰ τοῦτο
γὰρ ἀκαρπία, καὶ πολλάκις ἐν ἑαυτοῖς καὶ τοῖς περικαρπίοις. ἡ γὰρ εἰς τὸ
ἕτερον ὁρμή, κωλύει τὴν ἑτέραν. ὥσπερ οὖν ἐπ' ἐκείνων οὐκ ἄλογον.
οὐδ' ἐπὶ τούτων. ἀλλ' ἔχει τὸ ἀνάλογον. τὰ μὲν ἄγρια καὶ εἰς τὴν τροφὴν
καὶ εἰς αὐτὴν ὑγρότητα ἄγοντα, παραιρεῖται τῶν περικαρπί-
ων, ὥστε μείζω γίνεσθαι τὸν καρπόν. τάχα δ' οὐδ' ἂν προσδόξειεν ὅ-
λως ἄτοπον εἶναι. τὸ μᾶλλον ἐφικνεῖσθαι τὰ ἄγρια τῶν σπερμάτων

ὥσπερ οὖν τὰ πυκνότερά τε καὶ ξηρότερα τὴν φύσιν. διαθηλύνουσι γὰρ αἱ κατεργασίαι καὶ αἱ τροφαί. τοῦτο μὲν οὖν ὡς καθ' ὁμοιότητά τινα λελέχθω προτέρω κείμενον. τῶν δὲ πεπάνσεων, εἰς μὲν τὴν γένεσιν, αὕτη κυριωτέρα. πρὸς δὲ τὴν ἡμετέραν [G] χρείαν ἡ τῶν περικαρπίων. ἐν ποτέρᾳ δὲ δεῖ θέσθαι τὸ τελεώτερον, ἄλλος λόγος. ἐπεὶ οὕτως γε καὶ ἐν τοῖς φύλλοις μόνον χρώμεθα καὶ ἐν ταῖς ῥίζαις, ὥσπερ τῶν λαχάνων, αὕτη κυριωτέρα πέψις ἔσται. καίτοι γε τοῦτο τέλος ἐν τοῖς σπέρμασιν, οἷς ἡμεῖς οὐδὲν χρώμεθα πρὸς τὴν τροφήν. ἔστι δέ τις καὶ οὗτος ὁ λόγος, ὡς διὰ τὴν ψυχρότητα τῶν ἀγρίων οὐ δυναμένων πέττειν. τοὺς δὲ πυρῆνας ἐκ τῆς ξυλώδους καὶ περιττωματικῆς γίνεσθαι τροφῆς, ὥσπερ τὰ ἐν τοῖς ζῴοις. αὐτὸ μὲν τοῦτ' ἴσως οὐ κακῶς. εἰ ὁ πυρὴν ἐκ τοῦ γεώδους καὶ ξυλώδους. ἀλλὰ τὸ σπέρμα οὐκ ἔθ' ὁμοίως. ἀλλ' ἐκ τῆς καθαρωτάτης, ὥσπερ ἐν τούτῳ πέφυκε δὲ τὰ θερμὰ μάλιστα σπερμοφυῆ, εἰ θερμότερα ἂν εἴη. καὶ γὸν ἔτι τῶν ἡμέρων θερμότητος ἐκεῖνο φέρεται σημεῖον ἡ τῶν ὀπῶν δύναμις. ὁ μὲν γὰρ τῆς συκῆς, τὸ γάλα πήγνυσιν. ὁ δὲ τοῦ ἐρινεοῦ, οὐ πήγνυσιν, ἢ κακῶς πρὸς αὐτὸ δὲ τοῦτο πάλιν ἀντίκειται τις ἑτέρα καθόλου πίστις ὑπὲρ τῆς θερμότητος. ὅτι τὰ ἄγρια μᾶλλον ἐν τῷ ψύχει δύναται διαμένειν. καὶ ὁ λόγος δὲ διὰ θερμότητα ἡ ἰσχύς. ἀλλ' ὑπὲρ μὲν τούτων τάχα ἂν ὕστερον εἴη λεκτέον. πλείων γὰρ ὁ λόγος, καὶ ἔχων τινὰ ἀπορίαν. τρία θερμὰ καὶ ψυχρὰ καὶ τοῖς ἰδίοις διοριστέον. καὶ προσέτι τῶν ἰδίων τὸ αἴτιον, εἴτε μόνου, εἴτε μεθ' ἑτέρων. καὶ τίνων δὲ ἡ σῆψις δόξειεν ἂν ἔχειν διαίρεσιν καὶ ἀπλῶς πρὸς ἡμᾶς. οἷον ὅσα τοῖς δριμύτησι. καὶ ὅσα τοῖς φαρμακώδεσι χυλοῖς, ἃ δὴ λυμαίνουσι, καὶ μάλιστα χρῶνται τοῖς τοιούτοις. ταῦτα μὲν οὖν ὥσπερ ἰδιότης τῆς φύσεως. πρὸς τὴν δηλονότι καὶ αἱ τροφαὶ καὶ αἱ κατεργασίαι τείνουσιν, ἢ τοὐναντίον αἱ ἀργίαι, καθάπερ περὶ σιλφίῳ καὶ τῇ καππάρει. καὶ εἴ τι ἄλλο φεύγει τὴν ἐργασίαν. καὶ εἴ τι πάλιν αὖ διώκει τὴν ξηρὰν καὶ ὑγρὰν καὶ χειμερινήν. ἐξ αὐτοῦ δὲ τούτου τάχ' ἄν τις πάλιν ἀπορήσειε κοινήν

τινα

τινὰ ἀγρεῖ᾽ ἂν εἴη. καθόλου περὶ τὴν φύσιν ἐκ τῶν αὐτομάτων μᾶλλον θεωρητέον, ἢ ἐκ τῶν κατὰ τὰς ἐργασίας. καὶ ἐν ὁποτέροις τὸ κατὰ φύσιν. σχεδὸν δὲ τοῦτο ταὐτό. μᾶλλον δὲ μέρος τούτου. πότερον ἐκ τῶν ἀγρίων ἢ ἐκ τῶν ἡμέρων. ἡ μὲν γὰρ φύσις ἐν αὐτῇ τὰς ἀρχὰς ἔχει. καὶ λέγομεν τὸ κατὰ φύσιν. τὸ δ᾽ ἐκ τῶν αὐτομάτων τοιοῦτον. τὸ δ᾽ ἔξωθεν ἄλλως τε καὶ κατὰ τέχνην. ἀφ᾽ ἑτέρας γὰρ ἀρχῆς. οὐδ᾽ ἐν τοῖς ζώοις ὅσα πλάττεται ἢ καταναγκάζεται πρὸς μικρότητα καὶ μέγεθος καὶ τὸν ὅλον τύπον τῆς μορφῆς, οὐθ᾽ αἰτία ταῦτα κατὰ φύσιν. ἡ δ᾽ ἀεὶ πρὸς τὸ βέλτιστον ὁρμᾷ. καὶ τοῦθ᾽ ὥσπερ ὁμολογούμενόν ἐστι. ταύτῃ δὲ τὰ ἐκ τῆς θεραπείας. ἅμα γὰρ τελείωσις γίνεται τῆς φύσεως. ὅταν ὧν ἐλλιπὴς τυγχάνῃ, ταῦτα προσλαμβάνῃ διὰ τέχνης. οἷον τροφῆς τε ποιότητα καὶ ἀφθονίαν. ἔτι τῶν ἐμποδιζόντων καὶ τῶν κωλυόντων ἀφαίρεσιν. ἃ παρέχουσι δηλονότι καὶ οἱ οἰκεῖοι τόποι πρὸς ἕκαστον. ἐν οἷς δὴ φαμὲν δεῖν θεωρεῖν τὰς φύσεις αὐτῶν. ἀλλ᾽ ἐκεῖνο μὲν ἀπὸ τῶν ἔξωθεν μόνον παρέχουσιν, οἷον ἀέρος καὶ πνεύματος καὶ ἐδάφους, καὶ τροφῆς. ἡ δὲ γεωργία καὶ ἐν αὐτοῖς μετακινεῖ καὶ μετατίθησιν. ὥστ᾽ εἴπερ ἐκεῖνό γε προσαπαιτεῖ πρὸς τὸ βέλτιον, καὶ ταῦτα προσδέχοιτ᾽ ἄν, ὡς ἂν οἰκεῖα προσαπαιτῇ. ἡ δ᾽ αὐτὴν καὶ ζητεῖν εὔλογον, ἄλλως τε καὶ ἐκ τούτων ἠρτημένην καὶ ἐν τούτοις ἔχουσαν τὰς ἀρχάς. ἐπεὶ κἀκεῖνο τοῦ αὐτομάτου ἄτοπον συμβαίνει, καὶ ὥσπερ παρὰ φύσιν, τὸ ἐκ τῶν αὐτομάτων χεῖρω γίνεσθαι, καὶ ὅλως μὴ ὁρίζεσθαι τῷ γένους. οὐδὲ γὰρ δὴ τοῦτο κατὰ φύσιν, ἀλλ᾽ εἰς τὸ ὅμοιον ἀπογεννᾶν. αἱ μὲν οὖν ἀπορίαι σχεδὸν αὗταί τε καὶ τοιαῦται. φαίνεται δ᾽ εἶναι ἐκ τοῦ πρότερον εἰρημένου δηλονότι διαιρετέον τὰς φύσεις, ὥσπερ καὶ τὰς πέψεις λέγομεν. τοῖς μὲν γὰρ ἡ αὐτόματος ἐστὶν οἰκειοτέρα. τοῖς δ᾽ ἡ τῆς θεραπείας καὶ γεωργίας. ἐνίοις δ᾽ ἀμφοτέρων. ἐξ ὧν καὶ θεωρητέον. ὥσπερ καὶ ἡ φύσις διῄρηται ἡμέροις καὶ ἀγρίοις. ὁμοίως ἐν τοῖς ζώοις καὶ φυτοῖς. ἑκατέροις γάρ ἐστι φύλλα φυσικὰ καὶ οἰκεῖα. καὶ πρὸς σωτηρίαν

καὶ πρὸς διαμονὴν καὶ πρὸς αὔξησιν καὶ βλάστησιν, καὶ πρὸς
τὴν τῶν καρπῶν γένεσιν· ἴσως δὲ καὶ ἐν αὐτοῖς τοῖς καρποῖς
πάλιν ἄν τις διέλοι, τὰ μὲν εἰς τὸ αὐτόματον ἀφιείς· τὰ δὲ εἰς
τὴν ἐπιμέλειαν καὶ κατεργασίαν μόνον· ἀλλὰ περὶ τούτων μὲν ἐν ταῖς θ
ὁ διορισμός· περὶ δὲ τῆς πέψεως, ὅθεν ὁ λόγος ἐξέβη, πάλιν τὰ
ἐπίλοιπα λεκτέον, ὡς ἐπὶ τὸ πᾶν· ὧν μὲν ὁ καρπὸς ὑγρὸς καὶ
γυμνὸς ἢ λεπτὸν ἔχων περὶ αὐτὸν κέλυφος, ταῦτα μὲν πρώ
ϊκαρπα, καθάπερ ἄμπελος· καὶ συκῆ· μάλιστα δὲ συκάμινος· αὕ
τη μὲν γὰρ γυμνὸν ἔχει τὸν καρπόν· ὥστε ὅσον ἂν ὁ ἥλιος ἐπιθῆ
ταχὺ προηλλοίωσε, βραχέας δεόμενος θερμότητος· ἅμα δὲ καὶ
ἐν αὐτῷ συνεργάζεται δύναμις ἰσχυρὰ ἡ ἀθρόως ἐπιοῦσα, κα
θάπερ καὶ πρὸς τὴν βλάστησιν· ἡ γὰρ ὀψιότης ἐποίησεν ἀθροι-
σμόν· ὅθεν αἵ τε βλαστήσεις ἀθρόοι, καὶ μετὰ φορᾶς γίνονται νεα
νικῆς, ὥστε καὶ ψόφον ποιεῖν· καθάπερ τινές φασι, καὶ πέψεις τα
χεῖς· παρόμοιον γὰρ τὸ συμβαῖνον, ὥσπερ καὶ τοῖς σίτοις ὑπὸ τῶν
χειμώνων κατεχομένοις· ἀφεθέντες γὰρ οὗτοι ταχείας ποι-
οῦνται τὰς αὐξήσεις· ὥστε μὴ πολὺ καθυστερεῖν, εἰ μὴ κατὰ λόγον
τοῖς ὠδεήμοις· ἔτι δὲ καὶ ταύτῃ συμβαίνει τὸ μὴ ἀθρόον ἀλλὰ
κατὰ μέρος πέττειν· διὸ καὶ πολὺν διαμένει χρόνον, καὶ πλεῖ
ον δὴ τούτοις ἡ ὑγρότης λεπτὴ καὶ ὑδατώδης· ἡ μὲν οὖν τῆς
συκαμίνου, διὰ τοῦτο πρώϊος· ὡς δὲ Μενέστωρ φησίν, ἡ μὲν βλά
στησις αὐτῆς ὀψία, διὰ τῆς ψυχρότητος τοῦ τόπου· ἡ δὲ πέψις τα
χεῖα διὰ τὴν ἀσθένειαν· ἡ δὲ τῆς ἀμπέλου καὶ τῆς συκῆς ὀψιαί-
τεροι· ὅτι καὶ τὰ κελύφη περίκειται, καὶ ὑγρότης πλείων καὶ
παχυτέρα· καὶ τὸ μὲν σῦκον, μεῖζον τῷ ὄγκῳ, καὶ ἀθροωτέρα πως
ἡ πέψις αὐτοῦ· οἱ δὲ βότρυες καὶ τῷ πλήθει πλείους ὡς πρὸς τὴν δύ
ναμιν· ἡ ἐν τούτοις ἀθρόος ὁ καρπὸς ἐστὶ οὐ διειλημμένος· ἔτι δὲ ὑπὸ
σκιᾶς καὶ οὐχ ὁμοίως ὑπαίθριος· καὶ ἡ ὑγρότης πολλή· φύσει γὰρ τὸ
δένδρον φίλυδρόν ἐστιν· ἅπαντα γὰρ τὰ γλυκέα βραχυτέρας
ποιεῖ τὰς πεπάνσεις· ἐὰν δὲ δή τις καὶ πρὸς τὰς ἡμετέρας

χρεῖ ποιεῖ τὰς ἀφαιρέσεις, ἔτι μᾶλλον. αὐτῶν μὲν οὖν τούτων σχεδὸν ἐν τούτοις αἱ αἰτίαι τοῦ πρότερον καὶ ὕστερον. οὐ μὴν καθόλου τῶν δένδρων ὅ ἐστι τὸ πρώϊον. πολλαὶ γὰρ διαφοραὶ καὶ ἀμπέλων καὶ συκῶν, ὥστ᾽ ἐνίων πόρρω πάνυ πεπαίνεσθαι. διὸ περὶ ἴσως τὰς καθόλου λεκτέον αἰτίας. πρωϊκάρπα μὲν, ὅσα μήτε κάθυδρα μήτε ψυχρὰ τοῖς ὀποῖς. ἔτι δὲ γυμνὰ ἢ λεπτοῖς ὑμέσι περιεχόμενα, καὶ τὴν πέψιν ἔχοντα τῶν χυλῶν ὑδαρῆ καὶ μὴ παχεῖαν. ὀψικάρπα δὲ τὰ ἐναντία τούτων. ὅσα κάθυγρα καὶ ψυχρὰ τοῖς καρποῖς, ἢ τοῖς περικαρπίοις, ξυλώδη καὶ ξηρά. ὧν αἱ περιοχαὶ τοιαῦται, καὶ ἅμα πλείους. ἔτι δὲ ὧν οἱ χυλοὶ καὶ πρὸ τῆς πέψεως λιπαροὶ, καὶ ἄλλην τινὰ ἔχουσι παραπλησίαν δύναμιν. ἐὰν ξηροί τε καὶ ὀλίγην ἔχοντες ἅμα καὶ τοιαύτην ὑγρότητα πρὸς τὴν πέψιν. ἅπαντα γὰρ ταῦτα κωλυτικὰ τῶν πέψεων. ἐκ δὲ τῶν καθ᾽ ἕκαστα θεωροῦσι συμφώνως ὁ λόγος τῶν γινομένων. τῶν γὰρ ἀειφύλλων, ἅπανθ᾽ ὡς εἰπεῖν ὀψίκαρπα. ξυλώδεις δὲ καὶ οἱ καρποὶ καὶ τὰ περικάρπια. καθάπερ πεύκης. πίτυος. κυπαρίττου. τούτων δὲ ξηροὶ ἢ λιπαροὶ ἢ γλισχρότητά τινα ἔχοντες. ὥσπερ ὁ τῆς κέδρου. καὶ τῆς ἰξύας. διὸ ἐκ ὄντες μεγάλοι δυσκατέργαστοι τῷ εἶναι τοιοῦτοι. καὶ ἅμα διὰ τὴν πυκνότητα, μικρὰ καὶ ἡ ἐπιρροὴ καὶ ἡ ἐπίστασις ὅλη. τῶν δὲ μὴ ἀειφύλλων, ὅσα κάθυγρά τε καὶ ψυχρὰ, καὶ ὅσα γεώδη. καὶ γὰρ ἡ ψυχρότης καὶ τὸ πλῆθος, δυσέργαστον, καὶ τὸ γεῶδες. καὶ ἡ ξηρότης. ὥσπερ τῶν ἀχράδων, καὶ τῶν μαλάνων. ὅσα δὲ κέκραται πρὸς τούτοις καὶ ἐν θερμασίᾳ τυγχάνει καὶ μανὰ, ταῦτα καὶ πρωϊβλαστῆ καὶ πρωϊκάρπα, συμμετρίαν ἔχοντα τῆς μίξεως καὶ ἐν αὐτοῖς καὶ πρὸς τὸ περιέχον. χρὴ δὲ λαμβάνειν ἕκαστα ὥσπερ τῶν εἰρημένων, ἐὰν γε μή τις ᾖ κώλυσις. οὐδὲν γὰρ ἐν τούτῳ κύριον ἐπενεγκεῖν γε. οὔτε πρωϊκαρπίαν οὔτε ὀψικαρπίαν, οὐδέ γε πλείω πάντα, ἐὰν ἕτερα ἅττα ἐναντιώτατα. λέγω δ᾽ οἷον ἔνια γυμνό

μόνοκαρπα μὲν, ὄψια δὲ· καθάπερ σμίλαξ καὶ ἄλλ᾽ ἄττα βοτρυώδη· τὰ δὲ, πρὸ τῶν ὀψίων καὶ κατὰ μέρος πεπαίνεται· καθάπερ ὁ βάτος. τούτων γὰρ τὰ μὲν, ψυχρὰ, τὰ τῇ φύσει ὀψίκαρπα καὶ ὀψιβλαστῆ· ὅσα δὲ γυμνὰ καὶ ἀκέλυφα, οὐχ ἱκανὰ περιλαμβανομένων τῇ ὥρᾳ· τὰ δ᾽ ὅτι ξηρὰ τῇ φύσει· πᾶν γὰρ τὸ ξηρὸν ἰκμάδος δεῖται καὶ πρὸς τροφὴν καὶ πρὸς πέψιν· ὡς γὰρ ὁ βλαστὸς ἀμφοτέρων μετέχει τῶν ὡρῶν, ἐπὶ πολὺν χρόνον παρεκτείνων. ἀλλ᾽ ὡς τετύπῳ εἰπεῖν ταύτας ὑποληπτέον εἶναι τὰς αἰτίας· ἐπεὶ καθ᾽ ἡλικίαν ὀψικαρπότερα. ἢ μὴ κατὰ τὰς ἰμιαυσίους χώρας· οἷον τὰ νέα τῶν φυτῶν διὰ πλῆθος ὑγρότητος ἢ τὸ ὅλον τροφῆς, ὀψίκαρπα· τὰ δ᾽ αὖ πάλιν ὡς ὅτι φορὰ πόρρω τῆς ἡλικίας ὄντα, καθάπερ τὸ ἐν αἰγύπτῳ λεγόμενον δένδρον· ὃ ἑκάστῳ ἔτει μυθολογοῦσι φέρειν καρπόν. ἡ δ᾽ αὖ συκάμινος οὐ γὰρ πέττειν δύναται, διὰ τροφίαν καὶ πλῆθος ὑγρότητος, μὴ ἐπικνισθέντων ἢ ἐπαλειφθέντων ἐλαίῳ τῶν κρωπῶν. οὐ μόνον δὲ γὰρ τὸ πλῆθος ὀψιοκαρπεῖν ποιεῖ τῆς τροφῆς, ἀλλὰ καὶ ἀκαρπεῖν ἔνια· καθάπερ ἐπί τε τῶν ἀμπέλων εἴρηται καὶ ἐπὶ τῶν ἀμυγδάλων, καὶ ὅλως τῶν διατιτραινομένων καὶ κολαζομένων. ἀπαλλάττονται γὰρ ὅταν τοῦτο πάθωσι τῆς ὑγρότητος ἀπολαθείσης, τὰ μὲν ἐξ ἀκάρπων κάρπιμα, τὰ δὲ καλλικαρπότερα καὶ εὐχυλότερα γίνεται. τῆς δὲ ἀμυγδαλῆς ἐάν τις ἐκκόψας τὸν πάτταλον ἐπικαθαίρῃ τὴν ἐπιρροὴν τῆς ὑγρότητος, ἐπὶ ἔτη δύο ἢ τρία, καὶ γλυκεῖαν ἐκ πικρᾶς γίνεσθαι φασί. δοκεῖ δὲ καὶ ἡ συκῆ ῥιζοτομηθεῖσα καὶ καταχωσθεῖσα, εὔφορος τε ἐξ ἀφόρου γίνεσθαι, καὶ πολυκαρπεῖν μᾶλλον. σχεδὸν δὲ καὶ περὶ τὰς ἀμπέλους τὰς ὑπεραγώσας ὅμοιον ἐστί· καὶ γὰρ τούτων ἀφελεῖν δεῖ καὶ ἀμπαῦσαι τὴν βλάστησιν καὶ ὁρμήν· ὅπως καρποτοκῶσιν. ἐν τῷ αὐτῷ δέ πως γένει τῆς αἰτίας ἐστί, καὶ τὸ μὴ τὴν ἀρίστην καὶ πίειραν καὶ βαθύγειον ἀρίστην εἶναι τοῖς δένδροις· ἀλλὰ τὴν δευτέραν. τῷ δὲ σίτῳ ἐκείνην. ἐν μὲν γὰρ τῇ κατὰ βάθος

ἰούσης τῆς ῥίζης, καὶ τῆς χώρας ἀτρεφοῦς, πλείω τῆς συμ-
μέτρου τροφὴν ἐπισπῶνται. ἐν δὲ τῇ λεπτογείῳ καὶ μὴ βαθείᾳ,
τὰς ῥίζας ἀναγκαῖον ἐπιπολαιοτέρας εἶναι, καὶ τροφὴν ἐλάτ-
τω καὶ σύμμετρον. ἐπεὶ καὶ ἐν ταῖς ψαφαραῖς καὶ ταῖς πε-
τρώδεσι δύνανται λαμβάνειν ἱκανὴν καθιέμεναι καὶ βιαζόμε-
ναι ταῖς ῥίζαις. ἔτι δὲ καὶ καταψύχειν τὰς ῥίζας, εἴγε πετρώ-
δης δοκεῖ μᾶλλον, ὅπερ ἐπιζητεῖ τὰ δένδρα. ὁ δὲ σῖτος ἐν μὲν ταῖς
ἀγαθαῖς συλλαμβάνει μὲν πλείω, διὰ τὸ μὴ κατὰ βάθος εἶναι τὰς
ῥίζας. ἐν δὲ ταῖς μοχθηραῖς, καὶ καταξηραίνεται, διὰ τὸ μὴ ἔχειν πολ-
λὰς καταψύξεως δεῖται, διὰ τὸ μὴ κατὰ βάθος εἶναι. ὅταν δὲ
ἢ ἐπομβρίαι γένωνται, πολὺς ὁ διασωζόμενος, χείρων ἐστίν. ἐ-
πεὶ καὶ οἱ τῶν δένδρων καρποὶ διὰ τὸ κρατεῖσθαι τῷ πλήθει τῆς
τροφῆς, ἐξίστανται τῶν γενῶν, ὥσπερ ἐλέχθη πρότερον. ἄτοπον δ᾽
ἂν δόξειεν τὸ τῶν ὁμογενῶν ἔνια, τὰ μὲν, εἶναι πρώϊα, τὰ δὲ ὄψια
καθάπερ συκαῖ τέ τινες, καὶ ἄμπελοι, καὶ μηλέαι, καὶ ἄπιοι, καὶ
τἄλλα. τῶν γὰρ ζώων οὐδὲν τοιοῦτο, πλὴν κυνός. ἀλλὰ πε-
ριισόχρονα κατὰ τὰς κυήσεις καὶ τὰς ἐκτροφάς. ἀλλὰ μό-
νον παραλλάττει ταῖς ὥραις κατὰ τοὺς τόπους. καὶ μά-
λιστά γε συνανθρωπευόμενα. τάχα μὲν οὖν καὶ αἱ βλαστήσεις ἐ-
νίων ὕστεραι, καὶ παραδιδόασι τὸ ἀνάλογον. οὐ μὴν ἀλλ᾽ ἐ-
φ᾽ ὧν τοῦτο μέν ἐστιν, ἔοικεν ὥσπερ ἐν ὁμωνυμίᾳ γίνεσθαι
τὸ ἀπόρημα. ἔστι γὰρ εὐθὺ τῇ φύσει καὶ τοῖς ζώοις καὶ τοῖς
φυτοῖς, ὥσπερ τὰ ἥμερα καὶ τὰ ἄγρια καὶ πολύκαρ-
πα. τὰ δ᾽ ὀλιγόκαρπα. τὰ δ᾽ ὅλως ἄκαρπα. τὸ γὰρ τῶν ἐ-
ρινεῶν, ἕτερον γένος. οὐ δυνάμενον πέττειν, οὐδὲ διακινεῖσθαι
πρὸς τὴν τελείωσιν. ἕτερον δὲ τὸ τῶν ἀμπέλων τῶν μαι-
νομένων καλουμένων. αἳ οὐ μόνον βλαστάνουσιν, ἀλλὰ καὶ
πέττουσι καὶ ἀνθοῦσι καὶ βοτρυοῦνται, καὶ οὐ δύνανται τε-
λειοῦν. ὡσαύτως δὲ καὶ τῶν ῥοῶν. καὶ ἔτι ἄλλο μέχρι τοῦ ἄν-
θους ἀφικνεῖται μόνον. ἐν γὰρ τῇ ἰδίᾳ φύσει τὰς διαφορὰς

ἕκαστα τούτων ἔχοντα, δικαίως ἕτερα ἂν λέγοιντο κατὰ τὸ εἶδος.
ὅσα δὲ δύναται περιπαίνειν καὶ βλαστάνειν ἐν αἰθρίᾳ, καὶ τὰ ἄλλα μέ-
χρι καθάπερ ἡ μηδικὴ μηλέα, ταῦτα μείζω τινὰ ἔχει καὶ ἰδιωτέραν
δύναμιν ἐν ἑαυτοῖς· εἴπερ ἀεὶ διὰ τέλους τοῦτο δρᾷ· παρόμοιον δὲ
τὸ συμβαῖνον, ὥσπερ ἐν τοῖς ἀέρι προτέρῳ ἐλέχθη, τῷ μαλακῷ καὶ
εὐκράτῳ· καθ' ὃν ἡ καρποφορία καὶ ἡ βλάστησις· πλὴν ἐκεῖ μὲν
ὁ ἀὴρ αἴτιος· διὸ καὶ πᾶσι κοινός· ἐνταῦθα δὲ ἡ τοῦ δένδρου φύσις καὶ
δύναμις, εὔκρατος πρὸς ἁπάσας τὰς ὥρας· ἐπεὶ δ' ἕτερον τὸ
περικάρπιον (τοῦτο γὰρ πρὸς τὴν χρῆσιν ἡμῶν) ἀνάγκη μὲν τού-
των ὅρον τινὰ τὸν χρόνον εἶναι· τὸν δὲ ὑπερβάλλοντα, λυμαίνε-
σθαι, χειμώνων τε καὶ ὑδάτων καταλαμβανόντων· τὸν δὲ καρπὸν
μὴ εἶναι· συγκαταρρέουσι γὰρ τούτοις προσεκπηδῶσιν, ὥσπερ
οἱ τῶν πιτυωδῶν πεύκης, καὶ ὅλως τῶν κωνοφόρων· προσηρτημένοι
γάρ ἐστι τῶν κώνων, ἐκπηδᾷ τὰ κάρυα· καὶ καταλείπονται κε-
νοί· ταὐτὸ δὲ συμβαίνει τοῦτο καὶ ἐπὶ τῶν κυπαρίττων· ἀλλ' ἔνθα
μὲν τὸ σπέρμα καρυῶδες, ἔνθα δὲ ὑμενῶδες καὶ ἀμενηνόν· ὅσα
μὲν οὖν ξυλώδεσιν ἢ δερματικοῖς τισὶ περιέχεται, καθάπερ
τά τε κάρυα καὶ βάλανοι, ταῦτα μὲν περιστερέμνα διατηρεῖται
πρὸς τὴν τῆς βλαστήσεως ὥραν· ὧν δὲ σαρκώδη τὰ περικάρπια,
ταῦτα δὲ σηπομένων καὶ περιρρεόντων, αὐτὰ καθ' αὑτὰ σώζεται τὰ
μένοντα ξυλώδη· καθάπερ τὸ γίγαρτον καὶ τὸ τοῦ φοίνικος, καὶ
ὁ τῆς ἰτέας πυρήν· τὰ δέ, ἐν ὑμέσι καὶ χιτῶσι περιεχόμενα πλεί-
οσι· τὰ δὲ καὶ ἀλλήλοις πως συνημμένα, καὶ κοινὴν περιοχὴν
ἔχοντα, καθάπερ καὶ τὰ τῶν ἀπίων καὶ μήλων· ἅπαντα δὲ ταῦ-
θ' ὡς εἰπεῖν ἐν μείζοσι περικαρπίοις, ἵνα πλείω διαμένῃ χρό-
νον· τῶν μὲν οὖν καρπῶν, αὕτη φυλακὴ καὶ σωτηρία πρὸς τὴν
γένεσιν· ἡ δὲ τῶν περικαρπίων ὁμοίως ἔργον τινὰ ἔχει καθάπερ
ἐλέχθη πρὸς τὴν χρείαν· ἐπεὶ καὶ οἱ χυλοὶ χρονιζόμενοι καὶ ἀνυγραι-
νόμενοι, χείρους γίνονται· τῶν δέ, οὐδὲ πλείους· οὐδὲ ἀπό τινος
ὥρας, ὥσπερ οὐδὲ τῶν ἐλαιῶν ἀπ' ἀρκτούρου· μέχρι τούτου

γὰρ τὸ ἔλαιον

γὰρ τὸ ἔλαιον ἐγγίνεσθαι δοκεῖ. κατὰ γὰρ τοῦτο περὶ σαρκὸς ἡ αὔξησις καὶ ἐὰν γένηται πλείω τῶν ὑδάτων καὶ χεῖρον γίνεσθαι τὸ ἔλαιον, ἀμόργην λαμβάνον πλείω. πολλάκις δὲ καὶ σήπεται μὲν τῶν καρπῶν. περιμένουσι δὲ ἐπὶ πᾶσιν, καὶ οὐκ εὐθὺς ἀφαιροῦσιν. ὅτι καὶ ἡ κατεργασία καὶ ἡ ἀφαίρεσις χαλεπωτέρα. ἔτι τὰ δένδρα λυμαίνοιτ' ἂν ῥαβδιζόμενα. φαίνεται δ' οὖν εἴπερ τοῦτ' ἀληθές, ἡ τοῦ θερμοῦ φύσις, δημιουργεῖν τὸ ἔλαιον καὶ τὴν λιπαρότητα τοῦ χυλοῦ, συμμετρίαν ἔχουσα πρὸς τὸ ὑποκείμενον. ἡ δὲ πλείων ὥσπερ ἀλλοτρία καὶ ἐπίθετος πρὸς περιττώματος χῶρον. οἷον ἂν ποιῶσι μᾶλλον εἰς τὴν σάρκα τὴν τοῦ χυλοῦ δύναμιν. ὃ καὶ τοῦ θέρους καὶ τοῦ χειμῶνος συμβαίνει, γινομένων ὑδάτων ἐκ Διός, καὶ βρεχομένων τοῖς ναματίοις, ἐν ὁρμῇ περὶ αὐξήσεως οὔσης. ἐκσαρκοῦνται γὰρ καὶ ἀπολλύουσι τὸ ἔλαιον, διὰ τὴν πολυτροφίαν. ἂν μὴ μετὰ ταῦτα αἰθρίαι γενόμεναι καταξηράνωσιν. οὕτω δὲ σώζεται τὸ πληθύνει μᾶλλον. ὅπερ ἤδη καὶ πρότερον πολλάκις γέγονε. καὶ τὸ τῇ Λυταίου ἤδη ἐπάρχοντος Νικοδώρου. διὸ καὶ ἡ φύσις ἐγένετο καλλί· ἐκ γὰρ τῶν ἡμίσεων ἡ αὐτή. τοῦ μὲν ἐφεξῆς, ὅτι πρὸς τὴν χρείαν τὴν μετέραν εὑρίσκομεν, ἐκ τούτων τε ἐκ τῶν πρότερον δῆλον. ἐν οἷς ὑπὲρ τῶν ἀγρίων εἴπομεν. φέρει δὲ τοὺς καρποὺς τὰ μὲν, ἐκ τῶν ἔνων. τὰ δὲ, ἐκ τῶν νέων βλαστῶν, διεστῶτα ταῖς φύσεσιν εὐθὺς κατὰ τὰς κράσεις. ὅσα μὲν ξηρὰ καὶ πυκνὰ καὶ ξυλώδη, ταῦτα μὲν ἐκ τῶν ἔνων. ἅτε μικρᾶς καὶ βραχείας οὔσης περὶ ἐπιρροῆς. ἅμα δὲ καὶ ὁ βλαστὸς ἀσθενής, ὥστε μήτε μετενεγκεῖν δύνασθαι μήτε καταχεῖν. ὥσπερ ὁ τῆς ἐλαίας. ὅσα δ' ὑγρὰ καὶ μανὰ τὸ ὅλον ὡς ἀφῆ, ταῦτα ἐκ τοῦ ἀθρόως τε ἡ ὁρμὴ καὶ πολλή. διὸ ἄμφω δύναται ποιεῖν ἅμα τόν τε βλαστὸν καὶ τὸν καρπόν. οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν ἔνων φέρουσιν ἀποβλαστήματι ποιεῖται μικρόν. καὶ οὐκ εὐθὺς ἐκ τοῦ ξυλώδους ὁ καρπός. οὐ δὲ γὰρ οὐδὲ πέφυκεν, ἂν μή τι παράλογον. ἰδιωτάτη δὲ καὶ πρὸς τὰ ἄλλα καὶ πρὸς αὐτὰ τὰ ξυλώδη τῶν καρπῶν, ἡ γένεσις τοῦ φοίνικος.

οὐ γὰρ φέρει ἀπὸ τῶν ἔνων ἢ νέων, ἀλλὰ τῶν κυουμένων πρότερον· ὥσπερ τὰ σταχυηρὰ τῶν σπερμάτων ἐκφαίνεται· ἐκ γὰρ τῶν ὁμογενῶν ἐκφαίνεται καθάπερ στάχυς ἡ ῥάβδος, ἔχουσα πρὸς ἑαυτῇ τὸν καρπόν· αἰτιάσαιτο δ' ἄν τις τὴν ξηρότητα τοῦ δένδρου καὶ τὴν ὅλην μορφήν· ἐπεὶ γὰρ φυλακῆς οἱ καρποὶ δέονται, καὶ ἔξω συνιστάμενοι, καὶ ἐξ αὐτῶν προφαινόμενοι, τοῖς μὲν ἄλλοις, τὰ φύλλα ταῦτα ποιεῖ καθάπερ εἴρηται, τούτου δὲ ἐπείπερ οὐ παρὰ τὸ φύλλον ὁ καρπὸς, ἀναγκαῖον ἐν ἑαυτῷ πρὸς τὴν σύστασιν γενέσθαι, ὅπως ἰσχυρὸν ἤδη καὶ μεμορφωμένον ἀποδοθῇ τῷ ἀέρι· διόπερ ἐν τῷ συγγενεῖ καὶ οἰκείῳ τὴν κύησιν ἐξέτικεν· ἴσως δὲ εἴπερ ὅμοιον τῷ σταχυοβολεῖν· τοῦτο γὰρ πλεόνων ἐστί· καὶ τὴν αἰτίαν κοινήν τινα λεκτέον· ἀλλ' εἰ ἄρα μόνῳ τῶν δένδρων τῷ φοίνικι τοῦτο συμβαίνει· τὸ γὰρ ἴδιον ἐν τοῖς ὁμοιογενέσι θαυμάζεται· περὶ μὲν οὖν τούτου σκεπτέον· παρενιαυτοφόρα δὲ καὶ οὐκ ἐπετειοφόρα τῶν δένδρων ὡς τύπῳ λαβεῖν, τὰ ξηρὰ καὶ ξυλώδη καὶ ὅσα μὴ ἐκ τῶν νέων ἀλλ' ἐκ τῶν ἔνων φέρει τοὺς καρπούς· οἷον γὰρ προσυλλέξαι δεῖ καὶ προγυμνάσαι τὸ γεννῶν· οὐ δύναται δ' ἅμα ταῦτα· διὰ τὴν πρότερον λεχθεῖσαν αἰτίαν· ὥσπερ τὰ εὐξυλῆ καὶ εὔτροφα· μάλιστα δ' ἐπιδήλως ἡ ἐλαία τοιοῦτο· καὶ γὰρ ἀσθενέστατον καὶ ἐπικηρότατον· καὶ ἅμα ῥαβδιζομένη πονεῖ καὶ κατακεκομμένη τὰς θαλείας· ἐπεὶ καὶ ὅσοι γε μὴ οὕτω συλλέγουσιν, ἀλλὰ καὶ αὐτομάτως ἀεὶ τὴν ἀπορρέουσαν ἀποσείοντες ἐπετειοφορεῖν φασι μᾶλλον· μέγα δὲ καὶ αἱ χῶραι διαφέρουσιν· ἐν γοῦν τῇ ἀληθείᾳ φασὶν ὡς αἰεί τι καρποφορεῖ· παραλλαστὴν δὲ ποιοῦνται κατὰ τριετίαν ὅσα ἰσχυρότερα τῶν ἐκ τῶν νέων φερόντων, οἵας ἂν ὁ θεὸς ἄγῃ τὰς ὥρας, οὕτως καὶ τὰ τῶν καρπῶν ἀποδιδόασιν, ὥσπερ καὶ τὰ ἐκ τῶν νέων καρποφοροῦντα· καὶ γὰρ ταῦτα συνακολουθεῖ ταῖς ὥραις καὶ τῇ κράσει τοῦ ἀέρος· συμβαίνει δὲ ὅταν μὲν εὐβλαστῶσιν ἄγαν, ἀκαρπεῖν μᾶλλον· ὅταν δ' εὐκαρπῶσιν

πῶσιν, ἀβλαστεῖν, ὡς οὐ δυναμένης εἰς ἄμφω διαρκεῖν τῆς φύ-
σεως, ἀλλὰ καὶ καταναλισκούσης θάτερον πρὸς θάτερον. ἴδιον δὲ
τὸ περὶ τῆς συκῆς καὶ τῶν λευκῶν ἀμπέλων ὥς τινές φασι συμβαῖνον·
ταῦτα γὰρ ὅταν εὐβλαστῶσι, τότε μάλιστα ἐκκαρπεῖν· εἰ δὲ τοῦτό ἐστι, τὸ
πρότερον εἰρημένον ἀληθές· ἡ γὰρ εὐβλαστεία ἀφαιρεῖται τοὺς καρπούς. σύ-
μετρος δὲ τοῦτο μάλιστα χώρας ἀρετῇ καὶ ἰσχύι τῶν δένδρων· ἐν τῇ μὲν γὰρ
ἄφθονα· τὰ δὲ, ἑλκύσαι δύναται διὰ τὴν ἰσχύν· ὥσπερ ἡ ἀμυγδα-
λῆ καὶ ἡ ῥόα. δῆλον δὲ ὡς ὅσα τὴν φύσιν ἀσθενῆ, ταῦθ᾽ ἥκιστα ὑπερ-
βλαστάνει· ἀλλὰ σύμμετρος αὐτοῖς ἡ εὐβλαστία γίνεται πρὸς τὴν καρ-
πογονίαν· δεῖ γὰρ μήθ᾽ ὑπερβλαστεῖν μήτε κακοβλαστεῖν, εἰ μέλλει τὸ καρ-
ποτοκήσειν. ἡ δὲ συκῆ καὶ ἡ ἄμπελος ἡ τοιαύτη μάλιστα λαμβάνει
τὸ σύμμετρον διὰ τὴν ἀσθένειαν· δεῖ δὲ ἴσως καὶ χώραν εἶναι μὴ ἀ-
γαθήν, ἵνα μὴ διὰ ταύτης ἡ ὑπερβολή. διόπερ εἰς τὰς νήσους
τὰ τοιαῦτα μᾶλλον συμβαίνει. κοινὸς δὲ ὁ λόγος περὶ πάντων τῶν
ἀσθενῶν. τούτου μὲν οὖν ἐνταῦθα που τὸ αἴτιον ὑποληπτέον. ἐν
ἅπασιν δὲ τοῖς καρποῖς τὸ περικάρπιον πρότερον μᾶλλον, ἢ αὐ-
τοῦ γε ὁ καρπὸς καὶ τὸ σπέρμα γίνεται. τοῦτο δ᾽ οὐ μόνον ὅτι ξυ-
λώδη καὶ πυρηνώδη γίνεται τὰ πολλὰ τῶν σπερμάτων, τὰ δὲ τοιαῦτα
συνίσταται βραδύτερον· ἀλλὰ καὶ ὅτι τέλος ὥσπερ ἐλέχθη τὸ σπέρμα,
δεῖ δὲ τὸ ἕνεκα ἄλλου πρότερον, ἢ ἐκεῖνο εἶναι· ἐν προϋπάρχοντι
γὰρ ἡ τῶν τοιούτων γένεσις. διὸ οὐχ ἅπαντα ἐνίων τὰ περικάρ-
πια σπερμοφόρα, καθάπερ τῶν βοτρύων μικραὶ ῥάγες, ὡς οὐκέτι
δυναμένης τελειῶσαι τῆς φύσεως ταύτας. γλυκεῖα δ᾽ οὐδὲν ἧτ-
τον τῶν μεγάλων. ἢ καὶ δῆλον ὡς ἀραιὸν ἐκπέψαι τὸ περικάρπιον
ἔοικεν, ὥσπερ ὑπὸ τοῦ ἡλίου καὶ τοῦ ἀέρος καὶ τῆς ὥρας συνέψεσθαι.
τὸ δὲ σπέρμα τῆς φύσεως ἰδιώτερον εἶναι· πρὸς ἡμᾶς δὲ τὰ μὲν, οὐδέν· τὰ
δὲ, ἐν ἐλάττονι χρόνῳ· ἐλάττων γὰρ ἡ χρεία· διὸ καὶ τὰ ἀπύρηνα μάλι-
στα ζητοῦμεν καὶ ἐφ᾽ ὅσον δυνάμεθα τοῦτο σπουδάζομεν· ὥσπερ οἱ τῶν βο-
τρύων τοὺς ἀγιγάρτους ποιοῦντες. ἡ δὲ φύσις δῆλον ὡς ἀμφοῖν
ἀποδιδόναι βούλεται τὸ σύμμετρον. ὁπότερον δ᾽ ἂν πλεονάζῃ, θά-

τερον ἔλαττον· τοῦτο δὲ τῶν μὲν, δι᾽ ὑγρότητα καὶ ἁπλῶς εὐτρο-
φίαν εἶναι· διὸ καὶ τὴν ἀωρίαν ἔφαμεν συμμετρεῖν· τῶν δὲ διὰ ξη-
ρότητα ἢ πυκνότητα καὶ τὸ ὅλον δυστροφίαν· καὶ πρὸς μὲν τὴν
ἑκατέρου τελείωσιν καὶ πέψιν, τάχα δὲ καὶ τῶν φυτῶν γένεσιν ὅλως καὶ
πρωϊβλαστίαν, ἅπαντα τὰ τοιαῦτα, τήν τε τοῦ ἀέρος καὶ τοῦ ἡ-
λίου δύναμιν αἰτιατέον, καὶ τὰς ἰδίας ἑκάστων φύσεις· εἴτ᾽ οὖν
ὑγρότητι ἢ ξηρότητι ἢ μανότητι ἢ τοῖς τοιούτοις διαφερού-
σας, εἴτε θερμότητι καὶ ψυχρότητι· καὶ γὰρ ταῦτα τῆς φύσεως. τού-
των δὲ τὰ μὲν ἄλλα σχεδὸν τῇ αἰσθήσει φανερά· τὸ δὲ θερμὸν καὶ ψυ-
χρὸν, διαμφισβητεῖται καὶ ἀντιλέγεται· καθάπερ τὰ ἄλλα τὰ τῷ
λόγῳ κρινόμενα· περὶ ὧν καλῶς ἔχει διωρίσθαι πως ἄλλως· ἐ-
πεὶ καὶ πολλὰ πρὸς ταύτας ἀνάγεται τὰς ἀρχάς· ἀνάγκη δὲ ἐκ τῶν
συμβεβηκότων ἅπαντα τὰ τοιαῦτα σκοπεῖν· ἐκ τούτων γὰρ
κρινόμενα καὶ θεωροῦμεν τὰς δυνάμεις· μία μὲν οὖν αἰτία λέγε-
ται τῶν θερμῶν ἢ ψυχρῶν, ἡ εἰς τὸ κάρπιμον ἀνάγουσα καὶ ἄ-
καρπον· ὡς τῶν μὲν θερμῶν καρπίμων ὄντων· καθάπερ καὶ ἐπὶ τῶν
ζώων τῶν γονίμων καὶ ἀγόνων ἢ τῶν ζωοτόκων καὶ ᾠοτόκων· ἑτέρα δὲ κατὰ
τὰς χώρας· οἷον ψυχράς· τὰ γὰρ ἐναντία ἐν τοῖς ἐναντίοις δύνα-
σθαι διαμένειν· τὰ μὲν θερμὰ ἐν τοῖς θερμοῖς· τὰ δὲ ψυχρὰ ἐν τοῖς
ψυχροῖς· οὕτω γὰρ εὐθὺς καὶ τὴν φύσιν γινομένων, ὡς ὑπὸ μὲν τοῦ
ὁμοίου φθειρομένων διὰ τὴν ὑπερβολήν· ὑπὸ δὲ τοῦ ἐναντίου
σωζομένων οἷον εὐκρασίας τινὸς γινομένης· ὥσπερ καὶ Ἐμπεδο-
κλῆς λέγει περὶ τῶν ζώων· τὰ γὰρ ὑπέρπυρα τὴν φύσιν ἄγειν
εἰς τὸ ὑγρόν· συνηκολούθηκε δὲ ταύτῃ τῇ δόξῃ καὶ Μενέστωρ, οὐ
μόνον ἐπὶ τῶν ζώων, ἀλλὰ καὶ ἐπὶ τῶν φυτῶν· θερμότερα γὰρ εἶναί φησι
τὰ μάλιστα ἔνυγρα· οἷον· σχοῖνον· κάλαμον· κύπειρον· διὸ καὶ ὑπὸ τῶν
χειμώνων οὐκ ἐκπήγνυσθαι· καὶ τῶν ἄλλων, ὅσα μάλιστα ἐν τοῖς ψυ-
χροῖς δύνασθαι διαμένειν· οἷον, ἐλάτην· πεύκην· κέδρον· ἄρκευ-
θον· κιττόν· ἐπὶ τούτου γὰρ οὐδὲ τὴν χιόνα τῇ θερμότητι ἐπιμέ-
νειν· ἔτι δὲ σκολιὸν εἶναι διὰ τὴν ἐντεινομένην θερμὴν οὖσαν

καὶ

καὶ διατρέφειν. ἔτι τὴν δ' αἰτίαν λέγειν, τὸ πρωϊβλαστῆ καὶ πρωΐκαρπα εἶναι. φύσει γὰρ καὶ ὁ τόπος αὐτὸς ὢν θερμὸς, καὶ βλαστάνειν πρωῒ ποιεῖ, καὶ πέττει τοὺς καρπούς. σημεῖον δὲ ποιεῖ καὶ τούτου τόν τε κιττὸν καὶ ἕτερα ἄττα. τετάρτη δ' ἡ τῶν ἀειφύλλων. διὰ γὰρ θερμότητα καὶ ταῦτα οἴεται διατηρεῖν. τὰ δὲ, ἐνδείᾳ τοῦ φυλλοβολεῖν. προσεπιλέγειν δὲ τοῖς εἰρημένοις καὶ τὰ τοιαῦτα, σημειούμενος, ὅτι τὰ πύρια ἄριστα καὶ κάλλιστα ἐκπυροῦται καὶ τῶν δένδρων. ὥστε εἴ τις τὰ τοῦ πυρὸς ὄντα τάχιστα, ἐκπυρούμενα. καὶ τὰ μὲν ὑπὲρ τῆς θερμότητος λεγόμενα, σχεδὸν ταῦτ' ἐστίν. ἔχει δ' ἀπορίαν εὐθὺς ἐπὶ τοῦ πρώτου λεχθέντος, ὡς οὐκ ἔστι τὰ καρπιμώτερα θερμότερα. τὰ γὰρ θήλεα τῶν δένδρων πολυκαρπιμώτερα μὲν, ἧττον δὲ θερμὰ τῶν ἀρρένων. ὥσπερ ἐκ τῆς τῶν ζώων ὁμοιότητος ληπτέον καὶ μὴ ὁμώνυμον. ἔτι δὲ τὰ ζῶα τὰ πολυγονώτερα, θερμότερα. καθάπερ σαρκοφάγα καὶ λαίμαργα. μόνα γὰρ τῶν θερμῶν δοκεῖ, κύων καὶ ὗς πολυτοκεῖν. αὐτῶν δὲ τῶν ὁμογενῶν τὰ ὁμοιοειδέστερα πολυγονώτερα. καθάπερ ἐπὶ τῶν ὀρνίθων. ἡ γὰρ θερμότης ἐξαύξειν φαίνεται καὶ διαρθροῦν τὰ μέλη καὶ σκληρύνειν. ἀλλὰ καὶ εἰς τὴν ζωογονίαν καὶ εἰς τὴν καρποτοκίαν καὶ πέψιν πᾶσιν, συμμέξίας τινὸς δεῖ τοῦ θερμοῦ καὶ οὐχ ὑπερβολῆς. εἴπερ αὐτὴ μὲν ξηραίνει καὶ πυκνοῖ μᾶλλον. ὥστε ταῦτα μὲν ἐν ἀμφιδόξῳ. προσδεόμενα δέ τινος διορισμοῦ περὶ τῶν ἐνύδρων ῥοῶν ἡ ἀμφισβήτησις. οὔτε γὰρ οὔτε γόνιμα ἂν, οὔτε ἂν τρέφειν. τό τε σώζειν πέφυκε τὸ ἐναντίον, ἀλλὰ τὸ ὅμοιον. ἐπεὶ καὶ Ἐμπεδοκλεῖ πρὸς τοῖς ἄλλοις καὶ τοῦτ' ἄτοπον, ὅπερ καὶ ἐν ἑτέροις εἴρηται. τὸ συννήσασαν ἐν τῷ ξηρῷ τὴν φύσιν μεταίρειν εἰς τὸ ὑγρόν. πῶς γὰρ ἂν διέμενε, καὶ πῶς οἷόν τε καὶ διαμένειν ὁντινοῦν χρόνον, εἴπερ ἦν ὅμοια τοῖς νῦν. ἔτι δ' αὐτὸ τὸ συμβαῖνον κατὰ τὴν νῦν γένησιν ἀποσημαίνει. ἅπαντα γὰρ φαίνεται τὰ ζῶα καὶ τὰ φυτὰ καὶ διαμένοντα καὶ γινόμενα ἐν τοῖς οἰκείοις τόποις, ὁμοίως ἔνυδρα καὶ χερσαῖα, καὶ εἴ τις ἄλλη τοιαύτη διαφορά. διὸ καὶ ἀπαθῆ μὲν ὑ-

ὑπὸ τούτων, παθητικὰ δὲ ὑπὸ τῶν ἐναντίων, ἅτε μεγάλης γὰρ με-
ταβολῆς γινομένης. ἀσύμφωνοι δὲ αἱ δόξαι πρὸς αὐτάς, ὅταν ἅ-
μα τε τὰ ἔνυγρα θερμότερα ᾖ καὶ καρπιμώτερα. πολλὰ γάρ ἐστιν ἄ-
καρπα τῶν ἐνύδρων. καὶ πάλιν ὅταν τά τε πρωϊβλαστῆ καὶ πρω-
ΐκαρπα. καὶ τὰ ἀείκαρπα καὶ ἀείφυλλα, θερμὰ λέγωσιν. ὀψι-
καρπότατα γάρ ἐστιν ὡς εἰπεῖν τὰ ἀείφυλλα. ἔτι τὸ ὅλον ὥσπερ
πρότερον εἴρηται πρωϊβλαστῆ καὶ πρωϊκαρπα διὰ ἀσθένειαν. ἔνια,
ἃ καὶ συμπαρακολουθεῖ βλαστάνοντα καὶ ἀνθοῦντα πλείω χρόνον.
ὥσπερ καὶ ἐν τοῖς ἐπετείοις ὁ ἠριγέρων, ἔχει δηλονότι συμμε-
τρίαν τινὰ κατὰ τὴν ἀπόρροιαν τῆς τροφῆς. ὃ δὲ προσεπιλέγουσι περὶ τῶν
πυρείων, οὐκ ἄν τις ἴσως φαίη θερμότητος ἀλλ' αὐχμηρότητος εἶναι ση-
μεῖον. ἡ γὰρ τρῖψις ὀξεῖα ἡ ποιοῦσα τὸ πῦρ. σφοδροτέρα δὲ ἐν
τούτοις ἢ καὶ μᾶλλον ἐξαιροῦν δυναμένη τὸ ὑγρόν. ἀλλὰ δὴ μά-
λιστα ἐκεῖνα φαίνεται καὶ κατὰ τὴν αἴσθησιν θερμὰ καὶ κατὰ λό-
γον, τὰ λιπαρά τε ἔτι τὰ δριμέα καὶ εὔοσμα. οὕτως ἔχει πάντα
γὰρ ταῦτα ἐν θερμότητι δοκεῖ εἶναι. διὸ καὶ ξηρά τε ὄντα καὶ ὡς
ἐπίπαν πυκνὰ καὶ ἀσαπῆ. καὶ τοὺς χυλοὺς ἔχοντα λιπαρεῖς
καὶ δριμεῖς. ὅθεν τὸ ὄζειν καὶ ἀφρῶν. καὶ ἡ πεύκη θερμὴ καὶ αὐτὴ πυρω-
τὸς ὄζειν. οὐ μὴν μόνα γε ταῦτα. ἀλλὰ καὶ ἄλλα δοκεῖ θερμὰ εἶναι
καθάπερ καὶ φίλυρα. καὶ ὅλως ὅσα τὴν τοῦ σιδήρου βαφὴν αἴτι-
να. χρὴ δὲ καὶ ταῖς τοιαύταις δυνάμεσιν ἀθρεῖν τὰ θερμὰ καὶ
τἀκείνων. οἷον, ὅσα κατὰ τὰς προσφορὰς τοῖς σώμασι θερμό-
τητάς τινας ἐμποιεῖ καὶ πέψεις, ἢ συντήξεις, ἢ καὶ τὸ ὅλον κα-
τὰ τὴν ἀφὴν καὶ τὴν γεῦσιν διαδίδωσι τὴν αἴσθησιν. οὐ γὰρ ἔτι
ταῦτα λόγου δεῖται πρὸς τὴν πίστιν. ἀλλὰ καὶ ἡ τῶν ἰατρῶν χρεία
μαρτυρεῖ, καὶ ἡ αἴσθησις. ὡς δ' ἐπὶ τὸ πᾶν, πλείω ταῦτα ἐν τοῖς
θερμοῖς ἢ ψυχροῖς ἢ οὐκ ἐλάττω γίνεται. διὸ καὶ πρὸς τοῖς ἐναντίοις γένεσι
ἔτι τούτων ἀμφισβητεῖται. τὸ μέντοι παρέπεσθαί τινα τροφὴν
εἰς τὸ διαμένειν ἐν τοῖς ψυχροῖς ἔνια τῶν θερμῶν, τάχ' ἄν τις συγ-
χωρήσειεν. ἀλλὰ τὰ ποῖα καὶ πῶς τοῦτο πειρατέον διαιρεῖν, εἰ

μὴ ἄρα

μὴ ἄρα ἁπλῶς ἰσχύι τινὶ μᾶλλον ἢ εἰ ζῴων ἢ τῶν ὅλων σωμάτων ἡ διαμονή· καθάπερ καὶ τῆς ἀπίου· καὶ τῆς ἀχράδος· καὶ τῆς ἀμυγδαλῆς· καὶ δὴ, καὶ ἥκιστα ἐμπίπτει συναχθῆ· καὶ περὶ μὲν θερμότητος ἐκ τούτων ληπτέος ὁ διορισμός

✠ ⁜ ✠ ΤΕΛΟΣ ⁜ ✠ ⁜

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡῚ ΦΥΤΩ͂Ν ΑἸΤΙΩ͂Ν. ΤῸ Β´

ΠΕΡῚ ΔῈ ΤᾺΣ βλαστήσεις καὶ καρποτοκίας τῶν δένδρων καὶ ἁπλῶς τῶν φυτῶν, ὅσα μὴ πρότερον εἴρηται, πειρατέον ὁμοίως ἀποδοῦναι, διαιροῦντας χωρὶς ἑκάστας, τάς τε κατὰ τὰς ἐπετησίους ὥρας γινομένας, καὶ ὅσα κατὰ τὰς γεωργικὰς θεραπείας· δύο γὰρ δὴ μέρη ταῦτ᾽ ἐστί· τὸ μὲν, ὥσπερ φυσικὸν καὶ αὐτόματον· τὸ δὲ, τέχνης καὶ παρασκευῆς δεόμενον εἰς τὸ εὖ εἶναι· ὁ λόγος δὲ ἀμφοῖν ἐστιν οὐχ ὁ αὐτός· ἀλλ᾽ ὁ μὲν, οἷον φυσικός· ὁ δὲ, ὡς ἂν ποιητικός· ὅτε γὰρ ἡ φύσις οὐδὲν μάτην, ἥ τε διάνοια, βοηθεῖν θέλει τῇ φύσει· ἐπεὶ δὲ πρότερα τὰ τῆς φύσεως, ὑπὲρ τούτων καὶ λεκτέον πρότερον· μέγιστον μὲν οὖν ὡς ἁπλῶς εἰπεῖν παντὶ δένδρῳ καὶ ἡμέρῳ καὶ ἀγρίῳ καὶ ὅλως τῷ φυτῷ παντὶ πρὸς εὐβλαστίαν καὶ εὐκαρπίαν, τὸ χειμασθῆναι χειμῶσιν ὡραίοις καὶ καλοῖς· οὕτω γὰρ αἱ βλαστήσεις κάλλισται καὶ αἱ καρποτοκίαι γίνονται· καλοῦσι δὲ χειμῶνα, ἐὰν πολυυδρίαν τε ἔχῃ βόρειον, καὶ χιόνος πλῆθος, καὶ τὸ ὅλον ψῦχος ἔχῃ χωρὶς πάγου· δεῖ γὰρ κεκενωμένα τὰ δένδρα μετὰ τοὺς καρπούς, ἀντιπληρωθῆναι πάλιν τῆς τροφῆς, καὶ

ταύτην πέψαι καὶ καταχεῖν, εἴπερ εὐβλαστὴς καὶ εὔκαρπος μέλ-
λει γενήσεσθαι. τροφῆς μὲν οὖν πλῆθος ἐν ὄμβρου πλήθει. τὸ δὲ κατα-
χεῖν καὶ πέψαι ταύτην, ἐὰν ὁ χειμὼν πέσῃ καὶ μὴ εὐθὺς ἡ ἔνδρο-
μὴ γένηται. τὰς γὰρ ῥίζας ὀρεγομένας ἀφθόνου τροφῆς, διαδιδόναι δεῖ
πάντῃ τῷ δένδρῳ· καὶ ταύτην ὥσπερ κυουμένην καὶ πεττομένην χρό-
νον λαμβάνειν σύμμετρον. οὐκ ἔσται δὲ τοῦτο ἐὰν μὴ κατάσχῃ τὰ ψύ-
χη. ταχὺ γὰρ ἅμα μαλακότης τοῦ ἀέρος ἐκκαλεῖται τὴν βλάστησιν. διὸ
καὶ τοὺς ὄμβρους συμφέρει βορείους, μὴ νοτίους εἶναι, καὶ πλῆθος χιό-
νος. ὅπως τηκομένη κατὰ μικρὸν διαδύηται πρὸς τὸ ἔδαφος
καὶ μὴ ἀθρόον τὸ ὑγρὸν ἀπορρυῇ προσπεσόν. ἅμα τε καὶ τὴν γῆν
ἀναζυμοῖ συγκατακλείουσαν καὶ ἐναπολαμβάνουσαν τὸ θερ-
μόν. ὃ καὶ τοῖς σπέρμασι συμφέρει. εἰζωθέντα γὰρ καὶ ἐπισχόντα
τῇ πιλήσει καὶ τῇ καταπιέσει τοῦ ψύχους, ἅμα τῇ ἡμέρᾳ δια-
γελώσῃ, ταχείας ποιεῖ καὶ ἀθρόας ἀναδύσεις. ἀλλὰ τὰ μὲν σπέρ-
ματα προσεπιζητεῖ καὶ τοὺς ὀρθοὺς ὑετοὺς μᾶλλον κατὰ μικρόν
τε καὶ πλείους γινομένους, διὰ τὴν ἀσθένειαν καὶ τὸ ἐπιπόλαι-
ον τῶν ῥιζῶν. ταχὺ γὰρ αὖ ξηραίνονται, καὶ ταχὺ πάλιν δέονται.
τὰ δὲ δένδρα, καὶ ἰσχυρότερα καὶ βαθυρριζότερα, καὶ ἅμα διὰ πλεία
τροφῆς ἐν ἑαυτοῖς. ὥστε πρότερον τινὰ μᾶλλον τοῦ συνωρήσαντα
δεῖσθαι πρὸς τὴν πέψιν καὶ τὴν βλάστησιν. σημεῖον δὲ τὸ μὴ βλα-
στάνειν πρὸ τοῦ ἦρος. ὅτι δὲ πολυϋδρία συμφέρει τοῖς δένδροις,
κἀκεῖθεν φανερόν. ἐν γὰρ ταῖς ἐπομβρίαις ἅπαν θᾶσσον εἰπεῖν εὐθενεῖ
μᾶλλον. ἀλλ' ὅταν μὲν ὦσιν ὁπότε, δυσχεραίνουσι καὶ ἀσθενέστεροι γίνονται.
βορείων δὲ ὄντων, ἰσχυρά τε καὶ ἐκπέπτει μᾶλλον. ἅτε γὰρ μὲν γῆς δι-
ακόρου οὔσης, αὐτά τε συνεστῶτα καὶ ἐναπειληφότα οἰκεῖον θερμόν. ὅ-
που γὰρ ἀεὶ μαλακὸς ὁ ἀήρ, ἐν ταύτῃ ἡ εὐβλαστία καὶ εὐκαρπία γί-
νεται τῶν δένδρων· ὥσπερ ἐν Αἰγύπτῳ, διά τε τὴν ἐξουσίαν καὶ διὰ
τὸ μηδὲν ἀντικόπτειν τῶν ἔξωθεν. ἀφθόνου γὰρ τῆς τροφῆς οὔσης καὶ
τοῦ ἀέρος εὐτρόφου, εὐλόγως ἡ εὐβλαστία καὶ ἡ εὐκαρπία. πρὸς δὲ τὸ
ποιεῖν αὐτὴν ἢ πάντων ἢ τινῶν δεῖταί τινος ἴσως ἑτέρας κρά-

σεως. ἐν ταύταις δὲ ἐὰν μὴ καθ' ὥραν ἔτους αἱ βλαστήσεις ὦσιν, ἀλλὰ προεκδράμωσι διὰ τὴν εὐδίαν καὶ ἄνεσιν τοῦ ἀέρος, ἐπιγενόμενον ψῦχος διελυμήνατο καὶ ἐπέκαυσε. διὸ καὶ οἱ ὄπισθεν χειμῶνες χαλεποὶ τοῖς δένδροις. ὅταν γὰρ ἅπαξ ἐκτέκωσιν, εὐθὺς οἱ καρποὶ μαλακοῦ τινος ἀέρος δέονται πρὸς ἀναμονὴν εἰς τὴν ἐκτροφήν. καὶ μάλιστα ἐν ταῖς ἀρχαῖς. ὅτι γὰρ ἀσθενέστατοι. τὸ δὲ ἀσθενὲς, οἷόν τι τιθηνήσεως δεῖται. πρὸς δὲ ὅλως πᾶσα μεταβολὴ καὶ γένεσις, δεῖται τῆς τοιαύτης εὐκρασίας. μεταβολαὶ δ' ἅμα πρὸς τὰς γενέσεις τινὰς ἥ, τε βλάστησις καὶ ἡ ἄνθησις, καὶ εἴ τι τοιοῦτον ἕτερον. ἐν αἷς καὶ πλεῖσται φθοραὶ γίνονται τῶν καρπῶν ἐρυσιβουμένων τε καὶ ἀποκεκομμένων καὶ ἀποπιπτόντων, καὶ τὸ ὅλον χειμαζομένων. ἐπεὶ καὶ τὰ ἄγρια μάλιστα συμβαίνει τότε ὅταν μάλιστα ἀρτιβλαστῶν ὄντων ἐπιγένηταί τι πνεῦμα ψυχρὸν ἄγαν καὶ θερμόν. ἀπορρεῖ γὰρ ἄμφω καὶ ἀπόλλυσιν. ἀλλὰ ταῦτα μὲν ἐν τοῖς καθ' ἕκαστα δεῖ θεωρεῖν. ἡ δ' ὅλη διάθεσις καὶ κατάστασις τοῦ ἀέρος εἰς τὴν τῶν δένδρων εὐθένειαν. ὅτι δὲ ταύτῃ ξυμφέρει, φανερὸν ἐστὶν διὰ τῶν εἰρημένων. ἑπόμενον δ' ἴσως τούτοις ἐστὶ περὶ τῶν ὡραίων ὑδάτων εἰπεῖν. ὡραιότατα μὲν γὰρ τὰ χειμερινὰ διὰ τὰς λεχθείσας αἰτίας. δεύτερα δὲ τὰ πρὸ τῆς βλαστήσεως. οὕτω γὰρ ἀθροωτέρα τε καὶ καλλίων ἡ βλάστησις, ἐκπληρωθέντων πάντων ταῖς μορφαῖς. εἰ δὲ μὴ, ἀβλαστεῖς αἱ ἄμπελοι γίνονται, καὶ τὰ ἄλλα τῶν μὲν ἐχόντων, τῶν δὲ πεπτομένων. τρίτα δὲ μετὰ τὴν ἀπάνθησιν, ἃ πρὸς τὴν τροφὴν ἤδη καὶ τελείωσίν ἐστι. ταῦτα δὲ μὴ εὐθὺς, ἀλλ' ὅταν ὁ καρπὸς ἰσχύσῃ. εἰ δὲ μὴ, συμβαίνει τὰ μὲν ἄλλα καὶ ἀπορρεῖν. κἂν μὴ τοῦτο πάθῃ, διυγραινόμενα χείρω καὶ ἀσθενέστερα γίνεσθαι. τὴν δ' ἐλαίαν καὶ ἐπιβλαστοῦσαν ἀποβάλλειν, ἅτε τῆς τροφῆς ἰούσης εἰς τὸν βλαστόν. ὡραῖα μὲν οὖν ταῦτα. χείριστα δὲ καὶ παρακαιρότατα περὶ τὰς ἀνθήσεις ἑκάστων. ἅπαντα γὰρ ἀσθενῆ. καὶ παντελῶς εἰπεῖν ἤ τά γε πλεῖστα ἀπόλλυται καὶ ἀποπίπτει, τὰ μὲν ἐρυσιβούμενα. τὰ δὲ ὑγραινόμενα. τὰ δὲ ἐπιμένοντα χεῖρον ἀνθεῖν. πλὴν εἴ τινων ὁ

λίγων· καὶ τοῦ τοῦ χρόνου πλεῖον ἔστιν ἐν τοῖς φρυγανικοῖς καὶ ποώδεσιν· οἷον, τὰ στεφανωτικὰ καὶ ὅλως τὰ ἄγρια καὶ αὐτόματα τῶν ἀνθῶν· ἔτι δὲ τῶν ποωδῶν ἔνια, καὶ τῶν ἡμέρων σπερμάτων τὰ χεδροπά. ταῦτα δὲ διὰ μὲν, δυεῖν θάτερον ἢ δι' ἰσχὺν ἑαυτῶν τε καὶ τῶν προσφύσεων, καθάπερ καὶ τὸ ῥόδον, καὶ τὸ κρίνον, καὶ τὰ ἄλλα ὅσα τούτοις ὅμοια, ἢ διὰ ξηρότητα τῆς ὅλης φύσεως, ἀναλαμβανόντων τὸ ὑγρόν· ἐπικρατεῖ γὰρ οὕτω τὸ κρατοῦν, ἀπαθές. ὧν δὲ οἱ καρποὶ χρονιώτεροι, ἢ πλείονος δεόμενοι τροφῆς ἢ πέψεως, τούτοις ὡραῖα καὶ τὰ ὀψιαίτερα· καθάπερ ἀμπέλῳ ῥόα· ἐλαία· τοῖς ἄλλοις· ἁπλῶς δὲ ἑκάστοις πρὸς τὴν ἑαυτοῦ τελείωσιν· διὸ καὶ οὐχ ὁ αὐτὸς ἅπασι καιρός, ὥσπερ ὁ τοῦ χειμῶνος πρὸς τὴν βλάστησιν· ἀλλ' ἕτερος ὁ τοῖς ὀψικάρποις καὶ πρωϊκάρποις· ὥσπερ καὶ τῶν σπερμάτων τοῖς τριμήνοις· καὶ ἁπλῶς τοῖς ὀψίοις καὶ πρωΐοις· ἁπλῶς δ' αἰεὶ τὰ βόρεια βελτίω τῶν νοτίων· καὶ γὰρ ψυχρότερα· καὶ τὴν ἀπόλαυσιν ποιεῖ πλείω, ξυνεστηκότων καὶ ἰσχυόντων καὶ τῶν καρπῶν καὶ τῶν δένδρων· ἔτι δὲ ἀφαιρεῖ τὸ περιττόν· ἢ ἀποξηραίνεται καὶ οὐκ ἐᾷ προσκαθήμενον διυγραίνειν· οὐδὲ ὑπὸ τοῦ ἡλίου συνεψόμενον λυμαίνεσθαι· διὸ καὶ τὰ ἐπιγινόμενα πνεύματα ὠφελεῖ· καὶ μάλιστα ἐὰν ᾖ βόρεια· περιαιρεῖ γὰρ ταῦτα καὶ ἀπόλαυσιν ποιεῖ πλείω· διὰ ταῦτα δὲ καὶ τὰ παραπλήσια, καὶ τὰ νυκτερινὰ βελτίω τῶν ἡμερινῶν· ἀπόλαυσίς τε δὲ γίνεται πλείων, μὴ εὐθὺς ἀφαιρουμένου τοῦ ἡλίου· καὶ τῶν ἄλλων ἀκινδυνότερα· τὸν αὐτὸν δὲ τρόπον, καὶ τῶν πνευμάτων, τὰ βόρεια τῶν νοτίων βελτίω· ἢ τὰ πόντια τῶν ἀπογείων· ὅτι ψυχρότερα· ἢ τὰ ἀπὸ δύσεως, τῶν ἀφ' ἑῴων· καθόλου γὰρ ὡς εἰπεῖν τὰ ψυχρὰ τῶν θερμῶν, ἐὰν μὴ ἀρτιβλαστῆ ᾖ καὶ ἐν ἀνθήσει λαμβάνῃ· τότε γὰρ ἀποκάει τὰ ψυχρά, καθάπερ εἴρηται· βελτίω δὲ καὶ τὰ ζεφύρεια, καὶ αἱ τροπαῖαι· καὶ ὅλως αἱ αὖραι τῶν σκληρῶν καὶ διατόμων· τὸ μὲν γὰρ τρέφει· θάτερον δὲ πιλοῖ ἢ κωλύει τὰς αὐξήσεις· ἰσχύει δὲ ἕκαστον κατὰ τὴν θέσιν τῆς χώρας· ἄλλα γὰρ ἄλλοις τοιαῦτα· καθάπερ ἐ-

λέγειν καὶ πρότερον. διὸ καὶ ὡς ἐπίπαν εἰπεῖν, βελτίω τὰ βόρεια τῶν νοτίων. οὐ μὴν ἀλλ' ἐπεί περ αἱ παραλλαγαὶ καὶ τῆς χώρας ποιοῦσι τὴν δύναμιν, καὶ δεῖ τοῦ μὲν χειμῶνος εἶναι θερμά, τοῦ δὲ θέρους ψυχρά· βοηθεῖ γὰρ οὕτως ἑκάτερα πρὸς τὰς ὥρας ὥσπερ εἴρηται. ἐὰν δὲ ὅμοια, βλάπτει. περὶ δὲ τὰς ὑπερβολὰς εὔλογον ὅτι δὴ μὴ τὰ αὐτὰ πᾶσιν εὔτροφα καὶ ὠφέλιμα καὶ βλαβερὰ γίνεσθαι. διὸ τοῖς μὲν, νότος ἐπισινής, τισὶ δ' ὠφέλιμος. ὡσαύτως δὲ καὶ ὁ ζέφυρος καὶ τῶν ἄλλων ἕκαστος. ἅπασι δὲ χαλεπὰ καθάπερ εἴρηται κατὰ τὴν βλάστησιν εὐθύς, ἢ θερμὰ λίαν ἢ ψυχρὰ πνέοντα· διαφθείρει γὰρ ἀμφότερα τὴν ἀσθένειαν. ὡς δὲ τὸ ὅλον εἰπεῖν, εὔπνουν εἶναι χρὴ τὸν τόπον. ἕτερος δ' οὐκ εὔπνους καὶ ὅλως ὁ προσήνεμος ἀναυξής. σχεδὸν δ' ὁμολογουμένη τις αὕτη τοῦ ἀέρος διάθεσίς ἐστι. τόγε γὰρ ὁ εὔκρατος ἀὴρ ὡς ἁπλῶς εἰπεῖν ἄριστος τοῖς δένδροις· συμμαλακτὴς ὢν καὶ εὔκαρπος. οἱ δὲ περισκελεῖς ἐφ' ἑκάτερα διαφθείρουσιν· οἱ μὲν τοὺς καρπούς· οἱ δ' ὅλα καὶ τὰ δένδρα. πλὴν ὅσα πέφυκεν οἰκεῖα τούτοις. ἔνια γὰρ δὴ ταῖς ὑπερβολαῖς χαίρει. καὶ τὰ μὲν ἐστὶ φιλόθερμα· καθάπερ φοῖνιξ. τὰ δὲ φιλόψυχρα μᾶλλον· ὥσπερ ὁ κιττὸς καὶ ἡ ἐλάτη. ταῦτα γὰρ ὅλως ἐν τοῖς ἐμπύροις οὐ φύεται· χαλεπὸς δὲ καὶ πύξος καὶ φιλύρα καθάπερ ἐν ταῖς ἱστορίαις εἴπομεν. αἴτιον δὲ ἡ θερμότης καὶ ἡ ξηρότης· οἷον γὰρ πῦρ ὥσπερ πῦρ γίνεται. συμμίξιας δέ τινος δεῖται καὶ τὸ ὅμοιον· ὡσαύτως δὲ οὐδὲ ἐν τοῖς ψυχροῖς ἔνια φύεται τῶν ψυχρῶν, διὰ τὴν αὐτὴν αἰτίαν. ἔστι δὲ καὶ τῶν ἐναντίων δηλονότι συμμιξία τις πρὸς ἄλληλα ὥστε τὰ μὲν δύνασθαι βλαστάνειν. τὰ δὲ δι' ἄλλην τινὰ ἔχειν τὴν κρᾶσιν τῆς φύσεως πρὸς τὸ περιέχον. ἔοικε δὲ κοινὸν εἶναι τοῦτο καὶ τῶν ζώων. καὶ γὰρ τὰ ζῷα καθ' ἑκάτερον τῶν τόπων ἴδια τυγχάνει. τὰ μὲν δεχόμενα, τὰ δ' οὐ δεχόμενα τὴν τοῦ ἀέρος διάθεσιν. ὅτι δὲ καὶ τροφὰς οὐκ ἔχοντα τὰς οἰκείας· ἐνδέχεται γὰρ καὶ τοῦτο κωλύειν ὁμοίως καὶ τὰ ζῷα καὶ τὰ φυτά. τάχα δὲ καὶ ἑτέρας πλείους αἰτίας, αἳ πρὸς τὰς ἰδίας φύσεις εἰσὶν ἀναντίαι· μέγιστον

ἀνθοῦν διαφορὰ κατὰ τὰ ἔνυδρα καὶ χερσαῖα ζῷα καὶ φυτά. περὶ ὧν οὐδὲ ζητοῦμεν λόγον ὡς εἰπεῖν. πλὴν ὑπὲρ τοῦ πότερα θερμότερα ἢ ψυχρότερα. τοῦτο γὰρ ἀμφισβητεῖται. καὶ ἄλλα δὲ οὐ συγκεχωρημένα τῇ φύσει τίθεται. καίτοι τὰ καθόλου καὶ κοινὰ πρῶτα ἔδει ζητεῖν. εὑρεθέντων γὰρ τούτων, καὶ τὰ κατὰ μέρος φανερά. τοῦτο μὲν ἴσως κωλύοι τἂν οὐδὲν διὰ τὸ χαλεπόν, εἴτε πλείους αἰτίαι τυγχάνουσιν, εἴτε μία. περὶ δὲ τῶν ἐν τοῖς καθέκαστα μᾶλλον εὐποροῦμεν. ἡ γὰρ αἴσθησις δίδωσιν ἀρχὰς ἐπ' ἀμφοῖν. καὶ ἔτι μᾶλλον πλείους ἐπὶ τῶν φυτῶν. ἐμφανέστατα γὰρ τὰ συμβαίνοντα περὶ αὐτά. μεγίστη δὲ διαίρεσις κατάγε τὸν αὐτὸν τόπον τοῖς ἡμέροις καὶ ἀγρίοις. ἀεὶ γάρ τι μαλακωτέρους καὶ ὑγροτέρους ζητεῖ τοὺς ἀέρας. οὐ μὴν ἀλλ' ἐνίας γε καὶ τῶν ἡμέρων ἀδυνατεῖ βλαστάνειν ἐν τοῖς θερμοῖς καὶ ψυχροῖς. οὐ μόνον διὰ τὴν ἀσθένειαν ἢ τὴν κρᾶσιν. ἀλλὰ δι' ἕτερ' ἄττα. καθάπερ ἡ ἐλαία καὶ θερμὸν καὶ πυκνὸν ἐν τοῖς ψυχροῖς, διὰ τὸ μετέωρον τῆς ῥίζης. ἐμπήγνυται. ἢ οὐκ ἔχει ἀρχὰς ἐν τοῖς σφόδρα θερμοῖς. ὥσπερ περὶ αἴγυπτον. μοχθηραὶ δὲ καὶ αἱ ἄπιοι. καὶ μηλέαι, καὶ ἔνιαι. τὴν δ' αἰτίαν σκεπτέον. ἐπεὶ οὐκ ἂν θερμὰ δόξειεν εἶναι. τὰ μὲν οὖν ὅλως οὐδὲ βλαστάνειν ἐνιαχοῦ δύναται. τὰ δὲ βλαστάνει μέν. ἄκαρπα δὲ γίνεται. καθάπερ ἡ περσέα. ἡ αἰγυπτία περὶ ῥόδον. προϊόντι δὲ οὕτω. φέρει μέν, ὀλίγον δὲ καὶ κακοκαρπεῖ καὶ γλυκυκαρπεῖ ἐκεῖ μόνον. ὁμοίως δὲ καὶ ὁ φοῖνιξ. καὶ ἔτι μᾶλλον ἐν τοῖς περὶ βαβυλῶνα καὶ συρίαν κακόκαρπος. ὁ γὰρ ἀὴρ διὰ ψυχρότητα μὲν ὅλως οὐ δέχεται. τὰ δὲ ἧσσον εἰς βλάστησιν ἔνια εἰς καρπόν. οὐ γὰρ οἰκεῖος ἤδη διὰ τὴν λεπτότητα τῆς φύσεως. διὰ τὴν αὐτὴν δὲ αἰτίαν οὐδὲ αἱ συκαῖ περὶ αἴγυπτον, οὐδ' ὅλως ἐκείνοις τοῖς τόποις χρησταί. θερμὸς γὰρ ὢν ἄγαν ὁ ἀήρ, περικάει καὶ οὐ ποιεῖ πέψιν. ἀλλ' ἡ ἐκ τῆς γῆς εὐτροφία διυγραίνει μόνον ἀπεπάντους οὔσας. διὸ καὶ τοῖς μεγέθεσι γίνεται μικρά. τοὐναντίον δὲ ὁ ψυχρός. ἐξαιρεῖ γὰρ τὴν ὑγρότητα. τὴν δὲ, οὐ δύναται πρὸς τὴν οἰκείαν πέψιν ἄγειν. ὥσπερ

ἐν τοῖς

ἐν ταῖς ἐλαίαις. διὸ καὶ αἱ μὲν, ἄσαρκοι παντάπασι. μεγαλόρριζοι δὲ τῷ ἐν τοῖς ψυχροῖς. αἱ δὲ, σαρκώδεις μὲν. αὐέλαιοι δέ. πλείονος γὰρ τοῦτο θερμότητος δεῖται πρὸς τὴν πέψιν. αἱ μὲν οὖν τοῦ ἀέρος κράσεις καὶ διαθέσεις τοιαύτας τινὰς παρέχονται δυνάμεις. ἐπεὶ δὲ καὶ τὰ ἐδάφη μεγάλας ἔχει διαφοράς, λεκτέον καὶ περὶ τούτου. καὶ γὰρ αὐτὰ τῆς φύσεως. ἔτι δὲ ἡ βλάστησις ἀμφω γίνεται καὶ διὰ τὸν ἀέρα καὶ διὰ τὴν γῆν πολλάκις. ὅτε μὲν γὰρ τὰ κάτω χρηστότατα, τὰ δ᾽ ὑπὲρ γῆς φαῦλα. καθάπερ ὅταν ἀμμώδης ἢ κραμὶς ἢ κατακεκαυμένη τις τυγχάνῃ. ῥιζοῦσι γάρ. καὶ τροφὴν οὐδεμίαν τῶν τοιούτων ἔχει. καὶ σχεδὸν αἱ μὲν ἀβλαστεῖς εἰσιν αὗται. καὶ εἴ τις ἄρα δύσυγρος ὅλως ἢ πηλώδης, βλαστητικὴ μὲν καὶ ἀκάρπων. οὐ κακῶς δὴ ἡ διαίρεσις ἡ πρὸς τὰ σπέρματα καὶ τὰ δένδρα λέγεται. τῷ τὴν μὲν πίειραν, ἀμείνω σιτοφόρον. τὴν δὲ λεπτοτέραν δενδροφόρον εἶναι. λαμβάνει γὰρ ὥσπερ καὶ πρότερον εἴπομεν ὁ σῖτος καὶ ἁπλῶς τὰ ἐπέτεια τὴν ἀπὸ πολλῆς τροφήν. ἣν δεῖ μὴ ὀλίγην μὴ δ᾽ οὖν ξήραντον εἶναι. καθάπερ ἐν ταῖς λεπταῖς τὰ δένδρα. διὰ τὸ μεγάλας καὶ ἰσχυρὰς ἔχειν τὰς ῥίζας καὶ τὴν ἐκ βάθους. αὕτη δὲ ἐν μὲν τῇ πιείρᾳ, λευκὴ λίαν οὖσα, βλάστην μὲν ποιεῖ καλὴν καὶ μέγεθος τοῦ δένδρου. καρπὸν δ᾽ οὐ ποιεῖ διὰ τὸ μὴ ἐκπέττειν. ἐν δὲ τῇ λεπτοτέρᾳ, σύμμετρος γίνεται πρὸς ἄμφω. καὶ κρατοῦντα τὰ δένδρα δύναται καὶ ἐκπέττειν. ἡ δὲ πίειρα παντάπασιν οὐδενὶ συμφέρει φυτῷ. ξηραίνει γὰρ μᾶλλον τοῦ δέοντος, ὥσπερ καὶ Μενέστωρ φησί. τοιαύτην δ᾽ εἶναι τὴν πηλὼ ξίδα. χρῶμα δ᾽ ὑπόλευκον. ἀείστη δὲ δῆλον ὡς ἡ ἄριστα κρεμαμένη, καὶ ὅλως μανή τις οὖσα καὶ μὴ ψυχρὰ καὶ ἔνικμος. καὶ διόδους διδοῦσα οὕτω ταῖς ῥίζαις ὅτι δὲ καὶ ὑπὸ ζόφου. ὅπερ βούλονται καὶ αἱ ἡμερώσεις καὶ αἱ κατεργασίαι καὶ κοπρίσεις ποιεῖν. ἄλλη δὲ πρὸς ἄλλα τῶν δένδρων ἁρμόττει μᾶλλον, ὥσπερ καὶ διαιροῦσιν. οἷον ἡ ἀπηλάς. καὶ ἔτι μᾶλλον ἡ λευκόγεως ἐλαιοφόρος. ἰκμάδα τε γὰρ ἔχει καὶ πνῦμα πολύ. δεῖται δὲ καὶ ἀμφοῖν. ἡ δὲ λιμονία καὶ ἔφαμμος, ἀμπελοφόρος ἀγαθή.

καὶ ὅλως εἴ τις αὐτῶν μανὴ καὶ κούφη καὶ λεπτὴ καὶ ἔφυδρος οὕτως, ὥστε τὸ οὐράνιον ὕδωρ συνικμεῖσθαι πρὸς τὸ ἐν αὐτῇ. τροφῆς γὰρ πολλῆς ἡ ἄμπελος δεῖται. διὰ τὸ θερμὴ καὶ μανὴ καὶ ὑγρὰ καὶ πολύκαρπος εἶναι. τάχα δὲ καὶ δι᾽ αὐτὰ ταῦτα καὶ πολύκαρπος. ἔτι δὲ οὐκ ἐνδύσεταί ποι τῶν ὑγρῶν αὔξαι καθάπερ αἱ τῶν ξηρῶν, ὥστε δύνασθαι καὶ ὑπομένειν καὶ ἀντέχειν καὶ διδόναι. τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν ἄλλων ἑκάστοις ἐστί τις οἰκεία πρὸς τὴν φύσιν καὶ ἡ αὐτὴ τοῖς μὲν, μᾶλλον τοῖς δὲ ἧττον. ὡς δὲ ἁπλῶς εἰπεῖν τοῖς μὲν πλείοσιν οὐ συμφέρει ἡ πίειρα. δοκεῖ γὰρ καταξηραίνειν μᾶλλον τοῦ μετρίου. διὸ καὶ λυμαίνεσθαι καὶ νοσεῖν. ὅσα δὲ λυπρά, τούτοις ξυμφέρει. σημεῖον δὲ ὅτι τὰ λάχανα καὶ ὁ δημήτριος καρπὸς ἐν ταῖς τοιαύταις εὐθενεῖ. πάντα δὲ ταῦτα λυπρὰ τῇ φύσει. τὰ γὰρ φύσει λυπρὰ προτέρας τροφῆς δέονται. δηλοῦν δὲ οἴονται καὶ τὸ τῶν αἰγῶν τοιαύτην φύσιν. τὰς γὰρ ἐκ λίμνης, καὶ χαίρουσι μάλιστα ταύτῃ καὶ ἐπιδιδόασι πρὸς ὄγκον καὶ ἰσχύν. ὑγρὰ γὰρ ὄντα τὰ σώματα δεῖσθαι τροφῆς πολλῆς καὶ πιείρας. ὑπὸ δὲ τῶν ξηρῶν καὶ λυπρῶν οὐθὲν ὠφελεῖσθαι, διὰ τὸ μὴ ἀπολαύειν, ἀλλὰ καὶ ἐπικίνδυνα εἶναι πρὸς νόσους ἁπάσας τε καὶ μάλιστα δὲ τὰς περὶ κοιλίας. ὅμοιον δὲ καὶ ἐπὶ τῶν δένδρων ἔχει τοῦτο. πλὴν ταῦτα μὲν ὅμοια διατελεῖ. τὸ δὲ σῶμα, ὅταν ἀνακομισθῇ, μεταβαίνει εἰς τὴν τετριμμένην καὶ ἄκμισον. ὅρος μὲν οὖν καθόλου τις διορισμός. διαφοραὶ δὲ πολλαὶ καὶ περὶ τὰς τῶν δένδρων ὥσπερ καὶ τῶν ἀμπέλων, τῶν μὲν ἡ πεδεινή, τῶν δὲ ἡ ὀρεινὴ μᾶλλον ἁρμόττει. καὶ ἐν αὐταῖς ταύταις αἱ τοιαίδε ταῖς τοιαῖσδε. μικραὶ δὲ παραλλαγαὶ φαινόμεναι, μεγάλας ποιοῦσι ῥοπὰς εἰς τὴν φύσιν. τὸ δὲ ἁπλοῦν, ῥᾴδιον εἰπεῖν ὥσπερ καὶ κελεύουσι, τὰ μὲν στερεὰ καὶ πυκνὰ φυτεύειν. τὰ δὲ ἀραιὰ καὶ ὑγρὰ ἐν τοῖς μαλακωτέροις καὶ ἐφυγροτέροις. ἑκατέροις γὰρ οὕτως αἱ τροφαὶ δῆλον ὅτι σύμμετροι, τοῖς μὲν, πολλῶν δεομένοις. τοῖς δὲ ὀλίγων. καὶ τὸ καθόλου λεχθὲν ὑπὲρ πάντων ἴσως τῶν δένδρων ἀληθές. ὅτι καθ᾽ ἑκατέρας τὰς χώρας ἑκάτερα δεῖ τῶν δένδρων φυτεύειν. ἀλλ᾽ ἔτι τὸ καθ᾽ ἕκαστα τὸ ἀκριβὲς μᾶλλον ἴσως αἰσθητικῆς

κῆς δεῖται συνέσεως· λόγῳ δὲ οὐκ εὐμαρὲς ἀφορίσαι. ἐπεὶ καὶ τὴν πρὸς ἥλιον διαφοράν, οἷον ἀνίσχοντα, ἢ δυόμενον, ἢ μεσουρανοῦντα, ἢ πῶς ἄλλως ἔχοντα, δεῖ μὴ ἀγνοεῖν, ποῖος τῶν φυτῶν οἰκεῖος. καὶ ὅλως τῶν ὁμογενῶν· ὅπερ οἱ ἀμπελουργοὶ πειρῶνται διαιρεῖν· ὅταν συνάγωσιν αὐτίκα λαβόντες φυτεύσωσιν· οὐ γὰρ ταῦτα τιθέασιν εἰς ἑκάτερον τὸ μέρος· ἀλλὰ διαιροῦσι, καὶ ποιεῖ μεγάλην διαφορὰν οὕτω τε φυτευθέντα καὶ ἀνάπαλιν. ὁμοίως δὲ τοῦτ᾽ ἔχει καὶ ἐπὶ τῶν λοιπῶν. ἀλλ᾽ ὥσπερ ἐλέχθη πρότερον, αἰσθητικῆς ταῦτα δεῖται συνέσεως. ὥσπερ δὲ πολλάκις εἴπομεν ἡ μέσην ἔχουσα τὴν ἐναντίων κρᾶσιν, πυκνοῦ καὶ ἀραιοῦ· καὶ ξηροῦ καὶ ὑγροῦ· καὶ κούφου καὶ βαρέος· ἔτι δὲ τὰ ἄνω πρὸς τὰ κάτω σύμμετρα τούτοις, πασῶν ἀρίστη πρὸς ἅπαντα ὡς εἰπεῖν δένδρα τε καὶ σπέρματα. φαίνεται γὰρ ὁμοίαν τινὰ ἔχειν τῷ ἀέρι πρὸς τὰς ἄλλας χώρας· ἡ μὲν ἀλλ᾽ αὐτὴ ἐκ τούτων ἢ πρὸς θάτερον μέρος ἀποκλίνουσα φαίνεται ἐναντιώσεως κρείττων. ἣν καὶ ἁπλῶς τίθενταί τινες ἀρίστην· οἷον τὴν κούφην καὶ μανὴν καὶ ἔνικμον. ἔχει τε γὰρ τροφὴν ἐν ἑαυτῇ, καὶ δίοδος ὀξεῖα ταῖς ῥίζαις. ἡ δὲ πυκνὴ καὶ βαρεῖα καὶ ξηρὰ δῆλον ὡς ἐναντία. κατὰ δὲ τὰς παραλλαγὰς τῶν ἀντιθέσεων, καὶ τὰς πρὸς ἕκαστα ἔχουσιν ἤδη διαφοράς. οἷον, ἐὰν ἡ μανὴ μὲν καὶ λεπτή, βαθύγεως δὲ καὶ ξηρὰ καὶ ἄνυδρος, δενδροφόρος μὲν ἀγαθή· σιτοφόρος δὲ κακή. διὰ γὰρ τὴν μανότητα δίεισιν εἰς βάθος τὸ χειμέριον ὕδωρ· ὥστε τὸν μὲν σῖτον μὴ ἐφικνεῖσθαι διὰ τὸ ἐπιπολῆς εἶναι· τὰ δένδρα δ᾽ εἰς βάθος καθιέντα τὰς ῥίζας ἐφικνεῖσθαι καὶ ἕλκειν. ὡσαύτως δὲ καὶ εἴ τις ἄλλη τοιαύτη διαφορά· τὸ γὰρ πρόσφορον ἀποδώσει τινὶ γένει διὰ τὴν παραλλαγήν. οὐκ ἀηδῶς δὲ οὐδ᾽ ὅσοι ταύτην ἀρίστην ὑπολαμβάνουσιν, ἥτις ἂν ᾖ θερμή τε καὶ ἔνικμος. ἄμφω γὰρ ἔχειν ἃ δεῖ, τροφήν τε καὶ τὸ κατεργαζόμενον. εὐλόγως δὲ καὶ μετὰ τὸ πρώϊον ὕδωρ ἀτμίζειν· ἀλλὰ τὴν μὲν ἔνικμον αὐτῶν εἶναι, τὴν δὲ ξηράν· τὴν μὲν οὖν ἔνικμον σιτοφόρον ἀγαθήν· ἱκανὸν γὰρ ἔχειν πρὸς τὴν ἐκτροφὴν ὑγρὸν τῷ σίτῳ· τοῖς δὲ δένδροις ἔλατ

τον. τὴν δὲ ξηρὰν, σιτοφόρον φαύλην, διὰ τὸ μὴ ἔχειν μηδὲ τὸ
τῷ τροφὴν ἀρκοῦσαν. ἐπὶ ταὐτὸ δὲ περιφέρονται, καὶ ὅσοι φασὶ δεῖν
πίειράν τε εἶναι καὶ μὴ παγώδη μηδὲ πυκνὴν μηδὲ ἁλμυράν.
ἀλλά πῃ τε μὲν καὶ ψαθυράν. τροφήν τε γὰρ οἴονται δεῖν ἔχειν καὶ
θερμότητα, καὶ ἔτι ταῖς ῥίζαις εὐδίοδον εἶναι. πάντα δὲ ταῦτα
οἰκεῖα πρὸς αὔξησιν καὶ καρποτοκίαν. ὁμοίως δὲ καὶ οἱ τὴν με
λάγγεων ἐπαινοῦντες, ὥσπερ Λεωφάνης. εὐθὺς γὰρ ἀποδιδόναι
πειρᾶται τὰς αἰτίας· ὅτι δύναται καὶ ὄμβρον καὶ αὐχμὸν φέρειν.
δοχὸς οὖσα καὶ τοῦ ὑγροῦ καὶ τοῦ θερμοῦ. τὴν μὲν οὖν ἀρετὴν τῆς χώ-
ρας, σχεδὸν ὥσπερ εἴρηται, διὰ τῶν αὐτῶν πως καὶ ἐν τοῖς αὐτοῖς ἔστι
λαβεῖν. ἐν οἷς καὶ ἀποδιδόασι πάντες. αἱ διαφοραὶ δὲ περὶ πλείους
εἰσὶ καὶ ταύτης καὶ τῶν φυτῶν, πειρατέον πρὸς ἕκαστον λαμβάνειν
καὶ θεωρεῖν. τὰς δὲ τῶν ὑδάτων διαφορὰς τῶν ἐπιχωρίων (καὶ γὰρ ταῦτα
οὐ μικρὰν ἔχει μερίδα πρὸς αὔξησιν καὶ τροφὴν) ὁμοίως τούτοις
ληπτέον. ὅσα μὲν οὖν θερμὰ καὶ νιτρώδη καὶ στυπτηριώδη, καὶ εἴ τις
ἄλλος τοιοῦτος χυλὸς, ἄτροφα καὶ ἄγονα φυτῶν ὡς ἁπλῶς ἐστιν εἰ-
πεῖν. πλὴν εἴ τι συγγενὲς αὐτοῖς ἐκτρέφειν δύναται. καθάπερ
καὶ ἡ θάλαττα. βραχὺ δέ τι τοῦτο ἢ οὐδὲν ὡς εἰπεῖν ἐστιν. ἐνιαχοῦ
δὲ ποτίμων πλείστων ὄντων ἡ ἐκ τροφή. καθάπερ τοῖς ἐν Θρᾴκῃ
θερμοῖς. καθ' αὑτὰ δ' ὥσπερ καὶ ζώων καὶ φυτῶν ἄγονα. ἡ δὲ θάλατ-
τα πολλὰ καὶ παντοῖα φύει. καὶ ἔστιν ὥσπερ ζώων τι γένος ἐν αὐτῇ
καὶ φυτῶν. ὅσα δὲ ἐν τῇ ἀπτει δένδρα μέγεθος ἔχοντα καὶ καρπὸν τυγ-
χάνει, περὶ τούτων οὐκ ἄν τις ἴσως ἀποδοίη τῇ θαλάττῃ τὴν τρο-
φήν. αἱ γὰρ ἐνδέχεσθαι πότιμον ἕλκειν ἐν τῇ γῇ ταῖς ῥίζαις. τὴν δὲ θάλα-
τταν ἀβλαβῆ περιέχουσαν εἶναι καθάπερ καὶ τὸ ὕδωρ τοῖς
ἐνύγροις. ἀλλὰ τούτων μὲν πέρι, λόγος ἕτερος. καὶ ὅσα δὴ πρὸς
αὐτῇ τῇ θαλάσσῃ φύεται, χρῆταί πως τῇ ἁλμυρίδι πρὸς εὐθέ-
νειαν καὶ τροφήν. ἔοικε γὰρ καὶ τοῦτ' ἴδιόν τι γένος εἶναι. καθάπερ τὰ
εἰρημένα, καθάπερ ἀνὰ μέσον ὄντα. τὰ δ' ἁλικὰ τῶν ὑδάτων ὕδα-
τα, τρέφει μὲν καὶ τὰ ἐπίγεια. χεῖρον δὲ τῶν γλυκέων. ἀναυξῆ γὰρ ποι-
εῖ καὶ

ἐπικαίει· τὸ δ' ἁλυκὸν πότερα τοῖς δένδροις ἢ τοῖς λαχανώδεσιν ἢ ὅλως ἐπιτηδείοις εἶναι καθάπερ τινές φασιν, οὐκ ἄλογον, ὅσῳ περ ἰσχυρότερα· τάχα δ' ἄν τις προσφορὰ τὸ ὅλον ὥσπερ τοῖς φοίνιξιν· ἔπειτα καὶ οἱ ἅλες παραβαλλόμενοι· παραπλήσιος δ' ὁ αὐτὸς χυλός· ὁ μὲν ἄγαν καὶ τῶν λαχανωδῶν ἐστί τισι τὰ ἁλικὰ πρόσφορα· καθάπερ ῥαφανῷ· τευτλίῳ· πηγάνῳ· ὀζώμῳ· βελτίω δὲ γίνεται τῷ ἁλυκῷ ἀρδόμενα ταῦτα· διὸ πρός γε τὴν ῥάφανον νίτρου τινὲς παραμιγνύουσιν ἐν τῷ βρέχειν· ὥσπερ οἱ ἐν Αἰγύπτῳ, καὶ γίνεται πολλῷ γλυκυτέρα, καὶ ἁπαλωτέρα· καθάπερ καὶ ἡ ἑψομένη· τοῦτο γὰρ συμβαίνει· καὶ ὅλως ἡ ἁλυκότης πρόσφορος· ὅτι πικρότητά τινα ἔχουσα ἐν τῇ φύσει ταύτην γὰρ διαλυομένη ὥσπερ ἀναστομοῦν τὸ ἁλυκὸν ἐξάγει· διὸ καὶ ἐν τοῖς ἁλμυρίσιν ἡ ῥάφανος ἀρίστη· τὸ γὰρ πικρὸν ἀξοφόντα δύσχυλον· ὥστε ἐξαγομένου τούτου, καὶ γλυκύτερα καὶ ἁπαλώτερα καὶ εὐαυξέστερα γίνεται· τὰ δ' ἄλλα χείρω· διὰ τὸ μὴ ἐξάγειν τὸ ἀλλότριον ἀλλὰ τὸ οἰκεῖον, ἐπικαίουσα· δῆλον δ' ὅτι καὶ ἐπὶ τῶν λοιπῶν πικρῶν ὁμοίως ἔχει· καθάπερ τὸ κορωνόπους παρὰ τὰ κιχώρια τοῖς δριμέσι, οἷον κρομμύῳ· σκορόδῳ· τοῖς ἄλλοις οὐκέτι πρόσφορον· οὐ γὰρ ἀφαιρεῖ τὴν δριμύτητα, διὰ τὴν ὁμοιότητα τῶν χυλῶν· τὸ γὰρ ὅμοιον ἐπὶ τὸ ὅμοιον φέρεται· καὶ εἰς τοὺς πόρους ἐνδύεται· καθάπερ ἐπὶ τῶν καθαιρόντων καὶ ἐξαγόντων τὰς ἐπιχροίσεις, καὶ τὰ μὲν ἁλυκὰ τοῖς τοιούτοις πρόσφορα διὰ τὴν εἰρημένην αἰτίαν· εἰ δὲ ἀληθὲς ὅ φησιν Ἀνδροσθένης, ὑπὲρ τῶν ἐν Τύλῳ τῇ νήσῳ τῇ περὶ τὴν ἐρυθρὰν θάλατταν, ὅτι τὰ ναματιαῖα μᾶλλον συμφέρει τῶν οὐρανίων, ἁλυκὰ ὄντα τοῖς δένδροις καὶ πᾶσι τοῖς ἄλλοις, διὸ καὶ ὅταν ὕσῃ τούτοις ἐπαρέχειν, αἰτιάσαιτ' ἄν τις τὴν συνήθειαν· τὸ γὰρ ἔθος ὥσπερ φύσις γέγονε· συμβαίνει δὲ τὰ μὲν οὐράνια σπάνια γίνεσθαι· τούτοις δὲ ἐκτρέφεσθαι· καὶ τὰ δένδρα καὶ τὸν σῖτον καὶ τἄλλα. διὸ καὶ πᾶσαν ὥραν ἀπείρουσι· ταῦτα μὲν οὖν ὡς ἐξ ὑποθέσεως εἰρήσθω· τῶν δὲ ποτίμων τὰ ψυχρὰ βέλτιστα· καὶ γὰρ πέψιν ποιεῖ μάλιστα, διὰ τὴν ἀντιπερίστασιν τοῦ θερμοῦ, καὶ κατάψυξιν τῶν ῥιζῶν· δεῖται

ἢ τὰ ἄνυδρα ταύτης. ὅτι δὲ βελτίω, σημεῖον τὸ γλυκύτερα γίνεσθαι καὶ εὐχυλότερα τοῖς ψυχροῖς ἀρδευόμενα, καὶ λάχανα καὶ ἐνίων καὶ καρποὺς καὶ τὰ ἄλλα ὁμοίως. ἔοικε δὲ κατὰ λόγον ἔχειν, ὥσπερ καὶ ἐπὶ τῶν διὸς ὑδάτων τὰ νυκτερινὰ καὶ τὰ βόρεια. καὶ ἐπεὶ τούτων δὲ τῶν πνευμάτων, ὅταν τὰ βόρεια καὶ μὴ νότια. καὶ ὅλως ὅταν ψυχρὰ καὶ μὴ θερμά. τὴν γὰρ αὐτὴν ὄνησιν πάντα ἔχει. καὶ διὰ τὰς αὐτὰς αἰτίας τὰ θερμὰ διαχεῖ καὶ ἀνυγραίνει. καὶ ἀσθενὲς ποιεῖ τὸ σύμφυτον θερμόν. ὑπερβολὴ δέ τις ἐστὶν ἴσως καὶ τοῦ ψυχροῦ καὶ πρὸς τροφὴν καὶ πρὸς γένεσιν, ὥσπερ καὶ ἐπὶ τῶν ζώων. εἴπερ ἀφαιρεῖται τὴν τοῦ θερμοῦ δύναμιν, ἀφαιρεῖται τὴν τροφήν. ἀφαιρεῖται γὰρ τὴν ζωήν. οὐ μὴν πλήν γε, οὐδ' ἐν πολλοῖς. ἐὰν μή τι μᾶλλον ἔχῃ χυλὸν ἀλλότριον. οὐδὲ γὰρ οὐδ' ὅμοιον καὶ ἐπὶ τῶν ζώων ἐστὶ τῶν ἐν αὐτοῖς. ἐκεῖνα μὲν γὰρ ὅλως ὑπὸ τοῦ ὑγροῦ περιέχονται ἢ ἐν τούτῳ ξυνίστανται. ταῦτα δὲ ἐν τῇ γῇ καὶ ἐν τῷ ἀέρι. μιγνυμένου δὲ τοῦ ὕδατος τούτοις, οὔτε τὴν ἐκ τῆς γῆς οὔτε τὴν οἰκείαν ἀφαιρεῖται θερμότητα. πλὴν εἴπερ ὁ ἀὴρ ὅλος, τοιοῦτος. ὅτε ἢ ἀβλαστής, ἢ ἄγονον ἡ γῆ τὸ ὅλον. τὰ μὲν οὖν ψυχρὰ διὰ ταῦτα βελτίω. τὰ δὲ πότιμα τῶν ἀπότων, ὅτι τροφιμώτερα. μιγνυμένη γὰρ ἡ ἁλμυρίς, καὶ πᾶς ὁ τοιοῦτος χυλός, οὐ μόνον ἀτροφίας ἀλλὰ καὶ ἄλλας βλάβας ἐμποιεῖ, καθάπερ ἐπὶ τῶν σωμάτων. ἡ δὲ μίξις τῶν ὑδάτων ἡ τοσαύτη χρήσιμος, ὅταν τὸ μὲν ἄγαν σκληρὸν ᾖ καὶ ὥσπερ ἄπεπτον καὶ ὠμόν. τὸ δὲ θῆλυ καὶ μαλακὸν ᾖ, ἢ ἔνια τινὰ γεώδη συνεπιφέρει χυλόν. ὅπερ ἔχει τὰ θολερὰ καὶ κοπριώδη. καὶ γὰρ ἔνια τοιαύτης δέονται τροφῆς. διὸ πολλάκις ἂν ἁρμόσειε λεπτὸν καὶ καθαρὸν μὴ καθαρῷ ἢ παχεῖ. ἢ φρεατιαῖον ναματιαίῳ, καὶ ῥυτὸν ὀμβρίῳ εἰ μὴ τῷ καὶ ἁπλῶς αἰτίῳ. θαυμασιώτερον δ' ἂν δόξειεν, εἴ τι γλυκὺ ἢ ἀπότιμον ἢ ὅλως ἄτροφον, εἰ μὴ τελεσφόρον ἐστίν. ὥσπερ καὶ ἐπὶ τὸ περὶ τὴν πυραίαν. ὃ καὶ ἐν ταῖς ἱστορίαις εἴρηται. τὴν δ' αἰτίαν ἐν δυσὶν αὖ τις λάβοι τούτων. ἢ ὅτι πάντως ἀσθενές. ὅπερ οὐκ ἔοικεν. ἐπεὶ καὶ ὁ ἀὴρ δοκεῖ τρέ-

φειν

φησίν, ἢ ὅτι χυλόν τινα ἔχει κακοποιόν, ὃς λανθάνει τὴν γεῦσιν. ὅπερ ἐκ δὴ λουμένων φαίνεται καὶ ἐπὶ τούτου τοῦ ὕδατος. καὶ γὰρ ἄνθρωποι λουόμενοι λεπροὶ γίνονται, καὶ τὰ φυτὰ παραπλησίαν τινὰ λαμβάνει διάθεσιν. οὐ γὰρ δὴ τό γ' ἄγειν τροφὴν εἶναι λεκτέον, ὡς δὲ διὰ τὸ μὴ δύνασθαι κρατεῖν τῆς τροφῆς καὶ χεῖρω γίνεται. περὶ μὲν οὖν τούτων ἱκανῶς εἰρήσθω. τοὺς δὲ τόπους ζητεῖ τοὺς οἰκείους οὐ μόνον τὰ ἄγρια καὶ ἴδια τῶν δένδρων ὥσπερ εἴπομεν ἀλλὰ καὶ τὰ κοινότερα γινόμενα. τὰ μὲν γὰρ φιλεῖ ξηρούς. τὰ δ', ἐνύδρους, τὰ δὲ χειμερινούς. τὰ δὲ προσηλίους. τὰ δὲ, πάλι σκίους. καὶ ὅλως, τὰ μὲν ὀρεινούς. τὰ δὲ, ἑλώδεις ὥσπερ καὶ διαιροῦσιν. οὐκ ἀεὶ δὲ πάντας τοὺς αὐτοὺς ἴσως. οὐ δὲ διὰ μίαν αἰτίαν. ἀλλὰ διὰ πλείους, ὥσπερ καὶ ἐν τοῖς πρότερον ἐλέχθη. καὶ παρὰ τὸ συγγενὲς τῆς φύσεως ἕκαστον ἄγει πρὸς τὸν οἰκεῖον. ἐν ᾧπερ καὶ τὰ αὐτόματα φύεται. τὸ δ' αὐτόματον μιμεῖται τὴν φύσιν. ὥσπερ ἐκ τῶν αὐτῶν αἱ τροφαὶ καὶ αἱ γενέσεις, καὶ αἱ καθ' ἕκαστον διαιρέσεις. οἷον, ἡ θερμότης. καὶ ἡ ψυχρότης. καὶ ἡ ξηρότης. καὶ ἡ ὑγρότης. ζητεῖ γὰρ πρόσφορα κατὰ τὴν κρᾶσιν. ἔτι δὲ τὰ ἀσθενῆ. καὶ ἰσχυρά. καὶ βαθύρριζα. καὶ ἐπιπολαιόρριζα, καὶ εἴ τις ἄλλη διαφορὰ κατὰ τὰ μέρη. πολλάκις δὲ καὶ διὰ πλείω τούτων. καὶ ἐνίοτε τὰ μὲν ἔχοντα, τὰ δ', οὐκ ἔχοντα. πάντα γὰρ ταῦτα, ἔτι δὲ τὰ ὁμοιάζοντα εἰς τὸ ὅμοιον. καὶ τὰ ἀνόμοια μὴ τὸν αὐτόν, ὅταν μὴ ᾖ τις παραλλαγὴ τῆς φύσεως. ἐν οἷς καὶ τὰ περὶ τὴν ἐλάτην καὶ πεύκην ἐστίν. ἡ μὲν γὰρ χαίρει παλισκίοις. ἡ δὲ πεύκη, τοῖς προσηλίοις. ἐν εἰλείνοις δὲ οὐ φύεται πάμπαν. ἡ καὶ κατὰ θερμὰ μὲν ἴσως ἄμφω. καθάπερ φασίν. ἀλλ' ἡ μὲν ἐλάτη, ξηρόν. ἡ δὲ πεύκη, ὑγρόν. σημεῖον δὲ καὶ ἡ τῆς πεύκης γένεσις. ἅμα δ' ὑγρότητος πλῆθος καὶ ὁ πρόσηλος τόπος οἰκεῖος. πέψις γὰρ οὕτω μᾶλλον. ἀεὶ δὲ κατὰ τὸ ὑπεραῖρον, ἡ ὄρεξίς ἐστι καὶ δῆλον ὡς ἐν τοῖς δοκοῦσι παραλλάττειν τῶν ὁμογενῶν, ἀεί τινα ζητητέον τοιαύτην διαφοράν. ἐπεὶ ὅσα μὴ ὁμογενῆ, τὸν αὐτὸν ζητεῖ. καθάπερ ὁ κιττὸς, καὶ τὰ πάρυδρα καὶ ἀλσώδη ῥᾴδιον εἰπεῖν. ὁ μὲν

ὁ θερμὸς καὶ ξηρός. τῶν δὲ, ἡ φύσις ὅλως συγγενής. ἔνια δὲ καὶ τούτων
ἐν τοῖς καθ' ἕκαστα διαφορῶν ἔχει τὴν αἰτίαν. ὁμοίως δὲ καὶ ὅσα φυλ-
λόσκεπα τυγχάνει καὶ τῶν ἀγρίων καὶ τῶν ἡμέρων· ὥσπερ ἡ ῥόα, καὶ ὁ μύρ-
ρινος. καὶ ὁ μὲν πυκνὸς ὢν καὶ ξηρός. ἡ δὲ μανὴ καὶ ξηρά. τὸν μὲν
γὰρ καρπὸν ἀμφότερα πυρηνώδη καὶ οὐχ ὑγρὸν ἔχει. τῷ μὲν
γὰρ ἡλίῳ παραδιδόμενος, ταχὺ καταξηραίνεται. σκιατρο-
φούμενος δὲ, καὶ μεταξὺ εἰσλάμποντος, σώζει τι τὴν οἰκείαν ὑγρότη-
τα καὶ πεπαίνει. διὸ καὶ τὰς ῥόας πυκνοφυλλοῦσι καὶ τὰς μυρ-
ρίνας ἵνα συσκεπάζωσιν ἄλληλα, καὶ προβολὴν ἔχωσι τοῦ ἡλίου.
ἅμα δὲ καὶ διὰ τὸ μὴ πολύρριζα τυγχάνειν, οὐκ ἐνοχλοῦνται κατὰ τὴν τρο-
φάς. εἰ γὰρ αὖ τἀναντία τις οὕτω φυτεύει, καθάπερ ἀμπέλους καὶ
συκῆν, οὐκ ἂν ὁμοίως καρποῖ· ἔνυγρα γὰρ ὄντα, καὶ πέψεως δεῖται
πλείονος. αἱ μὲν οὖν τῶν τόπων παραλλαγαί, διά τοι αὐτάς τι-
νας εἰσὶν αἰτίας, ὅπου μὴ καὶ ἄλλο τι συμβαίνει κώλυμα καὶ σίνος
πρὸς εὐκαρπίαν· ὥσπερ περὶ Τάραντα τὰς ἐλαίας. ἡ γὰρ ἄ-
πνοια κατὰ τὴν ἄνθησιν· ἀποκάεται γὰρ πολλὰ καὶ ὅταν πνεύσῃ
τοιοῦτόν τι πνεῦμα ἔμπυρον, ἢ τῇ ἅλμῃ τῇ ἀναφερομένῃ κατιαθίει
καὶ λυμαίνεται τὰ ἄνθη. δοκεῖ δὲ καὶ ὁ μίχλη τις ἄνω πνοῆς ἐκβαί-
νειν. ὅταν ἅψηται τῶν ἀνθῶν ἀποκάει. διὸ καὶ μάντεις θύουσιν, ὥσ-
τε μὴ ἐκβιῶναι, καὶ φασὶ κωλύειν. τὸν αὐτὸν δὲ τρόπον καὶ εἴ τι πα-
ρὰ τὴν σωτηρίαν ἢ μὴ πρόσφορον ἐστὶ τοῦ ἀέρος. ἐνίοτε γὰρ τῶν ἐδαφῶν
ὄντων φαύλων, ὁ ἀὴρ ἐκτρέφει τῇ εὐκρασίᾳ καθάπερ ἐλέχθη καὶ τοῖς
οἰκείοις πνεύμασιν. εἰ δέ γε ἡ πέψις τῶν καρπῶν, τοῖς μὲν, ὑπὸ θερ-
μοῦ δοκεῖ, τοῖς δ' ὑπὸ ψυχροῦ γίνεσθαι, κατὰ συμβεβηκὸς ἤγε ὑπὸ τοῦ
ψυχροῦ γινομένη. τὸ γὰρ θερμὸν ἐν ἀμφοῖν πέττει. καὶ μία τις ἡ αἰ-
τία. φανερὸν δὲ οὐχ ὁμοίως διὰ τὴν ἀντιπερίστασιν. ὅλως δὲ πάν-
των τῶν τοιούτων τὰς αὐτὰς δυνάμεις ὑποληπτέον αἰτίας εἶναι. συμ-
βαίνει δὲ δὴ τοῖς ὀψικάρποις ὑπὸ τοῦ χειμῶνος πεπαίνεσθαι, περι-
καταλαμβανομένοις τῇ ὥρᾳ. ὀψικαρπεῖ δ' ὥσπερ ἐλέχθη διὰ
πλείους αἰτίας. ὅσα μὲν οὖν ὑγρὰ τῇ φύσει, συντονωτέρων δεῖται

τῶν ψυχρῶν, ὥσπερ ἡ ἄμπελος. οὕτω γὰρ μᾶλλον ἡ πέπανσις. ὅ-
σα δὲ ξηροκαρπότερα καθάπερ ὁ μύρρινος. καὶ γὰρ τοῦτο τῶν ὀψι
κάρπων ἐλαφροτέρων. ἀποξηραίνει γὰρ καὶ ἀποστρέφει τὸ ἄγαν. ἡ δ᾽
εὐκρασία καὶ ὁ ὑγρότερος, καὶ ὁ ὑπὸ νότον ἀὴρ, εὐτροφώτερος.
ἐπεὶ οὐδὲ τὰ ὑγρότερα τῇ φύσει πέττουσιν αἱ ὑπερβολαὶ τῶν
χειμώνων. ἀλλὰ τὰ μὲν ὅλως ἀναξηραίνουσι. τῶν δ᾽ ἐξαιροῦνται
τὸν οἰκεῖον χυλὸν, ὥσπερ τῶν συκῶν. αὐτίκα δὲ μάλιστα καὶ δύ-
ναται, τά τε ἐν ὑγρότητι μᾶλλον πλείονι καθάπερ τῶν ὑγρῶν
τὰ μιμαίκυλα. καὶ ἔνια σειώδη καὶ στρυφνὰ καὶ ἰσχυρὰ τὴν φύ
σιν, οἷον βάλανος. ἀχράς. οὖον ὀψὲ γὰρ ταῦτα λαμβάνει τὴν οἰκείαν
ὑγρότητα. τοιαῦτα δὲ καὶ τὰ μέσπιλα. καὶ τὰ μῆλα τὰ ἄγρια. καὶ
πάνθ᾽ ὅλως πεπαίνεσθαι. καθάπερ ἡ ἀχράς. καὶ τὸ οὖον. οὐ τὴν
αὐτὴν μὲν πέπανσιν, ὥσπερ ἐπὶ τῷ δένδρῳ τὴν φυσικήν. ἐχούσας
δέ τινα γλυκύτητα τὴν ποιοῦσαν ἐδώδιμον. εἴτ᾽ οὖν σῆψιν αὐτὴν χρὴ
λέγειν. ὥσπερ ἐπὶ τῆς δρυπετοῦς τῶν ἐλαιῶν φασιν, εἴτε καὶ ἄλλην τινὰ
διάθεσιν ὥσπερ ἕψησιν. οὐ μὴν ἀλλ᾽ ἴσως οὐθὲν ἂν κωλύοι καὶ τῇ ἔξωθεν
θερμότητι πέττεσθαι, καθάπερ τὰ ὠά. πεπαυμένης ἤδη τῆς ἐπιρ
ροῆς τῶν δένδρων. τότε μὲν γὰρ ἀεί τινος ἐπιούσης, οὐκ ἐκράτει κωλυ
όμενον ἅμα διὰ τὰ ψυχρά. μὴ προσγινομένης δὲ ἑτέρας. ἅμα δὲ καὶ τοῦ
θερμοῦ συγκατακλειομένου, δι᾽ ἄμφω πέττεται καὶ λαμβάνει τὴν
μεταβολήν. ἐπεὶ καὶ οἱ ἐπὶ τῶν δένδρων καρποὶ πεπαινόμενοι καθά-
περ οἱ βότρυες, ἀφαιρεθέντες γλυκύτεροι γίνονται, τοῦ ὑδατώδους
ὑπὸ τοῦ ἡλίου καταξηραινομένου. ἐπαινοῦσι τῶν δὲ τῶν ἀμπέλων. ὅταν
ἐπιστρέφωσιν, ἢ καὶ κηράσαντες ἀποσταφιδωθῶσι. σχεδὸν δὲ καὶ ἐν
τοῖς ἄλλοις γίνεταί τις τοιαύτη μεταβολή. τῶν μὲν ἐπ᾽ ἔλαττον. τῶν
δ᾽ ἐπὶ πλεῖον. ἔνια δ᾽ ἐναντίως. καὶ γὰρ ἐπαινοῦσι τῶν δένδρων ἐν τόποις
θερμοῖς καὶ οἰκείοις ἀπέπαντα, ἐπικινηθέντα καὶ ἀπολειφθέντα ἐ-
λαίῳ. καθάπερ καὶ πρότερον ἐλέχθη διὰ τὴν ἐξοφίδωσιν. ὥσπερ τὰ
ἐν Αἰγύπτῳ συκάμινα. τοῦτο δὲ παθόντα καὶ ἀπορίαν τινὰ ἔ-
λαβεν ὑγροῦ καὶ πνεύματος. καὶ τὸ θερμὸν εἰσδέχεται. τῶν δὲ λαχάνω

δρων ἔνια καὶ τὰ φύλλα ἀπέπτωντα καὶ ἀμετάβλητα, καθάπερ ἡ κολοκύνθη. πέψεως μὲν οὖν καὶ ἀπεψίας καὶ ἁπλῶς τῶν γινομένων μεταβολῶν, ἐν τούτοις ἡ αἰτία. τῶν δὲ δένδρων αὐτῶν ἀεὶ τὰ ἐν τοῖς ἀπνόοις καὶ παλισκίοις ὀρθὰ καὶ ἀστραβῆ, καὶ λειότερα καὶ εὐμηκέστερα γίνεται. τὸν αὐτὸν δὲ τρόπον κἂν πυκνὰ τυγχάνῃ πεφυκότα. τὰ δ' ἐν τοῖς εὐπνόοις καὶ προσηνέμοις καὶ εὐηλίοις, ἔτι δὲ μανῶς καὶ πεφυκόσιν, ἧττον. ἥ τε γὰρ εἰς βάθος αὔξησις κωλύεται τὸ κεῖ καὶ τὰ πνεύματα τραχύνει, καὶ ὄζους ἐμποιεῖ καθάπερ ἐλέχθη, διὰ τὴν ἀντίστασιν. ἐκείνοις δὲ ἀφῃρημένου τούτου, ἡ εἰς τὸ μῆκος αὔξησις μόνη γίνεται. διὸ καὶ τὰ μὴ ὁμοίως ὀρθοφυῆ μηδ' εὐμήκη, τὴν αὐτὴν διάθεσιν λαμβάνει τοῖς ὀρθοφυέσι καὶ μακροῖς. ὅταν ἐν τόποις γένηται τοιούτοις. ὥσπερ αἱ δρῦς. λεῖαι γὰρ καὶ εὐθεῖαι, καὶ σχεδὸν ἰσομήκεις γίνονται ταῖς ἐλάταις, καθάπερ φασὶ καὶ περὶ τὸν αἷμον. ἅμα δὲ μανότερα καὶ ὑγρὰ καὶ ἀσθενέστερα τὰ τοιαῦτα γίνεται. διὰ τὸ μήτε ὑπὸ τοῦ ἡλίου, μήτε ὑπὸ τοῦ πνεύματος καὶ τοῦ ψύχους λαμβάνειν πύκνωσιν. ἀποβλητικὰ δὲ μάλιστα τῶν καρπῶν πρὶν πεπᾶναι, συκῆ. καὶ φοῖνιξ. καὶ ἀμυγδαλῆ. καὶ διὰ τὴν ἐναπόληψιν ὑγρότητός τε τινος, καὶ πνεύματος, ὥσπερ συκαῖ. τὰ δὲ διὰ τὴν προσάρτησιν ἔχειν ἀσθενῆ, τοὺς δ' ὄγκους μείζους. ὥσπερ ἡ ἀμυγδαλῆ. καὶ μηλέα καὶ ἄπιος. ἱκανὸν γὰρ καὶ ὁτιοῦν διυγρᾶναι καὶ ἀσθενὲς ποιῆσαι. καὶ ἅμα τούτοις τε καὶ πνεύματι ἐπιγίνεται μέγεθος. ἡ δὲ ῥόα τοῖς μὲν αὐτὴν, διάτμωτον. ἀσθενὴς γὰρ αὐτοῦ ἡ πρόσφυσις. ὡς δ' ὅταν ψεκάδα καὶ δρόσοι πέσωσιν, εἰς δύο μόνα κατὰ τὸ ἄνθος, ἀνυγραίνει καὶ ποιεῖ τὴν βολήν. διὸ καὶ κατάγουσι τὰ δένδρα, καὶ οὐκ ἀφιᾶσιν εἰς ὕψος. ὅπως οἱ κύτινοι μὴ ὀρθοὶ γινόμενοι δέχωνται τὸ ὕδωρ. οἱ δὲ, καὶ ἀνάπαλιν κελεύουσι φυτεύειν τὰς ῥάβδους. τούτου χάριν ὅπως εὐθὺ καταμύσωσιν. ὅτι δ' ὑγρότης αἰτία τῆς ἀποβολῆς, κἀκεῖθεν δῆλον. αἱ γὰρ ἄπιοι καὶ ἀμυγδαλαῖ, κἂν μὴ βρέχῃ, νότιος δὲ ᾖ ὁ ἀὴρ καὶ ἐπινεφής, ἀποβάλλουσι καὶ τὰ ἄνθη καὶ τοὺς πρώτους καρπούς, ἐὰν εὐθὺς μετὰ τὴν ἀπάνθησιν ᾖ. καὶ τοῦτο μὲν

καὶ τὸ τοιοῦτον ἐν τῇ προσαρτήσει τινὰ τοῖς ὄγκοις ἡ αἰτία. τῶν δὲ συκῶν καὶ τῶν φοινίκων, οὐκ ἐν τούτοις ἐστὶ μόνον, ἀλλὰ καὶ ἐν τῇ αὐτῶν διαστάσει· διὸ καὶ ἐρινάζουσι τὰς συκᾶς. τοῦτο δὲ ποιοῦσιν ὅπως οἱ ψῆνες οἱ ἐκ τῶν ἐρινῶν τῶν ἐπικρεμαννυμένων γινόμενοι, διοίγωσι τὰ ἐπὶ τῆς συκῆς. ἡ μὲν γὰρ γένεσις ἐξ ἐκείνων· ζητοῦντες δὲ τὴν ὁμοίαν τροφὴν, ἐκπέτονται καὶ προσίπτανται τῷ ἐπὶ τῆς συκῆς ἐρινάδι. συμβαίνει δὲ τοῦτο καὶ ἐπὶ τῶν ἐριναζομένων, ὅταν μὴ ἐπιπολὺ τῶν τῶν συνεχῶν ἐπιγινομένων. διὸ καὶ παραφυλάττουσι ταῖς συκαῖς ἐρινοὺς ἐπὶ τῶν ἄκρων· ὅπως κατ' ἄνεμον ἡ πτῶσις οἰκεία γίνεται. ταῖς μὲν πρωΐαις, πρωΐους· ταῖς δ' ὀψίαις, ὀψίους· ταῖς δὲ μέσαις, μέσους· ἵνα κατὰ τὴν οἰκείαν ὥραν ἑκάστοις ὁ ἐρινασμὸς ᾖ. διοιχθέντος δὲ τοῦ μέσου τὴν ὑγρότητα ἐκβόσκονται τὴν πλείω· καὶ τῷ ἔξωθεν ἀέρι εἴσοδον διδόασι καὶ τὸ ὅλον εὐπνούστερα ποιοῦσι· συμβαίνει γὰρ ἅμα τῇ θερμότητι τῇ κατεργαζομένῃ, συγκαταλείπεσθαί τι πνεῦμα, καθάπερ τοῖς ἑψομένοις· οὗ χωρισθέντος ἅμα τῇ ὑγρότητι καὶ διεκπνεύσαντος, ἐπιμένει· τὰ γὰρ αἴτια τοῦ ἀποβάλλειν ταῦτ' ἐστίν. εὐλόγως δὲ καὶ γίνονται καὶ εἰσδύονται πάλιν οἱ ψῆνες εἰς τὰ ἐρινεά. γίνονται μὲν γὰρ διὰ τὸ μὴ δύνασθαι πεπαίνειν μηδὲ τελεουργεῖν τοὺς ἐρινεούς· ὥσπερ γὰρ καὶ τῶν ἄλλων σηπομένων καὶ ἐν τούτοις ζωοποιὸς ἡ φύσις· οὐκ ἔχοντες δὲ τροφὴν, ζητοῦντες δὲ τὴν οἰκείαν, φέρονται πρὸς τὸ ὅμοιον· ἡ γὰρ ἐπιθυμία πᾶσι τοῦ συγγενοῦς ὥσπερ τοῖς φθείρεσιν αἵματος· ἐξ οὗ διαφθαρέντος, γένεσις. εὐλόγως δὲ καὶ ἐν τοῖς λεπτογείοις καὶ καταξήροις οὐκ ἐπιζητοῦσι τὸν ἐρινισμόν· ξηρὰ γὰρ γίνονται τῇ φύσει διὰ ὀλιγότητα τῆς τροφῆς. εἰ δὲ δή ἐστί τις ἑτέρα χώρα τοιαύτην ἔχει τὴν κρᾶσιν ὥστε σύμμετρον ἐκδιδόναι τὴν τροφήν· ἡ γὰρ ἀποβολὴ διὰ πεψίαν τὸ μὴ κρατεῖν. ὡσαύτως δὲ καὶ ὅπου κονιορτὸς πολύς· ἀναξηραίνει γὰρ καὶ οὗτος. ἄτοπον δ' ἂν δόξειεν, ὅτι βορείοις ἀποβάλλουσι μᾶλλον ἢ νοτίοις, ξηροτέρων ὄντων. αἴτιον δὲ ὅτι πυκνούμενα μᾶλλον τὰ ἐρινεὰ κωλύει διεκπνεῖν, ἅμα δ' ἴσως καὶ πῆξίς τις γίνεται τοῦ

ὅπου· ταύτην γὰρ καὶ τῆς φυλλοβολίας αἰτίαν φέρουσί τινες. ὥσπερ εἴρηται μέν· ὅσα δ' ὄψια παντελῶς τῶν γενῶν οὐκ ἀποβάλλει. διὰ τὴν ὀψιότητα τῆς βλαστήσεως· οὐ γὰρ ἔτι συμβαίνει κατακλείεσθαι καὶ συναπολαμβάνεσθαι τὸ πνεῦμα διὰ τὴν ὥραν· ἀλλ' ἐπικρατεῖ ἀντιπεριιστάμενον τὸ θερμόν· ἅμα δὲ καὶ φύσει ξηρότερα ἐστί, καὶ ὀψὲ δ' ὑγραίνεται· διὸ καὶ τῶν ἀρδεύσεων αἱ τοιαῦται ζητοῦσι, καὶ δέχονται μᾶλλον· ἔοικε δ' ἥπερ ἡ ἄνοιξις ποιεῖ τὴν ἐπιμονὴν ἀπνοιάν τε καὶ ἀπεψίαν ποιοῦσα, παραπλήσιον γὰρ ὅπερ τινὰ συμβαῖνον ἐπὶ τῶν ἐν αἰγύπτῳ συκαμίνων· ἀλλὰ τοῦτο διαμφισβητοῦσί τινες ὡς ἄρ' οὐκ ἀνοίγουσιν οἱ ψῆνες· ἀλλὰ συμμύειν ποιοῦσιν, ὅταν εἰς δύωσιν· ὅθεν καὶ τὴν αἰτίαν ἐστὶν ἐκ τοῦ ἐναντίου φέρειν, ὡς τούτου χάριν ἐρινα-ζομένων· ἐὰν γὰρ συμμύωσιν, οὔθ' ἡ δρόσος, οὔτε τὰ ψεκάδια, δύνανται παραφέρειν· ὑφ' ὧν ἀποπίπτουσι διαθερμαινομένων, ὥσπερ καὶ οἱ κύτινοι τῶν ῥοῶν· ὅτι δὲ ταῦτα αἴτια, μηνύει τὸ συμβαῖνον· ἃ δὲ καὶ λέγουσί τινες, ἀποκαίουσι γὰρ μᾶλλον ὑδατίων ἐπιγινομένων· σημεῖον δ' ὅτι κἀκεῖ νόσος ἐστὶ τὸ συμμύσαι χάριν· ἐὰν γὰρ μὴ ἔχωσι περιαπτεῖν τῇ ἄμμῳ ὑποτάττουσιν ἵνα συμμύσῃ· καὶ ὁ κονιορτὸς γὰρ ποιεῖ διὰ τρυφ ἐπιμένειν, ὅτι συμμύει κονιορτούμενα· τὰ δὲ τῶν ὀψίων, οὐ διοίγεται κατ' ἐκεῖνον τὸν καιρόν· ἀλλὰ συμμύει· διὸ καὶ ἐπιμένει. καὶ οὐδὲ ὅλως θαυμασμοῦ δέονται μετὰ ταῦτα ἰσχύοντα· καὶ ἅμα τῆς ὥρας μεταβλητικῆς· ἀνοίγεταί τι καὶ οὐκ ἀποπίπτει· τὴν μὲν οὖν αἰτίαν ἀμφοτέρως λαβεῖν ἐνδέχεται· τάχα δ' αὐτῆς φαίνοιτ' ἂν τάχιον οὐδὲν μέτεστιν ἐναντιοῦσθαι· καὶ γὰρ ὑδάτων ἐπιγινομένων, ἀσθενέστερα τὰ ἐρινεὰ καὶ πλείων ὑγρότης γίνεται· δι' ἣν ἐκ πνευματουμένων ἡ ἀποβολή· καὶ τῇ ἄμμῳ παττεῖν ἀποξηραίνειν βουλομένους· διὸ καὶ τὸν κονιορτὸν ὠφελεῖν· ἐξαιρεῖ γὰρ τὸ ὑγρὸν τὸ καὶ ἀποβολῆς αἴτιον· εἰ μὲν οὖν μηθὲν ἀντιλέγει, δῆλον ὡς ἐν ἐκείνῳ τὸ αἴτιον· εἰ δὲ ἐναντιοῦται, συμβαίνει ἂν ἐκείνως μὲν ἀπὸ τοῦ ἐντὸς εἶναι τὴν ἀρχήν· καὶ εἴ τι δ' ἂν μὴ προσπαρέμοι τοῦτο τῶν ἐκτός· οὕτως δ' ἀπὸ τῆς ἔξωθεν ὑγρότητος, ὑφ' ἧς μά-

λιστα

λις ἂν ἀποπίπτῃ τὰ ὀρθὰ πεφυκότα, ἢ μὴ κατακλίνῃ· καθά-
περ οἱ κύτινοι. πιθανὸν δὲ καὶ ἐξ αὐτοῦ τινὸς αἰτίου εἶναι τὴν ἀποβολὴν
ὥσπερ νοσησάντων. πλὴν ἡ μὲν νόσος ἴσως κοινὴ πάντων τῶν καρ-
πῶν. τοῦτο δὲ συμβαίνει ὅταν εἰσδύωσιν οἱ ψῆνες, ἀνάγκη τινὰ λέ-
γειν αἰτίαν. ἐπεὶ τό γ᾽ ἐμβόσκεσθαι τὴν ὑγρότητα τὴν ἐνυπάρχου-
σαν οἰκείαν οὖσαν, ἀληθές. διόπερ πρὸς τὴν ἐπιμονὴν, χρήσιμον. τὰ
μέντοι σῦκα χείρω ποιεῖ. κενωθέντα γὰρ τὰ ἐρινεά, μᾶλλον ἐπισπᾶ-
ται τὸ πλείω τὸν ὀπόν. ὅθεν ἔνιοί γ᾽ οὖν δ᾽ ἐρινεάζουσιν. ἀλλὰ καὶ πω-
λοῦντες κηρύττουσιν, ὡς ἀνθρίνας τε, ἃ δοκεῖ πολὺ διαφέρειν. ἔτι
δὲ χώραν τοῖς βορείοις ἧττον ἀποπίπτειν. συμβαίνει γὰρ μᾶλλον, εἰ
μὴ ἄρα διὰ τὸ ξηρανθῆναι διαχάσκει. φαίνεται δ᾽ οὖν πλείους αἰτι-
ολογίας ἔχειν τὸ πρότερον. εἰ μὴ ἄρ᾽ ἀμφοτέρως συμβαίνει καὶ
ἐνδέχεται. τὸ δ᾽ ἐνίους τόπους μὴ δεῖσθαι τοῦ ἐρινασμοῦ, οὐκ ἄτοπον
ὥσπερ ἐλέχθη. συμμεμίξει ἀνέχοντες ἅμα τῆς ἐκτροφῆς τοῦ ἀέ-
ρος. ἐπεὶ ὅτι γε ἡ ὑγρότης πολλὴ καθ᾽ ὅλου τὸ γένος, καὶ ἐξ αὐτοῦ τοῦ ἀ-
γρίων δῆλον. καὶ γὰρ ἡ ἀπεψία διὰ τοῦτο γίνεται. καὶ ἐρινάζουσι κα-
κείνους ὅπως ἐπιμένωσι, διὰ τὰς αὐτὰς αἰτίας. καὶ διφοροῦσιν. ἔ-
νιοι δὲ καὶ τριφοροῦσιν αὐτοῦ διὰ πλῆθος τροφῆς· ἀφαιρουμένων
γὰρ τῶν πρώτων, ῥᾳδίως ἕτερα φύουσι. καὶ πάλιν τούτων ἕτερα,
πληθύοντές τε τῇ ὑγρότητι καὶ μέχρι τούτου κρατοῦντες. ἐπὶ
πλεῖον δὲ οὐ δυνάμενοι διὰ τὴν ὑπερβολήν. μόνη γὰρ δὴ τοῦτο τῶν
ἀγρίων ἡ μετ᾽ ὀλίγων ἀτελῆ φέρει τὸν καρπόν. εἰ μὴ ἄρα ἐνταῦθα
αὐτοῦ ἦν τὸ τέλος. φύεται γοῦν καὶ αὐτόματος. ἡ δὲ τῶν αὐτομάτων
γένεσις, ἐκ σπέρματος. καὶ ὅσα δὴ διὰ σῆψίν τινα, μᾶλλον δ᾽ ἀλλοί-
ωσιν γίνεται τῆς γῆς. ὥστε καὶ τοῦτο ὠλεσίκαρπον αὖτις ἔφη κα-
θάπερ ὁ ποιητὴς τὴν ἰτέαν. ἐπεὶ τἆλλα κἂν ἀκαρώτους ἔχῃ πᾶ-
σι τοὺς καρπούς, ὅμως ἐκτελεῖ καὶ πεπαίνει κατὰ τὴν τῆς φύσεως
ὁρμήν. ἀλλὰ γὰρ αὕτη μὲν ἰδιότης ἄν τις εἴη πρὸς τὰ ἄλλα. τὸ
δ᾽ ἐπὶ τοῦ φοίνικος συμβαῖνον, οὐ ταυτὸν μέν, ἔχει δέ τινα ὁμοιότητα
τούτῳ. διὸ καλοῦσιν ὀλυνθάζειν αὐτούς. τὸ γὰρ ἀπὸ τῆς ἄρρενος

αὔθος, καὶ ὁ κονιορτὸς καὶ χοῦς συγκαταπίπτων, ποιοῦσί τινα τῇ θερμότητι καὶ τῇ ἄλλῃ δυνάμει ξηρότητα καὶ εὔπνοιαν· διὰ τούτων δὲ ἡ ἐπιμονή. φαίνεται δὲ τρόπον τινὰ ὅμοιον τούτῳ καὶ ἐπὶ τῶν ἰχθύων συμβαῖνον· ὅταν ὁ ἄρρην ἐπιρραίνῃ τοῖς ᾠοῖς ἀποτικτομένοις τὸν θορόν. ἀλλὰ τὰς μὲν ὁμοιότητας, καὶ ἐκ τῶν ἀπηρτημένων ἔστι λαμβάνειν· τῶν δὲ ὁμογενῶν, ἐν οἷς τὰ μὲν ἄκαρπα, τὰ δὲ, κάρπιμα, τῶν ἀγρίων, ἃ δὲ θήλεα, τὰ δ᾽ ἄρρενα καλοῦσιν, ἐν ἐκείνῃ τῇ αἰτίᾳ περιλαμβάνεται τῇ καὶ πρότερον εἰρημένῃ περὶ τῶν καρπῶν· ὅτι διὰ πυκνότητα καὶ ἰσχὺν καὶ εὐτροφίαν ἄκαρπα γίνεται· συμβαίνει γὰρ ἅπαντα, εἰς ἑαυτὰ καταναλίσκειν· ἡ δὲ καρπογονία, δεῖται μὲν τῆς φύσεως περιττώσεως· ἐκ ταύτης γὰρ ὁ καρπὸς, ὥσπερ καὶ τοῖς ζῴοις τὸ σπέρμα. τῆς τροφῆς τρεπομένης δ᾽ εἰς ἕτερον ἀεὶ καὶ καταναλισκομένης, ἀφαιρεῖται τὴν γένεσιν· ἡ γὰρ φύσις ἡ δι᾽ ἀρχῆς εἰς ἄμφω μὴ λαμβάνουσα τὸ σύμμετρον· οἷς μὲν οὖν ἐνίοτε τοῦτο συμβαίνει, τότε ἄκαρπα γίνεται· οἷς δ᾽ εὐθὺς, ἐνταῦθα ἡ ὁρμὴ τῆς φύσεως, ὅλως ἄκαρπα. διὸ δὴ καὶ τῶν ἀγρίων ἔνια τοιαῦτ᾽ ἐν τοῖς ὁμογενέσιν· ἅπερ ἰσχυρότερα καὶ πυκνότερα καὶ ὡς ἐπίπαν μείζω γίνεται διὰ τὴν εὐτροφίαν· ἐπεὶ καὶ μικρόκαρπα πάνυ ὡς ἐπιπολὺ μείζω· καὶ τὰ εἰς μέγεθος ὡρμημένα μικροκαρπότερα· καθάπερ καὶ ἡ ἰνδικὴ συκῆ καλουμένη· θαυμαστὴ γὰρ οὖσα τῷ μεγέθει, μικρὸν ἔχει φύσει σφόδρα τὸν καρπὸν καὶ ὀλίγον· ὡς εἰς τὴν βλάστησιν ἐξαναλίσκουσα πᾶσαν τὴν τροφήν. καὶ γὰρ σφόδρα μεγαλόφυλλον· ἀφ᾽ ὧν ἔοικε διὰ τὴν εὐβοΐαν καὶ ἡ τῶν ῥιζῶν τῶν καθιεμένων εἶναι γένεσις· ἴσως δ᾽ ἀνάπαλιν· ὅτι καὶ εἰς ταῦτα καταμερίζεται· διὰ τοῦτο οὖν ἀσθενέστερον ἐστὶ καὶ ἐλάττων ὁ καρπός. ὑπὲρ δὲ τῶν ῥιζῶν ἐν ἑτέροις εἴρηται· μόνα δὲ καὶ μάλιστα τῶν μονοκάρπων αὔξησιν λαμβάνει μεγέθους, ἄμπελος καὶ συκῆ· δύναται γὰρ ἡ μὲν, ἐφ᾽ ὅσον οὖν ἀφικνεῖσθαι κληματουμένη· καὶ ἔδαφος εὔγεον ἔχουσα καὶ εὐτροφοῦν· ἡ δὲ καὶ εἰς ὕψος αἴρεσθαι, καὶ πολύκλαδος γινομένη, τὸν πολὺν καταλαμβάνει τόπον· εὐλόγως δὲ καὶ μακροβιώτε-

ρα τὰ ἄκαρπα τῶν καρπίμων· καὶ τὰ ὀλιγόκαρπα τῶν πολυκάρπων· ὅσα μὴ δι' ἀσθένειαν ἢ ὑγρότητα ἢ δι' ἄλλην τινὰ αἰτίαν ἄκαρπα, ἢ ὀλιγόκαρπα· καθάπερ τά τε πάρυδρα καὶ ἀλσώδη καὶ ὅσα μανὰ καὶ εὔσηπτα, καθάπερ ἡ δάφνη· ταῦτα μὲν γὰρ καὶ ἔτι τοιοῦτον ἄλλο, διὰ τὴν ἐρημίαν αἴτια· ἡ δὲ καρποτοκία πολὺ τῆς φύσεως ἀφαιρεῖ καὶ τὸ κυριώτατον· ὅπερ καὶ ἐπὶ τῶν ζώων συμβαίνει· τὰ γὰρ πολυτοκώτατα καὶ γηράσκει τάχιστα καὶ ἀπόλλυται· φανερὸν δὲ ἀμέλει καὶ ἐπ' αὐτῶν τῶν ὄντων δένδρων· ὅσα γὰρ πολύφορα καὶ πολύκαρπα, ταῦτα καὶ ὅλως καταγηρᾷ θᾶττον· καὶ ἐν τοῖς ὁμογενέσιν· οἷον ἀμπέλοις· συκαῖς· τοῖς ἄλλοις· τὰ δὲ στέριφα καὶ ὀλιγόκαρπα πολυχρονιώτερα ὡς εἰπεῖν δή ποτε, μᾶλλον δὲ πολλάκις ὑπερκαρπήσαντα τὰ δένδρα, δι' ἀσθένειαν ἀφαυαίνεται· καὶ μάλιστα τοῦθ' αἱ ἄμπελοι πάσχουσι· καὶ τἆλλα δὲ τὰ πολύκαρπα· διὰ τὸ ἐξαντλοῦσθαι τὴν φύσιν εἰς τοὺς καρπούς· καὶ τοῖς σιτηροῖς σπέρμασι, καὶ ὅλως τοῖς ἐπετείοις συμβαίνει· διὸ καὶ ἐπέτεια· συνεξαυαίνονται γὰρ εὐθὺς αἱ ῥίζαι τελειουμένων τῶν καρπῶν· διὰ τὰς αὐτὰς ἀνάγκας ἐκδιδομένης πάσης τῆς φύσεως, τὰ δὲ δένδρα παραχρῆμα μὲν ἢ οὐ πάσχει τοῦτο, ἢ οὐ φανερὰ γίνεται· πλείστοις μέντοι δὲ τῆς ὥρας ἐξεδήλωσεν· ἐὰν δέ τι ἐπιγένηται τοιοῦτον ἐκ τοῦ ἀέρος, ὥστε πιέσαι καὶ κακῶσαι καὶ θᾶττον, οὐ μόνον οὕτω τὰ ὑπερκαρπήσαντα, ἀλλὰ καὶ πολυκαρπήσαντα, πονεῖ πολλάκις ἢ καὶ φθείρεται· κενωθὲν γὰρ ἀπ ἀσθενές· ἐν ἀσθενεῖ δὲ καὶ τὸ μὴ ἰσχυρόν· διὰ τοῦτο καὶ τὰ γεωργούμενα, τῶν ἀγεωργήτων θᾶττον γηράσκει· καὶ τὰ βελτίω τῶν χειρόνων· καὶ τὰ ἥμερα ὅλως τῶν ἀγρίων· καίτοι τάχ' ἂν δόξειεν ἄτοπον, τὰ μᾶλλον τυγχάνοντα θεραπείας· ἀλλ' ἡ θεραπεία πρὸς καρπογονίαν, οὐ πρὸς ἰσχύν· αὕτη δ' ἀναιρεῖ· τὸ δὲ μακρόβιον ἐν τῷ ἰσχύειν· ἰσχυρὸν δὲ τὸ πυκνὸν καὶ στερεόν· ὅθεν καὶ Θάσιοι τὰς γεωργίας ἀπομισθοῦντες, οὐ φροντίζουσι τῶν ἄλλων ἐτῶν· ἀλλὰ καὶ βούλονται κακουργεῖν· ὑπὲρ δὲ τοῦ τελευταίου συγγράφονται πρὸς τὴν αὐτῶν κατάληψιν· συμβαίνει δὲ τοῦτο καὶ ἐπὶ τῶν ζώων· καὶ γὰρ τὰ ὅλως

ὠκύτοκα, βραχύβια· τὰ ὑπερτοκήσαντα πολλάκις ἀπόλλυται· μάλιστα δὲ τῶν ἀειδῶν καὶ τῶν συνανθρωπευομένων αἱ ὄρνιθες· αὐτὴ δὲ ἡ βραχυβιότητος αἰτία καὶ ἡ ἐναντία δηλονότι μακροβιότητος ὥσπερ εἴρηται· καὶ ὅσα δὲ ἀσθενῆ φαίνεται καὶ εὔφθαρτα, μὴ πάντα δ' ὄντα πολύκαρπα· ἀλλ' ἔνια καὶ ἄκαρπα καθάπερ ἐν τοῖς ἐπιπέδοις, ὡς ἡ σκιά· ἐπεὶ ἦν καὶ πρότερον ἐλέχθη· ταῦτα γὰρ οὐδ' εἰς τελείωσιν ἀφικνεῖσθαι δύναται τῆς φύσεως· ἔνια δὲ καὶ τῶν δένδρων εὔφθαρτα διὰ μανότητα, καὶ ἀσθενεῖ· οὐχ ὄντα πολύκαρπα· καθάπερ ἡ δάφνη· ταύτης γὰρ ὅ ἐστιν, ἡ καὶ ἄκαρπος, ὥσπερ ἡ δρυοφόρος· ἐπεὶ οὐχ ἁπλῶς ταύτῃ· ἀλλὰ κατὰ μέρος καὶ ἡ φθορὰ καὶ τὸ γῆρας· εἰ γὰρ τὸ μάλιστα παχυνόμενον ὡς ἐπὶ τὸ πολὺ σήπεται καὶ φθείρεται, παραβλαστήσεις δ' ἔχει τούτων, ὡς ὁμοίως εἶναι τὸ ἀπό τινα τῶν ἀφαυαινομένοις ἀκρέμοσιν τῶν δένδρων, ἀλλ' ἡ διαφορὰ τοῦ μὲν, ὅτι τὸ κυριώτατον· τοῦ δὲ τῶν ἀπηρτημένων τι μορίων· ἀλλ' ὅτι ἡ παραβλάστησις ἀπὸ τῶν αὐτῶν, διὰ τοῦτο ταὐτὸ δοκεῖ καὶ τὸ δένδρον εἶναι· περὶ οὗ καὶ διηπορήθη πρότερον· ἀρχαὶ δὲ φθορᾶς τοῖς ἀσθενέσι, καὶ ἀπὸ πλήθους, καὶ ἀπὸ σώματος μεγέθους, καὶ ἀφ' ἑτέρων τινῶν τοιούτων· ἐκ τούτων γὰρ εὐκίνητον τὸ ἀσθενές· ἐὰν δὲ πρὸς τούτῳ καὶ πολύκαρπον ᾖ, καθάπερ ἡ ῥόα καὶ μηλέα ἡ ἐαρινή, καὶ μάλιστα οὖν· ἐξ ἀμφοτέρων γάρ· τάχα δ' ἐκ πολλῶν αἱ ἀρχαί· καὶ αἱ γε μηλέαι καὶ σκωληκοῦνται τάχιστα· θᾶττον δὲ αἱ γλυκεῖαι· καὶ τοῦτο πάσχουσι· καὶ ὅλως γηράσκουσιν, οὐχ αἱ μηλέαι μόνον, ἀλλὰ καὶ αἱ ῥόαι· τὸ γὰρ τιμιώτατον ἀφαιρεῖται τῆς φύσεως· ἅμα δὲ καὶ αἱ μὲν, ὥσπερ ἄγριαι τινές· αἱ δὲ ἥμεροι τυγχάνουσιν· ἀνάλογον δὲ καὶ αἱ ἀπύρηνοι τῶν πυρηνωδῶν· καὶ αἱ μαλακοπύρηνοι τῶν σκληρῶν· καὶ ἐπὶ μυρρίνων δὲ ἐπὶ τῶν ἄλλων ὡσαύτως· καὶ [illegible] πλεῖον ἀφαιρεῖται τῆς φύσεως· καὶ τὸ ὅλον ἀσθενέστερα καὶ μανότερα ταῦτα· διὸ καὶ πρωϊκαρπότερα· θᾶττον γὰρ καὶ μᾶλλον ὑπακούει τῷ ἀέρι τὸ ἀσθενές· ὡς δὲ Δημόκριτος αἰτιᾶται, τὰ εὐθέα τῶν σκολιῶν βραχυβιώτερα καὶ πρωϊβλαστότερα διὰ τὰς ἀνάγκας εἶναι· τοῖς μὲν γὰρ

ταχὺ

ταχὺ διαπέμπεσθαι τὴν τροφήν, ἀφ' ἧς ἡ βλάστησις καὶ οἱ καρ-
ποί· τοῖς δὲ, βραδέως, διὰ τὸ μὴ εἶναι εὔρουν τὸ ὑπὲρ γῆς· ἀλλ' αὐ-
τὰς τὰς ῥίζας ἀπολαύειν. καὶ γὰρ μακρόρριζα ταῦτα εἶναι καὶ πα-
χύρριζα. δόξειε δ' ἂν οὐ καλῶς λέγειν. καὶ γὰρ τὰς ῥίζας ἀσθενεῖς
φησὶν εἶναι τῶν εὐθέων· ἐξ ὧν ἀμφοτέρων, θᾶττον γίνεσθαι τὴν φθο-
ράν· ταχὺ γὰρ ἐκ τοῦ ἄνω διιέναι, καὶ τὸ ψῦχος καὶ τὴν ἀλέαν ἐπὶ τὰς
ῥίζας διὰ τὴν εὐθυπορίαν· ἀσθενεῖς δ' οὔσας οὐχ ὑπομένειν· ὅλως
τε τὰ πολλὰ τῶν τοιούτων κάτωθεν ἄρχεσθαι γηράσκειν. διὰ τὴν
ἀσθένειαν τῶν ῥιζῶν. ἔτι δὲ τὰ ὑπὲρ γῆς διὰ τὴν λεπτότητα, καμ-
πτόμενα ὑπὸ τῶν πνευμάτων, κινεῖν τὰς ῥίζας· τούτου δὲ συμ-
βαίνοντος, ἀπορρήγνυσθαι καὶ πηροῦσθαι. καὶ ἀπὸ τούτων τῷ ὅλῳ
δένδρῳ ἐπιγίνεσθαι τὴν φθοράν. ἃ μὲν οὖν λέγει, ταῦτ' ἐστίν. οὐ μὴν
δόξειεν ἂν ὥσπερ εἴρηται καλῶς λέγειν· οὔτε γὰρ τὸ τῶν ῥιζῶν ἐστὶν
ἀληθές, ὥσπερ καὶ πρότερον ἐλέχθη· τὸ τῶν μακροβίων εἶναι μα-
κρὰς καὶ παχείας· οὐ γὰρ μακρόβιοι, οὔθ' ἡ συκῆ· οὐθ' ἑτέρα τῶν μα-
κρορρίζων ἢ παχυρρίζων, ὅτι τὰ εὐθέα καὶ τὰ ὀρθὰ βραχύβια·
οἷον ἐλάτη· φοῖνιξ, κυπάριττος. οὐδ' αὐξήσει δὲ ταῦτα. οὔτε πρωΐ-
καρπα· οὐδὲ πρωϊκαρπεῖ· καίτοι καὶ ταῦτα ἔχειν εὐθὺς τοιού-
των γε τῶν πόρων ὄντων καὶ τῶν ῥιζῶν μὴ μακρῶν. ὅσα γὰρ ἀπὸ τῆς
αὐτῆς αἰτίας, ἅπαντα δεῖ συνακολουθεῖν τοῖς αὐτοῖς· ἀλλὰ
μήποτε οὐ τοῦτο ἦ τὸ αἴτιον· ἀλλὰ τὰ προειρημένα πρότερον. ἐν οἷς
ἢ τὸ δυσφυὲς ὅλως ἢ μικρόκαρπον ἢ ὀλιγόκαρπον καὶ ὅλως
τὸ ἰσχυρόν ἐστιν· ἡ γὰρ πυκνότης ἢ ἡ ξηρότης· καὶ ἡ στερεότης· καὶ
ἡ λιπαρότης, ἐν οἷς ὑπάρχει ἢ μακροβιότητος καὶ πάντων τῶν
τοιούτων, αἴτια· τὰ δ' ἐναντία τῶν ἐναντίων. ὅσα δὲ πολυκαρ-
ποῦντα, μὴ βραχύβια, μὴ δὲ ταχὺ γηράσκει· καθάπερ ἄπιος
ἀμυγδαλῆ, δρῦς, καὶ πρεσβύτερα γινόμενα, καρπιμώτερα κα-
θάπερ ἐλέχθη· παραιρουμένης γὰρ τῆς ἰσχύος, παραιρεῖται τὸ
πλῆθος τῆς τροφῆς· ὥσπερ ῥᾴδιον καταπέττειν τὴν λοιπήν.
ἅμα δ' ἴσως συμβάλλεται ἢ τὸ μὴ ἐντελεχές, ἢ πᾶσιν, ἢ τισίν.

ἡ γὰρ ἀπίος καὶ ἔτι μᾶλλον ἡ ἀμυγδαλῆ προφαίνουσι πολύν· ἐκ-
τρέφουσι γὰρ πολλάκις τοῦτον· ἔστι δὲ ἐν τῇ τελειώσει ὁ πόνος καὶ
ἡ ἀπέρασις· ἡ δὲ συκάμινος ἐλαφρόν τινα καὶ ὑδατώδη καὶ μικρὸν
ὡς πρὸς τὸ μέγεθος ἔχει τοῦ δένδρου τὸν καρπόν· ἀλλὰ γὰρ περὶ μὲν
μακροβιότητος, ἐν τούτοις ἔστωσαν αἱ αἰτίαι· περὶ δὲ πολυκαρ-
πίας τῶν δένδρων, εἴρηται πρότερον· ὅτι τὰ θερμὰ καὶ μανὰ καὶ ὑγρά·
τῶν δὲ σπερματικῶν ὡς ἁπλῶς εἰπεῖν τὰ ἐλάττω πολυχούστερα· καὶ
τὰ ἐλάχιστα, μάλιστα· καθάπερ κέγχρος, σήσαμον, ἐρύσιμον· μήκων·
κύμινον· αἰτία δὲ δοκεῖ καθόλου μὲν καὶ κοινῶς εἰπεῖν, ὅτι τὰ ἐλάττω,
ῥᾷον ἐκπέττει· ἐν δὲ τοῖς ῥαδίως τὸ πλῆθος· ὥστε εἰ ὑστέρω· ὅτι παν-
τα τὰ τοιαῦτα, ἀβλαστότερα καὶ θᾶττον ὑπακούει τῷ ἀέρι· ση-
μεῖον δὲ καὶ ἡ ὀλιγοχρονιότης τῆς τελειώσεως· ἐπεὶ καὶ τὰ σπέρματα
διὰ τοῦθ᾽ ὡς ἁπλῶς εἰπεῖν πολυκαρπότερα τῶν δένδρων· καὶ αὐτῶν
τούτων τὰ χεδροπὰ τῶν σιτωδῶν· θᾶττον γὰρ ἡ τελείωσις καὶ ἡ
ἄδρυνσις· ἔτι δὲ οἱ καυλοὶ τῶν πλείστων ἰσχυροί· καὶ οὐ ξυλώδεις καὶ
οὐ μονοφυεῖς, ἀλλὰ πλείους καὶ ἀκρεμονικοί· πολλῶν δὲ καὶ ἰσχυρῶν
ὄντων, εὔλογον ἤδη καὶ τὸ τοῦ καρποῦ πλῆθος· ἄλλως τε καὶ αἱ ῥίζαι
μὴ ἀντισπῶσιν· ὥσπερ τῶν ναρθηκωδῶν καὶ κεφαλορρίζων· ἀλλ᾽
ἀεὶ διαδιδῶσιν ὧν ἂν λαμβάνωσιν, ὅπερ ἐπὶ τῶν χεδροπῶν
ἐστι, καὶ ἐπὶ τῶν ἄλλων τῶν πλείστων· μονόρριζα γὰρ καὶ οὐ πα-
χύρριζα· ἀλλ᾽ εἰς τὰ ἄνω φερόμενα τῇ ὁρμῇ καὶ μάλιστα ὡς
εἰπεῖν τὸ κύμινον· μικρὰ γάρ τις ἡ ῥίζα τούτων πάμπαν· ὅσα
δὲ ἰσχυρόρριζα τούτων (ἔνια γὰρ τοιαῦτα καθάπερ ὁ κέγ-
χρος καὶ ὁ μήλινος) ταῦτα δὲ κατὰ λόγον ἀποδιδῶσι τοὺς
καυλοὺς ἀπὸ ἰσχυρῶν ἰσχυροὺς καὶ πολυσχιδεῖς· ὥστε ὄντα μὲν ἀπὸ
μικρᾶς ἀρχῆς πολλοὶ γίνωνται, κατὰ λόγον ἤδη καὶ τὸν
καρπὸν εἶναι πολύν· ὥσπερ καὶ ἐπὶ τῶν πυρῶν καὶ κρι-
θῶν· ὅταν ἐξ ἑνὸς πλείους ἐκβλαστῶσι κάλαμοι· πλείους
γὰρ οἱ στάχυς· ταὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῶν λαχανηρῶν ἐστιν·
ὅτι πολύσπερμα καὶ ἰσχυρόρριζα τυγχάνει· τὰ μὲν γὰρ πλεί-

στους καυλοὺς ἀφιᾶσι. τὰ δ' ὑπὸ τὸ ἐμὸς ἀκρέμονος πλεί-
ους. ἅπαντα γὰρ ἀποδενδροῦται τῷ ὀψὲ διακαυλίσαι τα. παν-
ταχόθεν δὲ καὶ ἐκ πολλῶν πολὺς ὁ καρπός. ὅταν οὖν κατὰ τὸν ἀέ-
ρος εὐμενῆ τυγχάνῃ. βραχὺς δ' ἤδη καὶ ἀχείμαντος τοῖς ὀψισπό-
ροις. καὶ ἡ φύσις εἰς τὸ ἄνω μᾶλλον ὁρμᾷ. καὶ μὴ ἀντισπᾷ. τῶν ῥι-
ζῶν. ἀλλὰ σπορᾷ καὶ προσέτι μανῇ, σπείρεται κατὰ λόγον. καὶ ἤ-
δη ταῦτα πολυκαρπότερα γίνεται τῶν ἄλλων. ὁ δὴ κύαμος καὶ εἴ τι
τῶν χεδροπῶν ἄλλο μὴ πολύκαρπον, διαωθεῖν ἐστ' ὀλιγόκαρπα. διὸ δὴ καὶ
πρωϊσπορεῖται. προλαμβανόντων τοὺς χειμῶνας εἰς τὴν ῥίζωσιν.
ἔτι δὲ ἐπίκηρον ἐν πολλοῖς καὶ πολλάκις. ὥστε αὖ καὶ προφανῇ μὴ
δύνασθαι τελειοῦν. ἡ δὲ ἀσθένεια, καὶ τῇ αἰσθήσει φανερά. μανὸν γὰρ
καὶ κενὸν καὶ οὐ πολύρριζον. ὥστε εὐδίοδον τῷ κακοποιοῦντι. τὸ
μὲν οὖν πολυκαρπεῖν, ἐν τούτοις αἱ αἰτίαι καὶ τοῖς ἐπετείοις
καὶ τοῖς χρονιωτέροις. ἐπεὶ καὶ αἱ διακαθάρσεις τῶν δένδρων καὶ αἱ
κατακοπαί, ποιοῦσι πολυκαρπεῖν. ὅτι τὰ μὲν αὐτὰ κωλύει
τὰ δ' αὐτὰ λαμβάνει τὴν τροφήν. τούτων οὖν ἀφαιρεθέντων, εἰς τὸν
καρπὸν ἡ ὁρμή. καὶ διὰ τοῦτο τὰς ἡρακλεωτικὰς καρύας θαμνώ-
δεις ποιοῦσι κατακόπτοντες. ἐξαναλίσκουσι γὰρ ἀποδενδρούμεναι
πᾶσαν τὴν τροφήν. αἱ δὲ μεταβολαὶ τῶν καρπῶν κατὰ τὰς χώρας. δηλονότι κατὰ
τοὺς ἀέρας καὶ τὰ ἐδάφη γίνονται. διὰ τοῦτο γὰρ καὶ ἐκ τούτων αἱ τροφαὶ πᾶσαι.
ἰσχυρὸς δ' ἡ τροφὴ πρὸς ὁμοίωσιν, εἴγε καὶ ἐν τοῖς ζώοις οὕτως ἡ ἐν τοῖς θήλεσιν ὁ-
μοιότης. φαίνεται δὲ οὐ μόνον τὰ σπέρματα καὶ τὰ φυτὰ καὶ τὰ δέν-
δρα μεταβάλλειν. ἀλλὰ καὶ τὰ ζῷα καὶ τρόπον τινὰ μάλιστα ταῦτα.
καὶ αἱ τροφαὶ ἐξομοιοῦνται κατὰ τοὺς τόπους. ἐν δὲ τοῖς καρποῖς οὐχ ὁμοίως τοῦ-
το δῆλον. οὐ μὴν ἀλλὰ καὶ ἐνταῦθα γίνεται καὶ μάλιστα ἔκδηλον καὶ
τὰ χρώματα, καὶ τὰ μεγέθη καὶ τοὺς χυλούς. χρώματα μὲν οἷον τὰ
σπέρματα. λευκὰ γὰρ ἐκ μελάνων, καὶ μέλανα ἐκ λευκῶν μεταβάλλει.
χυλοὺς δὲ καὶ οἱ καρποί. τὸ δ' ἐκ τῶν χρωμάτων οὐκ ἐμφανὲς, ἢ
οὐχ ὁμοίως συμβαίνει. πλὴν ἐὰν ὅλον μεταστῇ τὸ δένδρον, ὥστε ἐκ μέλα-
νος γενέσθαι λευκόν, ὅπερ ἐνίοτε συμβαίνει τοῖς ἐκ σπέρματος φυο-

μένοις· κοινοῦ δὲ τοῦ πάθους ὄντος ὁμοίως ζώων τε καὶ φυτῶν, κοι-
νήν τινα δεῖ καὶ τὴν αἰτίαν ζητεῖν· ἐπεὶ κἀκεῖνο ὅμοιον ἐν τοῖς
σπέρμασιν ἐστὶν ἐν τοῖς ζώοις· ὥστε μὴ εὐθὺς ἀλλὰ διαγεννήσαντα με-
ταβάλλειν· ἅπαντα γὰρ κατὰ μικρὸν ἐξαλλοιοῦται καὶ μεθίσταται· τὰ δὲ
περὶ τῶν δένδρων ἀνάπαλιν εὐλόγως· ἀσθενέστατα γὰρ ἐν ἀρχῇ· καὶ μά-
λιστα ἀλλοιοῦται ἐκ σπέρματος· ἀτοπώτατον δὲ καὶ θαυμάζεται μάλιστα
περὶ τῶν δένδρων εἰς τὸ βέλτιον μεταβολή· καθάπερ ἐν αἰγύπτῳ τε καὶ
ἔτι μᾶλλον ἐν κιλικίᾳ τῶν ῥοῶν· ἔτι δὲ περὶ μυρρίνης περὶ αἰγυ-
πτον εὐωδία· τὰς γὰρ ἐπὶ τὸ χεῖρον καὶ πολλὰς ὁρῶμεν ἁπανταχοῦ·
διὸ οὐ θαυμάζομεν· ἔστιν οὖν δῆλον ὅτι καὶ ἐπὶ τῶν σωμάτων συμ-
βαῖνον· ὅταν εἰς τὸ βέλτιον ἢ σχεδὸν ὅμοιον· ἐν τούτῳ γὰρ ἡ διαφο-
ρά· ἔστι γοῦν τι μὲν ἀεὶ τοῦτο μένειν ὅταν φυτευθῇ· τὸ δ' αὐτὸ ἀλλομε-
ταβάλλειν· ἐπεὶ τό γε γινόμενον τοῦτο· παραιρεῖται γὰρ ἀεὶ τοῦ φύ-
σει ἐπικρατεῖν ὡσαύτως ἀμφοῖν· συμβαίνει γὰρ τοῦτο ἐστὶν ἐπὶ τῶν
ζώων· ἐκ μελάνων γὰρ λευκὰ γίνεται καὶ ἐκ τραχέων μαλακά· αἴ-
τιον δὲ ἐνταῦθα δοκεῖ τῶν μὲν φανερῶν εἶναι τὸ ὕδωρ· τῶν δὲ ἐστὶν ὅλως
αἱ τροφαὶ καὶ ὁ ἀήρ· ὥστε κἀκεῖ χρὴ νομίζειν, καὶ εἴπερ ἄλλο τι τοιοῦ-
τόν τι συμβαίνει, τὸ αὐτὸ εἶναι καὶ παραπλησίου ἀνάγκη· τὰ δὲ καθ' ἕ-
καστα μᾶλλον ἴσως δὲ καὶ μόνον αὐτοῦ ἰδεῖν, τὴν ἐμπειρίαν προσλαβών.
χώρας καὶ τὸ περὶ ὕδατος ἰσορροπίας· ὁμοίως γεωργούντων παραπλήσιον φαίνε-
ται, καὶ ὅσα διὰ τῆς θεραπείας ἀλλοιοῦται· πρῶτον μὲν ἐστὶ καθόλου πᾶσιν εἰ-
περ ἡμερούμενα· δεύτερον δὲ ἐν αὐτοῖς τοῖς τόποις βέλτιον ἐστὶ χαίρει τέως
γεωργούμενα· καὶ γὰρ τοὺς πυρῆνας ὥσπερ εἴπομεν ἐλάττους ἔχειν· τὰ
δὲ βελτίονα· ἔτι δὲ ἡ πρὸς ὑδρεία γλυκαίνει τε τὰς ῥοὰς καὶ μαλα-
κωτέρας ποιεῖ· δεῖται γὰρ ἡ στρυφνότης τοιαύτης καὶ ἡ σκλη-
ρότης ἐπικουρίας· ἐστὶ γὰρ τὸ ἐνδεὲς δεῖται βοηθείας· οὐ μόνον γὰρ
διὰ τοῦτο διχῶς· ἢ πρόσθεσίν τινα λαμβάνον, ἢ ἀφαιρέσεως
θατέρου γινομένου· καθάπερ ἐπὶ τῶν ἀμυγδαλῶν ἐλέχθη
τῶν κολαζομένων καὶ περιαιρουμένων τὰς ῥίζας· καὶ ἐπὶ
τῶν συκῶν τῶν καταχαζομένων· ἀφαιρεθέντος γὰρ τοῦ πλήθους

περὶ

τῆς τροφῆς. ἰσχύει μᾶλλον τὸ σύμφυτον θερμὸν εἰς τὸ καταλοιπόν. ἰδιω-
τάτη δ' αὖ δόξειεν ἡ ἀπὸ τῶν ῥιζῶν εἶναι θεραπεία. τῆς τε κόπρου τῆς
ὑείας ταῖς ῥοιαῖς παραβαλλομένης. καὶ εἴ τις ἄλλη τοιαύτη τις ἰδία
τροφὴ δι' ἧς γλυκαίνει τὸν χυλόν. λέγεται δὲ καὶ ὡς ἡ πολυϋδρία καὶ ψυ-
χρουδρία ποιεῖ τινα μεταβολήν. καὶ ἐμφανέσταται δὴ καὶ μάλιστα αἱ τῶν
ἐδαφῶν εἰσὶ καὶ τῶν ἀέρων φύσεις· ὥσπερ ἐν αἰγύπτῳ καὶ ἐν κιλικίᾳ.
ἐν τούτοις δὲ καὶ ζητεῖν ὅλως δεῖ τὰς ἀλλοιώσεις καὶ μεταβολάς, ἐδά-
φει καὶ ὕδατι καὶ ἀέρι ἡ ἐργασία. καὶ δὲ ἁπλῶς ἡ γεωργία μεθίστησι
ἐξημεροῦσα τὰ δένδρα καὶ τοὺς καρπούς. ὑπὲρ μὲν οὖν τῶν λοιπῶν
ἕτεραί τινες αἰτίαι. ὑπὲρ δὲ τῆς ἀπὸ τῶν ῥιζῶν μεταβολῆς, ὑπὲρ
ἧς τανῦν ὁ λόγος, ἐκεῖνο δεῖ λαβεῖν. ὅτι καθάπερ ἀρχαί τινες αἱ
ῥίζαι τῶν δένδρων. ἀκολουθεῖν δὲ φιλεῖ ταῖς ἀρχαῖς τὰ ἄλλα.
διὸ καὶ ἐπὶ τῶν συκίων ἐλέχθη πρότερον. ὅτι βρεχομένων ἐν γάλα-
κτι τῶν σπερμάτων ἢ ἐν μελικράτῳ, γλυκύτεροι γίνονται. καὶ
ἐπ' ἄλλων. αὗται δὲ καὶ τὴν τροφὴν πεπεμμένην μᾶλλον λαμβά-
νουσι καὶ αὐταὶ μεταβάλλουσαι, συμμεταβάλλειν ποιοῦσι καὶ τὸ
δένδρον. ἀπὸ γὰρ τούτων ἡ διάδοσις. ἐπεὶ καὶ αἱ πολυϋδρίαι καὶ τὰ
ἐδάφη καὶ αἱ κατεργασίαι, περὶ ταύτης πρῶτον καὶ ἀπὸ τούτων
ἀρχόμεναι, τὰ ἄλλα συναλλοιοῦσι. πρὸς ἕτερα δ' ἴσως καὶ ἕτε-
ραι βοήθειαι συνεργοῦσιν. οἷον αἱ σχάσεις συκῶν. καὶ κλάσεις τῶν ἀμ-
πέλων. καὶ αἱ κολούσεις τῶν ἀμυγδαλῶν. ἢ πλήξεις, ἢ διει-
ρόντων τοὺς παττάλους. ἀπορρεούσης γὰρ τῆς ὑγρότητος,
ἡ καταλειπομένη ῥᾶον ἐκπέττεται γλυκύτης. τὰς δὲ ὀφθαλ-
μιζομένας οὐ πέφυκε μεταβάλλειν. ὅτι καθάπερ ἀρχή τις
ἑτέρα τούτων ἐστὶν, ἧς οὐκέτι δύναται κατακρατεῖν. ὥσπερ γὰρ γῆ
γίνεται τῷ ὑποκειμένῳ τὸ ἐμφυτευόμενον ἢ ἐνοφθαλμι-
ζόμενον, ὥσπερ ἐλέχθη. καὶ εἰσὶν αὗται δύο μεταβολαὶ καὶ ἀ-
πὸ δυοῖν, ἥ τε ἀπὸ τῶν ῥιζῶν. καὶ ἀπὸ τῶν ὀφθαλμιζομένων
ἢ ἐγκεντριζομένων ἢ ἐμφυτευομένων. ἡ μὲν αὐτοῦ τοῦ ὑποκει-
μένου ἀλλοιουμένου. ἡ δὲ ἑτέρων τινῶν ἐμβαλλομένων. διὸ καὶ ἡ τ

τον ἐπὶ ταύτης τὸ θαυμαστόν. διὰ τί δ' ἡ ῥόα μάλιστα μὲν μεταβάλλει, τὴν μανότητα καὶ τὴν ἀσθένειαν, αἰτιάσαιτ' ἄν τις· εὔκοπα γὰρ τὰ τοιαῦτα πρὸς μεταβολήν· ὡς κἀπὶ πλέον δὲ καὶ ἔτι τις ἄλλη τῆς φύσεως ἰδιότης. εἰς δὲ τὸ χεῖρον μεταβολαὶ δῆλον ὡς ἐναντίαι, καὶ ἐμφανεστάτη γε κοινοτάτη πᾶσιν ὡς ἀγεωργησία· πάντα γὰρ ὡς εἰπεῖν ἀπαγριοῦται. ἐνίοτε δὲ καὶ οἱονεὶ πηρώσει τινὶ μεταβάλλουσιν εἰς τὸ χεῖρον, κολουόμενα κατὰ τὴν πρώτην γένεσιν τὰ φυτά· καθάπερ ἡ ἀμυγδαλῆ· πικρὰ γὰρ ἐκ γλυκείας γίνεται, καὶ ἐκ μαλακῆς σκληρά. τὰ δ' ἄλλα, οὐκ ἔστιν ἐπίδηλα μεταβάλλοντα. καίτοι τά γε τῆς ἀμπέλου φυτὰ καὶ ἀπόλλυται πονοῦντα. τὰ δὲ καὶ μεταβάλλειν εἰκὸς μᾶλλον ἦν. τῇ γὰρ ἀμυγδαλῇ καὶ τὸ ὅλον φαίνεται παρὰ λόγον· ἰσχυρότερον γὰρ τῶν δένδρων. ἔνια δὲ καὶ βελτίω κολουόμενά φασι γίνεσθαι, καὶ καθάπερ οἱ Χῖοι τὴν ἄπιον τὴν φωκίδα. τὸ μὲν οὖν ἰσχυρὸν τῆς ἀμυγδαλῆς, οὐκ ἐν τῷ αὐτῷ λαμβάνεται δένδρῳ. κολουθεῖσα μὲν γὰρ ἰσχυρά· φυομένη δ' ἀσθενής. ἄλλως τε καὶ ἀπὸ σπέρματος. ἐπεὶ καὶ μὴ κολουθεῖσαι, πικραὶ γίνονται καὶ σκληραί, καθάπερ ἐν τοῖς πρότερον ἐλέχθη. πᾶν γὰρ ὅλως ἀπὸ σπέρματος ἐξαλλοιοῦται πρὸς τὸ χεῖρον. κινηθείσης δὲ τῆς φυσικῆς ὁρμῆς, εἰκὸς ἔτι μᾶλλον. οἷον γὰρ ἄλλη καὶ ἀσθενεστέρα γέγονεν. ἐπεὶ καὶ τὰ ἐχόμενα κωλύεται μὴ ἐν καιρῷ κινούμενα. καὶ ἡ γῆ δυσδιάδηκτος, ἢ βρεχομένη. ὁ δ' ἐν ἀρχῇ μέγα, καὶ διατείνει πρὸς τὴν τελείωσιν. ἐπὶ μόνης δὲ ταύτης μάλιστ' ἔνδηλον εἶναι τὴν μεταβολήν, οὐκ ἄτοπον καὶ διὰ τὰς προειρημένας αἰτίας· καὶ διότι τῆς μὲν ἀμπέλου καὶ τῶν ἄλλων οὐθενὸς ὁ καρπὸς τελειούμενος, πικρὸς ἢ ὀξύς. ἀλλ' ἤτοι γλυκύς, ἢ οὐκ ἐπέφθη. ταύτης δ' οὐχ ὑπάρχει τοιοῦτος εὐθὺς ἐν τοῖς τελείοις καὶ εὐκαρποῦσι. τάχα δὲ καὶ τῶν ἄλλων ἔστι τις καὶ εἰς τὸ στρυφνότερον, ἢ ὑδαρέστερον, ἢ μὴ ὁμοίως γλυκύ· λανθάνει δὲ τὴν ἡμετέραν αἴσθησιν· καὶ γὰρ αὐτῶν τῶν ὁμογενῶν, αἱ μὲν μᾶλλον.

λον, αἱ δ᾽ ἧττον τριαῦται. συμβαίνει δὲ ταῖς κολουθείσαις, αἱ πρεσ-
βύτεραι γινόμεναι πάλιν ἐπικόπτωνται καὶ διακαθαίρων-
ται, γλυκύτεραι γίνεσθαι, καὶ τέλος ἀποκαθίστασθαι πρὸς τὴν φύ-
σιν. αἴτιον δ᾽ ἔτι πρὸς τῷ εἰρημένῳ, διότι τῷ μὲν, ἡ κόλουσις κω-
λύσασα τὴν εἰς τὸν ὄγκον βλάστην κατέμιξε, καὶ χεῖρον τῆς
ὑγρότητα τὴν εἰς τὸν καρπὸν ἐποίησε. πλείονος δὲ οὔσης, ἄπε-
πτος. ὥστε πικρός. καὶ κατακοπτομένη δὲ λαμβάνει τινὰ ἀ-
ναπνοὴν καὶ ἀφαίρεσιν. ὥσπερ καὶ ὅταν οἱ σφῆνες διακρουσθῶ-
σιν. ἐλάττονος δὲ γινομένης, καὶ αὐτὸ μᾶλλον ἰσχύον διὰ τὴν
ἀσθένειαν, ἐκπέττει τε μᾶλλον καὶ ἀποκαθίσταται ταύτης μενούσης
ὥσπερ ἀνασώζεται πάλιν ἡ φύσις. ἔνια δὲ ἐὰν μὴ κολουθῇ,
τὸν καρπὸν οὐ πέττει. καθάπερ ἡ ἄμπελος ἡ κανθαρέος κα-
λουμένη. διὸ καὶ κολούουσιν ἄκρον τὸν βότρυν. εἰ δὲ μή, σήπει
καὶ διαφθείρει. δῆλον οὖν ὡς ἁπλῶς εἰπεῖν ὅτι ἀφαιρέσεως
δεῖται τῆς ὑγρότητος. ἡ δὲ φωκὶς καλουμένη, βελτίων πρὸς δέν-
δρωσιν, ἢ πρὸς εὐκαρπίαν. ἐκτρέφει γὰρ ἄγαν μὴ κολουθεῖσα, καὶ
γίνεται μονόκολος ἢ ἀσθενής. εἰ δὲ μή, παραβλαστάνουσα δενδροῦ-
ται. τάχα δ᾽ ἄν τις συμβάλοιτο τοῦτο πρὸς εὐκαρπίαν. ἰσχυρο-
τέρας γὰρ γινομένης, ἡ πέψις καλλίων. τῶν δὲ λαχανωδῶν ἢ ποωδῶν ὅ-
σα κακούμενα καὶ κειρόμενα, βελτίω. καθάπερ τά, τε πράσα
καὶ ἡ ῥάφανος, ἢν πάλιν βλαστήσῃ, καὶ ἡ μηδική. καὶ ἡ θρίδαξ
καὶ τὸ ὤκιμον. ἅπαντα ταῦτα τῇ ἁπαλότητι καὶ εὐτροφίᾳ.
βελτίω καὶ εὐχυλότερα γίνεται. παραιρεῖται γὰρ ἡ δριμύ-
της καὶ ἡ ξηρότης, καὶ ἔν τινι τὸ ὀπῶδες ὑπὸ τούτων. ἁπαλὰ δὲ
καὶ εὐτραφῆ γίνεται, διὰ τὸ τὰς ῥίζας ἰσχυροτέρας εἶναι, καὶ
ὅλως αὐξανομένων ἔτι μᾶλλον κολουομένων ἰσχύος. αἱ δέ, καὶ
ἐπισπῶνται πλείω, καὶ καταπέττουσι μᾶλλον. ἔτι δὲ ἀφαιρου-
μένων τῶν ξυλωδῶν καὶ σκληρῶν, ἡ ἐπίδοσις πλείων μηδε-
νὸς ἐμποδίζοντος. ἡ δὲ πρώτη βλάστησις ἐξ ἀσθενοῦς ὡρμη-
μένη, μᾶλλον χείρων. αὗται μὲν οὖν ἐν τοῖς χυλοῖς αἱ μετα-

βολαί. γίνονται δὲ καὶ κατὰ τὰς ὁρμὰς μάλιστα μὲν αὐτο-
μάτως διὰ τὸν ἀέρα καὶ τὴν χώραν. εὐοσμότεραι γὰρ ὥσπερ πά-
σιν αἱ ξηραὶ ποιοῦσι. καὶ ὁ ἀὴρ τοιοῦτος. διὸ καὶ τὰ ἄγρια εὐο-
σμότερα. τάχα δὲ οὐ πάντως οὐδ' ὀσμωδέστερα. δριμύτερα γάρ.
ἀρίστη δὲ ἡ μέση καὶ ὁ μέσος. ἐπεὶ καὶ τὰ ἐν τῇ γῇ ὑδαρῆ καὶ
ἄοσμα. καὶ περὶ μὲν ὀσμῶν καὶ χυλῶν, αὐτὰ καθ' αὑτὰ δεῖ θε-
ωρεῖν ἐπὶ πλέον ἐν τοῖς ὕστερον. αἱ δὲ μεταβολαί, διότι καὶ ἐν τού-
τοις γίνονται καὶ φυσικῶς ἐκ θεραπείας, φανερὸν ἐκ τῶν εἰ-
ρημένων. ἔνιαι δὲ δοκοῦσιν ὅλων τῶν δένδρων καὶ φυτῶν αὐτό-
ματοί τινες εἶναι μεταβολαί. καθάπερ τὴν λεύκην ἐξαιγει-
ροῦσθαί φασι, καὶ φύλλοις καὶ τῇ ὅλῃ προσόψει. ἔτι τὸ σισύμβρι-
ον, εἰς μίνθον μεταβάλλειν μὴ κατεχόμενον ταῖς ἐργασίαις, καὶ
μεταφυτευόμενον πολλάκις. ἔτι δὲ καὶ τὸν πυρὸν ἐξαιροῦ-
σθαι, καὶ τὸ λίνον. αὕτη μὲν οὖν εἴπερ ἀληθὴς ὥσπερ φθορά
τις ἔοικεν εἶναι, διὰ πλῆθος ὑγροῦ. γίνεται γὰρ δὴ ἐπομβρίαν.
ἀλλοιωθείσης δὲ τῆς ἀρχῆς, ἀλλοῖον τὸ ἀναβλαστάνον. ἡ δ' εἶρα ἐ-
λυδρον. ἥ τε περὶ λεύκης. εἰ ἄρα ἐστὶ μεταβολὴ γινομένη τις ἂν
εἴη, παχυνομένου τοῦ δένδρου μᾶλλον. ὃ συμβαίνει διὰ τὴν ἡ-
λικίαν. εἰς βάθος γὰρ ἡ αὔξησις ἀπογηρασκόντων. ἐν ᾧ περ
οἵ τε φλοιοὶ παχύτεροι, καὶ οἱ ἀκρέμονες μείζους καὶ πλείους.
ὁ δὲ τῶν φύλλων μετασχηματισμός, καὶ ἑτέρων κοινός. ἐπεὶ καὶ
τὰ τοῦ κρότωνος, ἔνια περιφερῆ φυόμενα τὴν ἀρχήν, ὕστερον
ἀπογωνιοῦται, καθάπερ ἀναδιαρθρούμενα. τοῦτο δ' ὅτι ῥᾷ-
ον τὸ ἁπλοῦν ἢ τὸ πολυειδές. ἀσθενὴς δὲ ἡ ἀρχή. τὸ δὲ σισύμβριον εἰς
μίνθην κατὰ τὴν ὀσμήν. εἴπερ ἄρα μεταβάλλει μόνον ἀπολλύ-
ον τὴν οἰκείαν, ἐξαμαυρούμενον διὰ τὴν ἀγρίαν. ἐκείνην δ' οὐ-
λαμβάνον, ἀλλ' ὥσπερ ὁμοιότητας καλαμίνθαις γινόμενον. ἡ γὰρ
μεταβολὴ πᾶσιν εἰς ὅμοιόν τι, καὶ οὐ πόρρω τελέως φθειρομένων.
ἡ δὲ θεραπεία καὶ ἡ μεταφυτεία, κατέχει καὶ σώζει τὴν φύσιν.
σημεῖον δὲ ὅτι καὶ τὸ ἄγριον τοιοῦτον τῇ ὀσμῇ. καὶ γὰρ δὴ κἀκεῖ-

νο τὸ

μον τὸ τῆς φύσεως ἐναντίον. ἡ μὲν γὰρ μίνθη βαθύρριζον. τὸ δὲ σισύμβριον ἐπιπολῆς, καὶ οὐχ ὁμοίως πολύρριζον. ὥστε μᾶλλον ἔοικεν ἐπί γε τῶν τοιούτων κατὰ φαντασίαν ἡ μεταβολὴ γίνεσθαι. καὶ ὡς περὶ τὸ ἥμερον εἰς τὸ ἄγριον. οὐδέτερως δὲ ἄτοπον. ἐπεί γε καὶ οἱ τόποι μεταβάλλουσιν. εἰ δὲ καὶ ἐπὶ τῶν ζώων τοῦτο συμβαίνει καθάπερ φασὶν ἐπὶ τῶν ὀρνίθων καὶ χρώμασι καὶ σχήμασι καὶ δυνάμεσι, καὶ τοῦτο καθ᾽ ἕκαστον ἐνιαυτὸν οὐκ ἐν πλήθει χρόνου πλείονι, κἂν θαυμάσειεν αὖ τις μᾶλλον, εἰ μή τι συμβαίνει καὶ ἐνταῦθα τοιοῦτον. ἀτακτοτέραν γὰρ καὶ μᾶλλον ξυγκεχυμένην εἰκὸς εἶναι ταύτην τὴν φύσιν. τάχα δ᾽ ἰσχυροτέραν. διὸ καὶ μεταβάλλει. οὔτε χρώμασιν οὔτε ἐν τοῖς ἄλλοις φθειρομένην. καὶ τοῦτο ἐν ὀλίγοις. ὥστε εἰς ἄλλο γε μεταβάλλεσθαι φυτόν. οὔτε γὰρ κατὰ τὴν γένεσιν οὐδὲν μεταβάλλει τὰς μορφάς, ὥσπερ ἔνια τῶν ζώων. ἀλλ᾽ ἁπλῆ τις ἡ φύσις πάντων. ἀλλ᾽ αἱ μεταβολαὶ γίνονται καθάπερ πολλάκις λέγεται, τοῖς τε χυλοῖς μάλιστα καὶ ταῖς ὀσμαῖς καὶ τοῖς μεγέθεσιν, αὐτῶν τε τῶν καρπῶν καὶ τῶν φύλλων. καὶ γὰρ τὰ στενόφυλλα, πλατυφυλλότερα γίνεται καὶ ὅλων τῶν δένδρων τούτων. διὰ τοῦτο καὶ ζητεῖ τόπον ἕκαστον οἰκεῖον. οἰκεῖος δὲ ἐν ᾧ περ εὐθενεῖ. διόπερ καὶ οὐ πᾶσιν ἄριστος. ἀλλ᾽ ἔνια λεπτὴν καὶ λυπρὰν χώραν φιλεῖ. τὰ δ᾽ ὕφαμμον. ἔνια δὲ καὶ ἀμμώδη τινά, καθάπερ ἡ ῥάφανος. δῆλον δὲ καὶ τὸ τῆς χώρας πρόσφορον. ἢ γὰρ τὸ οἰκεῖον τῆς φύσεως, ἢ τὸ πρὸς ἰσχὺν καὶ δύναμιν ἁρμόττον. οἷον ταῖς ἀμυγδαλαῖς ἡ λεπτή. βαθείας γὰρ οὔσης καὶ πιείρας, ἐξυβρίσασαι διὰ τὴν εὐτροφίαν, ἀκαρποῦσι. καθόλου δὲ περὶ τῶν δένδρων. ἀλλὰ δὴ τὸ μὲν περὶ τὰς ἀλλοιώσεις καὶ μεταβολὰς ἄχρι τούτων εἰρήσθω. θαυμαστὸν τοῦτον δ᾽ ἂν δόξειε, καὶ ὅλως, ἄτοπόν τι καὶ παράδοξον εἶναι, τὸ ἔνια μὴ δύνασθαι βλαστάνειν ἐν τῇ γῇ καὶ σπέρματα καὶ φυτά. καθάπερ ἡ ἰξία. καὶ ἡ στελίς. καὶ τὸ

ὑφέαρ· ὧν τὴν μὲν, καλοῦσιν εὐβοεῖς· τὸ δ' ὑφέαρ· ἀρκάδες.
ἡ δὲ ἰξία κοινή φασιν, οἱ μὲν, εἶναι πάντα μίαν τινὰ φύσιν· ὥστε
δὲ ἐν ἑτέροις φύεσθαι διαφέρειν καὶ δοκεῖν. τὸ γὰρ ὑφέαρ ἐν
ταῖς ἐλάταις καὶ πεύκαις γίνεται καὶ ἡ στελίς· ἡ δ' ἰξία καὶ ἐν
δρυΐ, καὶ ἐν τερμίνθῳ, καὶ ἐν ἑτέροις πλείοσιν. οἱ δὲ, διαφέρειν.
καὶ σημεῖον λέγουσιν, οὐ μικρόν. εἰ γὰρ ἀληθὲς ὡς οὐ μόνον
ἐν τοῖς ὁμογενέσιν ἕκαστον ἐμφύεται τούτων, οἷον, ἐλάταις καὶ
πεύκαις, ἀλλὰ καὶ ἐν τῷ αὐτῷ πλείω καθ' ἑκάτερον τῶν μορίων· ἔν-
θεν μὲν στελὶς, ἡ ἰξία, ἔνθεν δὲ ὑφέαρ· ἔτι δ' οὐ μόνον τὰς μορφὰς οὐ-
δὲ καρποὺς ὁμοίως ἔχειν φασί. καίτοι τοῦτό γε πανταχό-
θεν διατηρεῖται, καὶ ἐν ταῖς πλεῖστον διαφερούσαις χώραις. ἐ-
πεὶ, τό γε τὴν μὲν ἀείφυλλον εἶναι τῶν ἰξίων, οὐθὲν ἄτοπον.
καὶ ἡ μὲν, ἀειφύλλοις ἡ δὲ, ἐνφυλλοβόλοις ἐμβιῶν· συμβαίνει
γὰρ ἔνθα μὲν ἔχειν, ἔνθα δὲ μὴ ἔχειν διαρκῆ τὴν τροφήν· αἰτία
δὲ αὕτη τῆς ἀειφυλλίας καὶ μή, καθάπερ εἴπομεν. ἀλλὰ
τοῦτο μὲν ὁποτέρως ποτ' ἔχει πρὸς τὸ νῦν ἀπορούμενον οὐ-
θὲν διαφέρει. τὸ δὲ μὴ φύεσθαι χαμαὶ μηδαμῶς ἄτοπον· ἄλ-
λως τε καὶ οὕτω πολὺν καὶ ἰσχυρὸν ἔχουσαν καρπόν. εἰ δὲ καὶ
σπέρματα τὰ τοιαῦτα δοκεῖ, οἷον τὸ περὶ βαβυλῶνα τῇ ἀκάν-
θῃ περὶ τὸ ἄστρον ἐπισπειρόμενον, φασὶν αὐθημερὸν ἀναβλα-
στάνειν, καὶ ταχὺ περιλαμβάνειν, καὶ τὴν ἄκανθαν. ἔτι δὲ τὸ συνει-
ακὸν βοτάνιον, ὁ καλούμενος κασύτας, καὶ δένδροις καὶ ἀκάν-
θαις ἐμφύεται καὶ ἄλλοις τισί· τῇ μὲν, ἐλάττων εἴη, τῇ δὲ, πλεί-
ων τὸ θαυμαστόν· ἀμφότερα γάρ τοι εἰ τὸ πλῆθος ἐν ταῖς παρα-
δόξοις· ὅτε μὲν ὡς πεφυκὸς οὕτω μὴ θαυμάζειν, ὅτε δὲ μᾶλλον
θαυμάζειν διὰ τὸ πλῆθος· ἐπεὶ τό γε ἐμφύεσθαι καὶ ἐν δένδροις καὶ
ἐμφυτοῖς ἑτέροις· τὸ καὶ ἐν τῇ γῇ φυόμενον οὐκ ἄτοπον· ἀλλὰ καὶ
γινόμενον ὥσπερ ὁ κιττὸς ἐν πολλοῖς. ἔτι γὰρ τοῦτο παραδοξό-
τερον· ἔτι καὶ ἐλάφου κέρασιν ὦπται, καὶ ἡ τέρμινθος δὲ ἐν ἐλαίᾳ
καὶ τὸ πολυπόδιον ἐπί τισι δένδροις· καὶ ὅσα δὴ σπανιώτερα καὶ

σεως, οὐ μόνον διὰ τοῦτο καὶ τὴν ὥραν, ἀλλὰ δηλονότι καὶ διὰ τὴν ἰδίαν εἴρηται φύσιν. καὶ περὶ μὲν τούτων, ἅλις. ὅτι δὲ καὶ ἐν τοῖς φυτοῖς ἔνια συνεργεῖ πρὸς τὴν ἀλλήλων σωτηρίαν καὶ γένεσιν, καὶ ἐκ τῶνδε φανερόν. ἐν μὲν γὰρ τοῖς ἀγρίοις τὰ φυλλοβόλα τοῖς ἀειφύλλοις· ὅτι σηπομένων συμβαίνει καθάπερ κοπρίζεσθαι τὴν γῆν ὃ καὶ πρὸς εὐτροφίαν καὶ πρὸς τὴν βλάστησιν τῶν σπερμάτων χρήσιμον. ἐν δὲ τοῖς ἡμέροις, ὅσα τοῖς φυτοῖς ἐπισπείρουσι τῶν ἀμπέλων, ἀφαιρεῖν βουλόμενοι τὸ πλῆθος τῆς ὑγρότητος. καὶ τοῖς λαχάνοις, ἢ τούτου χάριν ἢ τῶν γινομένων θηρίων ἐν ταῖς ῥαφανίσι. τοὺς ὀρόβους πρὸς τὰς ψυχάς. καὶ εἴ τι τοιοῦτον ἕτερον ἑτέροις. οἰητέον γὰρ χρὴ τοιαῦτα καὶ ἐν τοῖς αὐτομάτοις παρὰ φύσεως ὑπάρχειν. ἄλλως τε εἰ καὶ ἡ τέχνη μιμεῖται τὴν φύσιν. ἔτι δὲ ὅσα πρὸς δένδρα καὶ περὶ ἄλλον καυλὸν τυγχάνει. ταῦτα γὰρ τὰ πρὸς ἑτέρῳ δεῶ[?]κε. καθάπερ ὅ, τε κιττὸς καὶ ἡ σμίλαξ, καὶ ἡ συκύα, καὶ ἄλλ' ἅττα καὶ τῶν ἐλαττόνων, ἕρπυλον, καὶ ἡ ἀσίνη. πάντα γὰρ ταῦτα ζῇ πρότερον. μὴ ἔχοντα δέ, χαμαίκαυλα γίνεται, πλὴν ὅσα καὶ δενδροῦσθαι πέφυκε. καθάπερ ὁ κιττός. ἔστι δὴ καὶ ἄμπελος τοιοῦτον. οὐ γὰρ ἂν δύναιτο φέρειν τὰ κλήματα καὶ τὴν βλάστησιν, ἢ οὐχ ὁμοίως καὶ ἀκμὴν ἔχουσα τὸ ὑπερεῖσον. ἀλλὰ καὶ τὴν ἕλικα δοκεῖ τούτου χάριν ἔχειν, ὅπως εὐθὺς ἀντίληψις γίνηται καὶ οἷον δεσμός. ὥσπερ ὁ κιττὸς τὰ ῥίζια τὰ ἐκ τῶν βλαστῶν. ὅσα δὲ κοῦφα καὶ λεπτά, ῥᾳδίως ἀναβαίνει καὶ ἐπιμαίνει, καθάπερ ἡ ἀσίνη. καὶ ὁ θέρμος. καὶ ὁ δόλιχος. πάντα δὲ ταῦτα βλάπτει τὰ δένδρα καταπνίγοντά τε καὶ ἐπισκιάζοντα καὶ τὴν τροφὴν ἀφαιρούμενα. τὰ μέν, τῷ κωλύειν. ὁ δὲ κιττὸς καὶ τὸ ἐμφυόμενον ἐξαιρεῖσθαι. διὸ χαλεπώτατος τοῖς δένδροις οὗτος. πρὸς γὰρ τοῖς ἄλλοις, ἀείφυλλος ὢν καὶ ἰσχυρός, ἀεὶ δεῖται τροφῆς καὶ πολλῆς. ἀφαναίνεται δὲ τελέως, ὅταν ἐπὶ τὰ ἄκρα συναυξηθῇ. τότε γὰρ πίπτει καὶ ἐξαιρεῖται παντάχοθεν τὴν τροφήν. οὐ χαλεπὸν δὲ

δ' ἴσως οὐδ' ἐν αὐτοῖς τε πλείοσι λαβεῖν τὰς βλάβας· πολλαὶ γὰρ
πλείους εἰσὶ τῶν ὠφελίμων, ὥσπερ καὶ τοῖς ζώοις· ἐπεὶ καὶ ταῖς
ὀσμαῖς ἔνια βλάπτεται· καθάπερ ἡ ἄμπελος τῇ τῆς δάφνης καὶ
τῇ τῆς ῥαφάνου· καὶ τοῦτο εὐθὺς ἐκδηλοῖ κατὰ τὴν βλάστησιν·
ὅταν γὰρ πλησίον ᾖ τῆς ῥαφάνου καὶ τῆς δάφνης ὁ βλαστὸς, ἐ-
πιστρέφεται τὸ ἄκρον αὐτοῦ καὶ ὥσπερ ἀνακάμπτει διὰ δρι-
μύτητα τῆς ὀσμῆς· ὀσφραντικὸν γὰρ ἡ ἄμπελος, ὥσπερ καὶ
ὁ οἶνος δεινὸς ἑλκύσαι τὰς ἐκ τῶν παρακειμένων ὀσμάς· καὶ μᾶλ-
λον καὶ θᾶττον ὁ κατεσταμνισμένος [?] διὰ τὴν ὀλιγότητα καὶ
τὸ γυμνόν· ἀλλὰ τὸ μὲν τοιοῦτον γένος ῥᾴδιον ἐν πολλοῖς ὥσπερ
ἐλέχθη συνιδεῖν· ὅσα δὲ κοινὰ γένους τινὸς, ἢ καὶ πλειόνων
μὴ ὁμογενῶν· οἷον τὸ στρέφειν τὰ φύλλα τὴν φιλύραν καὶ τὴν
ἐλαίαν καὶ τὴν πτελέαν ταῖς τροπαῖς ταῖς θεριναῖς· καὶ ὡς ἔ-
νια τῶν ἀνθῶν, νύκτωρ μὲν συμμύει, μεθ' ἡμέραν δὲ διαπετά-
νυται· καὶ ὡς ἐν τῷ Εὐφράτῃ λέγουσιν, οὐ μόνον τὸ λωτοῦ τὸ ἄν-
θος ἀνοίγεσθαι καὶ συμμύειν, ἀλλὰ καὶ τὸν καυλόν, ὁτὲ μὲν, ἀνα-
βαίνειν, ὁτὲ δὲ, δύεσθαι, καὶ ἀποβαίνειν ἀπὸ δυσμῶν μέχρι με-
σῶν νυκτῶν· ὡσαύτως δὲ καὶ εἴ τι ἄλλο τοιοῦτον, ἐν ἅπασι καὶ παν-
ταχοῦ κοινήν τινα αἰτίαν ὑποληπτέον εἶναι· ῥᾴδιον δὲ ἴσως ἐν
τοῖς ὁμογενέσιν ἰδεῖν· ἐπὶ δ' οὖν τῶν εἰρημένων, ἡ μὲν τῶν φύλλων
στροφὴ γίνεται, διὰ τὸ περὶ τοῦτον τὸν καιρὸν καὶ μάλιστά πως
ἀεὶ φυλλοῤῥοεῖν· ἡ δ' αἰτία πρότερον εἴρηται περὶ πάντων τούτων·
γινομένης οὖν τῆς φυλλοῤῥοίας, ἀνάγκη μάλιστα πάσχειν τι τὰ
φύλλα καὶ τὰ μὲν ἀσθενῆ καὶ ὥσπερ γεγηρακότα, καταξηρανθέν-
τα πίπτειν· τὰ δ' ἄλλα τὴν ἀποστροφὴν μόνον λαμβάνειν· ἅπασι
μὲν οὖν τοῦτο συμβαίνει, ἢ μᾶλλον ἢ ἧττον· ἔνδηλον δὲ μάλιστα ἐ-
πὶ τούτων, ὅτι μεγίστη διαφορὰ τῶν χρωμάτων τοῖς πρανέσι
πρὸς τὰ ὕπτια, τὰ μὲν, χλωρὰ, τὰ δὲ, ὑδατώδη καὶ ὑγρά· μάλ-
λον δ' ἐπὶ τῆς φιλύρας· μείζω γὰρ καὶ ἐκλευκότερα· δεῖ δ' οὖν ὁ-

μοίως καὶ ἐπὶ τῆς πεύκης· τῶν δὲ ἀειφύλλων, οἷς μὴ συμβαίνει τοῦτο διὰ τὸ κατ᾽ ἐκεῖνον τὸν καρπὸν ἀκμήν τινα καὶ ὥσπερ ἰσχύν τινα εἶναι τῆς βλαστήσεως, διὰ τοῦτο οὐκ ἂν συμβαίνοι. τῶν γὰρ ἰσχυόντων οὐδὲν εὐπαθές. ἡ δὲ τῶν ἀνθῶν σύμμυσις καὶ διοίξις, ἐλαφροτέραν καὶ ἔχων ἰδεῖν. ὑπὸ γὰρ τοῦ ψύχους καὶ τῆς ἀλέας γίνεται, ψυχρῶν ὄντων καὶ ἀσθενῶν. συμμύει μὲν γὰρ ξυνιόντος καὶ οἷον πιλουμένου τοῦ ὑγροῦ· συναπολείπει γὰρ καὶ τὸ θερμόν· ἀνοίγεται δὲ πάλιν διαχεομένου καὶ ἀνιέντος, ὅπερ ὁ ἥλιος ποιεῖ. τὰ δὲ πλεῖον καταδυόμενα καὶ ὑπεισχύοντα, δηλονότι ψυχρότερα καὶ ἀσθενέστερα· διὸ μᾶλλον συμπάσχει ταῖς μεταβολαῖς. ἡ δὲ αἴσθησις οὕτως ὀξεῖα γινομένη τοῖς καθύδροις, οὐκ ἄλογος· ἄλλως τε καὶ ἐν τόποις θερμοῖς καὶ ἐκπύροις. ἐπεὶ καὶ ἐν τοῖς μὴ τοιούτοις αἱ ἀναδόσεις ταχεῖαι πάντων ἀπὸ τοῦ ἡλίου καὶ τῶν ἄστρων. φαίνεται γοῦν συμπάσχειν οὐ μόνον τὰ ἐπὶ γῆς, ἀλλὰ καὶ τὰ ὑπὸ γῆς ὕδατα προπάσχειν τι καὶ ἐπιτολαῖς. ἐνίων δὲ ἄστρων καὶ αὐτὴ ἡ γῆ καὶ ἡ θάλαττα μεταβάλλει. πάσχει δέ τι παραπλήσιον τούτῳ καὶ τῶν ἀνθῶν πολλὰ μεθημέραν. ἀεὶ γὰρ συμπεριφέρεται τῷ ἡλίῳ, μύονται καὶ ἐγκλίνονται πρὸς αὐτόν. μᾶλλον δέ ἐστι τοῦτο καταμαθεῖν ἐν τοῖς ἐλάττοσιν. ἐνίων δὲ καὶ τὰ φύλλα συμπάσχει ταὐτό. καθάπερ τῆς μαλάχης καὶ τῶν τοιούτων. αἴτιον δὲ τοῦ ὑγροῦ ἡ ἀφαίρεσις. ὧν γὰρ αὐτὸ ἐξάγει θερμαίνων ὁ ἥλιος, ἐν τούτῳ ἡ ἔγκλισις. ἐξάγει δὲ καθ᾽ αὑτὸν ὥσπερ καὶ τοῦ τοιούτου. ἀντιστρέφεται γὰρ καὶ περιάγεται. τοῦτο μὲν οὖν ὡς πίστεως χάριν εἰρήσθω πρὸς τὸ πρότερον ἐνθένδε. ὑπὲρ δὲ τῶν ἄλλων ὅσα συμβαίνει τοῖς δένδροις ἢ φυτοῖς, πειρατέον ἐκ τῶν δένδρων μετιέναι καὶ θεωρεῖν, τὴν ἰδίαν οὐσίαν ἑκάστου λαμβάνοντος καὶ τὴν τῆς χώρας φύσιν· ἐκ τούτων γὰρ τὰ κοινὰ πάθη, καὶ αἱ κατὰ γένη ὑπαλλαγαί, καὶ τὸ ἁρμόττον, καὶ τὸ οἰκεῖον ἑκάστοις γίνεται φανερόν. δεῖ δὲ καὶ τὸ ὅμοιον καὶ τὸ αὐτὸ διωρίσθαι θεωρεῖν. πολλὰ γὰρ δοκεῖ διαφέροντα οὐ διαφέρειν, ὥσπερ καὶ

περὶ τῶν ἄλλων· καὶ ταῦτα μὲν ἐνταῦθα ἐχέτω τὸ πέρας·
ὅσα δὲ κατὰ τὰς γεωργίας συμβαίνει, καὶ
ὧν χάριν ἕκαστα ποιοῦσι,
λεκτέον ὁμοί
ως·

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΑΙΤΙΩΝ ΤΟ Γ'

Ἐπεὶ τῶν φυτῶν θεωρία διπλᾶς ἔχει τὰς σκέψεις ἐν δυσί· μίαν μὲν, τὴν ἐν τοῖς αὐτομάτοις γινομένων, ἧσπερ ἀρχὴ τῆς φύσεως· ἑτέραν δὲ τὴν ἐκ τῆς ἐπινοίας καὶ παρασκευῆς· ἣν δὴ φαμὲν συνεργεῖν τῇ φύσει πρὸς τὸ τέλος· ἐπεὶ δὲ περὶ τῶν πρότερον εἴρηται, λεκτέον ὁμοίως καὶ περὶ ταύτης, ὑπὲρ αὐτοῦ τούτου πρῶτον εἰπόντας· ὅτι καὶ τῶν δένδρων ἔνια καὶ τῶν ἐλαττόνων ὑλημάτων, οὐ δέχεται γεωργίαν· τοῦτο γὰρ ἂν εἴη τῶν μὲν, οἷον πέρας, τῶν δὲ ἀρχή, μεταβαινουσῶν ἐκ τῶν αὐτοφυῶν, εἰς τὰ διὰ τέχνης· ἄτοπον δ᾽ οὖν ἴσως δόξειε τὸ μὴ λεχθὲν, εἰς τὸ προσλαμβάνον θεραπείαν, ὥσπερ χώραν οἰκείαν, μὴ μᾶλλον εὐθενεῖν καὶ καλλικαρπεῖν συνεργούσης τῇ φύσει τῆς τέχνης· ἀλλ᾽ οὐκ ἔστιν ἄτοπον οὐδὲ μᾶλλον τοῦτο· ἀρχὴ δ᾽ αὐτοῦ ληπτέον τήνδε, τὴν φύσιν ἑκάστου μὴ ἐκ τῶν αὐτῶν εἶναι, μηδ᾽ ἐκ μιᾶς τινος ὕλης· μηδ᾽ ἂν πᾶσι ταὐτὸ τέλος τῆς πέψεως καὶ δυνάμεως τῶν καρπῶν· ἀλλ᾽ ἑκάστου πρὸς ὃ πέφυκε, χυλοῖς καὶ ὀσμαῖς καὶ τοῖς ἄλλοις· μάλιστα δέ πως ἐν δυοῖν τούτοιν ὁρίζομεν τὴν πέψιν ὀσμαῖς καὶ χυλοῖς· ἀναφέροντες καὶ ταῦτα πρὸς τὴν ἡμετέραν χρείαν, ὥσπερ διωρίσθη καὶ πρότερον· ἐπεὶ δὲ ἐξ ὧν συνέστηκεν ἕκαστον καὶ τρέφε

κατορθοῖ μὲν ἴσως, οὐκ οἶδε δὲ καθάπερ ἐν ἰατρικῇ. τὸ δὲ τέλειον ἐξ ἀμφοῖν. ὅσοι δὲ καὶ τὸ θεωρεῖν μᾶλλον ἀπαιτῶσιν, αὐτὸ τοῦτο ἴδιον τοῦ λόγου καὶ τῆς αἰτίας. ἀντιλέγεται δὲ περὶ πολλῶν. καὶ τὰ μὲν ἁπλῶς, τὰ δ' εἰς τὸ βέλτιον καὶ χεῖρον. ὥσπερ κατὰ τὰς ἄλλας τέχνας. ἐνταῦθα δὲ καὶ ἰδιώτερόν τι συμβαίνει. πρὸς γὰρ τὴν χώραν ἔνιοι τεταγμένοι, τὰ πρόσφορα πολλάκις καθόλου λέγουσιν. ὅτε δὲ καὶ ἀμφοτέρως γινομένων, ἄκριτόν ἐστι τὸ βέλτιον. ὄψια γὰρ ἂν ᾖ τὰ ἀπὸ θέρους συμβαίνοντα, τοιαῦτα ἀποβαίνει καὶ τὰ κατὰ τὰς ἐργασίας. οὐδὲ γὰρ δεῖ μᾶλλον ἀκολουθεῖν τῇ τοῦ ὅλου καταστάσει καὶ διαφορᾷ τῶν δένδρων, καὶ φυτῶν καὶ σπερμάτων, ὡς πολλάκις ἁμαρτανόμενα τῇ ἀπὸ τούτου ἀκρασίᾳ καὶ τῇ αὐτῶν δυνάμει, τὰ μὲν ὑπομένει, τὰ δέ τινα ἀναμάχεται. καθάπερ καὶ τῶν ἀνθρώπων ἡ φύσις ἀπὸ τῆς ἰατρικῆς. ὥστε αἱ μὲν ἀντιλογίαι πρὸς τοὺς κοινοὺς τῶν τεχνῶν, καὶ διὰ ταύτας γίνονται τὰς αἰτίας. οὐ μὴν ἀλλὰ καὶ συνομολογεῖται πολλάκις παρὰ πάντων, ὥσπερ ἐξ αὐτῶν τῶν πραγμάτων εἰληφότα πίστιν. τὰ μὲν καθόλου, τὰ δὲ καθ' ἕκαστα, διαιρούμενα γενέσει καὶ χώρᾳ. οἷον εὐθὺς τὰ περὶ γενέσεις καὶ φυτείας. ὑπὲρ ὧν οὐ χαλεπὸν εἰπεῖν τὰς αἰτίας. ἀεὶ γὰρ δεῖ φυτεύειν καὶ σπείρειν εἰς ὀργῶσαν τὴν γῆν. οὕτω γὰρ καὶ ἡ βλάστησις καλλίστη καθάπερ τοῖς ζῴοις, ὅταν εἰς βουλομένην πέσῃ τὸ σπέρμα τὴν ὑστέραν. ὀργᾷ δ' ὅταν ἔνικμος ᾖ, καὶ θερμὴ καὶ τὰ τοῦ ἀέρος ἔχῃ σύμμετρα. τότε γὰρ εὐδιάχυτός τε καὶ εὔβλαστος καὶ ὅλως εὐτραφής ἐστι. τοῦτο δὲ ἐν δυοῖν ὥραιν γίνεται μάλιστα τοῖς γε δένδροις, ἔαρι καὶ μετοπώρῳ. καθάπερ καὶ φυτεύουσι μᾶλλον. καὶ κοινοτέρως ἐν τῷ ἦρι. τότε γὰρ ἥ, τε γῆ δίυγρος. καὶ ὁ ἥλιος θερμαίνων ἄρχεται. καὶ ὁ ἀὴρ μαλακός ἐστι καὶ δροσώδης. ὥστε ἐξ ἁπάντων εἶναι τὴν ἐκτροφὴν καὶ τὴν εὐβλαστίαν. ἔχει δέ τινα καὶ τὸ μετόπωρον τοιαύτην κρᾶσιν. διὸ καὶ τὰς ἐκβλαστήσεις ἔφαμεν γίνεσθαι τῶν δένδρων. οἱ δὲ ἐπαινοῦντες αὐτὴν μᾶλλον τοῦ ἀέρος, τοιαῦτα λέγουσιν. ὅ-

ἔτι τὰ φυτὰ θερμῆς οὔσης ἐπὶ τῆς γῆς ῥιζοῦται κάλλιον· δεῖ δ' ἀεὶ
τὴν ἀρχὴν ἰσχυροτέραν ποιεῖν, ἀφ' ἧς καὶ ἡ τῶν ἄλλων γένεσις καὶ
ὅλως ἡ ζωή· διὸ καὶ τὴν βλάστησιν ἅμα τῷ ἦρι καλλίω γίνεσθαι καὶ
ἀθρόως· ἐκβεβηκυίας ἤδη καὶ κυούσης τῆς γῆς. τοῦ δὲ ἦρος εἰς ψυ-
χρὰν τιθεμένων τὴν γῆν (ψυχρὰν γὰρ ἔτι διαμένειν ἐκ τοῦ χειμῶ-
νος) ῥιγοῦν καὶ κακοβλαστεῖς γίνεσθαι τὰς ῥίζας· καὶ διὰ τοῦτο
πάντα κελεύουσι τοῦ μετοπώρου μᾶλλον φυτεύειν, ὅσα δύναται
βλαστάνειν· ἔνια γὰρ οὐ δύναται· καθάπερ ἄπιος· καὶ μηλέα, καὶ
ὅλως τὰ λεπτὰ καὶ ξυλώδη· καὶ γὰρ ξηρὰ φύσει· καὶ διὰ τὴν ἀ-
σθένειαν οὐχ ὑπομένει τοὺς χειμῶνας. ὅτι τὸ μὲν μετόπωρον
ἔγκυμον εἶναι καὶ ἐπίφορον· τὸ δὲ ἐαρινὸν ἀρτικυΐσκεσθαι· τὸ
δὲ τίκτειν ἀμφοτέρας τὴν αὐτὴν ὥραν· ὥστε συμβαίνει τῷ μὲν
ἀρτικυΐσκομένῳ, πολλὰ τυφλὰ τίκτειν τῶν βλαστημάτων·
τῷ δὲ πάλαι κύοντι καὶ ἐπιφορωτάτῳ πλεῖστα τέλεα καὶ καλά·
σχεδὸν γὰρ ταύτας καὶ τοιαύτας λέγουσι τὰς αἰτίας· οὐ μὴν ἀλ-
λὰ καθάπερ εἴρηται, κοινότερα πᾶσιν ἢ τοῖς πλείστοις καὶ τοῖς
σπόροις καὶ φυτοῖς ἡ τοῦ ἀέρος ἐστίν· αὐτίκα γὰρ τὰ φυτὰ προωρ-
μημένα, καὶ ἀὴρ μαλακὸς καὶ εὔβλαστής, καὶ ὅλως ἡ ὥρα γό-
νιμος ταύτῃ· καὶ αἱ ἡμέραι θερμότεραι καὶ μῆκος ἔχουσαι, τα-
χείας ποιοῦσι τὰς βλαστήσεις· ἡ δὲ ῥίζωσις ἰσχυρά· καὶ οὕτω διά
τε τὴν τῶν φυτευτηρίων ὁρμὴν (εἰς ἄμφω γὰρ ὁμοίως ἐστί) καὶ
διὰ τὸ τὴν γῆν ὀργᾶν· ἢ καὶ ἔτι τὸν ἀέρα συνεκτρέφειν. ὁ γὰρ
ἥλιος οὐ μόνον δοκεῖ τὰ ὑπὲρ γῆς, ἀλλὰ καὶ τὰ ὑπὸ γῆς εὐ-
τραφέστερα καὶ καλλίω ποιεῖν· σημεῖον δ' ὅτι τῶν ῥιζῶν ἡ βλά-
στησις καὶ οὐ γίνεται πορρωτέρω τῆς τοῦ ἡλίου δυνάμεως·
ἢ χεῖρων. ὁ δὲ χειμὼν ὑπολαμβάνων τὴν φυτείαν, ἐνιά-
χῃ δοκεῖ φθείρειν· οἷον τῆς μὲν ἐλαίας ἀφιστὰς τὸν φλοιόν·
τῆς δὲ συκῆς παχύνων, καὶ πηγνὺς τὸν ὀπὸν τὸν ἐν τῇ
καρδίᾳ· καὶ τῶν ἄλλων σχεδὸν τῶν πλείστων τοιοῦτόν τι ποι-
ούντων· ἀλλὰ γὰρ ταῦτα μὲν ἴσως ἀφορίζοιτ' ἂν ὁ φάσκων

τὴν

τὴν μετοπωρινὴν εἶναι τὴν βελτίω, τοῖς δ' ἐχομένοις λέγων. ἔτι δὲ πλείω ταῦτα περὶ φύσεως αὐτῆς ἐστὶ σημεῖα τῶν πρὸς τὴν φυτείαν ὡρῶν. τό, τε παρορμᾶν αὐτὰ τὰ δένδρα τοῦ ἦρος, καὶ τὸ κοινοτέραν εἶναι πᾶσι ταύτην. δῆλον οὖν ὡς φυσικώτερος ἂν αὐτὴ θείη ταύτην. ἐπεὶ καὶ ὅπου περὶ κύνα καὶ τοὺς ἐτησίας εἴωθεν εἰ ἢ ἐπιβλαστάνειν τὰ δένδρα, τηνικαῦτα καὶ τὰς φυτείας ποιοῦνται, πολλῷ δέον ἀκολουθεῖν τῇ τοῦ ἀέρος κράσει καὶ τῇ τῶν φυτῶν ὁρμῇ. τάχα δὲ καὶ ἡ ὁρμὴ γίνεται διὰ τὸ περιέχον. ὅπου δ' ἂν ᾖ θερινὸς ὄμβρος πολύς, ὥσπερ ἐν αἰθιοπίᾳ καὶ ἐν ἰνδοῖς, ἢ περὶ αἴγυπτον ὁ νεῖλος, ἐνταῦθα δὴ πρὸ τούτων ἢ μετὰ τούτους εἰκὸς τὴν φυτείαν ἁρμόττειν. τηνικαῦτα γὰρ ἡ τοῦ ἀέρος κρᾶσις, σύμμικτος. εἴη δ' ἂν διελεῖν καὶ τοῖς κατὰ φύσιν τόποις πρὸς τὰς ὥρας. οἷον τοὺς μὲν εὐκράτους τῷ ἀέρι, τοῦ ἦρος. τοὺς δὲ ξηροὺς καὶ ἀνόμβρους καὶ ἑλείους, θέρους ὑπὸ τὸ ἄστρον. ὥσπερ καὶ ἐν τῇ λακωνικῇ πολλὰ φυτεύουσι. τοὺς δ' εὐχειμώδεις, μετοπώρου. συμβήσεται γὰρ οὕτω θερμῆς οὔσης ἐνικάθεν τῆς γῆς κατὰ χειμῶνα, ψυχροῦ δὲ τοῦ περιέχοντος, τὴν αὔξησιν κατακλειομένην εἰς τὰς ῥίζας ἰέναι. πλείονος δ' ὄντος καὶ ἰσχυροτέρου τοῦ ῥιζώματος, πλείων ἡ βλάστησις ἔσται καὶ καλλίων. καὶ περὶ μὲν ὡρῶν τῶν εἰς τὰς φυτείας, ἱκανῶς εἰρήσθω. ἐπεὶ δὲ ὑπόκειται τὴν γῆν ἔνικμόν τε δεῖν καὶ εὐδίοδον εἶναι ταῖς ῥίζαις, ὅπως εὐμήκεις καὶ ταχεῖαι καὶ ἰσχυραὶ γίνωνται, διὰ ταῦτα δεῖ τοὺς γύρους προορύττειν ἐκ πολλῶν. μάλιστα δὲ ἐνιαυτῷ πρότερον. ὅπως ἡ γῆ καὶ ἡλιωθῇ καὶ χειμασθῇ καθ' ἑτέραν τὴν ὥραν. ἄμφω γὰρ ταῦτα ποιεῖ μανὴν καὶ χύμην. ἔνιοι δὲ καὶ διορίζουσι τοὺς χρόνους. ἀπὸ τῶν τροπῶν θερινῶν, μέχρι ἀρκτούρου. τότε γὰρ τήν τε γῆν διακεῖσθαι μάλιστα καὶ τὴν ἔξω καὶ τὴν ἐν τοῖς γύροις καὶ βλαστάνειν ὅλως οὐδέν. φυτεύουσι δὲ τὴν μετοπωρινὴν φυτείαν μετὰ πλειάδος δύσιν. δεξάμενοί τε ἐπὶ τῷ ἄστρῳ ὕδωρ. ὅπως ἔνικμος ἡ γῆ γενομένη, παρέχῃ τροφήν. καὶ τοὺς γύρους

ἢ καὶ εὐθὺς συμπληροῦσιν, ὅπως ῥιζωθῇ τὰ κάτω πρότερον· εἰ δὲ μὴ, φέρονται πρὸς τὰ ἄνω· τρέφει γὰρ καὶ αὔξει ταῦτα μὲν ὁ ἥλιος καὶ ὁ ἀήρ· ὄντων δὲ τῶν μὲν, βαθυρρίζων· τῶν δὲ ἐπιπολαιορρίζων· διὰ τοῦτο τοὺς βόθρους οὐκ ἰσοβαθεῖς ὀρύττουσι τοῖς ἐπιπολαιορρίζοις· οἷον ἐλαίᾳ καὶ συκῇ, βουλόμενοι πιέζεσθαι, καὶ ὥσπερ ἀντιταττόμενοι πρὸς τὰς φύσεις· ὅπως δὲ καὶ τῶν ὑδάτων τοῦ χειμῶνος ἀπολαύωσι καὶ τοῦ θέρους καταψύχωνται (δεῖ γὰρ δὴ πρὸς ἀμφοτέρας τὰς ὥρας παρεσκευάσθαι) διὰ τοῦθ᾽ ὑποβάλλουσι κάτω λίθους, ὅπως συρροὴ γίνηται τοῦ ὕδατος, καὶ τοῦ θέρους οὗτοι καταψύχωσι τὰς ῥίζας· οἱ δὲ, κληματίδας ὑποτιθέασιν· οἱ δὲ, κέραμον παρακατορύττουσιν ὕδατος· οἱ δὲ, ξύλον κἂν εἰ μὴ παχὺς· εἶτ᾽ ἐξαίρουσιν, ὅπως ἔχῃ τροφὴν ἀεὶ τὰ φυτὰ, διϊκμαζομένης τῆς γῆς, καὶ συρρεόντων τῶν ὑδάτων· ἁπλῶς δ᾽ εἰπεῖν δεῖ τηρεῖν, ὅπως καὶ πρὸς τοὺς ὄμβρους γινομένους καὶ πρὸς τὸν ἀέρα καὶ τὸν ἥλιον ἕξει συμμέτρως· αἱ γὰρ τροφαὶ καὶ αἱ αὐξήσεις διὰ τούτων· ἐπεὶ δὲ ἡ γῆ βορείοις μὲν, πεπηγυῖα, καὶ ξηρά· νοτίοις δὲ, κεχυμένη καὶ ἔνικμος, ὡσαύτως δὲ καὶ τὸ φυτὸν ὑγρότερον καὶ αὐτὸ ἑαυτοῦ μᾶλλον, διὰ ταῦτα βελτίων ἡ τοῖς νοτίοις φυτεία· ταχεῖα γὰρ ἡ ῥίζωσις καὶ ἡ βλάστησις, ὅταν ὀργῶν εἰς ὀργῶσαν τεθῇ, καὶ τὰ τοῦ ἀέρος ᾖ μαλακὰ καὶ εὐμενῆ· δεῖ γὰρ δὴ τὸ μέλλον ἔσεσθαι καλὸν, ἅμα κάτωθεν καὶ ἄνωθεν βλαστάνειν· τοῖς δὲ βορείοις ἅπαντα τἀναντία γίνεται· ῥιγοῦν γὰρ καὶ κακοπαθεῖν τὸ φυτόν· ἔτι δὲ τῆς γῆς πεπηγυίας, οὔτε ῥιζοῦσθαι δύναιντ᾽ ἂν ὁμοίως, οὔτε βλαστάνειν· ἡ μὲν οὖν τοιαύτη παρατήρησις, τοῦ ἀέρος ἂν εἴη· τὰ δὲ φυτευτήρια, δεῖ λαμβάνειν ἀπὸ νέων τε τῶν δένδρων ἢ ἀκμαζόντων· καὶ ὅλως λεῖα ταῦτα καὶ ἰθύτατα καὶ ὡς κάλλιστα· καὶ γὰρ ἀντιλαμβάνεται καὶ ἰσχύει τὰ τοιαῦτα μάλιστα· καὶ διὰ τὴν ἡλικίαν καὶ τὸ πάχος, εὐβλαστότερα τυγχάνει· τό, τε γὰρ λεῖον ὥσπερ ὑγιὲς καὶ ἀπήρωτον· τὸ δὲ τραχὺ καὶ ὀζόμενον ἄλλως τε τυφλοῖς ὄζοις, ὡς

πρ

περ πεπηρωμένον, ἐάν τι ζῶσιν ἐκβεβλαστηκὸς εἰς τοῦτο ἀσθενέστερον· ὅσον μὴ δ' ἡ φύσις τοιαύτη· καθάπερ τῶν κλημάτων. διὰ τοῦτο γὰρ ἐπὶ τῶν δένδρων ἔνιοι μοσχεύουσιν· οἱ δὲ πηλαιροῦσι τὴν θάλλαν τῶν κλάδων· ὅπως μὴ ἐξαναλώσῃ τὴν δύναμιν εἰς τὴν βλάστησιν. ἔτι δ' εὐθύτης λειότητος, ἄγειν εὐδίοδον ποιεῖ τὴν ῥοήν, ὥστε ταχείας εἶναι τὰς αὐξήσεις. ὀρθῶς δὲ καὶ τὸ μᾶλλον ἐξ ὁμοίας γῆς, εἰ δὲ μή, μὴ χείρονος λαμβάνειν· ἡ μὲν γὰρ, οὐδεμίαν ποιήσει μεταβολήν· ἡ δ' ἐπὶ τὸ βέλτιστον προφθάνον· μέγαι δὲ καὶ αἱ μεταβολαὶ τοῖς ἀσθενέσιν· ἀσθενὲς δὲ τὸ φυτόν. διὰ ταῦτα γὰρ καὶ τὰς θέσεις τῶν φυτευομένων τὰς αὐτὰς ἀποδιδόασι· κατὰ τὰ πρόσβορα καὶ νότια καὶ πρὸς ἕω καὶ δυσμάς· ὡς ἐπὶ τῶν δένδρων εἶχον, βουλόμενοι τηρεῖν, ἔτι μάλιστα καὶ μηδὲν τῆς φύσεως καὶ τῶν εἰωθότων μετακινεῖν, ὡς οὐκ ἂν ῥᾳδίως ἐνεγκόντων μεταβολήν. ἐπεὶ καὶ τοὺς τόπους ὅτι μάλιστα ὁμοίως ζητοῦσι· διὰ τὰς αὐτὰς αἰτίας· καὶ προμοσχεύοντες φυτεύουσιν· ἰσχυρότερα γὰρ καὶ ὥσπερ ἤδη βεβιωκότα. καὶ τὰ φυτὰ μάλιστα μὲν ὑπόρριζα λαμβάνουσιν· ἔχει γὰρ εὐθὺς καὶ ἀρχάς· εἰ δὲ μή, μᾶλλον ἀπὸ τῶν κάτω ἢ τῶν ἄνω· καὶ γὰρ ταῦτα ἐμβιώτερά ἐστι, πλὴν ἀμπέλου καὶ συκῆς, καὶ εἴ τι ἄλλο ὑγρὸν ὥσπερ εἴρηται· τὰ γὰρ ὑγρά, κάλλιον ἀπὸ τῶν ἄνω βλαστάνει· τὰ δ' ἄγαν διὰ τὴν ξηρότητα καὶ τὴν λεπτοδερμίαν, τὰ μὲν ὅλως οὐ βλαστάνει, τὰ δέ, χεῖρον· τὰ δ' ὑπέρριζων· ὡς προπεπονημένον τι τῆς φύσεως ἔχει, καθάπερ τὸ μεμοσχευμένον, ᾧ δεῖ χρῆσθαι· καὶ διὰ τοῦτο βέλτιον λέγουσιν, ὀρθὰ κελεύοντες τὰ τοιαῦτα τιθέναι· καὶ μὴ ὑποβάλλοντες τι μέρος, ὥσπερ τοῖς ἀρρίζοις, ὅπως ἡ ῥίζα βλαστάνῃ· συμβαίνειν γὰρ δοκεῖ πλειόνων τιθεμένων ἀφανίζεσθαι τὰς πρότερον· ἄτοπον δὲ ζητεῖν ἑτέρας, ἀποβάλλοντα τὰς ὑπαρχούσας· ὀρθῶς δὲ καὶ τὸ μὴ πολὺ τῆς γῆς ὑπερέχειν τὸ φυτόν, εἰ δὲ μή, γίνεται δυσαυξές, ὅτι δὲ πλέον τοῦ τρεφομένου τὸ ποιοῦν· ἔνια δὲ καὶ ἀφανίζεται. καθάπερ ἡ συκῆ, καὶ εἴ τι ἄλλο μανόν· ἅμα δὲ καὶ ἀθροωτέρα φέ-

ρεται μᾶλλον ἡ τροφὴ πρὸ τῆς βλαστήσεως· ὃ καὶ ἐπὶ τῶν κατακοπτομένων συμβαίνει· τὰ γὰρ παρὰ τὴν γῆν ὅτι μάλιστα κοπέντα, θᾶττον παραγίνεται τῶν ἐν ὕψει· φανερὸν δὲ καὶ ἐπὶ τῶν τε ἀμπελοφύτων, καὶ ἐπιπαγοτομὴν ζητεῖ κατὰ τὴν φυτείαν. τῶν δὲ τῶν ἐλαίας καὶ τῶν μυρρίνων καὶ ὅλως ὅσα φύεται, μείζων πάντων ἀποστέγουσα τὰς τομὰς, ὅπως μήθ' ἥλιος μήθ' ὕδωρ λάβῃ· κίνδυνος γὰρ νοσῆσαι ῥαγέν· περιαλείφουσι δὲ οἱ μὲν, πηλὸν μόνον· οἱ δὲ, σκίλλαν ὑποτιθέντες· εἶτ' ἄνωθεν τὸν πηλόν· ἐπὶ τούτῳ δὲ τὸ ὄστρακον· δοκεῖ γὰρ ἡ μὲν σκίλλα, χλωρὸν παρέχειν· ὁ δὲ πηλὸς ἐκείνην τηρεῖν· τὸ δ' ὄστρακον τὸν πηλόν· ὁ δὲ κόπρος, ὅτι μὲν καὶ μανοῖ τὴν γῆν καὶ διαθερμαίνει, δι' ὧν ἀμφοτέρων ἡ εὐβλαστεία, φανερόν· ὑπὲρ δὲ τῆς χρήσεως ἀμφισβητοῦσι, καὶ οὐχ ὡσαύτως χρῶνται πάντες· ἀλλ' οἱ μὲν, εὐθὺς ἀναμίξαντες τῇ γῇ, πρὸς τὸ φυτὸν προσβάλλουσιν· οἱ δ' ἀνὰ μέσον ποιοῦσι τῆς τε πρώτης γῆς καὶ τῆς ἐπάνω· κάτωθεν γὰρ παραλαμβανομένην, εἰς τὸ ἄνω φέρεσθαι φασὶν ὅταν ὕσῃ· κάλλιστον γὰρ εἶναι τὸν χυλόν· ἄνωθεν δ' ἐξικμάζεσθαι ὑπὸ τοῦ ἡλίου· καὶ ὕοντος οὐ δεῖ κινεῖσθαι τὸ κάτω· πάντες δὲ τοῦτό γε τοσοῦτον συμφωνοῦσιν· ὥστε μὴ δριμεῖαν καὶ ἰσχυρὰν, ἀλλὰ κούφην· διὸ καὶ μάλιστα χρῶνται τῇ τῶν λοφούρων· ἡ γὰρ δριμεῖα καὶ ἰσχυρὰ, διαθερμαίνει μᾶλλον· ἡ δὲ καὶ ξηραίνει· χρὴ δὲ καὶ πρὸς τὴν χώραν ἑκάστην ποιεῖν τὸ ἁρμόττον· οἷον ἐὰν μέν τις ἐμπύρῳ φυτῷ φυτεύσῃ τοὺς γύρους, ὕδατος ἐμπιπλάναι πρότριτα· καὶ ἐπειδὰν ἀναπίωσι, τότε βάλλειν· ὅπως ἔνικμος ἡ γῆ γενομένη, μᾶλλον δέχηται καὶ καλλίω ποιῇ τὴν ῥίζωσιν· ἐὰν δὲ ἐν ἁλμώδει ἢ ἐφάμμῳ, λίθους περιτιθέναι περὶ τὸ πρέμνον τοῦ φυτευτηρίου, καὶ περιχωννύναι γῆν· ὅπως ἀποστέγωσι τὴν ἁλμυρίδα· συμφέρει δὲ καὶ ἅλμον πότιμον παραβάλλειν· καὶ ψήφους ἐκ ποταμοῦ ἢ χαράδρας· ἀποστέγει γὰρ καὶ ταῦτα· καὶ ἅμα δι' αὐτῶν παρέχεταί τινα δύναμιν· ἐὰν δὲ ἔφυδρα καὶ ναματώδη, τάφρους ὀρύσσοντα, τὰς μὲν πλαγίους· ἵνα τὸ ὕδωρ

δέχωνται

δέχωνται. τὰς δέ, ὀρθίας, καὶ λίθων πληροῦνται καὶ γῆς, ὥστε
μὴ ἀπείργεσθαι τῆς σκαπάνης· εἶτα ἄμμον ἐμβάλλονται καὶ χοῦν.
ἅπαντα γὰρ ταῦτα ὠφελεῖ πρὸς τὴν ὑποβολήν. αἵ τε γὰρ πλά-
γιοι τάφροι δεχόμεναι τὸ ὕδωρ, ξηροτέραν ποιοῦσιν· αἵ τ' ὄρθιαι
καὶ τοὺς λίθους ἔχουσαι, δέχονται τὴν συῤῥοήν. ὅτι δὴ ἄμμος καὶ ὁ-
χοῦς ἀναξηραίνουσι, διὰ τοῦτ' ἐὰν ὀλίγοι ὦσι λίθοι ταῖς τοιαύταις,
οὐκ ἐκλεκτέοι· ὑπάρχει γὰρ φύσει τὸ βοηθοῦν ὅλως ἐν ὁποιαοῦν. ἐὰν
ὀρύττων τις λίθους εὕρῃ ἢ τρόχμαλον, ἢ ἄμμον, ἢ γῆν μοχθηράν, οὐκ
ἄκος τὸ μὴ συμμιγνύναι μηδὲ σκεδαννύναι ταύτην. ἀλλὰ τοσού-
τῳ βαθύτερον τὸν γῦρον ἢ τὴν τάφρον ὀρύξαντα, τόν τε τρόχ-
μαλον ὑποστρωννύναι, καὶ τὴν ἄμμον. ὁ μὲν γὰρ λίθος, ὁ μὲν
ἁπλοῦς καὶ συμφυής, βλάπτει τὰ δένδρα. ὁ δὲ τρόχμαλος ὑποκά-
τω τεθεὶς, ψῦχός τε παρέχεται, τό θ' ὕδωρ δέχεται· καὶ ταῖς ῥί-
ζαις εὐδίοδον ποιεῖ τὸν τόπον. ἁπλῶς δὲ τούς γε λίθους ἐκλέγειν
οὐδ' ἐκ γῆς ψιλῆς οἷον ταύτην συμφέρειν. καὶ γὰρ ἀλέαν παρέχουσι
τοῦ χειμῶνος, καὶ ψῦχος τοῦ θέρους· ὁμοίως δὲ καὶ κατὰ τὰς ἄλ-
λας διαφορὰς τῆς χώρας, τὰ πρόσφορα ληπτέον. ὡς γὰρ ὅλως εἰ-
πεῖν, οὐδὲν ἔλαττον. ἀλλὰ πάντων πρῶτον καὶ μέγιστον τὸ δύ-
νασθαι θεωρῆσαι ποῖον ἐν ποίᾳ χώρᾳ φυτευτέον· οὐ μόνον ἁπλῶς
ἀλλὰ καὶ αὐτῆς τῆς συνεχοῦς, ὅταν ἀνώμαλος ᾖ κατὰ τοὺς τό-
πους ἑκάστους, ὥσπερ καὶ λέγεται πολλάκις ἡ οἰκεία μεγίστην ἔχειν
ῥοπὴν καὶ πρὸς ἀντίληψιν καὶ πρὸς εὐκαρπίαν. ὃ καὶ καθόλου τῶν
γενῶν ἐστὶ καὶ ἐν αὐτοῖς τοῖς ὁμοειδέσιν. οἷον, ὡς μὲν ἁπλῶς εἰ-
πεῖν ἡ συκῆ φιλεῖ τοὺς ξηροὺς τόπους· οἱ γὰρ ὑγροὶ σήπουσιν. ἢ
οὐ καλῶς πεπαίνουσι, διὰ τὸ καὶ αὐτὸν εἶναι τὸν καρπὸν ὑγρόν. οὐ
μὴν, ἀλλ' ὅσοι γε ὑδρεύεσθαι ζητοῦσι καθάπερ ἡ λακωνική, τὰ
ἔφυδρα ζητοῦσιν. ὡσαύτως δὲ καὶ τῶν ἀμπέλων, αἱ μὲν στερεαὶ
καὶ πυκναὶ καθάπερ καὶ πρότερον ἐλέχθη, τὴν ὀρεινὴν μᾶλλον
φιλοῦσιν· αἱ δὲ μαναὶ καὶ ὑγραὶ, τὴν πεδινήν. ἑκατέραις γὰρ ἡ
τροφὴ πρὸς τὴν φύσιν σύμμετρος, ταῖς μὲν ἐλαττόνως οὖσα, τῶν δὲ

πλείων. ὅλως δὲ τὰ ἀκρόδρυα καλὰ δοκεῖ περὶ τὰς ὑπωρείας
γίνεσθαι. σημεῖα δὲ ποιοῦνται τὴν αὐτομάτην γένεσιν. ὅπου
γὰρ ἡ φύσις αὐτὴ γεννᾷ, τοῦτον οἰκειότατον εἶναι τόπον. αἱ δὲ κα-
θέκαστα διαφοραὶ, δηλονότι κυριώταται. καὶ γὰρ ὑπώρειαι πολ-
λαὶ καὶ παντοῖαι. καὶ τὸ ὅλον ὥσπερ μία τις αὕτη διαφορὰ κα-
θ' ὕψος καὶ ταπεινότητα, πολλῶν οὐσῶν ἑτέρων καὶ μειζόνων. ὥσ-
περ ἐν ταῖς ἱστορίαις εἴπομεν. ὧν οὐδεμίαν ἀθετέον εἶναι χρή. τὴν
γοῦν χειμωνίαν καὶ ἔφυδρον, σχεδὸν οἱ πλείους ὁμολογοῦσιν ἀγα-
θὴν εἶναι ταῖς ἀμπέλοις. ὥσπερ καὶ τὴν εὔγεων ἐλαίαις καὶ συ-
καῖς. αἱ μὲν γὰρ, ὑγροτέρας δέονται καὶ μαλακωτέρας τροφῆς.
αἱ δὲ, ξηροτέρας καὶ σωματωδεστέρας ὅλως δ' αἰεὶ τὰ μὲν ξηρὰ, ξηρὰν
ζητεῖ χώραν. τὰ δὲ ὑγρὰ, ὑγράν. ὡς δὲ ἁπλῶς εἰπεῖν, ἀρίστη πᾶ-
σιν ἡ μανὴ καὶ κούφη, καὶ εὔικμος. εὐτραφὴς γὰρ μάλιστα καὶ εὐαυξής.
εἰ μὴ ὅσα διὰ τὴν ἰσχὺν λαμβάνοντα πλῆθος τροφῆς, ἐξυβρίζει.
καθάπερ ἡ ἀμυγδαλῆ. ταύτῃ γὰρ ἡ λεπτόγεως ὑγροτέρα καὶ τό-
πος εὐδιεινὸς καὶ ἥλιος, ἐναντίως δὲ τῇ εὐβοίᾳ παλίσκιος καὶ δροσε-
ρός. οὐ μικρὸν δὲ οὐδὲ πρὸς τὰ πνεύματα καλῶς κεῖσθαι τοὺς τό-
πους. ὥστε καὶ τοῦτο θεωρητέον. εὔπνουν μὲν γὰρ ἅπαντα ζητεῖ.
τρόφιμά τε γὰρ ἐν τοῖς τοιούτοις βελτίους καὶ οἱ καρποὶ πεπειρότε-
ροι. πνευματώδη δὲ καὶ προσήνεμον, οὐδὲν ὡς εἰπεῖν τῶν γε ἡμέρων.
ἀναυξῆ τε καὶ μικρὰ καὶ καυλώδη γίνεται διὰ τὰς πληγὰς τὰς ὑπὸ τῶν
πνευμάτων. ἔνια δὲ οὐδὲ τῶν ἀγρίων. οὐ γὰρ τελεοκαρπεῖ. καθά-
περ οὐδὲ τὴν εὐβοϊκὴν φασιν. ἀλλὰ μέχρι τοῦ ἄνθους ἀφικνεῖσθαι.
τὰς δ' ἐν τοῖς ὑπηνέμοις, εὐαυξεῖς τε καὶ πολυκάρπους γίνεσθαι. τὸ
γὰρ ὅλον ὥσπερ πολλάκις εἴρηται, συμμετρίας τινὸς ἔοικεν ἑκά-
στα δεῖσθαι πρὸς τὴν φύσιν. ὁμοίως ἔν τε ταῖς ἄλλαις τροφαῖς, καὶ
ταῖς τοῦ ἀέρος μεταβολαῖς. ἀλλὰ τοῦτο μὲν ἂν εἴη καθόλου καὶ
κοινόν. τὰς δὲ μανότητας καὶ πυκνότητας τῶν φυτευομένων, οὐχ
οὕτω πρὸς τὸν τόπον ὡς πρὸς αὐτὰ τὰ φυτευόμενα σκεπτέον.
ὅσα τε φιλόσκια καὶ μή. καὶ ὅσα μακρόρριζα καὶ βραχύρριζα.

τὰ μὲν.

τὰ μὲν γὰρ δῆλον ὅτι μανά, τὰ δὲ πυκνὰ φυτευτέον· φιλόσκια
δὲ ὧν οἱ καρποὶ ξηρότεροι καὶ πυρηνώδεις, ὥσπερ ῥόας καὶ μυρ-
ρίνου· καὶ ὅσα φύσει μανά τινα καὶ ξηρὰ καὶ μὴ μακρόρριζα, κα-
θάπερ ἡ δάφνη· τῶν μὲν γὰρ ὁ καρπὸς ἡλιούμενος στρυφνὸς γί-
νεται· τὰ δέ, ὥσπερ προβολῆς δεῖται καὶ πρὸς τοὺς χειμῶνας καὶ
πρὸς τὰ καύματα διὰ τὴν ἀσθένειαν· οὐκ ἐνοχλεῖ γὰρ τῷ περ-
ρῳ διὰ τὴν βραχυρριζίαν· καίτοι τινὲς ἅπαντα κελεύουσι διὰ
πολλοῦ φυτεύειν, ὅπως μὴ ζῶντα ἔρρα γίνηται μηδ᾽ ἀναυξῆ, τροφήν
τε ἐλάττω λαμβάνοντα, καὶ τοῦ πνεύματος ἀποκλειόμενα· οὐ μὴν
ὀρθῶς γε λέγουσιν· ἀλλ᾽ ἑκάτερα διαιρετέον ὥσπερ εἴρηται· χρὴ
δὲ καὶ πρὸς τὸν τόπον ὁρῶντα ποιεῖσθαι τὰς ἀποστάσεις· ἐν γὰρ τοῖς
ὀρεινοῖς ἐλάττους ἢ ἐν τοῖς πεδινοῖς· ἐπ᾽ ἔλαττον γὰρ αἵ τε ῥίζαι προ-
αύξονται καὶ ἡ κόμη· ἅπαν δὲ φυτὸν ὅταν ἐκβλαστῇ τὸ πρῶτον,
ἐὰν ῥιζωθῶσι μηδὲν κινοῦντα τῶν ἄνω· καθάπερ ἐπὶ τῶν ἀμ-
πέλων ποιοῦσιν· ἀφιέντας τὰς ῥάχας· εἶθ᾽ ὅταν ἴσχωσι, τότε πε-
ριαιρεῖν τὰ ἄνω καταλιπόντα τὰ κάλλιστα καὶ ἐπιτηδειότατα
πεφυκότα· κατὰ γὰρ τὰ δένδρα, τοῦτ᾽ ἀναγκαῖον οὐχ ὥσπερ
ἐπὶ τῶν ἄλλων ἀφαιρεῖν ἐνδέχεται πάντα καὶ τέμνειν ἰσογεών· τοῦ
ἀρρίζου γὰρ ὄντος, ἐὰν περιαιρῇ καὶ κινῇ τις ἀσθενὲς ὄν, σωθήσεται
μᾶλλον· ἐὰν δ᾽ ἐρριζωμένου καὶ ἰσχύοντος, αὐτό τε ἀπαθὲς ἔσται,
καὶ τὴν τροφὴν ἀποδώσει πλείονα τοῖς καταλειπομένοις· ἡ δ᾽ ἀναγω-
γὴ καὶ ἣν καλοῦσιν οἱ πολλοὶ τοῦ φυτοῦ παιδείαν, οἷον σχηματισμός
ἐστι, καὶ μόρφωσις τῶν δένδρων, ὕψει τε καὶ ταπεινότητι, καὶ πλά-
τει καὶ τοῖς ἄλλοις· ὡς δ᾽ ἐπίπαν φυτεύουσι τὰ ὑψηλά· πλὴν ὅσα
φύσει τοιαῦτα καὶ ἔστι καὶ βούλεται· καθάπερ φοῖνιξ. πεύκη.
κυπάριττος· ἀκαρπότερα· γίνεται γὰρ διὰ πολλοῦ τῆς τροφῆς ἰού-
σης καὶ ἐνταῦθα καταναλισκομένης· ἀλλὰ δεῖ πολυκλαδῆ
καὶ πολυβλαστῆ ποιεῖν· ἅμα γὰρ τῇ πολυκαρπίᾳ καὶ εὐτρυγη-
τότερα καὶ τὸ ὅλον εὐθεραπευτότερα γίνεται. διὸ καὶ περιαιρετέ-
ον καὶ κωλυτέον τὰς μὴ κατὰ καιρὸν βλαστήσεις· σχεδὸν δ᾽ ἡ λοι-

αὕτη θεραπεία καὶ κατάστασις ὁμοία τῇ διακαθάρσει τυγχάνει
τελείων ὄντων τῶν δένδρων. ὑπὲρ ἧς καὶ λεκτέον πρῶτον τῶν
κατὰ τὰς θεραπείας, εἶθ' οὕτω περὶ τῶν ἄλλων. ὥσπερ γὰρ ἐφε-
ξῆς ταῦτα τῶν περὶ τὴν φυτουργίαν ἐστί. κοινοτάτη μὲν οὖν καὶ
μάλιστα ἔνδηλος ἐπὶ τῶν ἀμπέλων τυγχάνει. πάντες γὰρ χρῶν-
ται, καὶ πάντες ἀμπελουργοῦσιν. ὥσπερ ὑπαιτίου ἀναγκαζό-
μενοι τῆς φύσεως, διὰ τὴν ἀβλαστίαν ἢ πολυβλαστίαν. ὑπὲρ
ἧς ἐπειδὴ καὶ ἐν τῇ βλαστήσει καὶ ἐν τοῖς ἄλλοις διηκρίβωται μά-
λιστα ἡ θεραπεία, πειρατέον αὐτὰ καθ' αὑτὰ θεωρεῖν ὕστερον. νῦν
δ' ὑπὲρ τῶν ἄλλων λέγωμεν. οὐδὲ γὰρ οὐδ' ἐπὶ τούτων μικρὸν
ἐστί, τὸ καταστήσασθαί πως τὰ δένδρα, καὶ τὰ κακῶς πεφυκό-
τα καὶ τὰ ἐμποδίζοντα τοὺς καρποὺς ἀφαιρεῖν. ἐμποδίζει
γὰρ οὐ ταῦτα μόνον. ἀλλὰ καὶ τὰ ἀπηρτημένα, καὶ αὐτὰ ὅλως
τὰ παρακαίρως πεφυκότα. διὸ δεῖ ταῦτ' ἐξαιροῦντα μετα-
τιθέναι τὴν βλάστησιν εἰς τὸ δένδρον. ἔοικε γὰρ ὥσπερ ὀχε-
τεία τις εἶναι τῆς τροφῆς τῶν δένδρων. ὅπως ἀνάγκη τις. εἰς γὰρ
τὰ καταλειπόμενα ῥεῖ. καὶ ταῦτ' αὔξει. τοῦτο δὲ ξυμβαίνει,
διότι τοῖς μέρεσιν ἄριστα πέφυκε. καὶ ἔτι προσεπιβλαστάνει κα-
τ' ἐνιαυτόν. ἐπεὶ καὶ εἴ τις ἀεὶ βούλεται κολούειν τὰ ἄνω, πρὸς
τὰς ῥίζας ἡ τροφὴ πᾶσα φέρεται. κἀκεῖναι λαμβάνουσιν αὔ-
ξησιν. ὥστε συνταράττεσθαι τὰ χωρία. καὶ τέλος ἀναυξῆ γίνεται
τὰ ἄνω, πάσης ἐνταῦθ' ὡρμηκυίας τῆς τροφῆς. οἷον γὰρ ἡ διαφύ-
σις γίνεται χρονισθέντων. ἡ μὲν οὖν ἄμπελος ἀεὶ τὴν τομὴν
ἐπιζητεῖ κατ' ἐνιαυτὸν διὰ τὸ ἀναυξές. τὰ δ' ἄλλα, τὰ μὲν παρ' ἔτος.
τὰ δὲ, διὰ τριετίας. οὐδὲν γὰρ ὅτι ἀναυξές. ἐπεὶ εἴ τι τοιοῦτον εἴη,
δέοιτ' ἂν ἀφαιρεῖν ἀπὸ τῶν ὑγρῶν περίεργον. ἅμα δὴ ἕλκωσις
πόνον παρέχει καὶ κακοῖ τὰ δένδρα. διὸ καὶ μετὰ τὴν διακά-
θαρσιν, εὐθὺς οἴονται δεῖν κοπρίζειν, καὶ τὴν ἄλλην ἀποδιδό-
ναι θεραπείαν. ὅπως ἐπαναλάβωσι τῇ τροφῇ τὴν κακοπά-
θειαν. ἀλλὰ μόνον τό γε συνεχὲς ἐν τῇ τῶν ἄνω ἀφαιρέσει πει

ἐᾶσθαι.

εἶθαι· ταῦτα γὰρ οὔτε πόνον ποιεῖ τῇ ἑλκώσει, κωλύει τε προσηρτημένα τροφάς. ἐν δὲ τῇ διακαθάρσει, τά τε μὴ κάρπιμα διαιρετέον, καὶ ὅσα τῶν ἑτέρων αὔξησιν ἀφαιρεῖται, καὶ ὅσα διαπέφυκεν. ἐν τοῖς ἔξω γὰρ δεῖ τὴν βλάστησιν εἶναι. καὶ ἔτι τὰ πυκνὰ καὶ ἀλλήλοις ἐπιβάλλοντα, καὶ ὅσα τὴν ἔκφυσιν ἐκ τοῦ μέσου ἔχει. πάντα γὰρ ταῦτα καὶ τὸ πνεῦμα καὶ τὸν ἥλιον ἀφαιρεῖται. δεῖ δὲ καὶ εὔπνουν εἶναι καὶ πρόσηλον τὸ δένδρον. διὸ καὶ οὐ κακῶς οἱ οὕτω ῥυθμίζοντες, ὥστε πρὸς μεσημβρίαν βλέπειν· καθάπερ οἱ τὰς σικύας, καὶ τὰ ἄλλα, καὶ μάλιστα τὴν ἐλαίαν. ἐπεὶ δ᾽ ἐπίπονος ἡ διακάθαρσις διὰ τὰς πληγὰς, διὰ τοῦτ᾽ οὐ τὴν τυχοῦσαν ὥραν, ἀλλὰ μετὰ πλειάδα ληπτέον. ἰσχυρότατα γὰρ τότε καὶ μάλιστα αὐτῶν τὰ δένδρα, καταναλωκότα τὸ ὑγρὸν εἰς τοὺς καρπούς. ἕτερον δὲ οὐδέπω διεγηγερμένα. τὰ δ᾽ ὀψικαρπότερα δῆλον ὅτι κατὰ λόγον μετὰ τὴν τῶν καρπῶν ἀφαίρεσιν. ἴδιον δ᾽ ἐπὶ τῆς συκῆς. μόνη γὰρ διακαθαίρεται μικρὸν πρὸ τῆς βλαστήσεως. αἴτιον δ᾽ ὅτι τότε μάλιστα ἡ σύμφυτος. δεῖ δὲ ταύτῃ ἀνώδυν. ἀσθενὲς γὰρ ὂν καὶ μανὸν πονεῖ μάλιστα διὰ τὸ μετοπώρου καὶ περὶ πλειάδα· ξηροτέρας οὔσης τῆς ὥρας, οὐ δυναμένης συμφῦναι. εἶτ᾽ ἐπί τε παραρρέοντος τοῦ ὕδατος· καὶ ὑπὸ τῶν χειμώνων κακοπαθεῖ. καὶ τὸ ὅλον διαφθείρεται. τοῦτο μὲν οὖν ἴδιον τῶν ἀσθενῶν καὶ μανῶν. οὐκ ἴση δὲ πάντων ἡ ἀφαίρεσις. ἀλλὰ πλείων τῶν μᾶλλον δεομένων. δεῖ δὲ τὰ εὐβλαστοῦντα πολλῆς γινομένης. οἷον ἐλαία, δοκεῖ καὶ ῥόα καὶ μύρρινος. ὅσῳ γὰρ ἄν τις ἐλάττω τούτοις καταλείπῃ, βέλτιον βλαστάνει. καὶ τοὺς καρποὺς φέρει βελτίον. τοῦτο δ᾽ ὅτι πυκνόβλαστα καὶ λεπτόβλαστά ἐστι καὶ ταχὺ παραυαινόμενα. διὸ καὶ φρυγανικώτατα πάντων τῇ προσόψει. χρὴ δὲ καὶ ὅσα πρὸς τὰς τομὰς ἀσθενῆ, καθάπερ ἄπιος καὶ μηλέα, καὶ εἴ τι ἄλλο ξηρὸν καὶ λεπτόφλοιον. καὶ γὰρ ταῦτα πονεῖ. διὸ τὰ τοιαῦτα τούτων ἢ ταῖς χερσὶν ἀφαιρεῖν, ὥσπερ ἐλέχθη τε καὶ κελεύουσιν, ἢ τοῖς σιδήροις, ὡς ἐλαφρότατα. κίνδυνος γὰρ

ἅμα τῷ πόνῳ διὰ τὴν ἕλκωσιν· ὥσπερ ἐπὶ τῶν ῥιζῶν ἐν τῇ σκαπάνῃ τιτρωσκομένων χεῖρον γίνεται, πολλάκις δὲ καὶ νοσεῖ καὶ ἀφαναίνεται, τὸν αὐτὸν τρόπον οἴεσθαι χρὴ καὶ ἀπὸ τῶν ἄνωθεν ἐν τοῖς μὴ δυναμένοις φέρειν· καὶ περὶ μὲν καθάρσεως ἀρκείτω τὰ εἰρημένα. ῥιζοτομεῖται δὲ μετὰ τὴν φυτείαν. καὶ ὅταν ᾖ νέα πάνυθ' ὡς εἰπεῖν, ὅπως τε κατὰ βάθους ὠθῶνται. καὶ πλείω λαμβάνωσιν αὔξησιν. μάλιστα δ' ὧν ἐπιπολῆς αἱ ῥίζαι. καθάπερ ἐλαία καὶ ἄμπελος. ὅταν δὲ πρεσβύτερα γένηται, τὰς μὲν ἐπετείους καὶ ὅλως τὰς ἐπιπολῆς ἀφαιρετέον. ὅπως αἱ κάτω πλείους καὶ ἰσχυρότεραι γίνωνται. φθείρουσι γὰρ ἐκεῖναι αὐτάς, καὶ ἐμποδίζουσιν. αὐτοῖς δ' οὐ δύνανται παρέχειν τροφήν. ἀλλὰ καὶ πονοῦσι, καὶ ὑπὸ τοῦ ἡλίου καὶ ὑπὸ τοῦ ψύχους. ἀφαιρετέον δὲ καὶ τὰς αὔας. προσηρτημέναι γὰρ καὶ ἄλλως λυμαίνονται, καὶ σκώληκας ἐμποιοῦσι τοῖς δένδροις. τὰς δὲ ἄλλας οὐ κινητέον. οὐδὲ γὰρ τὴν διακάθαρσιν δεῖν ὥσπερ τῶν ἄνω ποιεῖσθαι. καὶ γὰρ τὸ γυμνοῦν ἐπὶ πλέον χαλεπόν, καὶ ὅλως οὐκ εὔσημον. ὅθεν ἀφαιρετέον. ἅμα δὲ καὶ τὸ θερμοῦν φυομένη, μόνον δὲ ἰσχύουσα τὴν τροφὴν ἀποδώσει. κάλλιον δ' ἐὰν πανταχόθεν. τὸ γὰρ δὴ μῆκος καὶ πλάτος, ὅσον ἂν ᾖ πλέον, ὠφελιμώτερον. ὥστε τὰ πρὸς τὴν βλάστησιν καὶ τὴν εὐτροφίαν μόνον δεῖ παρασκευάζειν. περὶ δὲ ἀρδεύσεως καὶ ὑδάτων, σχεδὸν εἴρηται πρότερον. ὅσα γὰρ ἐν τοῖς οὐρανίοις ὠφέλιμα, κατὰ τὰς ὥρας, ἢ ἔτους, ἢ νύκτωρ, ἢ μεθ' ἡμέραν, δῆλον ὅτι καὶ ἐν τοῖς ἐπιρρύτοις καὶ ὀχετευομένοις ὁμοίως ἔσται. τοῦ δὲ θέρους εὐλόγως μάλιστα χρῶνται, διὰ τὴν σπάνιν τῶν ἐκ Διός. καὶ ἅμα πρὸς τὴν ἐκτροφὴν τῶν καρπῶν ἀναγκαῖον. οἱ δέ, καὶ οἴονται τότε μάλιστα δεῖσθαι, πλείστης ἀφαιρέσεως καὶ κυριωτάτης γινομένης. ἰσχύει δ' ὥσπερ ἐν τοῖς ἄλλοις καὶ ἐν τούτοις τὸ ἔθος. οἷον γὰρ φύσις γίνεται. διὸ καὶ τὰ ἐν τοῖς ξηροῖς καὶ ἀνύδροις, οὐδὲν ζητεῖ, πλὴν τὸ ἀναγκαῖον. καὶ

χείρω γίνεται βρεχόμενα, καθάπερ τὰ εἰωθότα μὴ βρέχεσθαι· καὶ κίνδυνός ἐστιν, ἂν μὴ συνεχῶς ἀποδιδῷ, βρέχειν ἀρξάμενος· ἐκείνην τε γὰρ ἀφαιρεῖται τὴν ἰσχὺν καὶ τὴν τροφὴν, καὶ ἑτέραν οὐ διδοὺς ἀμφοτέρων πλεῖστον διαμαρτάνει· ὥστε πολλάκις ὑπὸ τῶν καυμάτων αὐαίνεται· σχεδὸν δὲ οἱ καρποὶ χείρους τῶν γε πλεῖστον δεχομένων· ἐὰν δὲ συμμέτρως, ἀλλὰ καὶ πλεῖον καὶ πολλῷ μᾶλλον· περὶ δὲ κοπρίσεως ἀκολούθως δῆλον ὅτι τῇ ἰδίᾳ καθάρσει μετὰ τοὺς χρόνους· ἄλλως τε εἴπερ μετ᾽ ἐκείνην εὐθὺς κοπρίζειν δεῖ· ἅμα γάρ ἐστι καὶ οὐδ᾽ ἂν δύναιντο δέχεσθαι συνεχῶς· ἀλλ᾽ ἀφαυαίνοιτ᾽ ἂν διὰ τὴν θερμότητα· τὸ γὰρ τὴν ψιλὴν κοπρίζειν, οὐχ ὅμοιον· ἐν ἐκείνῃ μὲν γὰρ εἰς πολλὰ μερίζεται καὶ ἐξαναλίσκεται· τὰ δὲ οὐ μόνον τῶν σπερμάτων· ἐνταῦθα δὲ εἰς αὐτὰς τὰς ῥίζας δύεται· καὶ οὐ δύναται πᾶν διαδιδόναι τοῖς καρποῖς οὐχ ὁμοίως εὔτροφον ὂν δὲ πολύχουν· ὥστε πάλιν ἄλλης καὶ ἄλλης ἐπισπωμένης, ὡς ἐκθερμαινόμενον, αὐαίνεται· ἐπεὶ καὶ ὁ σῖτος, ἄν τις κατακόρως χρῆται, καὶ ἐπιγίνηται πλῆθος ὕδατος· διὸ καὶ τοῖς ἐπομβρίαις χρησιμώτερος ὁ συνεχὴς καὶ πλείων κοπρισμός· ἐν δὲ τοῖς αὐχμώδεσι καὶ λεπτοῖς ὁ σύμμετρος, διὰ ταῦτα δὲ ἴσως οὐδὲ ἡ δριμυτάτη τοῖς δένδροις ἁρμόττει· καίτοι δόξειεν ἂν ἄτοπον εἶναι, τὸ μὴ τοῖς ἰσχυροτάτοις, ἀλλ᾽ ἐν τῷ προειρημένῳ τὸ αἴτιον ληπτέον· ἐπεὶ καὶ τοῖς λαχάνοις διὰ τοῦθ᾽ ἁρμόττει· διὰ τοῦτο μεθ᾽ ὑδρείας ἡ χύλωσις· καὶ ὅλως ὅτι πολλῷ τῷ ὑγρῷ χρῶνται καὶ καθ᾽ ἡμέραν, καὶ αὐτὰ φύσει ὑγρά· φυλλοφορεῖν γὰρ ἐθέλουσιν οὐ καρπογονεῖν αὐτά· οὐ μὴν ἀλλ᾽ ἐνίαις τε χρῶνται καὶ πρὸς τὰ δένδρα τῶν ἰσχυροτέρων· καὶ μάλιστα εἰς μαλακότητα καὶ μεταβολὴν τῶν καρπῶν· οἷον τῇ πρὸς τὸ γλυκαίνειν καὶ ἀπύρους ποιεῖν τὰς ῥόας, καὶ τὰς ἀμυγδαλᾶς ἐκ πικρῶν γλυκείας· καὶ ὡς παρὰ τοὺς μυρρίνους κελεύουσιν ἰσχυροτέραν ἔτι παραβάλλειν, οἷον τὴν βυρσοδεψικήν· καὶ οὖρον παραχεῖν ὅταν ἐκβλαστήσωσιν· ὥσπερ ἀπυρήνων γινο-

μένων· οἱ δὲ καὶ τῇ ἐλαίᾳ συμφέρειν οἷον ταῖς πρὸς ἀκαρπίαν
ἔοικε δὲ τὸ ἐν τῇ ἀρχῇ μέγα διαφέρειν· εἴγε καὶ τὰ τῶν σικύων σ-
πέρματα γάλακτι βρεχόμενα καὶ μελικράτῳ, γλυκυτέρους
ποιεῖ. νομίσειε δ᾽ ἄν τις ταῦτα καὶ ἐπὶ τῶν ἄλλων γίνεσθαι λα-
χάνων· ἀλλ᾽ ἴσως τὸ δριμὺ χρησιμώτερον· ἡ δὲ ῥίζα τῶν δένδρων
ἀρχή τις οὖσα, καὶ τὰ περικάρπια συνεξομοιοῖ τὰ ἐφ᾽ ἑαυ-
τῆς. περὶ μὲν οὖν τούτων καὶ πρότερον εἴρηται. τὴν δὲ χρησί-
μην ἀεὶ πρὸς τὰς δυνάμεις ἀποδοτέον. τῆς μὲν δριμυτέρας,
ἐλάττονα, τῆς δὲ μαλακωτέρας, πλείονα. δεῖ δὲ καὶ τὴν πρόσ-
φορον ἑκάστοις τῶν δένδρων μὴ ἀγνοεῖν. οὐ γὰρ ὥσπερ ὕδωρ
τὸ αὐτὸ πᾶσιν, οὕτω καὶ κόπρος. ἀλλ᾽ ὥσπερ τὰ ἐδάφη πρὸς
ἕκαστον οἰκεῖα, οὕτω καὶ ἡ κόπρος· ἐπεὶ καὶ κατὰ τὰς ἡλικίας
τῶν δένδρων ἐστί τις διαφορά. διὸ καὶ φυτεύοντες, ὑποβάλ-
λουσιν εὐθὺς ὥσπερ ἐλέχθη τὴν τῶν λοφούρων, ὅτι κουφοτάτη.
τὸ δ᾽ ἀσθενὲς, κουφοτάτης δεῖται· τὸ δ᾽ ὅλον, ἐν ταῖς θεραπεί-
αις τῶν δένδρων, ὅσα μὲν κοινὰ πᾶσίν ἐστι. ταῦτα τοῦ ποσοῦ καὶ
τοῦ ποιοῦ διοίσει καὶ τοῖς καρποῖς· οἷον. τομή. διακάθαρσις.
σκαπάνη. κόπρισις. ταῖς δ᾽ οὖν ἀμπέλοις ἢ διὰ τεττάρων ἢ πλει-
όνων ἐτῶν παραβάλλουσι κόπρον. οὐ γὰρ δύνανται φέρειν δι᾽
ἐλαττόνων. οὐδ᾽ ἐστὶ βοήθεια καθάπερ τοῖς δένδροις ἡ ὕδρευσις.
ἀλλ᾽ ἐκκαίονται. διὸ καθάπερ ἐλέχθη ταῖς ἐπομβρίαις χώραις
συμφέρειν μᾶλλον. ἄλλως γὰρ κίνδυνος μὴ ἐπιγινομένων τῶν
ἐκ διός. σκαπάνη δὲ πᾶσι συμφέρει. ταῦτα γὰρ ἐμποδίζοντα,
καὶ τὰ παραιρούμενα τὰς τροφὰς ἐξαιρεῖ· καὶ αὐτὴν τὴν γῆν
εὐικμοτέραν ποιεῖ καὶ κουφοτέραν. ἔτι δ᾽ ὁ ἀὴρ ἐγκαταμιγνύμε-
νος (ἀνάγκη γὰρ ἐγκαταμίγνυσθαι κινουμένου) ἰκμάδα τινὰ δίδω-
σι καὶ παρέχει τροφήν. διὸ καὶ τὴν αὐχμώδη καὶ ἄνυδρον σκάπτειν
δεῖ καὶ μεταβάλλειν πολλάκις, ὥσπερ καὶ πρότερον εἴρηται.
συμφέρει δ᾽ ἡ σκαπάνη καὶ τοῖς ἑλώδεσι καὶ τοῖς ἐφύδροις.
καίτοι δόξειεν ἂν ἄτοπον εἰ τοῖς ἐναντίοις, ἀλλ᾽ οὐδὲν ἄτοπον.

τὴν

τὴν μὲν γὰρ ξηραίνει, τὴν δ' ὑγραίνει· δεῖται δὲ ἑκατέρα τοῦ ἐναν-
τίου· τροφῆς δὲ πλείονος γινομένης καὶ βελτίονος, αὐτό τε τὸ
δένδρον εὐθενεῖ· καὶ οἱ καρποὶ καλλίους· ποιεῖ γὰρ καὶ τοὺς πυ-
ρῆνας ἐλάττους, καὶ ὅσα ξυλώδη καὶ δερματικὰ τὰ ἐκτός· οἷον
ἀμυγδαλῆς· καρύας· εὐβοϊκῆς· τούτων λεπτότερα ταῦτα·
τὰ δ' ἐν τοῖς, μείζω· τὸ γὰρ ὅλον ἡ εὐτροφία δ' ὑγραίνει, καὶ τὸ
σαρκῶδες αὔξει· διὰ ταῦτα καὶ κατὰ λόγον ἀμφοῖν τὸ συμ-
βαῖνον· ποιεῖ δὲ καὶ εὐχυλότερα καὶ μείζω καὶ ἡδίω μετὰ
τῆς ἄλλης θεραπείας· ὅτι καὶ τροφὴ πλείων καὶ πέψις γίνε-
ται μᾶλλον· ἐπὶ δὲ τοῦ κράνου (περὶ τούτου γὰρ μάλιστα αὐτὸ
λέγεται) δῆλον εἴπερ ὡς ἀληθῶς πλεῖον ἀναλαμβάνει τῆς συμ-
μέτρου τροφῆς· ὥσθ' ἧττον ποιεῖν εὔχυλον· ὅπερ ἐπὶ ἄλλων συμ-
βαίνει περικαρπίων, ἐν ταῖς πιείραις λίαν χώραις καὶ εὐτρόφοις·
ἡ μὲν οὖν σκαπάνη, πάντα ταῦτα συναπεργάζεται· καὶ τὸ ὅ-
λον ὠφελεῖ διὰ τὸ ἐξαιρεῖν τὰ παραιρούμενα· ἐπεὶ καὶ τὰ πα-
ραφυόμενα καὶ τὰ παρασπειρόμενα διὰ τοῦτο κλέπτει
πάντως· τὰ δὲ καὶ ὅλως ἀναιρεῖ, πλὴν ὅσα εἶεν φαρμακευμένα· λέγω δὲ
ὡς οἱ τὰς κριθὰς ὑποσπείροντες τοῖς τῶν ἀμπέλων φυτοῖς, ἢ ἔτι
ἄλλο ξηρόν, ὅπως τῆς ὑγρότητος ἀφαιρεθῇ· καὶ ὡς ταῖς ῥαφάνοις
τοὺς ὀρόβους πρὸς τὸ μὴ κατατίθεσθαι· ἢ εἰ δή τι ἄλλο τοιοῦτο·
καὶ ὅσα προσφιλῆ τυγχάνει· καθάπερ ἐλαία δοκεῖ τῶν δένδρων καὶ
μύρρινος· τάς τε γὰρ ῥίζας συμπλέκεσθαί φησι τῶν δένδρων Ἀν-
δροτίων, καὶ τὰς τοῦ μυρρίνου ῥάβδους φύεσθαι διὰ τῶν ἀκρε-
μόνων τῆς ἐλαίας· τὸν δὲ καρπὸν ἔχοντα τοῦ ἡλίου καὶ τῶν ἀνέ-
μων προβολήν, ἐλαίαν ἁπαλὴν γίνεσθαι καὶ γλυκύν· ἔλαττον δὲ τοῦ
ἐν τοῖς προσηλίοις· ἄλλο δ' οὐδὲν ἐθέλει φυτεύεσθαι πρὸς ταῖς
ἐλαίαις· ἐμμενὴς δὲ καὶ πεύκη δοκεῖ πᾶσιν εἶναι· διά τε τὸ μο-
νόρριζον εἶναι καὶ βαθύρριζον· ὑποφυτεύεται γὰρ ὑπ' αὐτῇ ἡ
μύρρινος καὶ δάφνη καὶ ἕτερα πλείω· καὶ αὔξησιν λαμ-
βάνει· φανερὸν ὅτι μᾶλλον παροχλοῦσιν αἱ ῥίζαι τῆς σκιᾶς·

σκιὰν γὰρ πολλὴν ποιεῖ ἡ πεύκη. κατὰ λόγον δὲ καὶ τὰ ἄλλα τὰ ὀλιγόρριζα καὶ βαθύρριζα. καὶ πρὸς τοῖς, ὧν μὴ κατὰ τὴν αὐτὴν ὥραν ἡ βλάστησις καὶ καρποτοκία. τροφὴν ὅτι δ' ἐλαχίστην παραιρεῖται ταῦτα. καὶ παραλλάττουσιν οἱ χρόνοι τῇ τε βλαστήσει καὶ τῇ τελειώσει τῶν καρπῶν, ἧττον λυποῦσι. χαλεπώτατα δὲ καὶ ἀμπέλῳ τῶν ἄλλων, συκῆ καὶ ἐλαία. τὰ γὰρ τροφῆς πολλῆς ἀμφότερα λαμβάνει. καὶ σκιὰν παρέχει πλείστην. χαλεπὸν δὲ καὶ ἡ ἀμυγδαλῆ, διά τε τὴν ἰσχὺν καὶ τὴν πολυρριζίαν. καίτοι φυτεύουσί τινες ἐν τοῖς ἀμπελῶσιν ὡς ἀσινεστάτην, τροφῆς τε ἐλαφρᾶς δεομένην, καὶ ἅμα διὰ τὸ πρώϊμον εἶναι καὶ μὴ πολύσκιον ἥκιστα ἐνοχλοῦσαν. οὐ μὴν ὀρθῶς γε λέγουσιν. οὐ γὰρ οὕτως ἡ σκιὰ λυπεῖ καθάπερ εἴρηται, καὶ τὸ ὄψιον, ὡς ἡ ἰσχὺς τῶν ῥιζῶν. ἀφαιρεῖται γὰρ τὴν τροφὴν τῶν παρ' αὐτὴν γινομένων. αἱ δὲ κουφόταται τὰ ἀσινέσταται πάντων δοκεῖ, μηλέα, καὶ ῥόα. καὶ γὰρ οὐ πολύρριζα, τῆς τροφῆς ἐλαφρᾶς δεῖται, καὶ ταχὺ γηράσκουσιν. ὥστε μὴ πολὺν χρόνον ἐνοχλεῖν. ἁπλῶς δ' ἅπαντα τὸ συνεῖναι καὶ βλάπτει τῇ παρὰ φύσει. καίτοι συμβαίνει γ' ἐνίοτε τῶν παραφυτῶν παραιρουμένου θατέρου καὶ θάτερον αὐαίνεσθαι. τοῦτο γὰρ ἤδη τινὶ συνέπεσεν ἀμπέλου περιφυκυῖαν ἀναδενδράδων καὶ συκῶν. ὡς αἱ συκαῖ παρῃρέθησαν. αἴτιον δ' ὅτι μεγάλην ἐποίησε μεταβολήν, συνηυξημένων ἤδη καὶ συνεκτεθραμμένων. ὥσπερ γὰρ μία φύσις ἐγεγένητο διὰ τὸν χρόνον ὑμένων ὄντων εὐθὺς παρεῖλεν. οὐχ ὅτι ἀνεφύαμεν, ἀλλὰ τὰ δύο αὐξεστέρας τὰ καλλίους ἐποίησε. καὶ περὶ μὲν τῶν ἄλλων δένδρων θεωρείσθω. περὶ δὲ ἀμπέλων, ὅσα μὴ κοινὰ καὶ ἐν τοῖς πρότερον εἴρηται, λεκτέον ὁμοίως. ἐπεὶ δὲ καὶ τὰ γένη διαφέρει καὶ αἱ χῶραι, τοῦτο χρὴ πειρᾶσθαι διαιρεῖν τὰ ἴδια καὶ ταῖς ἰδίαις οἰκεῖα. κατὰ φύσιν μὲν γὰρ ἐὰν φυτεύῃ τις, ἀγαθά. παρὰ φύσιν δὲ, ἄκαρπα γίνεται. τὸ δὲ κατὰ φύσιν, σχεδὸν καθ' ὁμοιότητά τινα λαμβάνουσιν ὡς εἰπομένη. ἐν μὲν τῇ στερεᾷ καὶ αὐχμώδει τὰ στερεὰ καὶ τῶν λευκῶν καὶ τῶν μελάνων. ὡς δ' ἐπὶ τὸ πᾶν, τὰ μέλανα στερεώτερα. ἐν δὲ τῇ

ἐπόμβρῳ, τὰ μανά. διάδηλα δὲ τὰ πυκνὰ καὶ τὰ μανὰ ταῖς μήτραις, ἃς δεῖ θεωρεῖν ἀποτέμνοντας τὰ μέσα τῶν κλημάτων· ἔχει γὰρ ἡ μὲν μανὴ πολλήν, τὸ δὲ ξύλον λεπτόν, ἡ δὲ πυκνὴ μικράν, τὸ δὲ ξύλον παχύ. ὅτι δὲ ἑκάτερον ἑκατέρᾳ τῇ χώρᾳ συμφέρει, διὰ τῶνδε φανερόν· ὧν μὲν γὰρ ἡ μήτρα μεγάλη, τούτων οἱ πόροι εὐρεῖς· ὧν δὲ μικρά, στενοί τε καὶ ὀλίγοι. διὸ καὶ αὐτὰ στερεᾶς τροφῆς ἐλάττονος δεῖται τὰ πυκνά· καὶ ἅμα διατηρεῖν δύναται τὸ ὑγρὸν εἰς τὸ θέρος· ὁ γὰρ ἥλιος οὐχ ὁμοίως ἐξάγει διὰ τὴν πυκνότητα. διὸ μικρᾶς τῆς ἀφαιρέσεως γινομένης, ἐπαρκοῦσιν αἱ ῥίζαι τὸ σύμμετρον εἰς τὸν καρπόν. αἱ δὲ μαναί, πολλῆς μὲν τῆς ἀφαιρέσεως οὔσης, ὀλίγης δὲ τῆς ἐπιρρεούσης διὰ τὴν ξηρότητα τῆς γῆς, τά τε κλήματα ἀσθενῆ καὶ τοὺς καρποὺς ἀτελεῖς φέρουσι. τῇ δὲ ἐπόμβρῳ, προσφορώτατον τὸ γένος· ἅτε πολλῆς τροφῆς διδομένου καὶ μεγάλης ἀφαιρέσεως γινομένης, ὁ ἥλιος ἐξάγει· καὶ τοσούτῳ πλέον ἐπιδίδωσιν εἰς μέγεθος καὶ εἰς εὐκαρπίαν· ἄφθονον μὲν γὰρ τροφὴν ἔχει· ταύτης δὲ κατακρατοῦσα καὶ πέττουσα ῥᾳδίως. διὰ τοῦτο γὰρ καὶ ἡ λειμωνία δοκεῖ ταῖς ἀμπέλοις εἶναι κρατίστη· διότι πρὸς τῷ κούφη καὶ μὴ πίειρα εἶναι, καὶ ἔφυδρός ἐστιν· ὥστε μὴ δύνασθαι τὸ οὐράνιον ὕδωρ δεῖ κινεῖσθαι πρὸς τὸ ἐκ τῆς γῆς. ἡ δ' ἄμπελος, ὕδατος πλείστου δεῖται· διὰ τὸ ἐν τῷ καρπῷ πλεῖστον ἔχειν τὸ ὑγρόν· ἔτι δὲ μάλιστ' ἀντέχειν δύναται ἐν ταῖς ἐπομβρίαις. ἐὰν δὲ ἡ χώρα μήτε αὐχμηρὰ μήτε ἔπομβρος, ἀλλὰ μέση τυγχάνῃ, τὰ ἀνὰ μέσον φυτεύειν, ὅσα μήτε πυκνὰ μήτε μανά. γένη μὲν οὖν πρὸς ἑκάστην ταῦτα οἰκεῖα διαιρεῖται. περὶ δὲ τῶν σπερμάτων, ἐπείπερ ἰσχυρότατα δεῖ, διὰ τοῦτό τινες κελεύουσιν ὡς ἐκ ψυχροτάτης χώρας λαμβάνειν· πυκνότατα γὰρ ὄντα μᾶλλον ἔχειν ὥστε καὶ ἐν ταῖς λεπταῖς ἀντιλαμβάνεσθαι. διὰ τοῦτο γὰρ καὶ τὰ μοσχεύματα δεῖν εἰς τὰς ἐπομβρίους μᾶλλον ἐμβάλλειν ἢ τὰ φυτεύματα πάντων τῶν δένδρων ὁ-

τι τὰς ῥίζας τὰς καθιεμένας τῶν φυτευμάτων ἀθρεῖν εἰς ὕ-
σας ἐκσήπει, ἢ τῶν μεμοσχευμένων ἰσχυροτέρα. εὐθὺς αὐτῇ λαμ-
βάνεται. τὰ δὲ πάχη τῶν φυτῶν εἰς μὲν τὴν ἔπομβρον, οἰκεῖα.
δεῖ γὰρ μάλιστα ἰσχυρὰ καθάπερ λέγομεν. εἰς δὲ τὴν αὐχμηρὰν, μήτε
παχέα, μήτε ἄγαν λεπτά. τὰ μὲν γὰρ, οὐκ ἂν δύναιντο σπάσαι. τὰ
δὲ ἀθερῆ, κίνδυνος μὴ πρὸ τῆς βλαστήσεως ἀποξηρανθῇ. πα-
ραλλάττουσι δὲ καὶ οἱ χρόνοι τῆς φυτείας καθ' ἑκάτερον. τὴν μὲν
γὰρ ἔπομβρον καὶ ψυχρὰν, ὀλίγον πρὸ ἰσημερίας δεῖ. τότε γὰρ ξηρό-
τατα εὐθερμότατα. τὴν δ' αὐχμηρὰν εὐθερμὴν, μεθ' ἡλίου τροπάς.
ὅσῳ γὰρ ἂν μᾶλλον βρέχηται, τοσούτῳ βελτίων ἡ βλάστησις. τὴν
δ' ἄλλην ἅπασαν τῷ καιρῷ μὲν οὖν πρὸς τοῦτον τὸν χρόνον. χρὴ δὲ καὶ
τὴν ἐργασίαν ποιεῖσθαι πρὸς τὴν χώραν εὐθὺς ἀπ' αὐτῶν τῶν γύ-
ρων ἀρξαμένους. οἷον ἐν τῇ ἐπόμβρῳ μήτε μεγάλους ὀρύττον-
τας μήτε βαθεῖς. ὅπως μὴ πολὺ συνιστάμενον ἐκσήπῃ τὸ ὕ-
δωρ. διὰ τοῦτο γὰρ ἐὰν σφόδρα κάτομβρος ᾖ, τοῖς παττάλ-
λοις σιδηροῖς φυτεύουσι. μηδὲ δεῖ συσκάπτειν αὐτὸ ἔτι, μηδὲ τὸ ὕ-
στερον, ὅπως μᾶλλον ὁ ἥλιος ξηραίνῃ τὴν κατὰ τὸ φυτὸν γῆν. ἐὰν δὲ αὐχ-
μηρὰν καὶ ξηρὰν, δῆλον ὡς ἐναντίως. οὐ γὰρ γύρους ἅμα πᾶ-
σαν εἰ δυνατὸν ὀρυκτέον. ἵν' ὡς μάλιστα συνεργασθεῖσα, δέχηται
τὸ ὕδωρ. εἰ δὲ μὴ, τάφρους ὡς βαθυτάτας καὶ μεγίστας ποιοῦν-
τας, συσκάπτειν ὅτι μάλιστα πρὸς αὐτὸ τὸ φυτὸν, ὅπως ἥκι-
στα διαθερμαίνηται τοῦ θέρους. ὁμοίως δὲ καὶ τἄλλα τούτοις
ἀκόλουθα ποιεῖν. ὡς γὰρ ἁπλῶς εἰπεῖν ἀληθὲς τὸ καὶ πρό-
τερον λεχθὲν, ὅτι δεῖ ταῖς ἐργασίαις, τὴν μὲν ὑγρὰν, ξη-
ραίνειν, τὴν δὲ ξηρὰν, ὑγραίνειν. διὸ καὶ τοῦ ἔαρος κελεύου-
σιν ὡς βαθύτατα σκάπτειν. ὅπως ὅτι πλεῖστον ἐγκα-
ταμιχθὲν πνεῦμα, κατάσχῃ τροφήν. ὥσπερ γὰρ εἴρηται πολ-
λάκις οὐκ ἀπὸ τοῦ ἀέρος, ἡ τροφή. λαμβάνουσι δὲ καὶ
κατὰ τὰς ὀρεινὰς καὶ ἀνεμώδεις τὰ πρόσφορα ταῖς φυ-
τείαις. οἷον τούς τε γύρους ὀρύττοντες τοῖς καθεστῶσι πνεύ-

μασι

μασι. ἀεὶ τὸ φυτὸν τιθέντες τὸν αὐτὸν τρόπον. ὅπως ἡ βλάστησις μὴ ἐναντία γίνηται τῷ πνεύματι. θραύεσθαι γὰρ ἐκείνως ἀνάγκη. μηδ' ἔμπαλιν ὑπερπίπτουσα παρὰ φύσιν αὔξηται. τό τε γὰρ ἐπιπάγρουσα, χεῖρον ἡ ἄμπελος. ὡσαύτως δὲ καὶ τὰ ἄλλα τὰ ἀκόλουθα πρὸς τὸ χωρίον. τὰς μὲν οὖν φυτείας, ἐν ἑκάστοις οὕτω καὶ διὰ ταῦτα ποιοῦνται. τὰς δὲ τομὰς πανταχοῦ τῶν φυτῶν βραχείας, ὡς ἂν ῥιζωθῶσι καὶ αὐξηθῶσιν. ἅμα δὲ ἡ γῆ αὐχμηρὰ καὶ τρέφειν ἀδύνατος τὰ πολλά. κάτω δὲ τὴν ὀργυιὰν καὶ ψυχρὰν, ἢ καὶ ὀλίγον ἔλασσον. καὶ τὸ ἔαρ τέμνειν φυλάττουσι. τὸ γὰρ ψῦχος ἀποξηραίνει. ὥραν δὲ τῆς τομῆς σχεδὸν τὴν αὐτὴν πᾶσιν ἀποδεδώκασιν ὑπ' αὐτὴν τὴν βλάστησιν. ὅπως τὸ φυτὸν πλῆρες ὂν τοῦ ὑγροῦ πρὸς τὴν ἀφαίρεσιν ὁρμήσῃ, καὶ ὁ βλαστὸς ὅτι τάχιστα γένηται. τὴν γὰρ τομὴν οὐ καρποῦ χάριν, ἀλλὰ βλαστοῦ γίνεσθαι. τὴν δὲ μετοπωρινὴν, καρποῦ. διόπερ ἐκείνην ποιητέον εὐθὺς μετὰ πλειάδος δύσιν. τότε γὰρ εἶναι συνεστηκότα τὰ μάλιστα καὶ ἥκιστα τεμνόμενα δακρυρροεῖν ἢ ἐξικνεῖσθαι. μεθ' ἡλίου δὲ τροπὰς καὶ μετὰ ζεφύρου πνοὰς, ἀμφότερα παρέχει ταῦτα τεμνόμενα. καὶ τότε φυτὸν ποιεῖ. καὶ τὸν βλαστὸν ἐξ ἄκρου φύεσθαι πρὸς τῇ τομῇ. διὰ τὸ τὴν τροφὴν τὴν μὲν παρερρυηκέναι, τὴν δ' ἐν τοῖς ἄκροις καταλελεῖφθαι. τέμνειν δὲ, τὰ μὲν ἐν τῇ χερσοφυτουμένῃ τῷ τρίτῳ ἔτει. θᾶττον γὰρ παραγίνεσθαι. διὰ τὸ ἀργοτάτην εἶναι τὴν γῆν καὶ ἀκάρπωτον. τὰ δ' ἐν τῇ γεωργουμένῃ, ὀψιαίτερον. τὴν δὲ ἄμπελον ἄγειν δεῖ κύκλῳ περὶ τὸν πυθμένα, πανταχόθεν γὰρ ὁμαλοῦς οὔσης, καλλίων καὶ εὐκαρποτέρα. τοῦτο δ' οὐ χαλεπὸν, ἐάν τι καταλίπῃ μὴ τὰ κάλλιστα ὡρμηκότα τῶν κλημάτων, ἀλλὰ τὰ ἄριστα πεφυκότα πρὸς τὴν ἀγωγήν. ἀρκεῖ γὰρ εἷς ὀφθαλμὸς ληφθεὶς εἰς τὸ δένδρον. ἐὰν δέ τις ἀπορῇ, καὶ τοῦτ' οὐ διὰ τὴν ἄμπελον ὡρμηκέναι, κατὰ τὸ αὐτὸ τῶν ληφθέντων κλημάτων ἀφελεῖν τοὺς ἐντὸς ὀφθαλμοὺς, ὅπως εἰς τοὺς ἔξω ῥέουσα ἡ τροφὴ σχίσῃ τὴν ἄμπελον. ἀεὶ γὰρ πρὸς τὸ ζῶν καὶ τὸ

δεχόμενον ἡ ἐπιρροή· διὸ καθάπερ ἐλέχθη ῥᾴδιον ποιεῖσθαι τὰς ἀγωγάς. τοῦτο δ' ἐν τοῖς ἐνίκμοις καὶ ἀραιοῖς· ἐν δὲ ταῖς αὐχμώδεσι καὶ ξηραῖς, ἀνάγκη τὰ βέλτιστα λιπεῖν· ξηρὰ γὰρ οὖσα καὶ ὀλιγότροφος, οὐ ῥᾳδίως ἑτέρας προΐσεται. διὸ συνακολουθητέον τῇ ὁρμῇ· χρὴ δὲ καὶ πρὸς τὰ πνεύματα τῇ αὐτῇ τομῇ χρῆσθαι καὶ μὴ βιάζεσθαι παρὰ φύσιν. τῶν μὲν οὖν φυτῶν τοιαῦτα καὶ διὰ ταῦτα, περὶ οὖν τὰς θεραπείας. τῶν δὲ ἀμπέλων τῶν τελέων ἤδη, πρῶτον μὲν καὶ μέγιστον ἐστὶν ἡ κλάσις· καλῶς γὰρ ἀμπελουργουμένη, καὶ εὐβλαστοτέρα, καὶ εὐκαρποτέρα, καὶ πολυχρονιωτέρα γίνεται· δεύτερον δὲ καὶ τρόπον τινὰ τούτῳ παραπλήσιον, ἡ βλαστολογία, καὶ γὰρ ἐνταῦθα εἰδέναι δεῖ, τὰ ποῖα συμφέρει καταλιπεῖν καὶ τὰ ποῖα ἀφαιρεῖν· καὶ πρὸς τοὺς ἑτέρους καρποὺς καὶ πρὸς τὴν ὅλην φύσιν· τὰ δ' ἄλλα ἤδη κοινότερα καὶ ῥᾴω· πάντα δ' ἔχοντα διάνοιαν, ὥστε καιρὸν ζητεῖν καὶ τρόπον. αἱ δὲ διαφοραὶ κατὰ τὰς ὥρας τῶν ἔργων, τὰ μὲν καὶ ἐν τοῖς ἄλλοις εἰσίν, οὐ μὴν ἀλλὰ πλείστην ἔχει κατὰ τὴν κλάσιν καὶ τὴν ἀμπελουργίαν· ὑπὲρ ἧς καὶ πειρῶνταί τε διαιρεῖν. ὅσα τοῖς γένεσι ποιούμενοι καὶ ταῖς χώραις τὸν ἀφορισμόν· ὁ δὲ ἀφορισμὸς ἐν δυοῖν, ἐν ταῖς ἑκάσταις ὥραις δεῖ· καὶ ἐν τῷ βραχυτομεῖν ἢ μακροτομεῖν· ἐπεὶ τά γε εἰς τὴν ἀγωγὴν καὶ τὴν ὅλην τομὴν τῶν ἀμπέλων, πάντα ἔχουσι τὰ αὐτά· σχεδὸν δ' ἔνιοί γε τὸν αὐτὸν ἀποδιδόασιν ἐπί τε τῶν γενῶν καὶ κατὰ τὰς ὁμοίας χώρας ἀφορισμόν· οἷον, τὸ βραχυτομεῖν, ἔν τε ταῖς καυσώδεσι καὶ ξηραῖς, καὶ τῶν ἀμπέλων ὅσαι τοιαῦται τυγχάνουσαι· ἐγκαρπότεραι γὰρ γίνονται· διὰ τὸ μᾶλλον δύνασθαι τρέφειν· μακροτομεῖν δὲ ταῖς ἐναντίαις καὶ τὰς ἐναντίας· οἷον ἐν τοῖς ἐφύγροις καὶ εὐτραφέσι· καὶ ὅσαι τῶν ἀμπέλων τοιαῦται φύσει· τι γὰρ καὶ πρότερας εἶναι καὶ τὸν γινόμενον καρπὸν ἐν ἄκροις μᾶλλον φύεσθαι τοῖς κλήμασιν· ἔνιοι δὲ καθόλου περὶ πασῶν διαιροῦσιν οὐκ εἰς τὰς ὥρας ἀποβλέποντες· ἀλλ' εἰς αὐτὰ τὰ γένη καὶ τὰς διαθέσεις· κελεύοντες σκοπεῖν πρὸς

τὴν

τὴν μήτραν· ὥσπερ περὶ τῶν αὐτῶν εἴρηται ἐν τοῖς ἀποτεμνομένοις
τῶν νέων κλημάτων. ἐὰν μὲν γὰρ ἔχῃ πολλήν, πολλὰ καὶ βραχέα
καταλιπεῖν· ὅπως βραχέων μὲν ὄντων δύνηται τρέφειν· ἀπὸ
πολλῶν δὲ πολὺς ὁ καρπὸς γίνεται. ἐὰν δὲ ὀλίγην καὶ πολὺ τοῦ ἐνου
κλήματος ἔχουσαν, ἐλάττω μὲν τὸ πλῆθος, μείζω δὲ τὸ μέγεθος.
δεῖ δὲ ὅσῳ ἐλάττω τὴν μήτραν, τοσούτῳ μακρότερα λείπειν ἐν
ἁπάσαις. καθόλου μὲν οὖν οὕτω τὸ μέγεθος τὴν βραχύτητα τῶν
κλημάτων καθ᾽ ἑκάστην ποιεῖσθαι πρὸς τὴν μήτραν τὴν ἐν τοῖς
ἀποτόμοις, ὅπως ἴση τὸ πλάτος ᾖ τῷ περιειληφότι κλήματι.
περὶ γὰρ ἀμπέλου τεμνομένης ἐξίσου, πρός τε τὴν ἕξιν τὴν ἑαυ-
τῆς, καὶ πρὸς τὴν τοῦ καρποῦ φορὰν, πολυχρόνιον ἔσεσθαι καὶ ἀγα-
θὴν διατελεῖν. ἐὰν δὲ ἡ μήτρα πλέον μέρος κατέχῃ τῆς τομῆς,
καρπὸν μὲν γίνεσθαι πολύν, τὰ δὲ κλήματα ἀμενηνά, διὰ τὴν
τῆς τροφῆς ἀσθένειαν. ἐὰν δὲ τὸ κλῆμα τὸ ἐν τῇ τομῇ δυνατὸν ᾖ καὶ
νεανικόν, καρπὸν ὀλίγον ἀπὸ μικρᾶς τῆς μήτρας γίνεσθαι, καὶ τὸν μὲν
βότρυν, ἀπὸ τῆς μήτρας· τὸ δὲ κλῆμα, ἀπὸ τοῦ περιειληφότος κλή-
ματος. δηλοῦν δὲ τὴν ἄμπελον αὐτήν. τὰ γὰρ ἐκ τῶν ἔνων νέ-
ων βλαστήματα πάντα ἄκαρπα γίνεσθαι διὰ τὴν μικρότητα
τῆς μήτρας. καὶ τὰς νέας τῶν παλαιῶν ἀφορωτέρας διὰ τὴν αὐτὴν
αἰτίαν, ὡς ἀπὸ τῆς μήτρας τῆς τεσαρκός. καὶ τουτὶ γὰρ τοῦ γινομέ-
νου· ὅπερ οὐδ᾽ ὑπολαμβάνουσιν, οὐδ᾽ ἔοικεν· εἴπερ ἐξαιρεθείσης, ἡ μὲν
σὰρξ γίνεται, τὸ δὲ γίγαρτον οὐ γίνεται. πλὴν εἰ ἄρα τῷ ἐνδοτά-
τῳ τῆς μήτρας ἐξαιρουμένης. τοῦτο μὲν οὖν ἐπισκεπτέον. εἰ δ᾽ ὅ-
λως αἱ μείζους ἔχουσαι τὰς μήτρας εὐκαρπότεραι καὶ πολυκαρπό-
τεραι τυγχάνουσιν, οὐδὲν ἂν διαφέροι πρὸς τὰ νῦν. κοινοτάτην μὲν
δεῖ ταύτην εἶναι πάσαις. ὅσαι δὲ κλήματα μὲν πολλὰ φύουσι, καρ-
πὸν δ᾽ ὀλίγον, τούτων τὰ μὲν ἐξ ἄκρας τὰς πρώτας ὡς μακρό-
τατα λείπειν· τὰ δὲ πρὸς αὐτὸ τὸ στέλεχος βραχέα· ὅπως ἀπὸ μὲν
βραχείας τομῆς, ἡ ἄμπελος αὔξηται· ἀπὸ δὲ τῶν ἐξ ἄκρου κλημά-
των, ὁ καρπὸς, ἀπὸ μεγάλης τῆς μήτρας πολύς. ὅταν δὲ βλαστάνῃ.

περιαιρεῖν τὰ ἄλλα πάντα. πλὴν ὅσα καρπὸν ἔχει, τούτων ἐπικνίζειν τὰς κορυφὰς ἐν αὐταῖς ταῖς οἰνάνθαις, ἵνα μήτε ἡ ἄμπελος εἰς τοῦτο τὸ κλῆμα ἀφίῃ τὴν αὔξησιν ὅπερ ἀποτέμνεται, ἥ τε περιοῦσα τροφὴ συνειληθεῖσα, ἐπὶ τὰς οἰνάνθας αὔξῃ τὸν βότρυν. ἀεὶ γὰρ δεῖ τοῦτο ζητεῖν ἐκ τῆς τομῆς, ὅπως ἡ ἄμπελος ἰσχύσῃ, καὶ ὁ καρπὸς ἔσται πολύς. αὕτη μὲν δὴ καθόλου τις ἐστὶ κοινὴ πάσαις. ὥραν δὲ τῆς ἀμπελουργίας, οἱ μὲν, τοὺς χρόνους μόνον διαιροῦσιν. οἱ δὲ τῶν γενῶν ἐφάπτονται. κελεύουσι γὰρ τὰς μὲν ἐν τῇ ξηρᾷ καὶ θερμῇ πρωΐας ἀμπελουργεῖν ὅταν τάχιστα παύσωνται φυλλοβολοῦσαι. τὰς δὲ ἐν τῇ ψυχρᾷ καὶ ἐπόμβρῳ, μικρὸν πρὸ τῆς βλαστήσεως. αἱ μὲν γὰρ ἐν τῇ ξηρᾷ διασώζουσαι τὸ ὑγρὸν. αὐταί τε βελτίους γίνονται, καὶ ὁ καρπὸς ἡδυοινότερος. αἱ δὲ ἐν τῇ ψυχρᾷ μεθεῖσαι τὸ ὕδωρ, αὗται μὲν οὐδὲν χείρους. ὁ δὲ καρπὸς ἀσηπτότερος καὶ ἡδυοινότερος. τὰς δὲ ἐν τῇ μέσῃ καὶ εὐκράτῳ, κατὰ τὸ μέσον τῶν ὡρῶν. ἔνιοι δὲ ὅλως πρωῒ πάσας κελεύουσιν, ὅπερ εἴπομεν. ὅτι παχύτερόν τε τὸ κλῆμα γίνεται καὶ ἀμβλωπὲς οὐκ ἔσονται. ἢ ἐὰν ὕδατα συμβήσεται, τὰς τομὰς ἐπιξηραίνεσθαι. πάντα γὰρ ταῦτα συμφέρει. χειμῶνος μὲν γὰρ οἱ πολλοὶ τῶν ὀφθαλμῶν ἀπόλλυνται ἐπεί γε. ἢ ἡ τομὴ βίᾳ ξηραινομένη ἐκγίνεται. τοῦ δὲ ἔαρος ῥεῖ, τὸ δάκρυον. ἢ ἀμβλωπεῖς ἔνιοι γίνονται πολλοί. καίτοι τινὲς οὐδὲ ἅπαν ὑπολαμβάνουσιν. ἀλλ᾽ ὥστε τίκτουσαν τὴν ἄμπελον εὐθὺς ὅταν τρυγηθῇ, καὶ τότε γινόμενον τὸν καρπόν. οὐ γὰρ οἷόν τε ἅμα δύο τόκους ἔχειν. οὐκ ὀρθῶς λέγοντες. γίνεσθαι γὰρ θέρους τὸν καρπὸν ὅταν ᾖ πολὺ τὸ ὑγρόν. ἐκ τούτου γὰρ τὴν γένεσιν εἶναι. τεκμήριον γάρ. ἐὰν δέ τις ἐργάσηται τὰς τοῦ χειμῶνος ὀργὰς ἀρχομένου τοῦ θέρους, εὐθὺς τὰ κλήματα πυκνόφθαλμα γίνεσθαι διὰ τὸ πλῆθος τοῦ ὑγροῦ. τοῦτο γὰρ τὴν ἐργασίαν ποιεῖν, ὅτι πληροῖ. τὸν δ᾽ ἥλιον θερμαίνοντα πηγνύναι, καὶ πυκνοτέρους τοὺς ὀφθαλμοὺς γίνεσθαι, καὶ βότρυς πλείους. οἱ γὰρ ταῦτα κελεύοντες, ἀλλ᾽ ὥσπερ τὰς αἰτίας λέγουσι. φασὶ γὰρ τοῦτο δεῖν ἐν τῇ θερμῇ ἢ λεπτῇ καὶ διὰ τοῦτο πρωΐ.

καὶ ὅπως

καὶ ὅπως τὸ ὕδωρ εἰς τὰ κατειώτατα τῶν κλημάτων ἔλθῃ, καὶ ἔχῃ
τροφὴν ἐν τῷ θέρει· ταῖς δὲ ὑγροῖς ἐφύδροις ἢ ὅσα τῶν γεῶν ὑβριστικά.
Τοῦ ἦρος· ὅπως διεσκεδασμένον τὸ ὑγρὸν, καὶ τμηθείσης ἐν ὥρᾳ, τοῦτο
ἀπορρέῃ· διὰ γὰρ τὸ πλῆθος ὑπερπλήσας, τὸ θ᾽ ὑβρίζειν· ἀλλὰ καὶ
ἐγκλίματα τοῦ γίνεσθαι· φυτοῖς δὲ οὖσι τοῖς τοιούτοις, καὶ ἐπισπείρειν ἐπὶ τὰ
αὐθηρὰ δεῖ κελθεὶς καὶ κυάμους· ἐπειδὴ ταῦτα ξηραντικώτατα
πάντων. αἱ μὲν οὖν αἰτίαι, σχεδὸν αὗται περὶ ἑκάστων. ἀκριβεστάτη δὲ ἡ
ἐν ἀμφοῖν διαίρεσις, ἔν τε ταῖς χώραις καὶ τοῖς γένεσι, καὶ πρὸς τὰς ὥ-
ρας, καὶ πρὸς τὸ βραχυτομεῖν ἢ μακροτομεῖν. ἔνια γὰρ οὐ φέρουσι, κἂν
βραχὺ τμηθῶσιν· αἱ δὲ εἰς τὴν βλάστησιν τρέπονται· καθάπερ ἡ ἀφυ-
ταῖος καλουμένη· καὶ ἐν Ἀκάνθῳ δὲ ἐπὶ τέτταρας ὀφθαλμοὺς ἐλαχίστους
τέμνουσιν· αἱ δὲ μακροτομούμεναι, ταχὺ καταγηράσκουσι διὰ
τὴν πολυκαρπίαν· νέας δὲ οὔσας, ἀναγκαῖον βραχυτομεῖν, ὅπως
καὶ ῥιζωθῶσι. καὶ περὶ μὲν ἀμπελουργίας, ἐκ τούτων ἄν τις θεω-
ρήσειεν· ἐπεὶ δὲ ὅμοιον τῷ τοιούτῳ, καὶ ὥσπερ δεύτερον ἡ βλαστολο-
γία, δεῖ καὶ ταύτην εὐθὺς ἐπειπεῖν. καὶ βλαστολογοῦσιν, ὅταν διαφαίνω-
σι τὸν καρπόν· μετὰ δὲ ταῦτα εὐθὺς τὸ δένδρον σκάπτειν, ὅταν ὁ καρ-
πὸς καὶ ὁ βλαστὸς μέσος ὢν καὶ ἐνὸς μὴ τοῦ βλαστάνειν, ὡραίαν λάβῃ τὴν
σκαπάνην· ἔπειτα πάλιν, βλαστολογοῦσι πρὸ τοῦ ἀνθεῖν· συμβαί-
νει γὰρ ἐν τούτῳ τὸ στρύχιον αὔξεσθαι, διὰ τὸ μήπω συνεστάναι τὰς
ῥάγας· ὅταν δὲ ἀπανθήσῃ, τὸ μὲν, συνέστηκεν· αἱ δὲ, συνίστανται καὶ
αὔξονται. τὸ δὲ ὅλον αὐχμαῖα μάλιστα πολὺ δεῖσθαι ζητεῖ τῶν ἔργων,
ἥ τε βλαστολογία καὶ ὁ σκαφητὸς ὁ μέσος· τῇ γὰρ ἀμπέλῳ τότε
συμβαίνει πρὸς αὔξησιν ὁρμᾶν· τῶν τε περιόντων καρπῶν καὶ τῶν βλα-
στῶν, ἐν οἷς ἄρχεται συνιέναι τὸν εἰς μέσον τὸν καρπόν· ἐὰν οὖν ὁ καρπὸς μὴ
παρεθῇ, καλῶς γεννήσει. βλαστάνει δὲ μέχρι τοῦ κυνὸς ἐπιτολῆς. ὅ-
ταν δὲ ἐπιτέλῃ, παύεται τὰ μέλλοντα καλῶς ἐγκύμονα γίνεσθαι.
θερμαινομένου γὰρ τοῦ ἡλίου, τὸ προηγούμενον τῶν βλαστῶν ἀπαλὸν ἀπο-
σκληρύνεται καὶ παύεται· ὥσπερ μὲν ἧς δὲ τῆς αὐξήσεως, φύσιν
ἔχει συνίστασθαι τὴν ὑγρότητα τοῦ βλαστοῦ, καὶ ἐκ ταύτης φύεσθαι

τὸν καρπόν. ὅσα δὲ ἐν παλισκίοις ἢ ἐν ὑδρίοις ἐστὶ, κρατεῖ τοῦ ἡλίου
καὶ πλείω χρόνον αὔξεται. καιρὸν δέ τινα ζητεῖ καὶ ἡ διαστολὴ καὶ
ἡ κόλουσις. οὐ μὴν ἄσημον γὰρ ὁμοίως οὐδὲ χαλεπὸν καταμαθεῖν. τῆς γὰρ
δὴ τὴν κόνισιν, τὸ μὲν ἐν τοῖς πρώτοις καιροῖς, ὅταν ἄρχωνται περ-
κάζειν οἱ βότρυες, μηδ' ἐὰν ἄχρις οὗ περανθῶσιν, ὀρθῶς ἔχει. κωλύου-
σι γὰρ τὴν ὁρμὴν περὶ πέψεως ἀντισπῶν τις ἑτέρα κίνησις. διὸ οὐδὲ τὸ
πρᾶον οἷόν τι δεῖν ἐκτίλλειν, ὡς ὅλως ἀχρεῖον καὶ βλάπτον ἀκόρεστον. ἡ τῆς
χρεία μαρτυρεῖ, καὶ τὸ ἐφ' ἑτέρων γινόμενον. οἱ γὰρ σίκυοι δοκοῦσι τρέ-
φεσθαι τοῦτον καὶ ἁπαλώτεροι γίνεσθαι, κατακρυπτόμενοι τῷ κο-
νιορτῷ. διὸ καὶ μετεωρεῖς κρύπτουσι. θαυμάζεται δ' εἰ ξηρὸς ὢν τρέ-
φει. τὸ δ' αἴτιον ἴσως ἐκ πλειόνων ἂν εἴη. καὶ τῆς κινουμένης τῆς γῆς ἀ-
ναδίδοσθαι τροφὴν ἐνίκμου τινὸς ἀέρος, ὥσπερ ἐπὶ τῶν αἱμω-
δῶν ἐλέχθη. καὶ τῷ προβολὴν ἅμα πρὸς τὸν ἥλιον εἶναι καὶ ἔτι κατα-
ξηραινόμενον ἁπαλῇ ξηρότητι καὶ μαλακῇ, μᾶλλον ἐπισπᾶσθαι
τὴν τροφὴν ἐκ τῆς ἀμπέλου. πάντα γὰρ ταῦτα συνεργεῖ καὶ πρὸς
εὐτροφίαν καὶ πέψιν. ἡ τῶν σικύων κατάκρυψις, οὐκ ἀλόγως. ἀ-
ναξηραίνων γὰρ ὁ ἥλιος σκληρύνει. διὸ καὶ ὑπὸ τὰ φύλλα κρύπτουσιν.
ὥστε τὴν ἐπιβολὴν ἔχοντες καὶ βρεχομένων ἀμφοτέρων, εὐτραφεῖς
γίνονται καὶ ἁπαλοί. καὶ περὶ μὲν ἀμπέλων, ἱκανῶς εἰρήσθω. πάντων
δὲ ἰδιώτατον εἶναι δοκεῖ τὸ κατὰ τὰς θεραπείας οἱ ἄλες οἱ τοῖς φοί-
νιξι παραβαλλόμενοι. καὶ γὰρ πρὸς τὴν βλαστησίαν καὶ πρὸς τὴν καρπί-
αν χρήσιμον. ἐπεὶ ὅσα γε πρὸς ἰατρείαν τινὰ τῶν φυτῶν ἢ φυλα-
κὴν, οὐδὲν ἄτοπον. οἷον, ἡ τέφρα ταῖς συκαῖς καὶ τῶν σπειρομένων. ξηρὰ
γὰρ πρὸς τὸ μὴ σκωληκοῦσθαι μηδὲ σήπεσθαι τὰς ῥίζας. βοη-
θεῖ γὰρ καταξηραίνουσα. περὶ δὲ τῶν ἁλῶν ἢ τῆς ἅλμης ἣν παρέχου-
σιν (οἱ μὲν γὰρ οὕτω ποιοῦσιν, οἱ δ' ἐκείνως) ἁπλῆ μέν τις αἰτία, διότι
φιλεῖ χωρία ἁλμυρώδη. σημεῖον δὲ ὅτι παρ' οἷς πλῆθος φοινίκων,
ἐν τούτοις ἐστίν. οἷον, λιβύη. συρία ταῖς ἅλμαις. καθάπερ γὰρ
οἰκεῖαν τινὰ βοήθειαν βοηθοῦσι διὰ τῶν ἁλῶν. ὅτι μὲν γὰρ ὁ φοί-
νιξ χαίρει τῇ ἁλμώδει, κοινή τις αἰτία λέγεται τῶν περὶ πάντων.

ὅσα

ὅσα ζητεῖ τόπους διαφόρους, ἀπὸ τῶν πρώτων τε μεγίστων ἀρχομένοις· οἷον ἐνύδρων· χερσαίων· καὶ ὅσαι δὴ καθ᾿ ἕκαστα τούτων διαφοραί. δῆλον γὰρ ὡς τῇ κράσει πως συμμίξοιτ᾿ ἂν οἰκεῖοι καθ᾿ ἕκαστα τυγχάνουσιν· ὥσπερ ἐπὶ τῶν ζῴων. ὁ γὰρ αὐτὸς λόγος ἂν περὶ τούτων, καὶ ἡ αὐτὴ ζήτησις. οὐ μὴν ἀλλ᾿ ἔτι τι ἂν περὶ τὸ ἴδιον χρὴ ποιεῖν, ἐν ἀμφοῖν τὴν αἰτίαν ζητητέον. ἔν τε τῷ τὴν γῆν τοιαύτην ποιεῖν, καὶ ἐν τῷ τὰς ῥίζας, ἐπεὶ ἄμφω συμβαίνει διὰ τὸ ἅλας· τὴν μὲν γὰρ ποιοῦσι κούφην καὶ χαύνην· τὰς δὲ ῥίζας οὐ ξαφεστέρας τε παχυτέρας ἑλκοτέρας τι τρῶντος, τῷ τέμνειν τινὰς ἀνοίγειν, καὶ ἔτι τῷ καταψύχειν. ὅπερ ἡ κόπρος οὐ ποιεῖ διὰ τὸ ἔμπυρον. ὁ δὲ φοῖνιξ, τὸν μὲν ἀέρα τὸν περιέχοντα ζητεῖ θερμόν· οὕτως ἡ πέπανσις τοῦ καρποῦ. τὰς δὲ ῥίζας καταψύχεσθαι διὰ τὴν ξηρότητα. τοῦτο δὲ ποιοῦσιν οἱ ἅλες. ὅθεν τε τῷ μὲν χρόνῳ βλ χώνιοι· τῇ κόπρῳ δ᾿ οὐ χρῶνται. ἴσως δὲ, μόνῳ τούτῳ συμφέρει, τὴν ἰδιότητα τῆς φύσεως αἰτιατέον· ὥσπερ γὰρ τὸ ξύλον, καὶ αἱ ῥίζαι διάφοροι τῶν ἄλλων. διόπερ ἀναδεχθεῖσαι μᾶλλον ἐπισπῶνται τὴν τροφὴν καὶ αὗται ἀρκοῦνται· καὶ τὸ ὅλον δένδρον αὔξουσι. ποιεῖ δ᾿ ἴσως ἡ γεωργία τὰς ῥίζας πάντων ἀλκιμωτέρας. οὕτω γὰρ ἂν δυναμοῦνται τῶν ἀγρίων ἔνια. καὶ ἡ κόπρος δὲ ἰσχυροτάτη τὸ αὐτὸ τοῦτο δρᾷ. καθάπερ ἡ σκυροδεψικὴ τοῖς τῶν μυρρίνων, καὶ οὖρον παραχεόμενον. ἄμφω γὰρ διαδύονται μᾶλλον. αἱ δὲ ῥίζαι δέονται τῆς ἀναδέξεως ἐν τῶν ἄλλων, ὡσαύτως καὶ τῶν ῥοιῶν. καὶ γὰρ ταύταις παραχέουσι καὶ τὴν σκυτοδεψικὴν παραβάλλουσιν· πλὴν οὐχ ὁμοίως τε τῆς μυρρίνης, ἀλλ᾿ ἧττον. αἱ δ᾿ ὑγραὶ καὶ σαρκώδεις οὐ δέονται τῆς ἀναστομώσεως καὶ δέξεως. ὅλως δ᾿ αἱ μεταβολαὶ τῶν δένδρων διὰ τὰς θεραπείας, ὥστε ἐξ ὀξέων ἐν πικρῶν γλυκέα γίνεσθαι· καθάπερ αἵ τε ῥοαὶ τε αἱ ἀμυγδαλαῖ, καὶ ἔτι ἄλλο τὰς ῥίζας ἀλλοιοῦσθαι μεταβάλλουσιν, οὕτω τὴν γῆν καὶ τὴν τροφήν. αὕτη μὲν γὰρ ἐπὶ τρία ἢ τέτταρα ἔτη γίνεται. ἐπὶ τοσοῦτον γὰρ ἡ θεραπεία. ῥόαι δὲ ῥίζαι διαμένουσι καὶ τὸν πλείω χρόνον. μετα

βοηθοῦ λόγος τῶν καρπῶν ἐκπεττομένης μᾶλλον διὰ τροφῆς.
ἐκπέττεται δὲ τῷ τοιούτῳ ποιά τινα τὴν ἔξω αἰτίαν εἶναι. τὸ δ' ὅλον
ὥσπερ καὶ πρότερον ἐλέχθη περὶ τῶν σπερμάτων, κινουμένης τῆς με-
ταβαλλούσης διὰ τῆς ἀρχῆς, συμμεταβάλλει καὶ τἆλλα καὶ ἡ ὅλη φύ-
σις. αἱ τροφαὶ δὲ κινοῦσι καὶ ἐξαλλοιοῦσιν, ἐὰν πλείω γίνωνται χρό-
νον. ἐπεὶ δὲ καὶ ὅσα τοῖς θερμοῖς ἀρδευόμενα βελτίω, καθάπερ ἥ-
τε μηλέα δοκεῖ ἢ καὶ μὴ ὁ μύρρινος. εἰ γὰρ οὗτος ἀπύρηνος ὥσ-
φασι γίνεται. ὁ ἐξ ἀρχῆς οὕτω συνώφθη κατὰ σύμπτωμα πρὸς λου-
τρῷ ὄντος μυρρίνου καὶ ἐξημελημένου. τούτου γὰρ ἀπυρήνου γε-
νομένου, λαμβάνοντες ἐφύτευον. ὅθεν τὸ γένος ἀθήνησι γέγονεν.
ἀλλὰ ταῦτα μὲν ἔχοντά τινα, πρὸς πίστιν εἴρηται τὰ ἐξ ἀρχῆς. ἡ δὲ
λικότης τῶν ὑδάτων, ὅτι καὶ τῶν λαχανωδῶν τισιν ἁρμόττει. καὶ
διότι τῷ λουτρῷ χρῶνται πρὸς ἔνια, πρότερον εἴρηται. διὸ καὶ τοῦ-
θῶς ἐοικὸς οἰκεῖον παραληπτέον. ἀπὸ γὰρ τούτων δηλονότι καὶ
διὰ τροφῆς ἀπὸ τούτων ἡ γλυκύτης. ἀλλὰ τοῖς μὲν, ἡ πικρότης τοῖς
ἐν τοῖς χυλοῖς σύμφυτος. τῷ δὲ φοίνικι ἡ στρυφνότης, ἣν ἐξαι-
ροῦσιν εὐθὺς οἱ ἅλες ἐκ διὰ πρώτης ἀρχῆς. περὶ μὲν οὖν τῶν ἁλῶν ἱ-
κανῶς εἰρήσθω. τὸ δὲ μὴ ἐπιμένειν ἐὰν τῷ θήλει φοίνικι τὸν καρπὸν,
ἂν μὴ τὸ τοῦ ἄρρενος ἄνθος καταστείωσιν ἅμα τῷ κονιορτῷ.
καταῦρυ (ὃ γὰρ τοῦτο λέγουσί τινες) ἴδιον μὲν παρὰ τἆλλα. πα-
ρόμοιον δὲ τῷ ἐρινασμῷ τῶν συκῶν, ἐξ ὧν καὶ τὸ τελεογονεῖν, μὴ δὲ ὑ-
παρκεῖν εἶναι τὸ θῆλυ καὶ μάλιστα αὐτὸ ἐπαγάγῃ. πλὴν ἐχεῖ-
τοῦτο μὴ ἐφ' ἑνὸς ἢ δυοῖν, ἀλλ' ἐπὶ πάντων ἢ τῶν πλείστων εἶναι. τὴν
γὰρ φύσιν οὕτω κρίνομεν τοῦ γένους. ἀτοπώτατον δὲ καὶ ἐπὶ τού-
των τὸ τοῦ φοίνικος. ὁ γὰρ ἐρινασμὸς δοκεῖ φανερὰν ἔχειν τὴν αἰτίαν. ἀλ-
λὰ περὶ μὲν τούτων, ἅλις. ἡ δὲ τῶν ἀγρίων ἰδιότης ὅσον ἐστί, συμφανε-
στέρας ἔχει τὰς αἰτίας. οἷον ὡς τὴν ἀμυγδαλῆν, ὅταν ἄρχηται καρ-
ποφορεῖν, οὔτε ὑδρεύουσιν, οὔτε κοπρίζουσιν, οὔτε διακαθαίρουσιν
εἰ μὴ τὰ αὖα μόνον. οὐδ' ἄλλο τῶν τοιούτων οὐδὲν δρῶσι. πάντα γὰρ ἀ-
φαιροῦσιν, ὅπως μὴ περιισχύσασα ἀποβάλλῃ τοὺς καρποὺς ὑπὸ

τῆς

ἄνθει. διὸ καὶ χώραν οὐκ ἀγαθὴν ζητοῦσιν. ἐὰν δὲ μετὰ ταῦτα ἀκαρπῇ, τάς τε ῥίζας γυμνώσαντες παραδιδόασι τῷ χειμῶνι. καὶ τὰς ἄλλας κολούσεις προσφέρουσι τὰς εἰρημένας. ὁμοίως δὲ τε ὅσων οἱ φλοιοὶ περιαιροῦνται. καθάπερ ἀμπέλου. κέδρου. φιλύρας καὶ ὅλως τῶν φλοιορραγῶν. αὐτὴ γὰρ ἡ φύσις ἐνταῦθα ἔοικεν ἐπιδεικνῦναι τὸ συμφέρον, ἀφιστᾶσα μὲν ᾗ καὶ ἀλλότριον ποιοῦσα. τὸ δ᾽ ἀλλότριον ἅπαν, βλαβερόν. ὥσπερ καὶ τὸ αὖον. καὶ τὸ ἐπὶ τῶν ἄλλων δὲ τὸν αὐτὸν τρόπον, ὅπου τις ἰδιότης οἰκεία πρὸς τὴν φύσιν. καὶ περὶ μὲν δένδρων, ἐκ τούτων θεωρητέον. ἔχει δὲ ὁμοίως καὶ ἐπὶ τῶν στεφανωματικῶν, καὶ ὅλως τῶν φρυγανικῶν. σχεδὸν δὲ καὶ τῶν λαχανικῶν. τὰ μὲν γάρ ἐστι κοινὰ πᾶσιν, οἷον ὕδρωσις. κόπροσις, ἡ τοῦ ὕδατος ἐργασία. τὰ δὲ ἴδια καθ᾽ ἕκαστον γένος. οἷον ἡ διακάθαρσις τοῖς φρυγανικοῖς, ὁμοίως ἐν στεφανώμασι καὶ λαχάνοις. τε γὰρ ὁ ἕρπυλλος αὐαίνεται καὶ μὴ διακαθαιρόμενος. καὶ τὸ σισύμβριον, καὶ τἆλλα. τὰς δὲ δὴ ῥοδωνίας οὐ κατακόπτουσι μόνον, ἀλλὰ καὶ ἐπικάουσιν. ἀνανθεῖς γὰρ γίνονται τε ἐκλοχμοῦνται, μὴ τοῦτο πάσχουσαι, δι᾽ εὐτροφίαν. ἢ καὶ ἐξ ἀφανοῦς δὲ καὶ τὸ πήγανον ἀποσκληρύνονται καὶ ἀποξηραίνονται. κολουθέντα δὲ τε πολυβλαστῆ γινόμενα, μείζω καὶ καλλίω καὶ χυλότερα. διὰ δὲ καὶ τῶν χυλῶν τε τῶν ὀσμῶν ἀφαιρεῖσθαι τὸ ἄγαν δριμύ. τῇ γὰρ μεσότητι τὸ ἡδὺ καὶ τὸ σύμμετρον. ἐν δὲ τοῖς λαχάνοις ἀφαίρεσις μὲν οὐκ ἔστι, πλὴν ὅσα κειρόμενα καλλίω. καθάπερ τὸ πράσον ἤ τι τῶν πολυβλαστῶν. ἡ δὲ τῶν παραφυομένων συνεξαίρεσις, καὶ ἡ αὐτῶν τῶν ὁμογενῶν ὅταν ᾖ πυκνά. καθάπερ ἡ διακάθαρσις γίνεται. τροφὴν πλείω ποιοῦσα καὶ αὔξησιν τοῖς λοιποῖς. ἔχει δέ τινα ἰδιότητας ἔνια, καθάπερ ἐπὶ τοῦ πηγάνου πρότερον ἐλέχθη. καὶ ἐπ᾽ ἄλλων ἐστίν. ἀλλὰ ταῦτα μὲν, ἐλάττω σχεδὸν φανερά. λοιπὸν δὲ ὥσπερ ἀντικείμενα τοῖς περὶ τὰ δένδρα, τὰ περὶ τὴν ψιλὴν γεωργίαν ἐστίν. ἐνταῦθα δὲ ἥ τε τῆς γῆς κατεργασία, καὶ ἡ τῶν σπόρων ὥρα. καὶ μετὰ ταῦτα σπαρέντων κατεργασία. πρότερον δέ τι τούτων ἡ

καὶ ἅμα τὴν οἰκείαν ἑκάστῳ σπέρματι ἰδεῖν, ὥσπερ καὶ ἐπὶ τῶν δένδρων. ἔστι δὲ καὶ κατὰ τὰς ἐργασίας τὸ οἰκεῖον οἷον εἰ, τοῦ μὲν θέρους μᾶλλον, τοῦ δὲ χειμῶνος ἐὰν ἡ σκάπτῃ ἢ τι τοιοῦτον ἕτερον. ἅπερ ἐπιχειροῦσί τινες διαιρεῖν. δεῖ γάρ φασι τὴν μὲν ἔπομβρον καὶ στερεὰν καὶ βαρεῖαν καὶ τὴν πίειραν, θέρους ἐργάζεσθαι, καὶ τοῖς ἀρότροις καὶ τῇ σκαπάνῃ. τὴν δὲ ξηρὰν καὶ μανὴν καὶ τὴν λεπτὴν καὶ κούφην καὶ τοῦ χειμῶνος. διὰ τὸ τὴν μὲν, ξηραίνεσθαι καὶ λεπτύνεσθαι, τὴν δὲ χειμερινὴν παχύνεσθαι καὶ ὑγραίνεσθαι. ἑκάτερα γὰρ τούτων δεῖται πρὸς τὸ ἐνδεὲς τῆς φύσεως. καὶ κοπρίζειν πλεῖον μὲν τὴν λυπρὰν. ἔλαττον δὲ τὴν ἀγαθήν. καὶ διὰ τὴν ἀρετὴν τῆς γῆς καὶ διὰ τὸ τὴν κόπρον πλείω λαμβάνειν τροφὴν λεχὸς ἐστίν. μίσγειν δὲ καὶ τὴν γῆν τὴν ἐναντίαν. οἷον τῇ βαρείᾳ τὴν κούφην. καὶ τῇ κούφῃ τὴν βαρεῖαν. καὶ τῇ λεπτῇ τὴν πίειραν. ὡσαύτως δὲ καὶ τὴν ἐρυθρὰν καὶ τὴν λευκὴν, καὶ εἴ τις ἄλλη ἐναντιότης. οὐ γὰρ μόνον ἡ μίξις ἀποδίδωσι τὸ ἐλλεῖπον. ἀλλὰ καὶ ὅλως σφοδροτέρας ποιεῖ καὶ ἐὰν τύχουσα ἡ μίξις. οἷον ἐὰν τὴν ἀπυρηνίαν καὶ μὴ δυναμένην φέρειν ἑτέρᾳ μίξῃς. πάλιν φέρει καθάπερ ἂν εἰ καινὴ γεγενημένη. καὶ ἡ καθόλου τὴν οὐ φέρουσα, καθάπερ ἡ ἄργιλος, ὅταν μιχθῇ, ποιεῖ φόρον. ὥσπερ γὰρ κόπρος ἡ ἑτέρα τῇ ἑτέρᾳ γίνεται. διὸ ταῦτα ποιοῦσι Μεγαρεῖς. καὶ δι᾽ ἐτῶν πέντε ἢ ἓξ σκάπτοντες βαθεῖαν, ἀναβάλλουσι τὴν κάτωθεν ἐφ᾽ ὅσον διϊκνεῖται τὸ ὕδωρ, ἵνα καινὴν ποιῶσιν. ἡ γὰρ τρόφιμος ἀεὶ καταῤῥεῖ ὑπὸ τοῦ ὕδατος. σπείρειν δὲ κελεύουσι τὴν ξηρὰν καὶ τὴν θερμὴν πρὸ τῶν ὑδάτων. ὅπως λαμβάνουσα πλῆθος ὕδατος ἐκτρέφειν δύνηται. καὶ τὴν ἔπομβρον δὲ ὡσαύτως. ἵνα τὰ σπέρματα λαμβάνωσι. καὶ βλαστοῦντα καὶ αὐξηθέντα θερμῇ τῇ γῇ δυνατώτερα δέχηται τὸν ὄμβρον. ἐὰν δὲ μὴ ᾖ ξηρὰ, προσεργασαμένους τὴν γῆν, ὀψὲ ποιεῖσθαι τὸν σπόρον. σπείρειν δὲ δεῖ τὸν μὲν πρώϊνον μανὸν, τὸν δὲ ὄψιον πυκνόν. ὁ μὲν γὰρ οὐκ ἔχει εἴζωσιν. ὁ δὲ ἔχει καὶ γίνεται πολυχοδής.

ταῦτα

ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα, πλείω γίνεται. διακριβοῦν δ' εἴ
τις ἐθέλοι τὰς ἐργασίας μᾶλλον, ὧν ἕκαστα δεῖ σκοπεῖν πρὸς
τὴν χώραν· ἔνια γὰρ οὐ δέχονται τὰς ἀκριβείας· ἀλλὰ διαμαρ
τοιαὐ ὀπιδῶν· ὅπερ ἔπαθέ τις ἀνελθὼν εἰς συρακούσας ἐκ κορίν
θου τὴν ἐργασίαν τὴν ἐντεῦθεν μεταφέρων· καὶ ὡς τὸ χωρίον τὸ
δοκοῦν ἀγαθὸν ἐκλιθολογήσας διέφθειρεν· ἐξεπύρωτο γὰρ
ὁ σῖτος, οὐκ ἔχων οὐδεμίαν προβολὴν, ἐξαιρεθέντων τῶν λίθων·
καὶ ὡς ἐν συνεχείᾳ κατὰ βάθος ἀρόσασιν ἐξήρανεν· ὑπὸ γὰρ τοῦ θέ
ρους διακαιομένη, ἐπὶ πλεῖον ὑπόπετρος οὖσα διέκαιε· καὶ μι-
κροῖς ἀρότροις οἱ σύροι χρῶνται. διὸ ταῦτα μὲν πειρατέον ἐ
πικρίνειν· ὡς δὲ κοινῇ καὶ καθόλου φάσιν εἰπεῖν, μέγιστον μὲν τὸ πρῶ
τον, εἰ τὴν πρώτην χώραν κατείργασται καλῶς. εἰς διειργασ-
μένην γὰρ καὶ λεπτὴν πεσὸν τὸ σπέρμα, ἐκφύεται διημερωθείσης τῆς γῆς·
εἶθ' ἡ κόπρισις ἤδη καὶ ἄλλη θεραπεία μετὰ ταῦτα διαβεβλη-
κότων· οἷον σκάλισις καὶ πρασμός. ἡ δὲ κατεργασία ἐν τῷ νεᾶν
κατ' ἀμφοτέρας τὰς ὥρας τοῦ θέρους καὶ χειμῶνος, ὅπως χειμα-
σθῇ καὶ ἡλιωθῇ ἡ γῆ· καθάπερ καὶ ἐπὶ τῆς φυτείας ἐλέχθη· πολλάκις
γὰρ μεταβληθεῖσα, μανὴ καὶ κούφη τε καὶ καθαρὰ γίνεται τῆς ὕλης· ὥστε
ῥᾳδίως ἐκτρέφειν· καὶ διὰ τοῦτο κελεύουσιν οὐδὲ τὰ χειρόσπορα συμ
βάλλειν εἰς τὰς νέας, ἐὰν μή τι σφόδρα πρώϊον, ὅπως μὴ κωλύσωσι τὴν
θερινὴν νέασιν· ἀγαθὴν γὰρ οἴονται τὴν χιόνα ταῖς χειμεριναῖς
νέαις καὶ οὐχὶ τὴν πάχνην εἶναι· διεσθίει γὰρ καὶ μανοῖ τὴν γῆν·
καὶ ὅταν μετὰ τοὺς πρώτους ἀρότους νεάσωσι, πάλιν τοῦ ἦρος
μεταβάλλουσιν, ὅπως τὴν ἀναφυομένην πόαν ἀπολέσωσιν· εἶτα
θέρους ἀροῦσι· τὸ δὲ τελευταῖον ὅταν μέλλωσι σπείρειν, ὑπήροσαν, ὡς δέον κα
θάπερ ἐλέχθη προκατειργάσθαι, τούτου μάλιστα σπουδά-
σαι. διὸ καὶ τὴν ἀπὸ τῶν δικελλῶν ἐργασίαν μᾶλλον ἐπαινοῦσιν, ἢ τὴν διὰ τοῦ ἀ
ρότρου· δοκεῖ γὰρ πολλὰ περαίνειν. θετταλοὶ δ' ἰσχυροτέρου ἔτι δικέλλου
ὄργανον ἔχουσιν, ὃ καλοῦσι μίσχον· ὃ μᾶλλον εἰς βάθος κατιὸν, πλείω γῆν
περιξέει καὶ κατωτέρωθεν· αὕτη μὲν οὖν τῆς χώρας ἡ κατεργασία· συμ

βαίνει τοῖς εἰς ταῦτα πονήσασιν, ἧττον μὲν τοῖς ἄλλοις κακοπαθεῖν· ὅσοι δ' αὖ μαλακωτέρως, ἀναγκάζονται πολλάκις καὶ σκάλλειν καὶ βοτανίζειν, ἅτε πολλῆς πόας ἐκφυομένης· οὔτε γὰρ ἀπόλλυται τὰ σπέρματα· προτερεῖ δὲ τοῦ σίτου, διά τε τὴν ἰσχὺν καὶ τὸ προϋπάρχειν· ἐπεὶ προτέρου αὐξηθέντος τοῦ σίτου, πολλὰ καταπνίγεται καὶ ἀπόλλυται. τὸ δ' ὅλον οὐχ ὁμοίως βλάπτει τὰ σπέρματα· τὰ δ' οἰκεῖα τῇ μὲν ἐπομβρίᾳ καὶ ψυχρᾷ, τὰ ἀνασομότατα πρὸς τὴν σιτοποιίαν· ὁμοίως καὶ πυρῶν καὶ κριθῶν καὶ τῶν ἄλλων· ἀραιὰ γὰρ ταῦτα· τὰ δ' ἄλλα, πλείονος ὄμβρου δεῖται καὶ τὰ μέλανα δὲ λευκῶν· ἐὰν δὲ ξηρὰ καὶ ἐρυθρὰ ἐν ψυχροῖς τόποις, παλίνοστα· καὶ τὰ λευκὰ μᾶλλον τῶν μελάνων· ὅπως ἁδρύνηται πρὸς τὴν ἀπόληψιν τῶν ὑδάτων· αὔξεται γὰρ καὶ φθίνει τὰ λευκὰ μᾶλλον τῶν μελάνων· ἐν δὲ ταῖς εὐκρασίαις τὰ ἀνὰ μέσον. οἱ μὲν, οὖν οὕτω διαιροῦσιν· οἱ δ' ἄλλως· ὡς δ' ἁπλῶς εἰπεῖν, ἡ μὲν λεπτὴ κριθοφόρος ἀμείνων· ἡ δὲ πίειρα, πυροφόρος· αἱ μὲν γὰρ ἐλάττονος καὶ κουφοτέρας δέονται τροφῆς· αἱ δὲ, πλείονος καὶ σωματωδεστέρας. τῶν δὲ πυρῶν ὁ μὲν τρίμηνος ἐν τοῖς λεπτογείοις καλλίων· σύμμετρος γὰρ ἡ τροφὴ κούφη κούφοις· ὁ δὲ λιβυκός· καὶ ὁ δρακοντίας, καὶ ὁ στλεγγίας, καὶ ὁ σεληνούσιος ἐν ἀσθενεῖ· πολύτροφοι γάρ· σημεῖον δ' ὅτι καλαμοῦ ἔχουσι παχύν· ἁπλῶς δὲ καὶ εἴ τις ἄλλος στιφρός· εἰ δέ τις πολυχίτων, ὥσπερ ὁ θράκιος ἐν τοῖς χειμερινοῖς· ἀπαθὴς γὰρ ὑπὸ τοῦ ψύχους. ὁ δὲ χαῦνος καὶ μανός, ὥσπερ ὁ καχρυδίας, ἐν τοῖς ἐπομβρίοις· τροφῆς γὰρ πολλῆς καὶ ὕδατος δεῖται διὰ τὸ παχυκάλαμον. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν χεδροπῶν· ἡ μὲν γὰρ γλίσχρα καὶ μελάγεως, ἐρέβινθον· ἡ δὲ κούφη, κύαμον φέρει κάλλιον· σύμμετρα γὰρ ἑκατερωτάτης· καὶ ἐπὶ τῶν ἄλλων δὲ τὸν αὐτὸν τρόπον· ἀεὶ πρὸς τὰς τροφὰς ἀνακτέον, συμπαραλαμβάνοντα καὶ τὰς τοῦ ἀέρος· ἡ γὰρ δῆλος, ὡς ἁπλῶς ἡ εὐφυής, τὰ ἀσθενέστερα συμφέρει μᾶλλον· ἡ δὲ ἐναντία τὰ ἰσχυρά. καὶ ἡ ὕφαμμος δὲ καὶ πηλώδης, τὰ ὀλιγότροφα καὶ ξηρά· καθάπερ τὴν ἀχλίδα· καὶ γὰρ λευκαίνει μᾶλλον ἐκπί-

πτουσα

πέττουσα τὴν τροφάς. ἀφέρει δὲ καὶ τεράμονα τὰ ξηρὰ ἢ τὰ πρόσηλα.
πέττει γὰρ ὁ ἥλιος μᾶλλον. ἐν δὲ τοῖς εὐγείοις ἀπίοσιν οὐχ ὁμοίως.
πυρὸς δὲ κενεαθὴς ἐν τοῖς ὀμβρώδεσιν εὐθενεῖ μᾶλλον. καὶ τὸ ὅλον δὲ
πρὸς τὰς ἐπομβρίας ἰσχυρότερος. φέρει δὲ καὶ ἐν τοῖς ἀκόποις μᾶλ-
λον. αἴτιον δὲ ὅτι θερμὸς ὤν, ἐκπέττεσθαι δύναται μᾶλλον. ἀκόπου οὐχ ὁ-
μοίως ἐπιζητεῖ, διὰ τὸ ἔχειν ἐνικμάδα οὐδὲ ἐκ τῆς κόπρου γίνεσθαι. καὶ
τὸ ὅλον ἰσχυρότερός ἐστι, καὶ πρωϊ ἀπορεῖται. καὶ ἐν τοῖς ψυχροῖς κατα-
βάλλεται μᾶλλον. ἡ δὲ ἰσχὺς θερμοτάτη ἢ τῶν μᾶλλον πολυχρότω-
να εἶναι. διὸ ἢ διὰ χρόνου γεωργουμένη γῆ, πυροὺς φέρει μᾶλλον ἢ
κριθάς. κατακρατεῖ γὰρ τῆς τροφῆς ἰσχυρότερος ὢν ὁ πυρὸς
μᾶλλον. ἐπέχει δὲ οὐχ ὁμοίως ἐθέλει φέρειν μὴ ἐμπληθυνθείσης τῆς ὕ-
λης. ἔτι ὥσπερ μανοῦται ἢ κοπρίζεται. ὡς δὲ ἁπλῶς εἰπεῖν, ἐν πά-
σαις ταύταις μεγίσταις κοινοτάταις διαφοραῖς. ἐν τῇ τῆς χώ-
ρας φύσει. τῇ τῶν σπερμάτων ἰσχύϊ καὶ ἀσθενείᾳ. καὶ ἐν τῇ τοῦ ἀέρος
κράσει. διὸ σκεπτέον ταῦτα. χειμῶνες δὲ ὑπογινόμενοι, πανταχοῦ
μὲν χρήσιμοι. ῥιζοῦται γὰρ καὶ καρπιοῦται μᾶλλον. ὥστε εἰ τὸ ἔαρ
σύμμετρον ἀποδίδοται μέγεθος. μάλιστα δὲ ἐν ταῖς ἀγαθαῖς χώραις.
τὰ γὰρ νότια, καὶ ὅταν εὐδία, ταχὺ ἀναδίδωσι καὶ τριοῦσι λοχαίαν.
καὶ τὸ πρὸς ἐρυσιβώδη. τὰ δὲ πυκνόσπορα, πρότερον ἀποχεῖται
τῶν μανοσπόρων. ὅτι τὰ μὲν ῥιζοῦται καὶ εἰς τὰ κάτω χωρίζεται διὰ τὸ ἔ-
χειν τόπον. τὸ δὲ εὐθὺς εἰς τὸ ἄνω τρέχει. χρὴ δὲ καὶ τὰ οἰκεῖα σπέρ-
ματα πρὸς εὐφορίαν καὶ τὰ νοσήματα τὰ συμβαίνοντα λαμ-
βάνειν. οἷον, ἐρυσίβας. ἐπεὶ ἐν τοῖς κοίλοις καὶ ἀπνόοις γίνεται τὰ μὴ
ἐρυσιβούμενα. τοιαῦτα δὲ τὰ ἐπικλινῆ τῶν στάχυϊ καὶ μὴ
ὀρθά. διὰ τοῦτο δὲ καὶ τὸ ἐπικύπτειν συμφέρει τὸν στάχυν. ὅ-
πως ἀπορρέῃ καὶ μὴ ἐμμένῃ τὸ ὕδωρ καὶ ἡ δρόσος. ὑποκλί-
νουσι δὲ οἱ μακροὶ στάχυες μᾶλλον. οἱ δὲ πλατεῖς καὶ βραχεῖς
ὀρθότεροι. διὸ ἢ ἐρυσιβοῦνται. ταῦτα δὲ χρήσιμα. καὶ ὧν ὁ στάχυς ἀπήρ-
τηται πολὺ τῶν φύλλων. ἐν γὰρ τοῖς φύλλοις ἐμμένει μᾶλλον ἡ ὑγρότης. ὥστε
πλησιοῦ μὲν ὄντος εὐθὺς ἅπτεται. πόρρω δὲ οὐχ ὁμοίως. διὸ καὶ ἡ μὲν ἀχιλλαῖς

κριθὴ ἡ λευκὴ ἢ ἡ μέλαινα, ἐρυσιβώδης. ὀρθοὶ γὰρ οἱ στάχυες. ἡ δὲ τιό-
κριθος ἀσφαλής· ἀπονεύει γάρ. τὰ δὲ προσήνεμα τῶν χωρίων ἧττον
ἐρυσιβοῦνται· διὰ γὰρ τὴν κίνησιν ἀποσείεται ἀπὸ τῶν φυτῶν τὸ ὑγρόν. ἐ-
πεὶ καὶ ὅταν μύσαντος πνεύματος ἐπιγένηται, καὶ πάλιν ἐπιλαμβάνῃ
νύξ, ἧττον. τὸ μὲν γὰρ διέσεισεν, ὁ δ' ἥλιος εὐθὺς ἐπιγινόμενος, οὐκ ἐ-
πρίησε σῆψιν, ἀλλ' ἀνεξήρανε πρότερον. ἡ δ' ἐρυσίβη, σαπρότης τίς.
οὐδὲν δ' ἐστὶ σαπρὸν ἄνευ θερμότητος ἀλλοτρίας. μάλιστα δ' ἐρυσιβοῦ-
ται σῖτος ταῖς πανσελήνοις. διὸ καὶ τὴν σελήνην τῇ θερμότητι σή-
πειν φασὶ νυκτός. ἀθερέστατα δὲ καὶ ἐπικηρότατα σχεδὸν ὡς ἁπλῶς
εἰπεῖν, τὰ λευκὰ τῶν μελάνων, καὶ ἐπὶ τῶν φυτῶν ὥσπερ καὶ ἐπὶ τῶν ζώων. ὅ-
τι μὲν οὖν οἰκεῖα τὰ σπέρματα ταῖς χώραις λη πλέον, φανερὸν ἐκ
πολλῶν. νοσήματα δὲ γίνεται πᾶσι τοῖς σπέρμασιν ὡς ἁπλῶς εἰπεῖν
διὰ τὴν ἀσυμμετρίαν τῆς τροφῆς τε καὶ τοῦ περιέχοντος ἀέρος. ὅ-
ταν, ἡ μὲν, πλείων ἡ δὲ ἐλάττων, ὁ δὲ, κάτομβρος ἢ κατάξηρος ἀ-
ήρ, εἴτε μὴ τὸν καιρὸν ἀνυγραινόμενος τύχῃ. τό τε γὰρ ἀσκώλη-
κες ἐγγίνονται τοῖς ὤχροις, καὶ τοῖς λαθύροις, καὶ τοῖς πισοῖς. εἶτ' αἱ κάμ-
παι τοῖς ἐρεβίνθοις. ὅταν οἱ μὲν ἀναξηρανθῶσι, καὶ μεταξὺ ἐγγίνων-
ται θερμημερίαι. τῶν δ' ἐρεβίνθων, ὅταν ἡ ἅλμη κατακλυσθῇ. εἶτ' ἀνα-
γλυκανθῶσι. πανταχοῦ γὰρ ἡ φύσις ζωογονεῖ, μιξαμένη πως
τῇ ὑγρότητι τὸ θερμόν, καθάπερ ὕλην οὖσαν τὴν ὑγρότητα τοῦ
θερμοῦ πρὸς τὴν πέψιν. ὃ δ' ἐπὶ τῶν πυρῶν συμβαίνει καὶ τοὺς σκώλη-
κας. γίνονται γὰρ ἐν ταῖς ῥίζαις, ὅταν νότια πλείω μετὰ τὸν σπόρον ἐπιγέ-
νηται. τότε γὰρ ἀνυγραινομένης τῆς ῥίζης, καὶ τοῦ ἀέρος ὄντος ἐνθέρμου, ζωο-
ποιεῖ πως ἡ θερμότης συσσήπουσα τὴν ῥίζαν. ὁ δὲ, γινόμενα εὐθὺς κα-
τεσθίει. πέφυκε γὰρ ἐκ τῶν αὐτῶν ἑκάστοις ἡ γένεσις καὶ ἡ τροφή. αἴτιον δ' ὅ-
ταν ἐπιχυθῇ διὰ τὸν αὐχμὸν μὴ διῳθῆται, τὸ ἐγκατακλειόμενον ὑγρὸν ὑ-
πὸ τοῦ θερμοῦ, σήψεως γινομένης ἐζωοποίησεν. εἰ δ' ὁμοίως ἡ τροφὴ
διὰ τὸ αὐτὸ τοῦτο. ταῦτα δ' ἔοικε, καὶ ἐπὶ τῶν μηλέων καὶ ὅλως ἐπὶ τῶν
δένδρων συμβαίνειν, ὅσα σκωληκοῦται διψήσαντα. διὰ γὰρ τὸ ὀλίγον εἶ-

ναι τὸ ὕδωρ

μαι τὸ ὕδωρ, καὶ μένειν ἐν τῷ δένδρῳ, σῆψιν ἐποίησεν ἐξ ὧν ὁ σκώληξ, ὅταν μὴ ἄφθονος ἡ τροφὴ γίνηται. τότε γὰρ καὶ ἡ ὑπερροὴ πρὸς τὰ ἄνω διαδίδοται καὶ πλείων οὖσα κατακρατεῖ καὶ οὐ σήπεται. παραπλήσιον δὲ τὸ συμβαῖνον ἐστὶ καὶ τῇ ἀμπέλῳ. καὶ γὰρ ἐν ταύτῃ τοῖς νοτίοις οἱ ἴπες γίνονται μᾶλλον, ἅτε διυγραινομένης καὶ τοῦ ἀέρος γονοῦντος, εἴτ᾽ εὐθὺς ἐξεθέουσι τὸ ὁμογενές. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἐλαιῶν καὶ καρπῶν. καὶ ἐφ᾽ ὧν ἄλλα γίνεται ζῷα περὶ τὴν βλάστησιν ἢ τὴν ἄνθησιν ἢ καὶ ὕστερον. πάντων δ᾽ ἐκ παραπλησίου ἐστὶ συνισταμένων. ἡ δὲ ἀμπέλῳ μάλιστα τοῦτο συμβαίνει, διότι φύσει ὑγρόν ἐστι. καὶ ἡ ὑγρότης αὐτῆς, ἄχυλος καὶ ὑδατώδης. εὐπαθεστάτη γὰρ ἡ τοιαύτη. ἐνιαχοῦ δὲ οὐ γίνονται τὸ ὅλον ἴπες, ὅταν εὔπνους τε καὶ μὴ ἔνυγρος μηδ᾽ ὑπότροφος ὁ τόπος ὑπάρχῃ. καὶ περὶ μὲν νοσημάτων ἐν τοῖς ὕστερον ἐπὶ πλέον ῥητέον. ἐπιρρεῖν δὲ κελεύουσιν οἱ μὲν, πλειάδος. ξηρᾶς γὰρ αὐχμόν τε οὖσαν διαφυλάττειν τὸ σπέρμα τὴν γῆν. οἱ δὲ ἅμα πλειάσι δυομέναις, ὥσπερ καὶ Κλείδημος. ἐπιγίνεσθαι γὰρ ὕδατα καὶ πολλὰ τῇ ἑβδόμῃ μετὰ τὴν δύσιν. ἄριστον δ᾽ ἴσως καὶ ἀσφαλέστατον εἰς ὀργῶσαν. ἐπειδὰν ἐμβληθῇ διευλαβοῦνται. ὅπως μήτ᾽ ἐμβληθῇ πηλῷ, μήθ᾽ ἡμιβραχῆ καὶ ἡμίπηλον, ἣν δὴ καλοῦσί τινες ἀμφίοργον. ἡ μὲν γὰρ ὑγρὰ καὶ πηλώδης, διαχεῖ τε καὶ γαλακτοῖ. καὶ ἐὰν ξηρανθῇ, συναλείφει καὶ οὐ διαδίδωσιν. ἡ δὲ ἡμιβραχὴς, κατασήπει. τοσοῦτον γὰρ ἔχει τὸ θερμὸν καὶ τὸ ὑγρὸν, ὥστε κινῆσαι μὲν, μὴ ἐκβιάσασθαι δὲ, μηδ᾽ ἐκβλαστεῖν, εἰ καὶ χείριστος οὗτος τῶν σπόρων. ὁ γὰρ ἐν ξηρᾷ σπορᾷ γινόμενος, καθάπερ ἀνέτους οὐκ ἀπόλλυσι τὸ σπέρμα. τοὺς δὲ περὶ τροπὰς σπόρους, Κλείδημος φησὶν ἐπισφαλεῖς εἶναι. διερὰν γὰρ οὖσαν καὶ βαρεῖαν τὴν γῆν, ἀτμιδώδη γίνεσθαι, καὶ ἐοικέναι ἐρίοις κακῶς ἐξεσμένοις. ἔτι δ᾽ οὐ δύνασθαι τὰς ἀτμίδας ἕλκειν οὐδὲ διαπέμπειν, ἅτε θερμὸν οὐκ ἔχουσαν ἱκανὸν, καὶ ἐπαλείφειν ἔλαττον. ἀλλὰ τὰ ὄψια δεῖ σπείρειν ὑπὸ τροπάς. συμφέρει δὲ σπειρομένοις καὶ σπαρεῖσιν, εὐδίας ἐπιγίνεσθαι πλείους ἡμέρας, ὅπως διαβλαστῶσι. μετὰ δὲ ταῦ-

τα, ψύχη βόρεια καὶ μέτρια λεπτὰ χειμῶνος, ἰσχυρῶς ἐρριζωμένων ἤδη καταρρεόντων· αὐθέξουσι γὰρ μᾶλλον· ἐπεὶ πιλούμενα γε βελτίω καὶ ἐγκαρπότερα· τῆς γὰρ ῥίζης ἰσχυούσης, ἥ τε τροφὴ πλείων, καὶ ἡ αὔξησις μετὰ ταῦτα θάττων· τὰ γὰρ εὐθὺς ἀναβλέποντα, λεπτὰ καὶ ἀσθενῆ γίνεται. ἅμα δὲ πρὸ τῆς ὥρας κυϊσκόμενα καὶ ἀποχεόμενα φθείρεται. τὸ γὰρ ὅλον ἡ πάρωρος εὐτροφία, σφαλερά. διὸ δὲ ἐπιτέμνουσιν· οἱ δὲ, κείρουσιν. ἀγαθὴ δὲ καὶ ἡ χιὼν, ὅταν ζυμοῖ καὶ μανοῖ τὴν γῆν, τροφήν τε παρέχει· καὶ ἐγκαταλείπουσα τὸ θερμὸν, αὔξειν τε καὶ ἰσχύειν ποιεῖ τὴν ῥίζαν. ἢ δὲ τὸ ἀπορούμενον οὐκ ἄφαυλον. διὰ τί αἱ ψυχραὶ χῶραι καὶ αἱ θερμαὶ σιτοφόροι, καθάπερ ἡ θράκη· καὶ ὁ ποταμός· καὶ ἡ λιβύη· καὶ ἡ αἴγυπτος, πρὸς γὰρ τοῖς ἄλλοις ποιεῖ ὁ χειμών τι καὶ τὰ καύματα, καθάπερ ἐν ταῖς κατεργασίαις ἐλέχθη τῆς γῆς. οὐδὲν γὰρ ἔλαττον. ἀλλὰ πάντων μέγιστος ὁ περιέχων αὐτὰς πρὸς εὐκαιρίας ὑδάτων, καὶ βίας χειμώνων καὶ πνευμάτων· ὁποῖα γὰρ ἂν ᾖ ταῦτα, καὶ τὰ σπέρματα οὕτως ἐκτελεῖται. ὃ καὶ ἡ παροιμία καλῶς, ἔτος φέρει, οὔτι ἄρουρα. μέγα δὲ καὶ ἡ θέσις τῆς χώρας, ἢ πρὸς τὰ πνεύματα καὶ τὸν ἥλιον· ὥσπερ ἐπὶ τῶν δένδρων ἐλέχθη· πολλαὶ γὰρ οὖσαι λεπταὶ καὶ φαῦλοι, τελεσφόροι γίνονται, διὰ τὸ πρὸς ταῦτα κεῖσθαι καλῶς. ὡς δὲ ἁπλῶς εἰπεῖν, ἡ ἀγαθὴ χώρα, καὶ χειμώνων δεῖται πολλῶν. αἱ γὰρ εὐδίαι καὶ τὰ νότια ἐνισχύωσι· λεχαίους ποιοῦσιν ὡς ἐπὶ πολὺ καὶ ἐρυσιβώδεις. ὁ δὲ χειμὼν πιλώσας καὶ καρκινώσας τὰς ῥίζας, σύμμετρον εἰς τὸ ἔαρ ποιεῖ τὸ μέγεθος. ὅλως δὲ καὶ τὴν χώραν ἂν εἰργασμένην λάβῃ, μανοῖ. διὰ ταύτην δὲ τὴν αἰτίαν καὶ εἰς τὸ ἔαρ αἱ αὐξήσεις ταχεῖαι γίνονται καὶ ἐκφύσεις καὶ τελειώσεις· ὥστε δοκεῖν μὴ κατὰ λόγον ἐπιλείπεσθαι τῶν ἐν ταῖς ἀλεεινοῖς, ἀλλὰ καὶ προτερεῖν ὥσπερ καὶ τὰ περιελλείποντα, ἰσχυρᾶς τῆς ὁρμῆς γινομένης, διὰ τὸν ἀθροισμόν· καὶ τοῦ ἀέρος ὑπηρετοῦντος, ταχεῖαι καὶ αἱ ἐπιδόσεις καὶ αἱ τελειώσεις γίνονται. ταῦτα μὲν οὖν ἐν ταῖς τῆς χώρας διαφοραῖς ἐστι. τὰ δὲ σπέρματα καθάπερ ἐπὶ τοῦ πυροῦ ἐκ τοῦ ὁμοί-

ων ἐκ τῶν χειρόνων· λοιπὸν ὅπως δὴ μηδεμία μεταβολὴ ἐπὶ τὸ βέλτιον γίνηται. καίτοι φασὶν ἐκ τῆς ἀγαθῆς ἰσχυρότερα εἶναι. διὸ καὶ ἐπὶ δύο ἔτη διαμένειν τὴν δύναμιν. εἰ δὲ τοῦτο ἀληθὲς, ὁμοίως ἂν εἴη καὶ τὸ ἐπὶ τῶν φυτευμάτων, τὸ τὰ κάλλιστα καὶ ἰσχυρότατα λαμβάνειν. ὥστ' ἀμφοτέρως ἂν ἔχοι λόγον. χρὴ δὲ καὶ ταῖς τοῦ ἀέρος ἀνωμαλίαις προσέχειν· οὔτε γὰρ τὰ ἐκ τῶν ὑψηλῶν καὶ πρωΐων εἰς τοὺς ὀψίους καὶ δυσχειμέρους, ὅτι τὰ ἐκ τούτων εἰς ἐκείνους ἁρμόττειν. τὰ μὲν γὰρ προτερεῖν δοκεῖ· τὰ δὲ παρ' αὐχμῶν ἀπόλλυται καὶ ἀνυδρίας. ὄψια γὰρ ὄντα, βραδέως τε κυΐσκεται καὶ ἀποτίκτει. διὸ καὶ ὑστερεῖ. ταὐτὸ δὲ τοῦτο συμβαίνει καὶ ἐπὶ τῶν σπερμάτων. ὅσα γὰρ ὀψιβλαστῆ, ἐκ ταχὺ παραγίνεται. καθάπερ τὰ τριμηναῖα σπειρόμενα πρώϊα, προτερεῖ καιρόν. εἰ μὴ τοιοῦτόν ἐστιν ὃ προλαβεῖν τοῦ χειμῶνος πρὸς τὴν ῥίζωσιν. ὥσπερ καὶ τὸν κύαμον διὰ τοῦτο πρωϊσπείρουσιν ἅμα διὰ τὸ θέλειν ἀνθοῦντα βρέχεσθαι καὶ ἀνανθεῖν, πολὺν χρόνον. ὀψὲ γὰρ σπειρόμενος οὐκ ἂν βρέχοιτο. τὸ δ' ὕδωρ ἐν αὐτῷ θεῖν, τούτῳ μὲν συμφέρει διὰ τὴν μανότητα. τῷ σίτῳ δὲ ἀσύμφορον διὰ τὴν λεχθεῖσαν πρότερον αἰτίαν. τοῖς δ' ἄλλοις χεδροπῖς ἀβλαβὲς, πλὴν ἐρεβίνθῳ. τοῦτον δ' ἀπολύει. καταπλυθείσης δὲ τῆς ἅλμης, ὥσπερ συμφύτου τινὸς στερόμενος, σφακελίζεται καὶ ὑποκάμπτων κατεσθίεται. ζωογονεῖται γὰρ ὥσπερ εἴρηται. βραχέντος δὲ οἶμαι τοῦ σπέρματος, ἧττον δοκεῖ νοσεῖν. ὅπερ οὐκ ἄλογον ἔχον τά τινα δριμύτητα. διατηροῦσι γὰρ αὗται. τὸ γὰρ ὅλον ἐάν τις ἀλλοιώσας καταβάλλῃ τὸ σπέρμα, καθάπερ πρότερον ἐλέχθη, μεταβάλλει τὰ φυτὰ καὶ τοὺς καρποὺς οὐκ ἄλογον· οἵα γὰρ ἡ ἀρχὴ, τοιαῦτα καὶ τὰ ἀπὸ τῆς ἀρχῆς. ἔτι ὁρῶμεν ὅτι καὶ ταῖς τροφαῖς ἀγόμενα μεταβάλλει καὶ ὅλα γένη τῶν δένδρων ὥσπερ ἐξ ἀγρίων ἥμερα γινόμενα, καὶ ἐκ μελάνων λευκά. καὶ κατὰ τοὺς καρποὺς ὁμοίως, ὥστε ἐκ πρὶν αὐτὸ ποιόν τι γινόμενον, οὐ καρποῦ ἀγνοεῖν ἐκ τοῦ ἑλίζαν εὐθὺς καὶ τὸν καυλὸν καὶ ἔσχατον τὸν κέντρον. ἀπαντητικὸς δ' οὐ συμφέρει κατὰ

μικρὸν ἐκφύειν, οὐδ' ἥλιους ἐπιλαμβάνειν· ἀλλὰ ψύχη σύμμετρα, καὶ ἐπινέφειν· ὅπως μὴ ἐπικαθήμενον τὸ ὕδωρ, ἐπιλαβὼν ὁ ἥλιος ἐρυσιβώσῃ, ψιλὴν ποιήσας· διὸ καὶ αἱ δροσοβόλοι χῶραι καὶ ἔγκοιλοι καὶ ἀπνεύματοι, μάλιστα ἐρυσιβώδεις.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΑἸΤΙΩΝ· ΤΟ Δ΄

Ἐπεὶ δὲ πλείους αἱ γενέσεις τῶν φυτῶν, φυτῶν δὲ κοινοτάτη πᾶσιν ἡ ἀπὸ σπέρματος, ἢ ὅσα ἔχει σπέρμα καὶ καρπόν, ἀπορήσειεν ἄν τις, διὰ τί ποτε οὐκ ἀνάλογον ἡ ἰσχὺς ἑκάστη δοκεῖ τῶν σπερμάτων, ἀλλ' ἀσθενέστερα τῶν ἰσχυροτέρων· οἷον, τὰ τῶν δένδρων, τῶν ἐπετείων· ἀμφοτέρως γὰρ φαίνεται τὸ ὁμολογούμενον· καὶ εἰ ἀπὸ τῶν ἀσθενεστέρων δὲ σπερμάτων ἰσχυρότερα γινόμενα· τὰ γὰρ σπέρματα γεννᾷ τὰ δένδρα· τῆς δὲ ἀσθενείας καὶ τῆς ἰσχύος ἐκεῖνα σημεῖα· τὰ μὲν γὰρ ἐπέτεια ὅταν σπαρῇ, διαμένει τὰ αὐτὰ καὶ ἐξομοιοῖ τοὺς καρπούς· τὰ δὲ τῶν δένδρων μεταβάλλει καὶ χείρω ποιεῖ· καὶ τὰ μὲν ταχεῖαν ἀποδίδωσι τὴν τελείωσιν· τὰ δὲ χρόνιον καὶ βραδεῖαν· καὶ ἀνάπαλιν δὲ λαμβανομένων· ἰσχυρότερα γὰρ ὄντα τὰ δένδρα, βραδύτερον ἐκπέττει τοὺς καρπούς· ἔτι δὲ τὰ μέν, ἐν κελύφεσι δερματικοῖς καὶ ξυλώδεσιν· οἷον, τὸ τῆς ἐλαίας· καὶ τὸ τῆς κοκκυμηλέας· καὶ

λέας· καὶ τὰ τῶν ἀπίου· καὶ ἀμπέλου· καὶ μηλέας. ἔνια δὲ ἐν ξυ-
λώδεσι· τὰ δ' αὖ τὰ πάλιν ἐν περικαρπίοις σαρκώδεσι· καὶ ὅ-
λως ὅσα κάρυον ἐντὸς ἔχει τῆς σαρκός· τὰ δὲ τὸ σίτου γυμνά· καὶ
μάλιστα τὸ πυροῦ καὶ τῆς κριθῆς· εἰ δὲ μή, χιτῶσί γε περιέχεται λε-
πτοῖς· ἀεὶ δὲ τὸ ἀσθενέστερον ἡ φύσις εἰς πλείω τίθεται φυλακήν·
αἱ μὲν οὖν ἀπορίαι σχεδὸν αἱ αὐταί· δεῖ δὲ λαβεῖν πρῶτον αὐτὰς
ἀρχὴν τήνδε· τὸ σπέρμα μὴ μόνον ἔχειν δύναμιν τοῦ ποιεῖν, ἀλ-
λὰ καὶ τοῦ πάσχειν· ὅπερ καὶ κατὰ πάντων τῶν τῆς φύσεως, ἀ-
ληθές· καὶ κατ' αὐτὴν δὲ τὴν γένεσιν ἀμφοῖν εἶναι τὴν ἐνέργειαν·
καὶ τρόπον τινὰ οὐχ ἧττον τοῦ πάσχειν· τότε γὰρ καὶ ἡ ἐν τοῖς σπέρ-
μασι κινεῖται δύναμις, οἷον διαθερμαινομένων· διὸ καὶ οὐ πάν-
τα βλαστάνει κατὰ τὴν αὐτὴν αἰτίαν· ἀλλ' ὅταν ἡ αἰτία τοῦ
ἀέρος καὶ τάχα ἡ κρᾶσις· ὑποκειμένου δὲ τούτου, φανερὸν ὡς οὐκ
ἰσχύος, ἀλλ' ἀσθενείας μᾶλλον ἡ ταχυβλαστία· τὸ γὰρ ἀσθενὲς εὐ-
παθέστερον εἰς τὸ παθεῖν· ὁ δ' αὐτὸς λόγος καὶ περὶ τῆς τελειώ-
σεως· τὰ ἀσθενέστερα θᾶττον ἐκτελειοῦσθαι καὶ τῷ περιέχοντι καὶ
ταῖς ἐν αὐταῖς ἀρχαῖς· ὃ καὶ περὶ ζώων ἐστίν· ἀεὶ γὰρ τὰ ἰσχυρό-
τερα χρονιωτέρας ὡς ἐπίπαν ποιεῖται καὶ τὰς κυήσεις καὶ τὰς
τροφάς· ἅμα δ' ὥσπερ, ἐὰν τὰ μὲν, αὐτοῦ τοῦ χειμῶνος σπέρ-
ματος γεννητικὰ σώματα οὐ δὲ μικρὸν ὑπόκειται· τὰ δὲ ἐν ὄγκοις
μείζοσιν· οἳ καταναλίσκουσι καὶ ἀντισπῶσιν εἰς ἑαυτὰς τὰς τρο-
φάς· ὥσπερ τὰ μὲν, ὀλιγόκαρπα, τὰ δὲ, ὅλως ἄκαρπα ποιεῖν.
ὡς ἐπὶ τῶν ζώων συμβαίνει τῶν ἐκπαχυνομένων καὶ εὐτροφου-
μένων· τὸ μὲν οὖν θᾶττον ἐκτελειοῦν, οὐχ ἡ ἰσχύς· ἀλλὰ ταῦτα
τὰ αἴτια· διὸ καὶ πολυγονώτερα· καίτοι τάχ' ἄν τις ἀντείποι πε-
ρὶ τοῦ πλήθους, φάσκων πλείω τὰ ἀπὸ τῶν δένδρων εἶναι· πολ-
λὰ γὰρ ἕκαστον ἔχει τῶν περικαρπίων· τὸ δὲ δένδρον ἀφ' ἑνὸς γε-
γενῆσθαι σπέρματος· ἀλλὰ ταῦτα μὲν τὰ ἐλαφρότερα καὶ οἷον
ἀπηρτημένα ἂν φανείη· τὸ δὲ μὴ δύνασθαι τηρεῖν τὰ γένη μηδ'
ἐξομοιοῦν ἐπ' ἀμφοῖν ἐνέχοι τὸ αἴτιον· καὶ τοῦ πλείω χρόνου τὰ τῶν

γῆς μᾶλλον κατακρατεῖσθαι. καὶ τοὺς τῶν σωματικῶν ὄγκους ἀποσπᾶν. ὃ γὰρ καὶ τῆς ἀκαρπίας αἴτιον, καὶ τῆς κακοκαρπίας ὡς λόγου φανερουμένης δὲ τῆς ὑγρότητος καὶ τῆς αὐ τροφῆς. μεταβαίνουσι. τὰ δὲ ἐπίτεια κραχύν τινα χρόνον ἐν τῇ γῇ γίνεται. καὶ ὀλίγην ἕλκει τροφήν. διὸ καὶ οὐκ ἐξίσταται μιᾷ σπορᾷ τῶν γενῶν. ἀλλὰ τὴν τρίτην. τότε γὰρ ποιεῖται τὴν μεταβολήν. ὥστε θᾶττον ἐκείνων διὰ τὸ πλῆθος τῆς τροφῆς, εὐθὺς τοῦτο τοῖς σπέρμασι χρονισθεῖσι κατὰ λόγον. πλὴν ὅτι τὰ μὲν εἰς τὸ χεῖρον αἰεὶ μεταβάλλει. τὰ δὲ, καὶ ἐπὶ τὸ βέλτιον, ἐὰν ἡ χώρα τοιάδε καὶ ὁ ἀήρ. ἅμα δὴ τοῦτο μὲν ἕτερον. εἰς ἄλλο δ' οὖν ἐξίσταται γένος τὰ μάλιστα τῶν σπερμάτων καὶ ἰσχυρότερα. καθάπερ ὁ πυρὸς καὶ ἡ κριθή. μόνα γὰρ ἐξαιροῦνται. μᾶλλον δὲ ὁ πυρὸς ἰσχυρότερον ὤν. ὥστε καὶ τοῦτο ὁμολογούμενον τὸ πλείω τροφὴν ἕλκειν. ὁ γὰρ θερμὸς ὥσπερ ἄπεπτόν τι τὸ ὅλον. τὰ μὲν οὖν κατὰ τὴν βλάστησιν, ἐν τούτοις ἂν εἴη. πρὸς δὲ τὴν ἔξω διαμονὴν φυτευομένων, ἀλλὰ μὲν ἄλλων συμβαίνει κατὰ τοὺς χρόνους. ἡ μὲν, ἀλλ' οὐδὲ λόγου ἔνια πρότερον τῶν δενδρικῶν εἰς τὴν φθοράν. οἷον ὅσα ἐν περικαρπίοις ἐστὶ σαρκώδεσιν. οἷον, ὅταν χωρισθῇ ἢ σαπῇ. γυμνὸν γὰρ ἀναξηραίνεται καὶ θνήσκει. τὰ δ' ἐν δερματικοῖς καὶ μὴ χωριζόμενα. καὶ γὰρ ὑγρότερα. καὶ πυρῆνος δέχεται τὸν ἀέρα. μάλιστα δὲ διαμένει τὰ ἐν [illegible] λώδεσι, καὶ τούτων ὅσα πυκνόν τι τὸ κέλυφος ἔχει, καὶ αὐτὰ λιπαρά. καθάπερ τὰ κάρυα τὰ ἡρακλεωτικά. πλὴν ἐκπικροῦται. τὰ δὲ ἀμύγδαλα ἐπὶ πλείω χρόνον. ἐλάχιστον δὲ τὰ βασιλικὰ μόνον. μανώτατον γὰρ τὸ πέριξ, καὶ ἥκιστα συμφυές. διαμένει δὲ καὶ τὸ τῆς ἐλαίας, καὶ εἴ τι ἄλλο τοιοῦτον. τῶν δὲ ἐν σαρκώδεσι περικαρπίοις, χρονιώτατον τὸ τοῦ φοίνικος, ἅτε ξηρότατον ὂν καὶ πυκνόν. τὰ μὲν οὖν τῶν δένδρων, διὰ ταύτας τὰς αἰτίας, τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον διαμένει. σχεδὸν δὲ καὶ τὰ τῶν σιτωδῶν διὰ παραπλησίους αἰτίας. ἢ γὰρ τῷ περιέχεσθαι πλείοσι χιτῶσιν ἡ διαμονή, καθάπερ ὁ κέγχρος. ἢ τῷ λίπος ἔχειν. ὥσπερ τὸ σήσαμον. ἢ τῇ δριμύτητι τινὰ καὶ πικρότητι χυλοῦ. καθάπερ ὁ θέρμος καὶ ὁ ἐρέβινθος.

ἐρέβινθος· ἀλλ᾽ ὅγε ἐρέβινθος μέλας γίνεται διαφθειρόμενος.
ὁ δὲ πυρὸς, μᾶλλον τῆς κριθῆς καὶ τῶν χεδροπῶν, διὰ τὸ θερμότε-
ρος εἶναι καὶ χιτῶνας ἔχειν πλείους. ἡ γὰρ αὖ κριθὴ καθάπερ γυμνή.
τὰ δὲ χεδροπὰ, παχέα μὲν τοῖς κελύφεσιν· ἀλλὰ μανὰ γλυ-
κύτητά τινα ἔχοντα φαίνεται· σχεδὸν δ᾽ αἴτια ταῦτα τῆς φθορᾶς.
διὸ καὶ ὁ κύαμος καὶ ὁ ὦχρος τάχιστα κόπτεται. τάχα δὲ ἀληθέστατον εἰ-
πεῖν ὡς κατὰ τὰς χώρας. ἐν Ἀπολλωνίᾳ γοῦν τῇ περὶ τὸν Ἰόνιον
πολλά φασιν ἔτη διαμένειν τοὺς κυάμους. πολλὰ δὲ καὶ περὶ Κύ-
ζικον. ἀλλὰ περὶ μὲν τῆς τούτων διαμονῆς καὶ τὸ ὅλον τῆς φύ-
σεως, τάχ᾽ ἂν ἐν τοῖς ὕστερον ἐπὶ πλέον ῥηθείη. πρὸς δὲ τὰ τῶν δέν-
δρων συγκρινόμενα, ταύτας ἔχει τὰς διαφοράς. ἐν δὲ τοῖς τῶν
λαχανωδῶν, τὰ μὲν ἄλλα τὴν ἐξομοίωσιν ἀποδίδωσι. ῥάφανον
γὰρ καὶ ἄλλα ἄττα. δοκεῖ γὰρ ἄλλα τινὰ καὶ δενδρικώτερα. τὰς δ᾽
ἐκφύσεις πλέον ἀλλήλων, ὅτι ταῦτα παραλλάττει τῆς σιτηρᾶς. τὰ
μὲν γὰρ τριταῖα διαβλαστάνει· καθάπερ ὤκιμον· σίκυος· κο-
λοκύντη· τὰ δὲ, πεμπταῖα, ἢ ἑκταῖα· τὰ δὲ πεντεκαιδεκαταῖα.
καθάπερ πράσον· τὸ δὲ σέλινον τεσσαρακοσταῖον· ἐνιαχοῦ δὲ πεν-
τηκοσταῖον. δυσφυέστατον γὰρ τοῦτο πάντων. δυσφυὲς δὲ καὶ τὸ
ξιανόν. οὐ γὰρ βλαστάνει μὴ βρεχθέν. αἴτιον δ᾽ ἡ σκληρότης. ὥσπερ
γὰρ ξυλῶδές ἐστι τὸ περιέχον. ἡ δὲ τῶν τευτλίων ἀνωμαλία, τῷ
τὰ μὲν ὕστερον μηνὸς, ἐπιβλαστάνειν, τὰ δὲ, δυοῖν, τὰ δὲ, πλείοσι·
τὰ δὲ καὶ ἐνιαυτῷ· σημαίνειν ἔοικε τῶν σπερμάτων αὐτῶν ἀτε-
ραμνότητά τινα πρὸς τὴν βλάστησιν. τὰ δὲ θερινὰ σπειρό-
μενα, δῆλον ὡς διὰ ἀσθένειαν· διὸ ταχύ τε παραγίνεται, καὶ ταύ-
την τὴν ὥραν φύεται, φέρειν οὐ δυνάμενα τὸν χειμῶνα τὰ μὴ
ὄντα ξηρὰ, καθάπερ καὶ τὸ ὤκιμον. τὰ δ᾽ ὑγρὰ καὶ ψυχρὰ, καθά-
περ ὁ σίκυος καὶ ἡ ἀνδράχνη. θαυμαστὸν δ᾽ ἂν δόξειε τὸ τοῦ ἀβρο-
τόνου μάλιστα. διότι θερμὸν ὂν τὴν ἀλέαν διώκει. αἰτία δὲ ἡ ἀσθέ-
νεια. πρὸς ἄμφω γὰρ ἀσθενεῖ. καὶ πρὸς τοὺς χειμῶνας καὶ πρὸς
τὰ καύματα. τὸ δ᾽ ὅλον οὐκ ἔοικεν ἡ θερμότης μάλιστα βλά-

στεῖν· ἐπείπερ θερμὰ τὰ δριμέα· καὶ γὰρ τὸ πράσον· καὶ τὸ σήτειον
καὶ ἔτι μᾶλλον ἡ θύμβρα, καὶ ἡ ὀρίγανος, δυσβλαστῆ· δεῖ γὰρ ἔ-
χειν τινὰ ὑγρότητα, καὶ οὐχ ἧττον ἀλλὰ μᾶλλον ἴσως ὑπερου-
σίαν τὸ εὐβλαστὲς, πρὸς τὸ ποιεῖν καὶ πάσχειν· ὅλως δ' ὥσπερ ἐν γένει
λαβεῖν ξηρότητα τῶν σπερμάτων τὰ στεφανωτικὰ καὶ τὰ τῶν
λαχάνων· ὅθεν καὶ τάχιστα ταῖς ἰκμάσιν ἕλκει· διὸ καὶ κρεμαννύ-
ουσιν αὐτά· καὶ οὐ ῥαίνουσι τὰ οἰκήματα· οὐδ' ὑδρορρεῖς φέρουσιν
ἁπλῶς· ἡ δὲ διαμονὴ θησαυριζομένη, πρός τε τοὺς σπόρους καὶ
πρὸς τὰς ἄλλας χρείας· παραπλήσια καὶ τοῖς σιτηροῖς· γόνιμα
μένει εἰς τριετίαν μάλιστα· χρήσιμα δὲ πρὸς τἆλλα πλείω χρό-
νον, ὥσπερ ὁ σῖτος εἰς τροφήν· τούτου δὲ κατὰ λόγον, ὥσπερ
καὶ τοῖς ζώοις πρῶτον ἀπολιπεῖν τὴν τῆς γονῆς· καὶ γὰρ ἐν τούτοις
ἡ ἀρχὴ τοῦ γονίμου· ὅπερ αὐτῆς ὡς πέρας θείη· τὸ δὲ λοιπὸν ὡς
τροφὴν καὶ ὕλην προσηρτημένην· ἀλλὰ τὸ ὅλον καλεῖται σπέρ-
μα· διὸ καὶ ζῆν αὐτά φασι καὶ μὴ ζῆν· ὅταν δὲ ἀμβλυνθῇ ταύτῃ ἢ φθα-
ρείη, καθάπερ καὶ τὰ ἴα· συμβαίνει δὲ τοῦτο καὶ τοῖς βαλανώδε-
σι καὶ τοῖς ἄλλοις· εἰς βλάστησιν δὲ τὰ ἔνια τῶν νέων οὐκ ἄλο-
γον εἶναι βελτίω, ξυνεστηκότα τε καὶ οἷον αὐτὰ αὑτῶν ὄντα μᾶλ-
λον· πρόσεστι γάρ τις καὶ τούτων πέψις ἀποπυθούσαντος τοῦ ἀγο-
τρίου· χρονιζομένου δὲ, παλινστήρας καὶ φθίσις· περὶ δὲ τοῦ ἐκκαυ-
λεῖν, τάχιστα μὲν τὰ ἀπὸ τῶν ἀκμαζόντων ὡς ἰσχυροτάτων· τε-
λείωσις γάρ τις ἡ ἐκκαύλησις· εἴπερ ὁ καρπὸς τέλος, οὐκ ἄλογον·
δεύτερα δὲ ἡ ἐκ τῶν παλαιοτέρων, καὶ γὰρ ἐκ τούτων οἷον καθα-
ρωτέρα τις καὶ πλείων ἡ δύναμις· ἐν δὲ τοῖς νέοις ἀναμεμιγ-
μένη καὶ τὸ πλέον εἰς τὴν τροφὴν ἄγουσα καθάπερ ἐν τοῖς ἄλλοις· αἰεὶ
γὰρ ὀψιαίτερα τὰ πολύτροφα· διὸ καὶ εἰ μὴ τὰ ἀπὸ τῶν ἀκμα-
ζόντων ἐκκαυλεῖ πρῶτα, ἀλλὰ τὰ ἀπὸ τῶν παλαιοτέρων, οὐκ
ἄλογον· περὶ οὗ δὴ καὶ ἀντιλέγουσί τινες· ἐκκαυλεῖν γάρ φασι
τὰ ἀσθενέστερα μᾶλλον ὥσπερ ἐπὶ τῶν λαχάνων· αἴτιον δὲ ὅτι ὑπο-
παθέστερά τε καὶ ἐλάττω τροφὴν ἔχοντα τελειοῖ, τὸ δὲ ἐκκαυλεῖν

ὥσπερ τελείωσιν. διὸ καὶ τῶν δένδρων τὰ πρεσβύτερα θᾶττον πέττει καὶ μᾶλλον τοὺς καρπούς· τὰ δὲ ἐν ἀκμῇ πλείους μὲν καὶ καλλίους ἔχει, βραδύτερον δέ. φαίνεται δ' οὖν εἰ τοῦτο ἀληθὲς ὅτι τὰ χρονιώτερα τὰ παλαιότερα μεμίχθαι πέρ τι ἐν τοῖς σπέρμασιν ἐκεῖ, οἷον ὕλη καὶ τροφὴ ταῖς ἀρχαῖς. ἣν δεῖ προκατεργάζεσθαι πρότερον ἢ εἰς τὴν βλάστησιν ἐλθεῖν. ἐνδέχεται κἀκεῖνα λέγειν πρός γε τὸ καυλεῖν ὡς ἧττον ῥιζουμένων τῶν παλαιῶν· εἰς δὲ τὸ ἀνώμαλον φερομένων, ταχεῖαν ποιεῖ τὴν τελείωσιν· ὥσπερ σχεδὸν καὶ ἐπὶ τῶν ὀλιγοχρονίων πάντων ἐστί· καθάπερ καὶ ἐπὶ τῶν τριμήνων λέγεται. τοῖς δὲ χρόνοις δῆλον ὅτι καὶ τὰς ἀκμάς, κατὰ τὰς φύσεις ἑκάστων ληπτέον. ἀλλὰ γὰρ ταῦτα μὲν, ὁμοιότητά τιν' ἀεὶ ἔχει· τὰ ἴδια καθ' ἕκαστον γένος αὐτὰ καθ' αὑτὰ λέγουσιν ἐπὶ πλέον. ἐκτέον δὲ τοῖς τῶν δένδρων καὶ πρὸς αὐτὰ καὶ πρὸς τὰ ἄλλα θεωροῦσιν. ἄτοπον δ' ἂν δόξειε καὶ ἀθαυμαστὸν, εἰ ἀπὸ τῶν ἀτελῶν ἔνια γόνιμα· καὶ ταῦτα δένδρων φύσεις μεγάλας οὕτως· οἷον, ἰτέας καὶ πτελέας· ἀτελὲς γὰρ τὸ ὠμόν. ἆρ' οὖν εἴπερ τοῦτ' ἀληθὲς, διαιρετέον τὴν τελειότητα τήν τε πρὸς ἡμᾶς καὶ πρὸς τὴν γένεσιν. ἡ μὲν γὰρ πρὸς τροφὴν, ἡ δὲ, πρὸς δύναμιν τοῦ γεννᾶν· ἔνια δὲ ἄτροφα, γεννητικὰ δὲ· τὰ δ' ἴσως ἀνάπαλιν· τάχα δ' ἐκεῖν' ἦ. πρὸς δὲ τὰ νῦν ἡ διαίρεσις. ὅτι τὴν πέψιν τιθέμεθα χρώμασι καὶ χυλοῖς καὶ πυκνότητι καὶ τοῖς τοιούτοις. ἐπεὶ τὸ ἡδῶδες μὲν ὑπάρχει καὶ τοῖς τῆς παλαιᾶς καὶ ἄλλοις ἄλλου τοῦτο κύριον· ἀλλὰ τὸ γεννᾶν· ἕκαστον γὰρ τὸ ἔργον κεῖται καὶ ταῦτα μὲν ὡς πρὸς ὑπόθεσιν. ἐκεῖνο δὲ ἀτοπώτατον, εἰ τελειούμενα γένους τινὸς, ἄγονα γίνεται τὸ ὅλον· καίτοι ἀπὸ σπέρματος γινομένου τοῦ δένδρου· καθάπερ ἐπὶ τῆς κυπαρίττου· τὸ γὰρ ἄρρεν γένος ὅλως ἄγονον. πολλὰ δὲ καὶ τῶν θηλειῶν. ἐπεὶ τό γε μὴ καρποφορεῖν ἔνια τῶν ὁμογενῶν ἧττον ἄτοπον· καὶ πάλιν ἐπὶ τῶν σπερμάτων αὐτὸ τὸ στερεωθὲν ἄσπορον. ἀλλ' ἴσως τοῦτό γε καὶ ἀναγκαῖον. τὸ δὲ μηδὲν ὅλως γόνιμον ὥσ-

παρ' ἐλέγχει τὴν φύσιν· ὅτι καὶ μάταιον· ὃ καὶ ἡμῖν ὑπεναντίος
πρὸς τὰ πρότερον· καὶ τὰ μὲν τῆς πτελέας ἀμφισβητούμενα
καὶ τῆς ἰτέας· ὁ δ' ἐρινεὸς ὁμολογουμένως γόνιμος· καὶ ἄπεπτος
εἰς τὴν ἡμετέραν τροφήν· γόνιμος δὲ καὶ τὸ τοῦ θύμου ἄνθος καὶ ἄλ-
λων, ἃ πρὸς τὴν ἡμετέραν αἴσθησιν ἀφανῆ· τὸ δ' ἄνθος μόνον φα-
νερόν· ἀλλὰ τὰ μὲν τῶν δένδρων ἢ τινῶν τε, καὶ ἄλλας ἴσως ἀ-
πορίας ἔχει· καὶ γὰρ τὸ περὶ τοὺς φοίνικας ἄτοπον καὶ λόγου
δεόμενον· καὶ τὸ οὕτως ἀμενηνὰ τινὰ εἶναι τὰ σπέρματα, κα-
θάπερ καὶ τῆς κυπαρίττου· τὰ γὰρ τοιαῦτα δίδωσί τινα ἔννοιαν
καὶ ὑπὲρ τοῦ μὴ ἔχειν ἔνια τροφὴν πρὸς ἑαυτοῖς· πλὴν ἴσως ἄλ-
λοις ἅμα καὶ ὕλη καὶ τροφή· καὶ ἱκανόν τισιν ἂν ἔχοι τὸ διατηρῆ-
σον· ὑπὲρ δὲ τῶν σιτηρῶν καὶ ὅλως τῶν ἐπετείων, αἱ μὲν τοιαῦ-
ται διαφοραὶ ἑτέροις· οἷον, αἱ κατὰ τὰς βλαστήσεις καὶ τελειώσεις καὶ
τὰ λοιπὰ πάθη τὰ συμβαίνοντα τοῖς τοιούτοις· περὶ δὲ τῆς ἐξ-
αλλαγῆς· εἰς ἕτερον γένος, ὥσπερ ἐκ πυροῦ εἰς αἴρας· καὶ εἰ δὴ πά-
λιν τῶν αἰρῶν, εἰς πυρούς, καὶ τῆς ζειᾶς εἰς βρόμον, ἄτοπον αὐτῷ τῷ
συμβαίνοντι κατὰ τῶν ἰδίων· μόνα γὰρ δὴ ταῦτα μεταβάλλειν τῶν σπερ-
μάτων φύσις ὡς· ὁ γὰρ ἐκ τῆς τίφης καὶ τῆς ζειᾶς πυρὸς παρα-
σκευαστῶς καὶ τέχνῃ· καθάπερ οἱ τὰ σπέρματα προβρέχοντες εἰς
τὴν γλύκανσιν· ἄτοπον δὲ πρὸς τὰ μόνα καὶ ὅτι ἰσχυρότερα δοκοῦντα τῶν
χεδροπῶν εἶναι· τὸ γὰρ ἀσθενέστερον, ἀφθαρτότερον· φθορὰ δέ τις ἡ ἔκ-
στασις, καὶ μᾶλλον πυρὸς ἢ κριθὴ ἰσχυρότερον· ἔτι δὲ τὰ μὲν ἰσχυ-
ρότερα, εἰς τὸ ἀσθενέστερον μεταβάλλει· ἡ δὲ αἶρα, καὶ πυροῦ καὶ
κριθῆς ἰσχυρότερον· ὥσθ' ἅμα συμβαίνει κατὰ τὸ παρὰ φύσιν τοῦ
κατὰ φύσιν ἰσχυρότερον· ἡ δὲ διαφθορὰ καὶ ἡ μεταβολὴ δυοῖν
θάτερον· ἢ ἐν τοῖς σπέρμασιν ἢ ἐν τῇ χλόῃ· σπέρματος μὲν οὖν
γαλάκτωσις· σῆψις· ὅλως διάχυσις· ὧν οὐδὲν φύσει· μόνη δὲ χλόη
ῥιζωθέντων ἤδη· τὰς δὲ ῥίζας μεταβάλλειν ἄτοπον· ὅθεν δὴ τοῖς
τοιούτοις περιπεπεισμένοι τινὲς ὡς ἀλόγοις, ὅλως οὐδὲ γί-
νεσθαί φασι τὴν ἔκστασιν, ἀλλ' ὑπὸ ὀμβρίας φύεσθαι συνίστα-

σθαι τὴν

ἔξω τὴν αἶραν, ὃ καὶ καθ' αὑτὴν φαίνεται ποιοῦσα. μὴ σπειρομένων πυρῶν ἢ κριθῶν ἐν ταῖς ἐπομβροτάταις χώραις. αἱ μὲν οὖν ἐναντιώσεις αὗται δοκοῦσιν ἐλέγχεσθαι τοῖς ἔργοις. πολλοὶ γὰρ ὥς φασι σπείροντες πυροὺς ἢ κριθὰς, ἐθέρισαν αἴρας. τὴν δὲ ἐξέτασιν καὶ τὴν μεταβολὴν, θείη μὲν ἂν ἀμφοτέρως γίνεσθαι. καὶ τοῦ σπέρματος ἀλλοιουμένου καὶ τῶν ῥιζῶν. ἡ γὰρ ἐν τῇ χλόῃ μεταβολὴ, διὰ κείνας. συμφυεῖς δ' οὔσας, οὐκ ἄλογον συμπάσχειν. ἐπεὶ γὰρ σπέρμα διαφθαρὲν, οὐ φύσιμον ὅλως ἦν. τοῦτο μὲν κοινόν. οὐδὲ γὰρ ῥίζαι φθαρεῖσαι τρέφοιεν ἄν. τὴν δὲ τοῦ σπέρματος φθορὰν, οὐδὲ μίαν τῶν εἰρημένων ὑποληπτέον σῆψιν ἢ γαλάκτωσιν, ἀλλ' ἑτέραν. ἢ γίνεται διὰ πλῆθος τῆς τροφῆς ἐκ τημένων. αὕτη δὲ τὸ μὲν ὅλον, οὐκ ἀπόλλυσι. μεθίστησι δὲ εἰς ἕτερον ἐπικρατοῦσά πως τῆς ἀρχῆς. τὸ δὲ συμβαῖνον ὅμοιον, τρόπον τινὰ καὶ ἐπὶ τῶν ζώων, ὡς κατὰ τὴν ἀναλογίαν ἢ τὸ θῆλυ κρατήσῃ τοῦ ἄρρενος, ἢ ἔτι μείζων ἐναλλαγὴ γένηται πρὸς τὴν παρὰ φύσιν. δεῖ γὰρ δὴ τὴν γῆν ὥσπερ τὸ θῆλυ νοῆσαι, καὶ τὸ ἀνάλογον οὕτω λαμβάνειν. ὅταν οὖν ἐκ ταύτης ἡ τροφὴ πλείων γίνηται διὰ τὰς ἐπομβρίας, τότε τὴν ἔκστασιν συμβαίνειν. οὐ φθείρουσαν μὲν ὅλως τὴν γεννητικὴν δύναμιν, ἐξαλλοιοῦσαν δ' εἰς ἑτέραν. εὐζώου δὲ τῆς φύσεως οὔσης (εὐζωότερα γὰρ πολὺ ταῦτα τῶν ζώων) εὔλογον καὶ διαμένειν μᾶλλον ταύτην. ἐπεὶ καὶ ἄνευ σπερματικῆς ἀρχῆς αὐτόματα πολλὰ συνίσταται, καὶ ἐκ τῶν ἐλαττόνων καὶ τῶν μειζόνων φυτῶν. ὅθεν καὶ τοῦτο ἂν εἴη φανερὸν, εἴ τις ἀκολουθήσει τῇ ἀναλογίᾳ, διότι τῇ τῶν σπερμάτων ἀλλοιώσει καὶ οὐ τῇ τῆς χλόης μεταβολῇ. καὶ γὰρ ἐπὶ τῶν ζώων οὕτω γίνεται, καὶ ἅμα δὴ τότε ἀσθενέστατον, ὅταν ἐν μεταβολῇ τυγχάνῃ τῇ κατὰ τὴν βλάστησιν. ἤδη δ' ἐκβεβλαστηκὸς ἐρριζωμένον ὥσπερ γέγονε. τούτου δὲ καὶ μείωσις εἰς αὔξησιν καὶ τροφὴν ἢ καὶ τὴν ὅλην φθορὰν, οὐκ εἰς μεταβολήν. ἔτι δὲ καί φασιν οἱ ἔμπειροι φανερὸν εὐθὺς εἶναι τὸ φύλλον ἀνατέλλον τῆς αἴρας λιπαρώτερον

καὶ ποωδέστερον καὶ στενώτερον, καὶ οὐχ ὕστερον τοιοῦτο γινόμενον· ἐκ μὲν οὖν τούτων δόξειεν ἂν τοῖς σπέρμασιν· οὐ μὴν, οὐδὲ θάτερον ἀδύνατον ἢ ἄλογον. ὥστε ἐν τῇ χλόῃ μεταβάλλειν ἀλλοιουμένων τῶν ῥιζῶν· τοῦτο γὰρ ἀνάγκη συμβαίνειν· ὥσπερ τῶν δένδρων ὅσα μεταβάλλει ταῖς θεραπείαις τοὺς καρποὺς ἐξ ὀξέων καὶ πικρῶν εἰς γλυκεῖς καὶ ποτίμους, ἢ ἐκ πολυπυρήνων ἀπυρήνους. ἡ δ' αἰτία τῆς μεταβολῆς ὁμοίως καὶ ταύτης περὶ τὴν τροφήν, ὅταν ἐπιμέλειαι γίνωνται. καὶ ὥσγε δέ τινές φασι μάλιστα τοῦτο ἦρος, ἐὰν ἥλιοι συνεπιλάμψωσιν, ὡς ἐξ ἀμφοῖν γινομένης τῆς μεταστάσεως· ἐνιαχοῦ γὰρ ἔν τισι τόποις εἰώθασιν ὅλως τοῦτο συμβαίνειν· καὶ τότε φύλλον μεταβάλλειν· ὥστε πᾶσιν εἶναι φανερόν. ἐὰν δὲ τὰ ἐαρινὰ μὴ γένηται, πολὺ γίνεσθαι πυρῶν πλῆθος· ὥστε τοῦτο μὲν οὐδετέρως ἄλογον. εἰ δὲ τὸ ἀμφοτέροις συμβαίνει, τάχ' ἂν οὐδ' ἄτοπον εἴη· διαφορὰν δέ τινα εἶναι, ὡς αἴρας δεῖν καὶ τῶν ἐδαφῶν καὶ τοῦ ἀέρος· ἐπεὶ καὶ σπαρέντων εὐθὺς μετὰ λήψιν βλάβη πολυυδρίαν ἐπιγίνεσθαι· συμβαίνει γὰρ ἀσθενεστέρας εἶναι τὰς ῥίζας· τὸ δ' ἀσθενὲς, εὐπαθέστερον. ἡ μὲν οὖν ἐξαλλαγὴ, διὰ τοῦτ' ἂν εἴη· τὸ δὲ μόνα ταῦτα πάσχειν, ἔτι δ' ἰσχυρότατα δοκοῦντ' εἶναι (καὶ γὰρ ἡ ζειὰ ἰσχυρὸν) μιᾷ τινι λύοιτ' ἂν αἰτίᾳ καὶ τοιαύτῃ· διὰ γὰρ τὸ πολυρριζότατα καὶ ἰσχυρότατα εἶναι, πλείστην ἔχοντα ὑπομένει· τὰ δ' ἄλλα, φθείρεται τελέως. ἔτι δὴ ὥρα καθ' ἣν ὁ σπόρος, ἐπομβροτέρα καὶ πλείω χρόνον ἐν τῇ γῇ γίνεται· τὰ δὲ περὶ τὸ ἔαρ καὶ διαγελῶντος ἤδη τοῦ ἀέρος, ἐν εὐκρασίᾳ μᾶλλον, καὶ εὐθὺς εἰς τὴν βλάστησιν ἡ ἀναδρομή. διὸ καὶ οὐδέτερον οὐδὲν εἰκὸς τῆς διαφορᾶς αὐτῶν ἄν ποτε διαφθαρῇ γίνεται. τὸ μὲν γὰρ καὶ τὴν αἶραν ἀξιοῦν, ἄτοπον· εἰς γὰρ τὸ σύνεγγυς καὶ ὁμογενῶς πως αἱ μεταβολαί. τὸ δὲ μὴ δὲ εἰς ἕτερον μὴ δ' εἰς ἀσθένειαν ἀκτέον ὡς ὅλως φθειρομένων, ἀλλὰ τοῖς ὁμοιοπύροις ἂν εἴη τὸ ὁμοιο κρίθοις μᾶλλον εἰς στεῖραν· φυτῶν δὲ τὰ μὲν ὅλως οὐχ ὑπομέ

νει διὰ τὴν ἀσθένειαν, ὥσπερ ἡ τίφη. τὰ δὲ εἰς τὸ συγγενὲς μᾶλλον μεταβάλλει. καθάπερ ἡ ζειὰ πρὸς τὸν βρόμον. ὁ δὲ πυρὸς, εἰς τίφην οὐ μεταβάλλει καὶ ζειὰν ἐξαμβλούμενος. ὅτι πλείων ἡ τροφὴ καὶ ἰσχυροτέρα δὴ ἣν συμβαίνει. τοιαύτη δ' οὖσα, οὐκ ἂν ἐκθηλύνειεν, οὐδὲ εἰς τὸ σφοδρότερον ἀγάγοι, καὶ ὅλως ἐκστήσειε τοῦ γένους. ἐπεὶ μᾶλλον ἄν τις εὐλόγως θαυμάσειεν. ὅτι οὐκ εἰς τὸν ἄγριον πυρὸν. ὥσπερ καὶ ἄλλα. τυγχάνει δὲ καὶ τούτου παραπλησία τις ἡ αἰτία. μετακινεῖ γὰρ ἁπλῶς ἡ φύσις. ἄτοπον δὲ καὶ λόγου δεόμενον. εἰ καὶ τὸ λινὸν ἐξαιροῦται. μεγάλη γὰρ ἡ διάστασις, εἰ μὴ ἄρα καὶ τοῦτο τῆς τροφῆς ὁλκόν. φιλεῖ γοῦν χώραν ἀπαθῆ. ὥστ' ἐκ τῆς ὑπερβολῆς ἡ διάστασις. ὁ δὲ θερμὸς, ἰσχυρὸς ὢν καὶ πρώϊος ἐξαιρούμενος, οὐδὲ εἰς ἓν μεταβάλλει διὰ τὴν ἄγαν ἰσχύν. ἐπικρατεῖ γάρ. δεῖ δὲ τὸ μέλλον μεταβάλλειν μὴ ἀπαθὲς εἶναι. μήτε ἄγαν εὐπαθές. τὸ μὲν γὰρ οὐ μετακινεῖται. τὸ δ' ὅλον ὡς αὖον φθείρεται καθάπερ ἐλέχθη. σκεπτέον δὲ καὶ εἴ τι τῶν ἄλλων σπερμάτων ἢ τῶν ἀγρίων ἢ τῶν ἡμέρων δέχεται τὴν τοιαύτην ἀλλοίωσιν. καὶ περὶ μὲν αἰρῶν, ἀρκείτω τὰ εἰρημένα. τὰς γὰρ ἐν αὐτοῖς τοῖς γένεσι τῶν πυρῶν μεταβολὰς, οἷον ἐκ τοιῶνδε τοιοίδε γίνονται, καὶ κριθαὶ καὶ τἆλλα ὡσαύτως οὐκ ἔστι. ζητεῖ μὲν οὖν εἰ τοῦτ' ἔχει τὸ θαυμαστόν. ἡ γὰρ ὥρα καὶ αἱ τροφαὶ καὶ ὁ ἀὴρ καθάπερ εἴρηται ποιοῦσι τὰς ἀλλοιώσεις, ὁμοίως ζώων καὶ φυτῶν. ἢ καὶ πρὸς τὴν ἔκστασιν ὅλως τοῦ γένους χρῆναί φαμεν μετενεγκεῖν. ποιάν τινα καὶ πόσην ποιήσαντες τὴν τροφήν. ἐπεὶ καὶ τῶν δένδρων καὶ ὅλως τῶν φυτῶν αἱ ἐν ταῖς ἱστορίαις εἰρημέναι μεταβολαὶ, διὰ ταύτας γίνονται τὰς αἰτίας. ὥσπερ ἐν τοῖς πρότερον ἐλέχθη, τῶν μὲν ὑποτροφούντων ἐν ταῖς οἰκείαις τροφαῖς καὶ θεραπείαις. ὥσπερ τὸ σισύμβριον ὅταν εἰς μίνθην. ἀπόλλυται γὰρ τὸ δριμὺ τῆς ὀσμῆς καὶ οἷον ἀποθηλύνεται. διὰ

τὴν ξοφὴν δὲ καὶ ἀργίαν ἡ ἀπαγρίωσις· ἔνια δ᾽ ὅλως καὶ ἀπὸ λ-
λισιν, ὥσπερ τὴν μίνθαν καταπνιγομένων τῶν ῥιζῶν ὑφ᾽ αὑτῶν.
ἡ δὲ λεύκη, τὸ μὲν ὅλον οὐ πόρρω τῆς αἰγείρου τῇ ὅλῃ μορφῇ καὶ
τοῖς φύλλοις· ἀπογηράσκουσα δὲ ἐξομοιοῦται, τὰ κατὰ τὰ ξηρὰ
νεάζειν καὶ μᾶλλον ἀξοφεῖν, οὐκ ἄλογον· ἀλλὰ περὶ μὲν τούτων, ἐν
ἄλλοις διὰ πλειόνων εἴρηται. ὅτι δὲ καὶ τὰ περὶ τὰ ζῶα κατὰ
μὲν τὰς γενέσεις τοιοῦτό τι συμβαίνει. τελεωθέντων δὲ τῶν μο-
ριῶν οὐκέτι, πλὴν εἴ τις τὰς κατὰ τοὺς ὄρνιθας ἀλλοιώσεις, ἅ-
μα τοῖς γινομένοις ὁρᾶν λέγει· φαίνονται γὰρ αὗται ταῖς τε πάθεσι μᾶλ-
λον ὅμοιαι σωματικοῖς ἢ μεταβολαῖς. τῶν δὲ ἄλλων τῶν περὶ
τὰ σπέρματα μάλιστα πόρρω, εἴπερ ἀληθὲς τὸ παρὰ μέρος
καὶ μὴ ἅμα γίνονται ἔνια· καθάπερ ἐπί τε τοῦ αἰγίλωπος λέγε-
ται καὶ τοῦ λωτοῦ καὶ τοῦ βολβοῦ· τοῦτο δ᾽ οἱ μέν φασιν εἶναι ψεῦ-
δος· ἀλλ᾽ ἀπὸ τῆς ῥίζης βλαστανόντων τῶν ὕστερον ἔτι ἀπὸ τοῦ σπέρ-
ματος ἐναπολαμβανόντων· οἱ δ᾽ ὡς ἀληθῶς διάκειν ταῦτα σημεῖα
φέροντες, ἀλλά γε καὶ οἱ ἀπολύοντες τὸν αἰγίλωπα, δι᾽ ἔτη εἰς
τὸν ἀργὸν ποιοῦσιν· ὅπως ἀμφότερα τὰ σπέρματα ἐκβλα-
στήσῃ ἐπιμεμιγμένα τε καὶ ἐκθεριασθῇ. τὸ ὅλον ὁ καρπὸς ἔχει δέ τινα,
καὶ ἄλλως ἀπορίαν ἡ παρ᾽ ἔτος βλάστησις· καὶ εἴπερ συνεχὲς
ὂν καὶ δίκρουν ὥσπερ φαίνεται καὶ ἅμα τὸ πλεῖον, τὸ μέν, ἀλλοιοῦ-
ται καὶ διαβλαστάνει· τὸ δ᾽ ἀπαθὲς διαμένει πάντα τὸν ἐνιαυ-
τόν· ὅσῳ γὰρ ἀσθενέστερον τὸ ἔλαττον, ὃ δή φασι διαμένειν, το-
σούτῳ καὶ ἀπαθέστερον ἔχειν εἶναι καὶ εἰς τὴν διαβλάστη-
σιν καὶ εἰς τὴν ὅλην φθοράν· ἀνάγκη δὲ δῆλον ὅτι καὶ ὅταν
ἐκβλαστήσῃ θάτερον χωρίζεσθαι· μὴ γὰρ χωρισθέν, καὶ εἰ μὴ γίνε-
ται συμπαθές· ἀλλ᾽ ἐξαιρουμένων γε τῶν ῥιζῶν, συναιροῖτ᾽ ἄν.
πολλάκις δὲ τοῦτο δρῶσιν οἱ γεωργοί· καὶ οὔ φασι φθείρεσθαι. τὸ δὲ
διαρκεῖν ἀπαθὲς ἐν τῇ γῇ, μέχρι μὲν τῆς οἰκείας ὥρας εἰς τὴν
ἔκφυσιν, εὔλογόν τι καὶ ἐπὶ πολλῶν γινόμενον· τὸ δ᾽ ὅλον ἐνιαυ-
τὸν ἐπέχειν, ἤδη θαυμασιώτερον. ἀλλὰ μὴν καὶ τὸ μέν, τέλεον·

τὸ δὲ ἀτελὲς αὐτῶν εἶναι. τελειοῦσθαι γὰρ ὥσπερ ἐνιαυτὸν, ἄλογον. οὔτε γὰρ ἀσθενὲς, ἀλλ' ἰσχυρὸν ὁ αἴτιλωψ. ὥστε ἐκτελεῖν δύνασθαι πλείω καὶ ἅμα δὴ καὶ τὸ ἀσθενέστερον τοῦτο δρᾷ. ἥ τε αὐτὴ τελείωσις ἡ κατὰ φύσιν οἰκειοτάτη. τάχα δὲ καὶ μόνη. τροφὴν γὰρ τότε λαμβάνει τι αὐτοῦ. διὰ δὲ τὴν τροφὴν, ἡ αὔξησις καὶ τὸ τέλειον. χωρισθὲν δὲ, ἤτοι φθείρεται παντάπασιν, ἢ ἀναυξὲς καὶ ἀνεπίδοτον. τὸ δ' αὖ πολυχρόνιον εἶναι ἐν τῷ βρόμῳ ἐν τῇ ζειᾷ συμβέβηκεν. ὥστε χρὴ καὶ ταῦτα διαμένειν, ἀπαθῆ τὰ μὲν ὄντα αὐτιμένον, σχεδὸν ταῦτ' ἐστίν. ἀλλὰ μὴν εἰ δεῖ λέγειν τὴν αἰτίαν, ἐκείνην ἄν τις ἴσως μάλιστα εἴποι τὴν φάσκουσαν μὴ τελεῖν ἄμφω πρὸς τὰ φύσιμα ποιεῖν. ἀλλ' ὅμοιόν τι ξυμβαίνει καὶ τῶν ὠοτόκων καὶ τῶν σκληροτάτων τισί. τὰ γὰρ ὠὰ ἀποτικτόμενα τρέφεται καὶ ἐκτελειοῦται. τὰ μὲν ἐν τῷ ὕδατι καὶ τῇ θαλάττῃ. τὰ δὲ ἐν τῇ γῇ καὶ τῷ ἀέρι ἐν αὐτᾷ δεχόμενα ζωοποιεῖ. τὰ δὲ φύσαντα καὶ ἐκτικόντα, ἔξω δύναται. φαίνεται δὲ τοῦτό γε καὶ ἄλλως ἀληθὲς, ὡς οὐκ εὐθὺς ἀπολυθέντα τὰ σπέρματα βελτίω τῶν χρονισθέντων. ἔνια γὰρ τὰ νέα τῶν ἕνων ὥσπερ ἔτι ὄντα. ἀλλὰ δεῖ τινα λαβεῖν ἐν ἑαυτοῖς οἷον πέψιν καὶ δύναμιν, ἀποπνεύσαντος τοῦ ἀλλοτρίου. τί οὖν ἴσως ἄν τις φαίη κωλύει ἐπὶ τῶν ἀπηρτημένων τοῦτό τι συμβαίνειν. ὥστε ἐν τελέως λαμβάνειν καὶ δύναμιν ἐκπεττόμενα ὑπὸ τῇ θερμότητι τῇ τε ἐν ἑαυτοῖς ἐν τῇ περιεχούσῃ. ἢ τοῦτο παράλογον, ὡς μᾶλλον ἐν τῇ γῇ κατακλειομένη ἡ θερμότης ἐκπέττει τὴν τροφὴν ἢ ἐπισπᾶται, καὶ δὴ αὐτὸ τὸ ἐν τῷ ἀέρι ἄνευ τοῦ πεφυκότων ἐν τούτῳ τελειοῦσθαι. καὶ ἅμα λαμβανόντων τροφὴν οὐκ ὠμὴν ἀλλὰ πεπεμμένην ὑπὸ τοῦ καυλοῦ καὶ τῶν ῥιζῶν. ἔτι γὰρ τῶν μὲν ὠῶν μία τις ἡ πέψις καὶ τελείωσις ἁπάντων. εἴθ' ὑπὸ τῶν ἔξω. συμβαίνει γὰρ ὥσπερ τὸ μὲν, κατὰ φύσιν. τὸ δὲ, παρὰ φύσιν καὶ ταῦτ' ἰσχύοντος ἔτι τοῦ φυτοῦ καὶ οὐ περιλαμβανομένου τῇ ὥρᾳ πρὸς τὴν πέψιν. πλὴν εἴ τις λέγοι ὅτι προεκπηδᾷ τὰ σπέρματα πρὶν τελειωθῆναι. διὰ τὸ τὴν φύσιν ἔχειν ἀσθενῆ. συμβαίνει μὲν

δὴ τοῦτο, καὶ πολὺ προτερεῖ καὶ τῶν κριθῶν, ὥστε κοινὸν εἶναι τὸν κάλαμον. τοῦτο τε οὖν εἰς τὴν οὐσίαν ἀνακτέον. καὶ τὸ συνεκτρέφεσθαι δὲ καὶ τελειοῦσθαι τοῖς περιέχουσιν, οὐκ ἄλογον. ἐπεὶ, τό γε διαμένειν ἀπαθῆ, ἄλλως τε καὶ ἐν χιτῶσι τοσούτοις, ἧττον θαυμαστόν. πολλαχοῦ γοῦν φαίνεται καθάπερ ἐλέχθη καὶ τῶν ἄλλων. μᾶλλον δὲ πάντα διατηρούμενα πρὸς τὴν οἰκείαν ὥραν. ἐκεῖνο γὰρ ἔτι θαυμασιώτερον ὅπερ εἴρηται περὶ τῶν τευτλίων. ὅτι οὐ μόνον ἐν μιᾷ ἢ δυοῖν ἢ τρισὶν ὕστερον. ἀλλ' ἐνίοτε αὐτῷ διαβλαστάνει τινά. καὶ ταῦτα βρεχομένου καὶ κινουμένου τοῦ τόπου. ἔτι δὲ καὶ τὸ τοῦ λωτοῦ σπέρμα τοιοῦτον, ἥ γε περιέχει τὸν καρπὸν, διὰ τὸ μὴ εὐχώριστον εἶναι μηδ' ὁμοίως ἀποδρύπτεσθαι. τὸ δὲ τοῦ βολβοῦ καὶ τοῦ μεγέθους διαφορὰν σκεπτέον δ' ὑπὲρ αὐτοῦ. εἰ οὖν οὕτως ἔνια δυσφυῆ τῶν σπερμάτων τι, ὥστε πολλοῖς ὕστερον χρόνοις ἀνατέλλειν, δῆλον ὅτι ταῦτα πέττεται καὶ τελειοῦται πρὸς τὴν βλάστησιν ἐν τῇ γῇ. διὸ καὶ αὐτή τις ἂν εἴη συνεργοῦσα πίστις. ἀντιβαίνει δ' αὐτῇ τὸ καὶ πρότερον λεχθὲν, ὅτι καὶ τελειοῦταί τινα κατὰ τὴν πρόσφυσιν. ἃ καὶ σπειρόμενα διαβλαστάνει παραχρῆμα. μεῖζον δ' ἐστὶ καὶ τοῦ παρὰ τὰ σπέρματα καὶ τοὺς καρποὺς ἀπορημάτων, οὐχ ὑποπίπτον δὲ ὑπὸ τὴν αἰτίαν ταύτην, τὸ περὶ τὸ λωτὸν συμβαῖνον. τοῦτο δέ ἐστι δένδρον παρόμοιον ἔχον τὸν καρπὸν τῷ λωτῷ. καὶ τὸ περὶ τὸν τιθύμαλλον. καὶ τὸ περὶ τὸν μυρτίτην καλούμενον. τοῦτο δ' οὐ δένδρον. ἀλλὰ θάμνος ἐπιγειόκαυλος. ἀμφότερα γὰρ ταῦτά φασι παρὰ μέρος φέρειν ἐξ ἑκατέρων τῶν βλαστῶν. ὥστ' ἀνάγκη τὸν μερισμὸν τῶν δυνάμεων ἐν ταῖς ῥίζαις ποιεῖν. ἀλλὰ περὶ μὲν τούτων, ἐπισκεπτέον. τῶν δὲ σιτηρῶν σπερμάτων, εἴτινες διαφοραὶ κατὰ τὴν ἔκφυσιν ἢ τοὺς καρποὺς ἢ τὴν ἄλλην οὐσίαν, δεῖ πειρᾶσθαι λέγειν. οἷον ὅτι πυρὸς μὲν καὶ κριθὴ καὶ τὰ ὅμοια προρρεῖ. τὰ δὲ χεδροπὰ πρὸς τὸ ἔαρ. πλὴν κυάμου καὶ θέρμου. τοῦτο γὰρ ποι-

οἴσειν, ὅτι τὰ μὲν σιτώδη ῥιζωθῆναι δεῖ, πρότερον τὸ μονόκωλα γί-
νεσθαι, τῆς ἀναφορᾶς εὐθὺς ἄνω γινομένης. ῥιζοῦται δὲ κατεχό-
μενα καὶ πιλούμενα τοῖς χειμῶσιν, ὥστε πολλὰς ἀρχὰς λαμ-
βάνειν τῆς βλάστης. τὰ δὲ χεδροπὰ μονόρριζά τε καὶ ἰσχυρόρριζα,
καὶ εὐθὺς τὴν ὁρμὴν ἄνω ποιούμενα, προσφόρως ἔχει τῇ ὥρᾳ. τὸ
γὰρ πολὺ τῆς φύσεως ἐν τῷ ἀέρι. τὸν δὲ κύαμον πρωϊαίτερον σπείρουσιν
ὥσπερ εἴρηται διὰ τὴν ἀσθένειαν, ὅπως ῥιζωθεὶς ἐν ταῖς εὐδίαις, ἀν-
τέχῃ τοῖς χειμῶσι. τὸν δ' ἀνθέρμον εὐθὺς ἀπὸ τῆς ἅλω. διότι μὴ κα-
ταληφθεὶς θερμῆς ἔτι οὔσης τῆς γῆς, κακοβλαστὴς γίνεται. τού-
του δ' αἴτιον ὅτι ἀτέραμον φύσει καὶ ὥσπερ ἄπεπτον. δηλοῖ δὲ ἡ πι-
κρότης, διότι πολλῆς δεῖται θερμότητος. ἐὰν μὲν οὖν προσλάβῃ τὴν
ἐκ τῆς χώρας, δύναται κατεργασθῆναι καὶ εὐβλαστεῖν. εἰ δὲ μή, κακο-
βλαστεῖ. καὶ παρόμοιον τὸ συμβαῖνον, ὥσπερ εἴ τις ὀλίγῳ πυρὶ τὸ
ἰσχυρότατον ἐκεῖνο ὀπτᾶν ἐπιχειροίη. διὰ τοῦτο δ' ἔοικεν οὐδὲ τὴν ἀσα-
θῆ χώραν φιλεῖν, ἀλλὰ τὴν ὕφαμμον, εὐθρυπτοτέρα γὰρ αὕτη ἐστὶ
καὶ εὐκατεργαστοτέρα. καὶ κρύπτεσθαι οὐκ ἐθέλει κατὰ βάθους, ἀλλ' ἐπιπο-
λῆς, ὅπως μᾶλλον ἀπολαύῃ τῆς θερμότητος, καὶ ποτιμωτέρου καὶ με-
τρίου ὢν ἐκβλαστάνῃ καὶ καθιστῇ τὴν ῥίζαν. καὶ τὰ μὲν τοιαῦτα
σχεδὸν ὥσπερ γεωργικά. τὰ δὲ αὖ τῆς φύσεως. οἷον ὅτι τῶν μὲν χε-
δροπῶν ἐκ ταὐτοῦ μέρους ἥ τε ῥίζα καὶ ὁ καρπὸς ἐκβλαστά-
νει. καὶ τὸ μέν, εὐθὺς ἄνω. τὸ δέ, κάτω νεύει καὶ ὁρμᾷ. πυροῦ δὲ καὶ
κριθῆς καὶ ὅλως τῶν σιτωδῶν, ἐξ ἑκατέρων τῶν ἄκρων. ἀπὸ μὲν
τοῦ παχέος καὶ πρὸς τῷ στάχυϊ προσπέφυκεν ἡ ῥίζα. ἀπὸ δὲ τοῦ
λεπτοῦ ὅθεν ὁ ἀήρ, ὁ καυλός. ὡς ἂν ἑκάτερον ἀνάλογον, τὸ μὲν
ἀπὸ τοῦ ἄνω, τὸ δὲ ἀπὸ τοῦ κάτω. καὶ γὰρ ἡ ῥίζα καὶ ὁ καυλός.
οὕτω καὶ τὴν αἰτίαν εὐθὺς ἐν τῇ φύσει ληπτέον. ὅτι τὰ μὲν χε-
δροπὰ ἄθυρα ὄντα, μίαν τινὰ καὶ τὴν αὐτὴν ἀμφοῖν ἔχει
κατὰ τὸ ἄκρον. ὃ καὶ φαίνεται προσπεφυκὸς ὥσπερ ἔξωθεν
ὄν. καὶ συνάπτουσι πρὸς τὸν λοβόν. ἅτε γὰρ ἐναγγειόσπερμα ὄντα
ταύτην μὲν ἐξ ἀνάγκης ἔχει. τρέφεσθαι γὰρ ἄλλως οὐκ ἦν. τὴν

δὲ ἐκ τοῦ αὐτοῦ μέρους οὐ δυνατόν· συνεχῆ τ' ἀλλήλοις ὄντα· τὰ περιεχόμενα τῷ λοβῷ· τὸ δ' εἶναι τοιαῦτα, τῆς οὐσίας· ὥστε τοῦτο μὲν εἰκότως ἡ φύσις εἰς ταὐτὸ τὰς ἀρχὰς ἔθηκε. τῶν δὲ σιτωδῶν καθ' αὑτά τε πεφυκότων καὶ περιεχομένων· ἔτι δ' ὥσπερ ἀθετοῦν πρόσοδον τῆς μορφῆς, ἐχώρισε τὴν ἔκφυσιν, ἀπὸ μιᾶς μὲν ἀρχῆς ἀμφοτέρας ποιήσασα, συνεχοῦς δέ τινος οὔσης καὶ διηκούσης ἐφ' ἑκάτερον τὰ ἄκρα, ὥσπερ καὶ κατὰ τὴν βλάστησιν φανερὰ διατείνουσα καὶ κατὰ τὴν ἐντομήν. τοῦ μὲν οὖν μὴ ὁμοίως ἔχειν, ταύτην ὑποληπτέον τὴν αἰτίαν. ἐκεῖνο δ' ὁμοίως ἐν ἀμφοῖν ἐστιν· ὥστε τὴν τῆς ῥίζης φύσιν ἀπὸ τοῦ αὐτοῦ, καὶ τὴν ἐν τῷ στάχυϊ καὶ τῷ λοβῷ γίνεσθαι πρόσφυσιν· ἀφ' ὧν ἀμφοτέρων αἱ τροφαί. τοῦ μὲν βαλσάμου, ἡ τῆς πρώτης βλάστης ἡ ῥίζα· τῶν καρπῶν ἡ πρόσφυσις ἥτε πρὸς τὸν λοβὸν καὶ πρὸς τὸν στάχυν. αἰτία δὲ τῶν καρυωδῶν καὶ βαλανωδῶν. τὰ μὲν περὶ τὴν ἔκφυσιν, οὕτως ἄν τις διέλοι. τὴν δὲ ταχυβλαστίαν, τοῖς χεδροποῖς ἀποδοίη τις διὰ τὴν ὥραν· ὅτι μαλακωτέρα καὶ γονιμωτέρα τῆς χειμερινῆς. ἀλλ' ἀμφοῖν ἕτερον αἰτιάσαιτο τὴν ἀσθένειαν· δῆλον καὶ σπειρόμενα πρὸς τὸ ἔαρ ἃ διαβλαστάνουσι θᾶττον. τὸ γὰρ ἀσθενέστερον ὥσπερ πολλάκις ἐλέγομεν, εὐπαθέστερον. τάχα δὲ καὶ τῆς πολυκαρπίας· πολυχούστερα γὰρ δὴ τὰ χεδροπὰ τὴν αὐτὴν ἢ παραπλησίαν· ἃ τοῦ θᾶττον δὲ ἐκτελεοῦν καὶ μὴ καρπίζεσθαι τὴν γῆν, ἀλλὰ νεὸν ποιεῖν· ἅπαντα γὰρ ταῦτα ἢ τὰ τοιαῦτα συμβαίνει σχεδὸν ὡς ἁπλῶς εἰπεῖν διὰ τὴν ἀσθένειαν. καὶ γὰρ ἐκθρέψαι καὶ τελειῶσαι ῥᾴδιον τὸ ἀσθενέστερον, ὡς ἅμα, καὶ πλεῖον καὶ τὴν γῆν ἧττον καρπίζεσθαι. καὶ τὴν ἔκφυσιν δὲ τὴν πρώτην ῥᾴω καὶ θᾶττω ποιεῖσθαι. πλὴν εἴ τι κωλύεται διὰ τὴν ἰσχὺν τοῦ περιέχοντος, ὥσπερ ὁ κύαμος· αἰτία γὰρ τούτῳ τῆς δυσφυΐας ἡ τοῦ κελύφους παχύτης. ἐὰν δὲ καὶ ἐκφυσήσῃ, συμβαίνει τι δυσφυέστερον ἔτι, καθάπερ ἐδαφιζομένης τῆς γῆς. ἐν δὲ τοῖς σιτηροῖς καὶ ταῦθ' ὁμολογούμενα, πρόσεστι χρονιότητα τῆς πέψεως καὶ πρὸς τὸν καρπισμὸν τῆς γῆς

οἷον

οἷον ἡ πολυρριζία καὶ ἡ λεπτότης τῶν καρπῶν· βραδέως γὰρ τὰ λεπτὰ καὶ ξηρὰ καὶ ἐν τοῖς δένδροις πεπαίνεται· διὸ καὶ πυροὶ κριθῶν ὀψιαίτεροι καὶ ὀλιγοχούστεροι· καὶ αἱ ῥίζαι δὲ τοῦ σιτηροῦ πολλαὶ καὶ κατὰ βάθους οὖσαι, καὶ τοῦ πιεζομένου μᾶλλον, οὐχ ὥσπερ τῶν χεδροπῶν ὅ,τι καὶ τοῦ γεωδεστέρου, καὶ ἡ ῥίζα μία, ἡ ἐπιπολῆς ἡ ἀραιὰ μανή· πάντα δὲ ταῦτα συνεργεῖ καὶ πρὸς πλῆθος καὶ τροφῆς, καὶ πρὸς κουφότητα τῆς γῆς· καὶ τὸ ὁμοίως καὶ τοῦ πιέζεσθαι πρὸς τὸ ταχυτῆτα πέψεως· ἅπασα γὰρ ἡ δύναμις ἀναφερομένη, οὐκ ἀντισπώσης τῆς ῥίζης, πλῆθος ἀποδίδωσι· καὶ συνεργοῦντος τοῦ ἀέρος, ἐκπέττει ῥᾳδίως· ἐπεὶ ὧν τὸ πλείων ἡ ῥίζα καὶ κατὰ βάθους, οἱ καρποὶ ξυλώδεις· ταχὺ δὲ ἐκκαρπίζεται τὰ ἐδάφη, καθάπερ ὁ ἐρέβινθος· διὸ καὶ μόνον οὐ τριένεον, οὐδ' ὅσα τῆς τυχούσης ὥρας· ἀλλ' ἀγαθῆς· ἄλογον δὲ ἐπὶ τοῦ πυροῦ φαίνεται, τὸ ταχὺ τελειοῦσθαι· εἴπερ ἐν τετταράκοντα ἡμέραις ἢ μικρῷ πλείοσι, τέλος· αἰτίαν δὲ αὖ τις ὑπολάβοι τὴν ἰσχὺν, ἣν δύναται τῶν τε ἄλλων κρατεῖν, καὶ πρὸς τοῦτο δὴ ἐκ. εἴπερ καὶ ὕδατος ἐλαχίστου δεῖται πρὸς τὸ διαβλαστάνειν μόνον· εἶτα αὐτὸς αὑτὸν ἐκτρέφει, εἰ μὴ ἄρα τι καὶ ἡ ἅλμη πρὸς τὴν τελείωσιν συμβάλλεται, καταξηραίνουσα τὴν ὑγρότητα τὴν πλείω τῆς συμμέτρου· φαίνεται δὲ συνεργεῖν πως τῇ γενέσει καὶ οἰκεῖον εἶναι· σημεῖον δ' ὅτι καὶ οἱ πρὸς τῇ θαλάττῃ βελτίους γίνονται· καὶ ὅτι καταπλυθείσης τῆς ἅλμης, ἀπόλλυνται καὶ ἐκζωοῦνται· δι' ἣν δὴ αἰτίαν μόνον, τοῦτο σκεπτέον· εἰ μὴ ἄρα τῆς οὐσίας· ἀλλὰ δὴ τούτων πέρι, τοιαῦται τινὲς αἰτίαι· μόνα δ' ἀπὸ τῶν ῥιζῶν ἀποφύεται τῷ ὕστερον ἔτει πυρὸς καὶ κριθή· καὶ αὐτά τε δὲ καὶ ἀπὸ τῶν εἰς κρᾶσιν σπαρέντων, ἑτέρου καλάμου παραβλαστάνοντος· αἴτιον δ' ὅτι μόνοις ὑπάρχει πλῆθος ῥιζῶν καὶ δύναμις· τὰ χεδροπὰ δὲ μονόρριζα καὶ ξυλώδη καὶ ἐπιπολῆς· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν καταπατουμένων ὑπὸ τῶν στρατοπέδων, ὥστε μηδὲν εἶναι δῆλον· ἐξ ἁπάντων δὲ οἱ στάχυες μικροὶ καὶ ἀτελεῖς, ἅτε παλιμβλαστεῖς ὄντες· περὶ δὲ τοῦ

εἶναι βραδύτερα τὰ χρόνια πρὸς τὰς τροφὰς ἢ τὸν σῖτον ἡμῖν, καίπερ ἐλάττω χρόνον ἐν τῇ γῇ γινόμενα. δοκεῖ δὲ καὶ πρὸς κουφότητα διαφέρειν τοῦτο. διὸ καὶ τῶν πυρῶν οἱ τρίμηνοι κουφότατοι, καὶ τῶν κριθῶν ὁμοίως. ὡς ἐλάττονος ὑπάρχοντος τοῦ γεώδους, διὰ τὴν βραδυτῆτα τοῦ χρόνου. τοῖς δὲ ἄλλοις ζώοις, καὶ προσφιλῆ καὶ ἄλυπα ταῦτ' ἐκείνοις καὶ χαλεπώτατα μᾶλλον. καὶ πάλιν ἃ ἡμῖν εὐκατέργαστα, ταῦτ' ἐκείνοις χαλεπώτατα. καίπερ ἰσχυροτέροις οὖσι. πολλὰ γοῦν ἀπόλλυται χορτασθέντα πυρῶν. καίτοι τὸ σιτῶδες ἐλάχιστον ἔχουσι. πρὸς δὲ ταύτας τὰς ἀπορίας, καὶ εἴ τις ἄλλη παραπλησία ταύταις, καθόλου μὲν καὶ κοινὴν τήνδε λαβεῖν χρὴ τὴν ἀρχήν. ὡς οὐ πᾶσι ταὐτὰ πρόσφορα κατὰ τὰς τροφάς. ἀλλ' ἑκάστοις κατὰ τὰς ἰδίας φύσεις. ὅπερ ἐν πολλοῖς μὲν φανερόν, ἐκ πλείστης δ' ἀποφάσεως ὡς εἰπεῖν τῶν γε γνωρίμων τὰ περὶ τὰς ἐλάφους. αἳ τοὺς ἔχεις ἐσθίουσιν, ὑφ' ὧν τὰ ἄλλα θνήσκουσι, πολὺ μείζω καὶ ἰσχυρότερα τὴν φύσιν ὄντα. καὶ ἐπ' ἄλλων δὲ τό γε τοιοῦτόν ἐστιν, ὥστ' ἀναιρεῖσθαι τοὺς πληγέντας ὑφ' ὧν οὐδὲν αὐτοὶ πάσχουσι. καθάπερ οἱ ὄφεις ὑπὸ τῶν σκορπίων. ὑπόκειται μὲν οὖν τούτου καὶ τῶν ἄλλων γεωδεστέρας τροφῆς χρωμένων, οὐκ ἄλογον ἐκείνην μᾶλλον αὐτοῖς ἁρμόττειν τὴν ἀλλοτριωτέραν εἶναι καὶ ἀπρόσφορον. καὶ διὰ τὴν γλυκύτητα καὶ τὴν ἡδονήν, πλείω προσενεγκαμένων ῥήγνυσθαι. τοῦτο μὲν οὖν καθόλου καὶ κοινόν. ἴδιον δέ τι καὶ συμβαίνει τὰς κοιλίας ἐκπνευματοῦσθαι, ἢ πᾶσιν, ἢ τοῖς ἔχουσιν ἐχῖνον. φυρῶδες γάρ τι καὶ οὐκ εὐκατέργαστον ὁ πυρὸς ὠμὸς ὤν. ἔτι δ' ἧττον τὸ ἄχυρον. μέγα δὲ καὶ τὸ ἀσυνήθεις εἶναι. τὰ γὰρ ξένα, κἂν ᾖ κοῦφα, διαταράττει πλῆθος λαμβάνοντα. διὰ δὴ ταύτας τὰς αἰτίας ὡς ἁπλῶς εἰπεῖν, οὐκ ἀλόγως μὲν ἔχει, δοκεῖ δὲ τῇ παραλλαγῇ. ὡς δὲ ἁπλῶς εἰπεῖν τύπῳ πρὸς βαρύτητα καὶ κουφότητα τροφῆς, καὶ ἡμῖν, καὶ τοῖς ἄλλοις, τοῖς καὶ φύσεως ἑκάστης οἰκείοις, αἱ χῶραι καὶ ὁ ἀὴρ ποιεῖ τὰς διαφοράς.

τὰ μὲν γὰρ ἐκ τῶν εὐδιεινῶν καὶ εὐπνόων καὶ λεπτογείων, κουφότερα· τὰ δὲ ἐκ τῶν ψυχρῶν καὶ ἐνόμβρων, βαρύτερα, διὰ τὸ πλείω τροφὴν καὶ ἰσχυροτέραν ἔχειν· καὶ διὰ τοῦτο τὸν μὲν ἄλλου πυροῦ δοκεῖ τὸν ἀθήναζε καταπλέοντος, ὁ σικελικὸς ἰσχυρότατος εἶναι· τούτου δ' ἔτι βαρύτερος μᾶλλον ὁ βοιώτιος, ὥσπερ ἐν ταῖς ἱστορίαις εἴρηται· καὶ γὰρ ἡ χώρα πίειρα· καὶ ὁ ἀὴρ ψυχρός. καὶ τὰ ἄλλα δὲ τὰ τῶν καρπῶν παραπλησίως ἔχει τῇ βαρύτητι· ἐν δὲ τοῖς πισσάταις ὁ διαξέξη γινύων, ὃν εἴπομεν, ὑπερβάλλων δηλονότι τῇ βαρύτητι· ὁ δὲ ποντικὸς κουφότατος, καὶ σκληρότατος καίπερ ψυχροῦ τοῦ ἀέρος ὄντος, ὅτι καὶ τὰ σπέρματα καὶ τὰ ἐδάφη κουφότερα, καὶ ἡ χιὼν συνεκπίπτει μᾶλλον. ὅτι δ' ἄρα τὰ σπέρματα τὰ ἐξ ὀπώρας μικρὸν ἔχει, φανερὸν ἐκ τῶν τριμήνων, ἃ εἴ τινες ἐν ἐλάττονι χρόνῳ τελειοῦνται τούτου· οὐ πολὺ τῆς γεώδους ἕλκοντες, ἀλλὰ κουφοτέρᾳ τροφῇ χρώμενοι, κουφότεραν ποιοῦσι καὶ τὴν προσφοράν. ἔοικε δὲ καὶ ἡ ὥρα τι συμβάλλεσθαι πρὸς τὸ μὴ χρονίζειν· οἷον γὰρ εἰς ὀργῶσαν πίπτει τὴν γῆν. καὶ παραπλήσιον τὸ συμβαῖνον, ὥσπερ τὰ ἐπὶ τὸ ζεόμενα βαλλόμενα τῶν ἑψομένων. οὐδὲ μίαν γὰρ οὐδ' ἐκεῖνα λαμβάνει μόλυνσιν. εἰ δέ τινες τῶν ὀλιγοχρονίων τούτων βαρεῖς, ὥσπερ φασὶ τοὺς περὶ λιμίον, ἐνταῦθα τὸ σπέρματος τὴν φύσιν αὐτοῦ καὶ τὸν λόγον αἰτιᾶσθαι. καὶ περὶ μὲν τούτων, ἀρκεῖ τὰ εἰρημένα. τὴν δὲ ἄνθησιν, πολυχρονιωτέραν ποιοῦνται τὰ χέδροπα τῶν σιτωδῶν· ὅτι τῶν μὲν, σιτωδῶν τὸ ἄνθος· εἴρηται ὅτι τὰ ἀσθενέστερα πάντα ταχύ, θᾶττον τελειοῦται· διὸ καὶ βρέχεσθαι τὰ μὲν, οὐ δύναται· τὰ δὲ, καὶ ζητεῖ καὶ ὀνίναται· τάχα δὲ τοῦτό τε καὶ συμβεβηκός, ὅτι τὸ ὅλον φυτὸν ἐκτρέφει βρεχόμενον· ὁ δὲ καιρὸς δεῖται βοηθείας πρὸς τὴν τελέωσιν· μάλιστα δὲ ὁ κύαμος, ὅτι μακρότατον καὶ πολυανθέστατον καὶ πολυκαρπότατον. ὁ δὲ ἐρέβινθος, ἀπόλλυται διὰ τὴν εἰρημένην αἰτίαν. ἀλλὰ περὶ μὲν τοσούτου τῆς διαφορᾶς, λεκτέον. αἰτιάσαιτο δ' ἄν τις μάλιστα τὸ ἀσθενές. οὐχ ὑποφέρει γάρ· ἀλλ' ἀποφθείρεται καὶ ἀποπίπτει, καθάπερ καὶ τῶν δένδρων ἐνίων, ὅτε μὲν, οἷον ἐρυσιβούμενα, ὅτε δὲ ξυηραινόμενα λίαν. εὐλόγως δ' ἂν καὶ ἡ ἄνθησις οὐχ ἅμα

&c&c&c ωωω

πᾶσι τοῖς μέρεσι· κεχώρισται γὰρ ἐκτὸς τῶν λοβῶν καὶ διὰ τὴν ὠτροφίαν· τὰ μὲν γὰρ ἤδη κύκλῳ καὶ ἀνθεῖ· τὰ δ' ἄνω προαύξεται· διὸ καὶ τὰ μὲν, αὖα καὶ τέλεια, καίπερ ἐγγυτάτω τῆς τροφῆς ὄντα· τὰ δ' ἐπὶ τῶν ἄκρων χλωρά· τοῦτο δ' οὐκ ἴδιον, ἀλλὰ καὶ ἑτέρων καὶ πλειόνων κοινόν· πολλὰ γὰρ ἀνθεῖ καὶ πονεῖ κατὰ μέρος· καὶ ἅμα τὴν βλάστησιν ἀφίησιν εἰς τὸ ἄνω· διὸ καὶ τὰ μὲν, τέλεια· τὰ δ' ἀτελῆ· τὰ δὲ, μέλλοντα· καὶ οὐκ ἐμποδίζεται τὰ κάτω διὰ τὴν ἐπιρροὴν καὶ τὴν ἀναφορὰν τῆς εἰς τὸ ἄνω· καθάπερ γὰρ ὑποκείμενόν τι πᾶσιν ὁ καυλὸς, ἐξ οὗ τὴν τροφὴν ἔχουσιν, ὥσπερ ὀχετοῦ τινος. ἡ μὲν οὖν αὔξησις εὐλόγως. χρόνιός τε καὶ ἀβλαβὴς αὐτοῖς ὑπὸ τῶν ὑδάτων· ἐν δὲ τοῖς ἄλλοις, ὅταν ἅπαν ἀνθήσῃ, σχεδὸν ἐπισινεστέρα τοῦ σίτου διὰ τὴν ἀσθένειαν· καὶ μάλιστα ὁ κύαμος· ἀσθενέστερον γάρ. καὶ περὶ μὲν τῶν πρὸς ἄλληλα διαφορῶν, τοσαῦτα εἰρήσθω. περὶ δὲ τῶν ὁμογενῶν, τάχα αὐτίς ἀπορήσειε, τί ποτ' οὐκ ἐνίοις χρόνοις ἅπαντα τελειοῦται. ἀλλοῖ μὲν, τρίμηνοι τῶν πυρῶν· οἱ δὲ, δίμηνοι· καὶ τῶν κριθῶν ὡσαύτως. εἰ δὲ καὶ ἐν ἐλάττονί τινι χρόνῳ, πλείων ἡ διαφορὰ πρὸς τοὺς χειμοσπόρους· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· μάλιστα δ' ἐπὶ τῶν εἰρημένων. τάχα δὲ καὶ μόνων αἱ διαφοραί· καὶ τοῦτ' εὐλόγως· τὰ μὲν γὰρ ὄσπρια σπαρέντα χειμῶνος, οὐκ ἂν ὑπομείνειε διὰ τὴν ἀσθένειαν· πλὴν εἴ τινων ὀλίγων· ὄροβον γὰρ σπείρουσι καὶ πρώϊον, ὥστε μὴ ὥρα καταλείπεται· ἡ κριθὴ δὲ καὶ ὁ πυρὸς, ἀμφοτέρως· καὶ ὅσα μὴ τὴν ἀπλῆν ἐλάττους καὶ ἀσθενεστέρους φέρει τοὺς στάχυς· τοῦτο μὲν οὖν ὡς καθόλου περὶ γένους πρὸς τὸ γένος· τὸ δὲ μὴ ἰσοχρονίας εἶναι, κοινὸν καὶ ἐπὶ τῶν δένδρων· ἔστι γὰρ ἐν ἑκάστοις τὰ μὲν, πρώϊα· τὰ δ' ὄψια· καθάπερ ἄμπελος· συκῆ· καὶ μηλέα· καὶ ἄπιος· αἴτιον δὲ ἐν ἀμφοῖν, ὅτι τῆς ἰδίας φύσεως ἡ διαφορά· τὸ δ' ὄνομα κοινόν, ὥσπερ καὶ ἐν τοῖς ζώοις ἐπὶ τῶν κοινῶν· οὐδὲ γὰρ ἐκεῖνο τὸ γένος· ἔνι δ' αἰτία παραπλησία, καὶ διὰ τί τὰ μὲν, πρώϊα, τὰ δ' ὄψια· εἴτε γὰρ θερμότης, εἴτε ψυχρότης, εἴθ' ὅ, τί ποτε, καὶ ἐνταῦθα ὁμοίως τὸ αἴτιον· καὶ καθόλου μὲν οὕτω· τοῖς δὲ σπέρμασι καὶ ἐμφανέστερον

ἐκ τῶν

ἐκ τῶν συμβαινόντων τὸ αἴτιον. ὁ μὲν γὰρ χειμοσπορούμενος πυ-
ρὸς πολυέῤῥιζος ὤν, καὶ ἐνταῦθα πρῶτον ἀποδοὺς τὴν δύναμιν.
ἀποδίδωσι πλῆθος καλάμου. καὶ γὰρ πολυκάλαμος. ὁ δὲ τρίμη-
νος, ὀλιγόῤῥιζος καὶ πολυκάλαμος. διὸ, τήν τε ἀναφορὰν εὐθὺς
ἄνω ποιεῖται, καὶ τὴν τελείωσιν ταχεῖαν. ῥᾷον γὰρ τὸ ἔλαττον
ἀποτελεῖσθαι. διὸ καὶ ὁ μὲν, πολύχους. ὁ δὲ ὀλιγόχους, καὶ κοῦφος. ὁ δὲ βα-
ρὺς ὥσπερ ἐλέχθη, πλείω τὴν τροφὴν ἕλκων καὶ θολωτέραν. ἡ
δὲ τροφὴ ταχεῖα κατὰ λόγον, ἅτε καὶ μὴ χρονίζοντος ἐν ταῖς
ῥίζαις διὰ ὀλιγότητα. μέγα δὲ καὶ ἡ ὥρα συνεργεῖ. καὶ γὰρ πολυέῤῥι-
ζος ὁ σπαρεὶς ἐν ταύτῃ, θᾶττον ἀναβλαστάνει. καὶ ὀλιγοκαλαμώ-
τερος. καὶ ὁ στάχυς μικρὸς καὶ ὀλιγόπυρος. ὁ δὲ τρίμηνος πρωῒ σπα-
ρεὶς, οὐκ ἂν ὑπομείνοι διὰ τὴν ἀσθένειαν. ἄτοπον δὲ καὶ ὑπὲρ αὐ-
τῶν τὸ συμβαῖνον, εἰ βαρεῖς οἱ ὀλιγοχρόνιοι, καθάπερ οἱ περὶ Αἶ-
νόν φασι τοὺς σητανίους. λοιπὸν γὰρ αἰτιᾶσθαι τὴν ἰδίαν φύσιν.
ὥσπερ ὁρῶμεν ἐν πλείοσι μεγάλας ἔχουσαν διαφορὰς, καὶ κατὰ
τὴν ἔμφυσιν καὶ τελείωσιν, καὶ κατὰ τὰς ἰδίας μορφὰς, οἷον
μεγέθους, καὶ μικρότητος καὶ σχήματος. καὶ τὸ πολυάχυρον εἶναι καὶ
μὴ κατὰ τὸ τέλος δὴ τῶν πρὸς ἡμᾶς, καὶ κατὰ τροφὴν καὶ σίτησιν. τά-
χα δὲ καὶ τὰ γένη ποιοῦσιν αἱ χῶραι, ἤτοι πάντα ἢ ἔνια. συνεξο-
μοιοῦσι γάρ πως ἑαυταῖς, ἢ διάφορα γένη ἐμποιοῦσιν ἢ καὶ πρὸς τὸ
ἀχρήσιμον. ὥσπερ τῷ θρᾳκίῳ πυρῷ τὸ πολύλοπον εἶναι καὶ
ὀψιβλαστῆ. διὰ γὰρ τοὺς χειμῶνας ἄμφω συμβαίνει. καὶ διὰ
ταῦτα καὶ ἐν ταῖς ἄλλαις, πρωῒ σπορούμενος ὁ θρᾴκιος. ὀψὲ δὲ δι-
αβλαστάνει καὶ πάλιν ὁ παρὰ τῶν ἄλλων δ᾽ ἐκεῖ σπορούμενος, ὀψὲ
βλαστάνει. γέγονε γὰρ οἷον φύσις τὸ ἔθος. ἐπεὶ καὶ ἐν ταῖς ὑποσιναπίσαις
καλουμέναις σφηλασίαις οἱ δ᾽ ἄῤῥενες γίνονται λεπτόμενοι. καὶ οἱ τὰ με-
γέθη τοῖς πυρῆσιν ἴσοι, χώρας ἰδιότητι καὶ φύσει τὰς δυνά-
μεις ἔχουσι ταύτας, καὶ οὐκ ἂν τηροῖεν μετενεχθέντες. ὃ γὰρ ἐπὶ
τῶν ἀμπέλων λέγουσιν, ὡς ὅσα χώρας εἴδη, τοσαῦτα καὶ ἀμ-
πέλων, τοῦτ᾽ ἀληθὲς καθόλου. καὶ οὐχ ἧττον ἐφ᾽ ἑτέρων, ἐὰν ἀ

μα τῇ χώρᾳ καὶ τὸν ἀέρα τις προσθῇ. διὰ τοῦτο γὰρ αἵ τε ἀνωμαλίαι τῶν καρπῶν ἀπὸ τῶν αὐτῶν φυτῶν γινόμεναι. αἵ θ' ὅλως ἀκαρπίαι μὴ φερούσης τῆς χώρας. ἐκ δυοῖν γὰρ ἢ καὶ πλειόνων ὅταν συνεστῇ δύναμιν ἐχόντων, ἀνάγκη κατὰ τὰς τούτων διαφορὰς καὶ τὸ ὅλον διαφέρειν. ὃ καὶ ἐπὶ τῶν ζώων συμβαίνει. καὶ γὰρ καὶ τὰ ἄρρενα καὶ τὰ θήλεα ἔν τε τῇ χώρᾳ καὶ τῷ ἀέρι καὶ ἁπλῶς ταῖς τροφαῖς λαμβάνουσι διαφοράς. ὅθεν καὶ γενῶν ἰδιότητες γίνονται. καὶ πολλάκις τὸ παρὰ φύσιν ἐγένετο κατὰ φύσιν, ὅταν χρονισθῇ καὶ λάβῃ πλῆθος. ἀλλὰ γὰρ τοῦτο μὲν καθόλου καὶ κοινόν. αἱ δὲ τῶν σπερμάτων διαφοραὶ, γίνονται διὰ τὰς εἰρημένας αἰτίας. ἐπεὶ καὶ τὸ θᾶττον τελειοῦσθαι σπαρέντα, ὥσπερ ἐν Αἰγύπτῳ φασὶ, μηνὶ πρότερον ἢ ἐν τῇ Ἑλλάδι, τὸν ἀέρα τις ἂν αἰτιάσαιτο, μαλακὸν ὄντα καὶ εὔτροφον. τὸ δ' ὅλον, ἐν δυοῖν θετέον τὰς αἰτίας ὥσπερ εἴρηται, ἀέρι καὶ ἐδάφει. τὸ γὰρ αὖ περὶ μῆλον συμβαῖνον τῆς τελειώσεως, ὥστε τὰ ὕστατον σπειρόμενα θερίζεσθαι ἅμα τοῖς πρώτοις, ἐπὶ τὴν χώραν ἀνοιστέον ὡς εὔτροφον. ὁ γὰρ ἀὴρ παραπλήσιος. τὸ γὰρ μὴ ἰσοχρονεῖν τὰ σπέρματα καθάπερ καὶ τὰ ζῶα παρὰ πᾶσιν, ἐναντιουμένης τῆς χώρας, οὐδὲν ἄτοπον. ἐκεῖνα μὲν γὰρ ἐν ἑαυτοῖς ἔχει τὰς ἀρχὰς κυριωτάτας. τὸ δὲ σπέρμα καὶ ὅλως ἐν τῷ ἀέρι μᾶλλον. εἰ δὲ μὴ, τό γε πρὸς βλάστησιν καὶ ὅλως γένεσιν καὶ διαφοράν. διόπερ οἷον ἂν ᾖ τὸ ἔτος, ἀκολουθεῖ καὶ τὰ τῶν καρπῶν, ἔν τε τοῖς ἄλλοις, καὶ ἐν τῇ πρωϊότητι καὶ ὀψιότητι. σύμφωνον δὲ τρόπον τινὰ καὶ οὐ πόρρω τούτων, καὶ τὸ μὴ κινεῖσθαι πρότερον, μήτε σπέρμα μηδὲν, μήτε φυτόν. ἀλλὰ κατὰ τὴν οἰκείαν ὥραν. ὃ καὶ θαυμάζεται περὶ τῶν σπερμάτων, ὅτι διαμένει πρὸς τὸ θέρος ἔνια. καὶ οὐ διαφθείρεται πολλῶν ὑδάτων καὶ ἰδίων γινομένων. ἐπεί τό γε μὴ διαβλαστάνειν, ἧττον ἄλογον μὴ ἔχοντα τὴν οἰκείαν κρᾶσιν. αἴτιον δὲ τούτου πως ὑποληπτέον, εἰς ἀσφάλειαν τῆς φύσεως πρὸς ἄμφω τιθεμένης, ἐν τῇ τῶν περιεχόντων ἰσχύϊ. φαίνεται γὰρ τὰ μὲν ξυλώδη. καθάπερ τὰ ἀθηκά. τὰ δὲ, πολυχίτωνα. τὰ δὲ ἄλλας τοιαύτας ἔχοντα

τα

τὰ φυλακάς. καὶ ταῦτα μὲν δὴ κοινά πως τῆς φύσεως. ὑ-
πὲρ δὲ τῶν σπερμάτων πῶς ποτε τὰ τεράμονα καὶ ἀτεράμονα
γίνεται, πότερα διὰ τὴν χώραν, ἢ διὰ τὸν ἀέρα, καὶ τὰς
ἢ δι᾽ ἄλλο τι πάθος, ἢ πάντα, ἢ ἔνια. δοκεῖ γὰρ δὴ μάλιστα ἐπὶ τῶν κυ-
άμων φανερόν. συμβαίνει δὲ πολλάκις καὶ τὸ χωρίον, ὁτὲ μὲν, τερά-
μονα φέρειν, ὁτὲ δὲ ἀτεράμονα τῆς αὐτῆς ἐργασίας τυγχάνον.
καὶ τῶν συνεχῶν αὔλακος μόνον διειργούσης, τὸ μὲν ἀτεράμο-
να, τὸ δὲ, τεράμονα. καὶ τὰ σπέρματα ὁτὲ μὲν, ἐκ τῶν ἀτεραμόνων τε-
ράμονα γίνεσθαι, ὁτὲ δὲ ἐκ τεραμόνων ἀτεράμονα. κατὰ δὲ τὴν ἔκφυ-
σιν καὶ βλάστησιν καὶ τὴν ἁδρότητα καὶ εὐκαρπίαν, οὐδὲν διαφέρει τὸ
ἀτεράμονον αὐτίκα νενοσηκότος. ὑπὲρ δὴ τούτων καὶ εἴ τι ἄλλο συνάπτει
πρὸς τὴν ἀπορίαν ταύτην, πρῶτον ἐκεῖνο λεκτέον. ὅτι τὸ τεράμον
καὶ ἀτεράμον, πρὸς τὴν πύρωσιν λέγεται καὶ διάχυσιν. καὶ ὡς ἁπλῶς εἰ-
πεῖν πρὸς τὴν τροφὴν τὴν ἡμετέραν. τὸ μὲν γὰρ εὐδιάχυτον, καὶ τῇ ἑψή-
σει ταχὺ ἀγόμενον, τεράμον. τὸ δὲ δυσδιάχυτον ἢ ἀναγόμενον ἢ βραδέως
ἀλλοιούμενον ἀτεράμον. τούτου δὲ ἑκάτερον, εἰ τὸ μὲν, μανὸν εἴη καὶ μα-
λακόν, τὸ δὲ, πυκνὸν καὶ σκληρόν. οὕτω γὰρ αὐτὸ μὲν, δέχοιτο τὴν θερμό-
τητα καὶ ὑγρότητα δι᾽ ὧν ἡ διάχυσις. τὸ δ᾽ οὐ δέχοιτο. ἀμφότερα στέγει τῇ
πυκνότητι καὶ σκληρότητι. διῃρημένου δ᾽ οὕτω τοῦ τεράμονος καὶ
ἀτεράμονος, σκεπτέον περὶ τὰ τίνας καὶ ποίας τινὰς αἰτίας ταῦ-
τα συμβαίνει. τὸ μὲν οὖν ἁπλοῦν ἐκεῖνο καὶ ἀληθές ἐστιν, καὶ ἐπὶ τῶν πρότε-
ρον εἴρηται. διότι περὶ τὴν τροφὴν τὰ τοιαῦτα γίνεται πάντα, τῷ ποιάν
τινα τροφὴν εἶναι. μεθίστησι δὲ αὕτη συμβαίνουσα, τὰ μὲν ἐπὶ τὸ ἀλεεινὸν καὶ
δ᾽ ἀκόπροις καὶ λεπτογείοις καὶ ἡλιοβόλοις, κούφην τε τὴν τροφὴν καὶ εὐ-
κατέργαστον ἔχει. ὥστε καὶ τὰ ἐξανιστάμενα μανὰ καὶ μαλακὰ γίνεσθαι.
διὰ τοῦτο δὲ καὶ τὰ λήμνια τεράμονα, διότι τοιαῦτα τὰ ἐδάφη. τὸ δὲ ὅ-
λον τὴν γῆν τεραμονάτιν καλοῦσι τὴν τοιαύτην. ἐν δὲ τῇ τεράμονι
φασὶ γίνεσθαι. τεράμονα δὲ καὶ τὰ ἐν Αἰγύπτῳ. διά τε τὸ ἔδαφος, καὶ διὰ
τὸν ἀέρα. τὸ γὰρ θερμὸν, οἰκεῖον τῇ τεραμότητι καὶ ὅλως ἡ πέψις. διὸ καὶ τὰ
κοπριζόμενα πρότερα φασὶ τῶν ἀκοπρίστων σχεδὸν εἴκοσιν ἡμέραις.

τὰ μὲν οὖν ἐν τῇ ἀλεεινῇ καὶ κούφῃ, διὰ ταύτας τὰς αἰτίας τεράμονα· τὰ δ' ἐν τῇ ψυχρᾷ, πικρὰ καὶ σκληρὰ ὥσπερ κεράμια. ἔτι δ' ἐν τῇ λειμωνίᾳ καὶ ἐφύδρῳ καὶ ἑλώδει, πάντα τεράμονα· διά τε τὸ πλῆθος καὶ τὴν ἰσχὺν τῆς τροφῆς πυκνά τε καὶ σκληρά, τοῦ ἐδάφους τε πολλοῦ καὶ ψυχροῦ καταμιγνυμένων. ἡ γὰρ δὴ πῆξις καὶ ἡ πύκνωσις ἐκ τούτων, ἐξ ὧνπερ καὶ ἡ σκληρότης. ἐν δὲ τοῖς ἑλώδεσι καὶ ἐφύδροις ἀχρεῖα τὸ ὅλον· οὐ γὰρ ἐνδιδοῖ βρεχόμενα· διὸ καὶ καταχέωνται πρὸς τὰς ὕς. αἱ οὖν ἐκ τοῦ ἐδάφους αἰτίαι, σχεδὸν αὗται. ἐπεὶ δὲ καὶ τὰ ὕδατα τὰ οὐράνια καὶ ὁ ἀὴρ συνεργεῖ ταῖς τροφαῖς, διὰ τοῦτο ταῖς γε ἐπομβρίαις ἀτεράμονα μᾶλλον γίνεται· πλείονος οὔσης καὶ ἀπεπτοτέρας τῆς τροφῆς. σχεδὸν γὰρ τοῦτο συμβαίνει, καὶ εἰ ἐκ τῆς τοιαύτης γῆς, καὶ εἰ τοιαύτη τοῦ ἀέρος ἡ ψυχρότης, ὥστε ἔνυδρός τις εἶναι καὶ μὴ πνευματική· πῆξιν γὰρ οὕτω ποιήσει καὶ πύκνωσιν. διῃρημένων δ' εἰς ταῦτα τῶν αἰτιῶν, οὐδὲν κωλύει καὶ τὸ αὐτὸ χωρίον, ὁτὲ μὲν τεράμονα φέρειν, ὁτὲ δ' ἀτεράμονα, μὴ ὁμοίων ἀλλ' ἐναντίων γινομένων τῶν ἐκ Διός· καὶ τῶν εἰργασμένων αὔλακι, τὰ μὲν, τεράμονα, τὰ δὲ, ἀτεράμονα γίνεσθαι, εἴπερ τὸ μὲν, τοιόνδε, τὸ δὲ τοιόνδε τὸ ἔδαφος. ὥσπερ γὰρ ἐν τοῖς μετάλλοις ῥάβδους, οὕτω κἂν τοῖς ἐργασίμοις ὑπολαβεῖν χρὴ διατετάσθαι, τὴν μὲν τοιάνδε, τὴν δὲ, τοιάνδε παραλλήλας· ὥστε τῶν αὐτῶν ἐκ τοῦ ἀέρος γινομένων, ταῖς ἰδίαις δυνάμεσι, ποιεῖν τὰς διαφοράς. ὅτι δὲ καὶ τοῦ αὐτοῦ χωρίου μικρόν τι μέρος εἶναι τοιοῦτον. ὡσαύτως δὲ καὶ εἴ τις ἀέρος ἢ πνεύματος προσπίπτει τοιαύτη ψυχρότης, ὥστε ποιῆσαι πῆξιν ἢ καθόλου ἢ κατὰ τὸ μόριον. ὃ καὶ κατὰ τὴν φθορὰν συμβαίνει, τῶν τὰ μὲν, παραλλάττειν, τὰ δὲ ἐπιβαίνειν. καὶ εἴ τις ἐν αὐτοῖς τοῖς σπέρμασιν ἀνομοία διάθεσις ὑπάρχει. τὰ γὰρ ἀσθενέστερα δῆλον ὡς εὐπαθέστερα. τὸ δ' ἀσθενὲς, φύσει γένοιτο, τῶν λαμβανόντων τινὰ μεταβολὴν ἐν ἑαυτοῖς. διὸ καὶ τῶν ἐπὶ τοῦ αὐτοῦ καυλοῦ κυάμων, οὐδὲν κωλύει, τοὺς μὲν, ἀτεράμονα τὸν

λοβὸν

λοβὸν εἶναι, καὶ ἐν τῷ αὐτῷ λοβῷ καθάπερ τινές φασιν, εἴπερ λέγουσιν ἀληθῆ· τὸν μὲν γὰρ ἀσθενέστερον εἶναι, τὸν δὲ ἰσχυρότερον ἐνδέχεται· διὰ δὲ πάθει εἰς ἀστηκύαμον, κἀκεῖνο σημεῖον ἄν τις λάβοι· μόνος γὰρ δοκεῖ μεταβάλλειν τὴν χρόαν ἐκ λευκοῦ μέλας· ὅτι δὲ πῆξίς τις ἢ πύκνωσίς ἐστιν ὑπὸ τοῦ ψυχροῦ, δι' ἣν ἀτεράμονα γίνεται, μαρτυρεῖ καὶ τὸ περὶ Φιλίππους συμβαῖνον περὶ τοὺς κυάμους· ἔστι γὰρ σφόδρα ψυχρόν· καὶ ἀτεράμονες τινὲς γίνονται· ἐὰν δὲ μὴ τοῖς ἀχύροις ἀποθάλπωσι, μηδ' οἷς ἐν τῇ ἅλῳ ἢ καθαροῖς οὖσιν, οὐ μεταβάλλουσιν· ἀλλ' ἀτεράμονες· ὁτὲ μὲν γὰρ ὑπὸ τῶν ἀχύρων, ὁτὲ δ' ὑπὸ τῆς πρὸς ἀλλήλους συναφῆς σκεπάζονται· καὶ ἅμα τῇ τῆς γῆς θερμότητι· ὅταν δὲ μετέωροι ληφθῶσι, τό, τε πνεῦμα μᾶλλον ἰσχύει· καὶ οὐδαμόθεν ἐχόντων σκέπην εἰσδύεται καὶ πήγνυσιν· ἅμα δὲ διὰ τὸ ἀσθενέστατοι τότε γίνονται γυμνούμενοι πρῶτον τῶν ἀχύρων καὶ τῆς θερμότητος τῆς περιεχούσης· αἱ δὲ μεγάλαι μεταβολαὶ μάλιστα κινοῦσιν· ἐπιγινομένου δὲ χρόνου, καὶ ὥσπερ ἤδη συνεστηκότων, ἐὰν δ' ἐμμείνῃ πάλιν, μηδὲν πάσχειν ὑπὸ τοῦ πνεύματος· ἰσχυρότερον γὰρ ἤδη καὶ τὸ κέλυφος τὸ περιέχον· τὸ δὲ πλείω χρόνον ἐᾶν ἑλκομένους ὑπαιθρείους, ποιεῖν ἀτεράμονα, ὥσπερ τινές φασιν, οὐκ ἄλογον· ἀποψύχονται γὰρ δηλονότι μᾶλλον τοῦ συμμέτρου καὶ ἅμα κατασκληρύνονται· ἀκόλουθον δέ πως τούτῳ, καὶ ὅτι τὸ μετὰ τὴν σπορὰν εὐθὺς ἐπιγινόμενον ὕδωρ, ἀτεράμονας ποιεῖ· ἀσθενῆ γὰρ αὐτὸν λαβὼν ἐν τῷ διαβλαστάνειν ὄντα, κατέψυξεν, ὅπερ μὲν τὴν φύσιν οὐκ ἔβλαψε· πρὸς δὲ τὴν ἕψησιν· ἐν ἑτέροις δὲ ἢ δι' ἄγαν διαμεθυούσης, οὐκ ἄλογον τὸ μέν, ὑπάρχειν, τὸ δὲ μή· τό, τε γὰρ ἀβλαστὲς καὶ ἄτεγκτον οὐκ ἐνδῦσαν ἕξω ὅταν καυθῇ πρὸς τὴν γέννησιν. οὐκ ἄλογον δ' ἐξ ἀτεραμόνων ἀτεράμονα γίνεσθαι σπαρέντα πάλιν· ὑπὸ γὰρ τῶν αὐτῶν ἐναντίως διατιθεμένων ὥσπερ εἴπομεν. οὐκ ἄλογος ἡ τεραμότης· ὥστε εἰ ὁ ἀὴρ καὶ τὰ ὕδατα καὶ τὰ ἐδάφη τοιαῦτα, τί κωλύει καὶ τὰ σπέρματα μεταβάλλειν· εἰ δὲ συμβαίνει τὰ μὲν τεραμόνα μᾶλλον ἐνδεδωκέναι, τὰ δ' ἀτεραμόνα περιτετάσθαι τῷ κε-

λύφει, καθάπερ τινές φασι, καὶ κατὰ χασμῶδες μὲν τὰ μέν, μεταβάλλει τὴν χρόαν· τὰ δὲ μή. τὰ δὲ ἐκλυτώτερα θεριζόμενα τεραμονέστερα γίνεσθαι· καὶ γὰρ τοῦτο λέγουσιν, ὅθεν ἄτοπον· εἴτε γὰρ περιίστασι σκληρότητος καὶ πήξεως καὶ ἁδρύνσεως· οὐθὲν δὲ τούτων ἀλλότριον τοῖς ἀτεράμοσι· τό, τε μὴ ἀλλοιοῦσθαι καταπνεόμενα, σημαίνει σκληρότητά τινα καὶ ἀπάθειαν· θάτερον δὲ τοὐναντίον· τὸ μὴ ἐκλυτὰ θερίζεσθαι, σκληρότητα πλέω καὶ πῆξιν· τὸ δὲ ἅπαν σκληρόν, οὐκ εὐδιάχυτον· ὃ καὶ ἐπὶ τῆς ἅλω φασί τινες ἂν συμβῆναι γίνεσθαι τεράμονα, οὐκ ἄτοπον τό γε λέγοντες πιθανόν· ἡ γὰρ ἀπὸ τοῦ ἡλίου ξηρότης, ἀχυλότερα μὲν ποιεῖ καὶ ἧττον ἡδέα, ὡς ἑψητότερα δὲ οὐδὲν ἧττον, ἀλλὰ μᾶλλον· τὰ γοῦν ἐρρηγμένα διηλιωθέντα, θᾶττον διαχεῖσθαι· εἰ δ' ἄρα κατὰ τοῦτο ληθείς, οὐκ ἐναντιοῦται τοῖς προτέροις· οὐδὲ εἰ παλαιὰ μὲν γίνεται μᾶλλον ἀτεράμονα· καὶ οὕτω ξηρότερα συμβαίνει γίνεσθαι, διὰ τὸ τοῦ περιέχοντος, καὶ ὑπὸ τῆς διεκπνοῆς τοῦ θερμοῦ· ὃ ξυνεξάγει καὶ τὸ ὑγρόν· οὐ λόγον δέ, καὶ θᾶττον καὶ μᾶλλον κόπτεσθαι τὰ τεράμονα· καὶ τὰ γλυκύτερα ταῦτα μᾶλλον ζωοποιεῖν, ἀπεπεμμένα μεταβολῇ δὲ καὶ τούτων θᾶττον· καὶ ταῦτα μὲν ἂν ἔχοι τὰς εἰρημένας αἰτίας· τὸ δὲ μόνα τῶν ἀπ' εἰώνων ἢ καὶ τοῦ παντὸς σίτου κύαμον καὶ φακὸν ἀτεράμονα γίνεσθαι, ψεῦδος ὑποληπτέον· ἀλλὰ μάλιστα διαπειρώμενοι τούτων διὰ τὴν χρείαν, ταῦτα μόνα φαμέν, ὅτι τούτοις μὲν ἀλήθοντες χρώμεθα· τοῖς δ' ὅλοις· αὕτη δ' οὐ σμικρὰ διαφορά· καὶ γὰρ ἐπ' ἐκείνων εἰ λεπτύνοντες οὐκ ἂν ὁμοίως εὔδηλον ἦν· ἐκφαίνεται γοῦν καὶ ἐπὶ τῶν ἐρεβίνθων καὶ ἐπὶ τῶν ἄλλων ἑψομένων ὅλως τὸ ἀτεράμον· εἰ δὲ τεράμον ἐν τούτοις, οὐδὲ τοῦτο ἄλογον· ἀσθενέστερα γὰρ ὡς εἰπεῖν· τὸ δὲ ἀσθενές, παθητικώτερον· ὃ δὲ λέγουσιν οἱ πολλοί, διὰ τὸ κερασβόλον ἀτεράμον γίνεσθαι, μήποτε γελοίως ἡ θέσις ᾖ· σκληρότερος γὰρ ὁ λίθος, πρὸς ὃν πολλάκις προσπίπτει τὰ σπέρματα· κἂν μὴ προσκόψῃ μηδὲ βουσὶν ἀροτριᾷ τις, οὐδὲν ἧττον ἀτεράμον γίνεται· περὶ μὲν οὖν τούτων ἱκανῶς εἰρήσθω· ὅσα δὲ τῶν ὁμογενῶν μὴ ἅμα διαβλαστάνει τοῖς ἄλλοις, ἀλλ' ὕστερον πολλῷ, καθάπερ ἐλέχθη περὶ τοῦ τουτλίου, ὥσπερ πλη

σία τις ἡ αἰτία ταύτῃ καθάπερ εἴπομεν οὐκ ἔστιν· ὥσπερ γὰρ πρὸς ἔμψυ-
σιν καὶ ὅλως πύρωσιν ἀτροφίαν τὰ πρὸς ἔκφυσιν, οὕτω καὶ πρὸς βλά-
στησιν ἡ γὰρ τοιαύτη ἀτέλεια τις τοῦ σπέρματος· ὁμοίως δὲ καὶ πάντων ὧν τοῦ-
το συμβαίνει. περὶ μὲν οὖν τούτων ἐπισκεπτέον· τὰ δὲ ἰσχυρότερα καὶ εὐχυ-
λότερα γίνεσθαι καὶ νοστιμότερα· ἢ ἀνοστότερα καὶ πρὸς τὴν σίτησιν
βελτίω ἢ χείρω τὰ μὲν, τὰ δ' ὑστέροις διαφέρει, καθάπερ εἴρηται, ὡς ξηρότερα
γὰρ ὄντα καὶ πυκνότερα καὶ συνεκτικώτερα μᾶλλον, οἷον τὰ ὀρει-
νὰ τῶν πεδινῶν· καὶ ἔτι μᾶλλον τῶν ἐπόμβρων· οὐ πυκνότερά τε γὰρ καὶ ἐν ξο-
φήσυ, μεστότερα· νοστιμότερα δὲ κατ' αὐτὴν παρὰ τὴν τοῦ ἀέρος κρᾶ-
σιν· οὐ γὰρ πάντως ὅταν πλείους καὶ ἀδρότεροι γένωνται, καὶ νοστιμώτεροι· ἀλλ' ἑ-
τέραν δεῖ διάθεσιν ἔχειν· δοκεῖ δὲ μεγάλα συμβάλλεσθαι καὶ ἡ σκάλ-
σις πρὸς τὸ νοστιμώτερον ποιεῖν, καὶ τὸ ἐγγύτερα θερίζειν· ἐξαναλωθέντος
γὰρ παντὸς τοῦ ὑγροῦ, καὶ χείρω πρὸς τὴν σίτησιν καὶ ἐλάττω. τὰ δ' ἄπερ εἰ θε-
ρίζουσιν εὐχυλότερα καὶ πρὸς τὸ δι' αὐτῶν συμπέττεσθαι· ξηρανθέντα γὰρ κα-
ταξηραίνει· τοῦ δὲ θερμοῦ ἤδη λήγοντος, τοῦ ἀέρος ἀνυγραινομένου κατὰ τὸ ἔσωθε-
νόν· αὐτὰ γὰρ πρότερον θίγει τις, ἐκ περιττοῦ καὶ οὐκ ὀστᾶ λαβοῦσα· καὶ ταῦτα μὲν ὡς γεωρ-
γικά· τὰ δὲ τῆς φύσεως, οἷον τὸ ἀδρύνεσθαι τὰ πνεύματα καὶ τὸ βορέου μᾶλλον·
καὶ ὅλως οἱ σύνεκαστα ψυχρά· τὰ δὲ ἐναντία διαφθείρει· καὶ ὅσα δὴ τοῖς ὕδα-
σιν ἢ τοῖς πνεύμασιν ἀπόλλυται τῶν περὶ ὥραις· ὥσπερ ἐλέχθη περὶ ἐρεβίν-
θων τῶν αὐτοῖς ὥτων· ὁ δὲ κύαμος, ἐὰν πνεύματα ἐπιγένηται, λαμπρόν· καὶ ὁ πυ-
ρὸς καὶ κριθή· καὶ ἀπηνθηκότα ὑγρὰ δὲ τινὰ διαφθείρει· διὰ πνεύματα γὰρ·
καὶ κοπτόμενα πρὸς ἄλληλα καίνεται· καινουμένων δὲ, ἐπιγινομένου ὕδωρ ἐναν-
τίως, τὴν μὲν κριθὴν βλάπτει· τὸν δὲ πυρὸν ὠφελεῖ μᾶλλον καὶ ζυμοῖ·
καὶ τὸ ὅλον ἀσθενής· ὁ δὲ καὶ ἐν χιτῶσι· καὶ πυκνότερον καὶ ἰσχυρότερον· ὥστε τῆς
μὲν ὀλίγης δεῖσθαι τροφῆς, καὶ σχεδὸν ἀπὸ τοῦ ἀέρος μόνης· τοῦ δὲ
πλείονος· ὅτι δὲ ἰσχυρότερον ὢν καὶ κατακρατεῖ καὶ συμπέττει μᾶλ-
λον· καὶ τὸ ὅλον οὐδὲ τὸ πολὺ δέχεται διὰ τὴν πυκνότητα καὶ τοὺς χειμῶ-
νας· ἡ δὲ πλείω τελειοῖ μανὴ τὴν φύσιν οὖσα, καὶ ταύτῃ οὐ καταπέτ-
τει διὰ ἀσθένειαν καὶ ὑγρασίας γινομένης, δηλαδὴ μᾶλλον ἢ ἐπιγινομένης συνεξά-
γει, τὸ οἰκεῖον ὑγρὸν τὸ συνεφελκόμενον· καὶ τὰ πνεύματα δὲ κόπτοντα φθείρει

μᾶλλον διὰ τὴν ἀσθένειαν. ἀπορεῖται δὲ διὰ τί ἀδροῦ ὄντος τοῦ σί-
του καὶ σχεδὸν ὥσπερ ξηροῦ, ἐκ φύσεως οὐχ ὅτι βελτίων, ἀλλὰ καὶ χεί-
ρων γίνεται. ἐὰν δὲ θερισθεὶς εἰς θωμοὺς συντεθῇ, ἀδρότερος καὶ βελτί-
ων. ἔνιοι δὲ καὶ ξαίνουσιν. αἴτιον δ' ὅτι τὸ μὲν, ἀνυγραίνεται. καὶ ὁ ἥλιος
ὅταν ἀναλάμψῃ, συνεξάγει τὴν οἰκείαν ὑγρότητα καὶ ἰσχναίνει. ὅταν
δὲ εἰς θωμοὺς συντεθῇ συνικμάζεταί τε, ἡ ἀναγομένη καὶ ἀτμὶς
λεπτή τε πνευματώδης οὖσα, παρεισδύεται καὶ ἀδρύνει τοὺς ὄγκους.
ταὐτὸ γὰρ τοῦτο συμβαίνει. καὶ ὅταν εἰς τὰ οἰκεῖα τεθῇ χύδην. διὸ καὶ τὸ
ἐπὶ μεῖζον ποιεῖ. τὸν γὰρ ἁλμὸν τὸν ἀνιόντα λεπτὸν ὄντα δέχεται. καὶ
διὰ τοῦτ' εἰς βάθος καταβάλλουσιν, ὅπως πλέον ἀνίῃ. πάντα
γὰρ ταῦτα διασημαίνει. καὶ ἔτι πρὸς τούτοις ἡ ἐμμαινομένη γῆ, καὶ ἄκο-
πον παρέχουσα καὶ ἀνοιδίσκουσα. καὶ ὅτι δύναταί τινα δι' αὐτῆς ἕλκειν
ζοφώδη αὐτὴν εἶναι. ὅθεν καὶ ὑπὸ τῶν πνευμάτων καὶ τοῦ ἀέρος οὐκ ἀλό-
γως. τὰ γὰρ περὶ ἐρυσίβης, κοινὸν οὐχ ἧττον, ἀλλὰ μᾶλλον ἅπτεται τῶν σιτω-
δῶν. κριθῆς γὰρ μᾶλλον ἢ πυροῦ. διὰ τὸ γυμνότερα εἶναι. τὰ γὰρ, χιτῶ-
σι πλείοσι. καὶ διὰ τὸ ἐγγυτέρω τοῦ στάχυος ἔχειν τὸ φύλλον. ὅθεν καὶ ἀ-
πόχυσις γίνεται καὶ ἡ ὑγρότης. ὥστε σαπεῖσα μᾶλλον ἅπτεται. καὶ διὰ τὸ
τὸν στάχυν ὀρθὸν εἶναι καὶ πυκνότερον. ἀτρεμεῖ γὰρ ἧττον. διὸ καὶ τὸ κύ-
πτειν συμφέρει. καὶ ἀπολύει τὸ συνεχὲς θᾶττον. ἐνίων δὲ αὐτῶν πρὸς τοῖς ἄλ-
λοις καὶ διεκπίπτει ἡ ὑγρότης. καὶ αὐτὴ δ' αἰτία καὶ τῇ λύκῃ πρὸς τὰς
ἄλλας. ἅπαντα γὰρ μάλιστα ἔχει τῶν ἄλλων. τῶν δὲ ὀσπρίων μά-
λιστα ἐρυσιβᾷ, κύαμος, καὶ διὰ τὸ πολύφυλλος εἶναι πολλαχό-
θεν, καὶ διὰ τὸ πυκνοσπορεῖσθαι. καὶ διὰ τὸ τὴν ὑγρότητα μάλι-
στα ἕλκειν εἰς ἑαυτὸν διὰ τὴν μάνωσιν. καὶ ἔτι διὰ τὸ πρὸς τῇ γῇ
μάλιστα τὸν καρπὸν ἔχειν. σήπεται γὰρ μάλιστα τὰ κάτω
διὰ τὴν ἄπνοιαν. καὶ ὅλως δὲ τῶν χεδροπῶν τὰ τοιαῦτα. ἐρυσίβη γὰρ, σῆψίς
τίς οὖσα τοῦ ἐπιπολῆς μάλιστα ὑγροῦ. διὸ πολλοῦ μὲν ὕσαντος, οὐ γίνεται. καταπλύ-
νεται γάρ. ἐὰν δὲ ψεκάδες ἢ καὶ δρόσοι πλείους γένωνται, καὶ ὁ ἥλιος ἐπιλάβῃ, καὶ ἄ-
πνοιαι, τότε σήπεται. διὸ καὶ ἐν τοῖς εὐπνόοις καὶ μετεώροις ἧττον. ἐν δὲ τοῖς κοίλοις
καὶ δροσοβόλοις μᾶλλον. καὶ πανσελήνοις γὰρ μᾶλλον. ὅτι συνεργεῖ καὶ

ἡ περὶ

ἢ περὶ σελήνης θερμότης· καὶ ὅλως ὁ ἀὴρ ὑγρότερος· πάντων δὲ ἐπι-
κηρότατον ὁ πισός· πρὸς μὲν τὰς ἐρυσίβας, ὅτι πολύφυλλον καὶ
χαμαιχεδὲς καὶ ὠακξόν· συμπληροῖ γὰρ τὸν τόπον, καὶ ἀραιὸς
ὤν· πρὸς δὲ τὰ ψύχη καὶ τοὺς πάγους, ὅτι ἀσθενόρριζον· σκωλη-
κοῦται δὲ μάλιστα μόνα, πυρὸς καὶ ἐρέβινθος· οὐκ ἐν τοῖς αὐτοῖς
δὲ ἑκάτερος· ἀλλ' ὁ μὲν, ἐν τῷ καρπῷ· ὁ δὲ ἐν ταῖς ῥίζαις· ἄμφω
δὲ διὰ γλυκύτητα· ὁ μὲν ἐρέβινθος, ἐὰν τὴν ἅλμην περιπλυθῇ,
καθάπερ εἴρηται· ὁ δὲ πυρὸς, ὅταν ἡ ῥίζα ὑγρανθῇ· ζωοποιεῖ δὲ
πυρὸς ἑπόμενα τὰ γλυκέα· γλυκύτερον γὰρ, ὁ πυρὸς κρι-
θῆς· διὸ καὶ τὸ ἄχυρον ἴδιον· ὁ δὲ σκώληξ γινόμενος, ὅταν ἐξα-
ναλώσῃ τὴν ἐν τῷ καλάμῳ τροφὴν αὐτὸς ἦ, ὥστε ὅλον ἐξαπολ-
λῦσαι τὸν στάχυν, ἢ κατὰ θάτερον μέρος· ταῦτα μὲν οὖν καὶ τὰ τοι-
αῦτα καθάπερ νοσήματος ἔχει χώραν· ὑπὲρ ὧν οὐ χαλεπὸν τὴν
αἰτίας ἰδεῖν· περὶ δὲ τῶν θερινῶν σπερμάτων, οἷον σησάμου· ἐρυ-
σίμου, κέγχρου, ἐλύμων, περὶ τοσοῦτον μὲν εἰπεῖν, ὅτι πάντι τὸ πρό-
χειρον, ὅτι δι' ἀσθένειαν ταύτην τὴν ὥραν σπείρεται καὶ τὸ τα-
χὺ τελεοῦν· ἡ δὲ φύσις αὐτῶν ποία τις ἂν εἴη, σκεπτέον· οὐδὲ γὰρ γε-
ώδης ὥσπερ τῶν ὀσπρίων, ἔτι περίττη κούφη· τὸ δὲ σήσαμον λιπα-
ρὸν καὶ δεόμενον πέψεως· τοῦτο μὲν μονόρριζον· ὁ δὲ κέγχρος καὶ
πολύρριζος, καὶ βαθύρριζος καὶ πολυκάλαμος, ὥστε εἰς ἀμφότερα
μείζω μὲν εἶναι τῆς τροφῆς καὶ τῆς δυνάμεως, χρονιώτερον ἐχρῆν εἶναι· τὸ δὲ σήσα-
μον ἐπεὶ μονόρριζον καὶ βαθύρριζον, ἄνω πᾶσαν ἀφίησι τὴν δύναμιν·
καὶ αὐτίκα ἐν τούτῳ τὸ λιπαρόν· τὰ δὲ αὖ ὀλίγα· πλείονος πέψεως δέε-
ται· Ταῦτα δὲ ὥσπερ εἴρηται πάντα πολύκαρπα· περὶ μὲν οὖν τούτων, σκεπτέ-
ον· ἐπεὶ δὲ ὅλως εἰπεῖν τὰ μικρόκαρπα, πολυκαρπότερα καθάπερ τα-
τεινῶν εἰρημένα, καὶ οἱ φακοὶ δὲ, καὶ ὅσα τοιαῦτα, καὶ ἐπὶ πᾶσι τὰ πο-
λυχοῦστα λεγόμενα, κύμινόν τε καὶ μήκων, καὶ ὅλως δὲ τὰ
λαχανώδη πάντα καὶ τὰ ἐναγγειόσπερμα πολύχοα· τίς ἂν οὖν
αἰτία τούτων εἴη· πότερον ὅτι τὰ μικρὰ θᾶττον πέττεσθαι· καὶ ζῷα φαμὲν
ἔνια τοιαῦτα· καὶ μάλιστα δὴ τὰ ὀρνεῖα καὶ σκωληκοτόκα· ἢ αὖ

τῇ μὲν ἔξωθεν· ἄλλην δέ τινα οἰκειοτέραν ζητητέον. ἐπεὶ καὶ τῇ-
δε διαφέρει τῶν περὶ τὰ ζῷα· τῶν μὲν γὰρ ἐκτρέφει τὰ ᾠὰ καὶ τελειοῖ, καὶ
ὅλως ζωογονεῖ τὸ περιέχον, ὥσπερ καὶ ἐν τοῖς πρότερον εἴρηται· τῶν
δὲ καρπῶν ἐν αὐτοῖς τοῖς φυτοῖς ἡ ἐκτροφὴ καὶ τελείω-
σις· ὥστε πλείονος ἀειδίω ἀμέως· πρὸς δὲ θησαυρισμόν· ἄει-
σα μὲν κέγχρος καὶ ἔλυμος καὶ σήσαμον καὶ θέρμος καὶ ἐρέβινθος, τὰ
μὲν, ὅτι πολυχίτωνα καὶ ξηρά· τὰ δ' ὅτι λιπαρά· ὁ δὲ θέρμος καὶ ὁ ἐ-
ρέβινθος, πικρότητά τινα ἔχουσι καὶ δριμύτητα· καὶ διατηροῦσι
διὰ τοῦτο ἀπαθεῖς ὥσπερ εἴρηται. ὅθεν καὶ διαφθειρόμενα τῶν σιτω-
δῶν οὐ ζωοῦται· καθάπερ οὐδὲ τὰ τῶν λαχάνων· καὶ γὰρ ταῦτα ἄζωα. ἢ ὅ-
σα δὴ τῇ ξηρότητι ἢ τῇ δριμύτητι· συμβαίνει γὰρ ὥσπερ ἀνάμι-
ξίν τινα γίνεσθαι τοῦ ἔξωθεν· σκεπτέον μὲν οὖν δὲ ἕκαστον, ἰδίαν τινὰ
ποιεῖται τὴν φθορὰν ἐκ τῆς οἰκείας συγχρότητος· οἷον οἱ μὲν πυροὶ καὶ αἱ
κριθαὶ, τοὺς κῖας· ὁ δὲ κύαμος, τὸν ὑπό τινων καλούμενον μί-
δαν· ὡσαύτως δὲ καὶ οἱ φακοὶ καὶ αἱ ἀφάκαι, καὶ πισοί καὶ ἄλλα. τὸ δὲ
αἴτιον, κοινὸν πλειόνων· οὐ γὰρ μόνον ἐν τοῖς καρποῖς· ἀλλὰ καὶ ἐν
τοῖς δένδροις, καὶ μετὰ ταῦτα τοῖς ξύλοις· καὶ ὅλως ὅσα τῶν ἀψύ-
χων ζωογονεῖται, διαφόρους ποιεῖ πάσας τὰς μορφάς, ὡς ἂν ὀξυ-
τέρας ὕλης· ὁ δὲ κονιορτώδης σῖτος· θᾶττον σήπεται· καὶ ὁ ἐν τοῖς
κονιατοῖς ἢ κονιάτοις οἰκήμασι· διὰ τὸ πλείω θερμότητα ἔχειν·
καὶ γὰρ ὁ κονιορτὸς θερμὸς ἅτε ξηρὸς ὤν, καὶ τὸ κονίαμα ὅταν ἀ-
ναδέξηται τηρεῖ τὴν θερμότητα· ἔτι δὲ καὶ ἀθρόος καὶ κατὰ βά-
θους ὤν· πλείων γὰρ ἡ θερμότης· θᾶττον δὲ πολὺ κόπτεται κριθὴ πυ-
ροῦ· διὰ τὸ μανότερον εἶναι καὶ γυμνότερον· τάχιστα δὲ ὁ κύαμος· θερ-
μανθεὶς γὰρ εὐθὺς καὶ συντιθεὶς ἐνιαχοῦ καθάπερ ἐν θετταλίᾳ·
φαίνεται δὲ κατὰ τοὺς τόπους· παρ' ἐνίοις δὲ ἄσηπτος, ὥσπερ ἐν ταῖς
ἱστορίαις εἴρηται, περὶ ἀπολλωνίαν, περὶ τὰ πέραν· καὶ ἀναπληροῦσθαι δέ
φασι κοπτόμενον· τοῦτο μὲν οὖν σκεπτέον. ἀκόπως δὲ ἔχει τάδε. θέρμος·
κέγχρος· αἰγίλωψ· αἶρα· σήσαμον· ἐρέβινθος· καὶ ὅλως τὰ δριμέα·
ὁ μὲν γὰρ αἰγίλωψ, πολυχίτων καὶ σκληρά, γυμνὴ δὲ οὖσα καὶ αὐγῇ τινι δύναμει· τὸ

δ' ὅλον

δόλον, ἄκοπα· τὰ μὲν ξηρότητι· διὸ καὶ ἡ κάχρυς, χρονιώτερον· τὰ δ' ἀμιξίᾳ καὶ καθαρότητι· καθάπερ ὁ χόνδρος· τὰ μὲν χυμῶν φύσει καὶ δυνάμει φυσικῇ, καθάπερ ἐρέβινθος· θέρμος· σήσαμον· τὰ δὲ, τῷ πολὺ τὸ ἀποστέγον ἔχειν· ὥσπερ ὁ ὦχρος· ἅμα δὲ τοῦτό γε καὶ ξηρὸν καὶ θερμὸν τῷ ἀσίτῳ κοπέν τι βοήθεια ταχίστη, τὸ εἰς τὴν ἄλω φέροντας ἀποκμῆσαι· καὶ τούτων μὲν σχεδὸν ἐνταῦθά που τὸ αἴτιον· οὐδὲ παρά τινων ζητεῖται, διὰ τί ποτε ὁ κεκομμένος σῖτος καὶ παλαιὸς, ὕδατος μὲν ἐπιχεομένου θερμοῦ, διαβλαστάνει· ταύτῃ γὰρ δὴ διάπειραν λαμβάνουσιν εἰ φύσιμος, ὅταν ἐμβάλλοντες εἰς σκαφίον ἐπιχέωσι· σπειρόμενος δ' οὐ διαβλαστάνει· καίτοι καὶ ἡ σῆψις ὑπὸ θερμοῦ καὶ ὑγραίνεται, κομιδῇ δόξειεν ἂν παρομοίαν εἶναι· διαφέρει γὰρ, ἥ τε φθαρτικὴ καὶ ἡ γόνιμος θερμότης· καὶ ἡ ὑγρότης ὡσαύτως· ὅτι δὴ μὲν σήπουσα ἀλλοτρία καὶ φθαρτική· ἡ δὲ τοῦ ὕδατος τοῦ θερμοῦ, συμμετρίαν τινὰ ἔχουσα· δεῖται δ' οὖν τοιαύτης πρὸς τὴν βλάστησιν· ἐπεὶ ζητοῦσιν τινὰ παρόμοιον, καὶ εἴ τις ἀπορείη, διὰ τί ἡ θερμότης καὶ ὑγρότης καὶ ὑγείαν ἐν τοῖς σώμασι ποιοῦσα καὶ νόσον· δῆλον οὐχ ὡς αἱ αὐταὶ, ἀλλ' ὡς ἕτεραι καὶ ἐναντίαι· θερμὸν δὲ ἐπιχέουσι διὰ τὴν ἀσθένειαν τῶν σπερμάτων, ὅπως μὴ καθάπερ ἐκ πάγης, διὰ τὸ θᾶττον ἀποδηλοῦν· ἐπεὶ οἵ γε μὴ παντελῶς διεφθαρμένοι, καὶ ψυχρῷ διαβλαστάνουσι· συμβαίνει δὲ καὶ κόπτεσθαι καὶ σήπεσθαι δι' ἀλλοτρίας θερμότητος.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΑΙΤΙΩΝ. ΤΟ Ε.

Τῶν ἐν τοῖς δένδροις καὶ φυτοῖς τὰ μὲν, αὐτόματα γίνεται, τὰ δὲ ἐκ παρασκευῆς καὶ θεραπείας. ἑκάτερα δ' αὐτῶν ἔχει διαίρεσιν. τῶν γὰρ αὐτομάτων, τὰ μέν ἐστι φύσει. τὰ δὲ παρὰ φύσιν. καὶ γὰρ ἐν τοῖς φυτοῖς ὑπάρχει τι τοιοῦτον, ὥσπερ καὶ ἐν τοῖς ζώοις. οἷον ἐάν τι μὴ τὸν οἰκεῖον ἐνέγκῃ βλαστὸν, ἢ καρπὸν ἢ μὴ κατὰ τὴν τεταγμένην ὥραν, ἢ μὴ ἐκ τῶν εἰωθότων μερῶν. ἤ τι τοιοῦτον ἕτερον. ἅπαντα γὰρ ταῦτα παρὰ φύσιν. τῶν δὲ ἐκ τέχνης καὶ θεραπείας, τὸ μέν ἐστι συνεργοῦν τῇ φύσει πρὸς εὐκαρπίαν καὶ πλῆθος. τὸ δὲ, εἰς ἰδιότητα καὶ τὸ περιττὸν τῶν καρπῶν. οἷον, τὸ ποιῆσαι βότρυς ἀγιγάρτους. ἢ ἐκ τοῦ αὐτοῦ κλήματος μέλανα καὶ λευκὸν φέρειν, καὶ ἐν αὐτῷ τῷ βότρυϊ. καὶ ὅσα δὴ τοιαῦθ' ἕτερα ποιοῦσι· πλείω γάρ. περὶ μὲν οὖν τῶν κατὰ φύσιν καὶ τῶν συνεργούντων τῇ φύσει, πρότερον εἴρηται. περὶ δὲ τῶν παρὰ φύσιν καὶ ὅσα πρὸς τὸ περιττὸν ἥκει, νῦν λεκτέον. καὶ πρῶτον ὑπὲρ τῶν παρὰ φύσιν ἢ ὄντων ἢ δοκούντων. καὶ γὰρ τούτων ἐστὶ τὰ αἴτια, καθάπερ ἐν τοῖς πρώτοις. οἷον ὅσαι πάρωροι καρποτοκίαι, καὶ μὴ ἐκ τῶν αὐτῶν τόπων. λέγω δ' οἷον, εἴ ποτε κατὰ χειμῶνα τοῦ ἦρος ὑποφαίνοντος ἤνεγκε καρπὸν, καὶ ῥόα καὶ ἄμπελος ἐκ τῶν ἄκρων μόνων καὶ ἐκ τοῦ στελέχους. καὶ εἰ δή τι παραπλήσιον τούτοις. πρὸς δὲ ταῦτα λαβεῖν, πρῶτον μὲν ὅτι συμβαίνει περὶ αὐτὰ τὰ πολυκαρπότατα καὶ ὑγρότατα. οἷον ἀμέλᾳ καὶ τοῖς εἰρημένοις. ἅπαν μὲν γὰρ τὰ ὑγρὰ ταῦτα πολύκαρπα. ξηρῶν δ' οὐδὲν ἢ καὶ ὀλιγόκαρπα. δεύτερον δὲ, πρός τι τὰς βλαστήσεις καὶ καρποτοκίας τὰς παρώρους. ὅτι πάντων ἔχουσι τινὰς ἀρχὰς ἐν αὐτοῖς βλαστητικὰς, ἢ κλάδων, ἢ πόρθων, ἢ ἀκρεμόνων, ἢ ὅτι χρὴ καλεῖν τὰ ἔσχατα τῶν δένδρων. οὐδὲν γὰρ ἐστὶ πᾶσι κοινόν, ἀλλ' ἔνια προσηγορίας τινὰς ἔχει. καθάπερ θαλλία.

κραδὴ

κραδή. κλῆμα. καλοῦσι δέ τινες καὶ κλῶνας. ὅτι δὲ ἔχουσιν ἀρ-
χάς τινας τοῦ βλαστάνειν, φανερὸν ἐκ τῶν καταπηγνυμένων. πολ-
λάκις ἀρριζώτων ὄντων τῶν κάτω, μεθιᾶσι βλαστόν. οἷον, κλήμα-
τα καὶ κλάδους καὶ ἐλαίας. χάρακας ἐνίοτε δὲ καὶ μὴ καταπα-
γέντα, ἀλλ' ἀφῃρημένα. καθάπερ τά τε κλήματα καὶ τὰ περὶ
ἐλαίας ξύλα. τρίτον δέ τι συμβαίνει, τὴν πρόωρον βλάστησιν γί-
νεσθαι χειμώνων μαλακῶν ἢ νοτίων γινομένων. ἐκ τούτων γὰρ οὐκ
ἂν δόξειεν ἄλογον εἶναι τὸ συμβαῖνον, ἠθροισμένης τῆς γονίμου δυ-
νάμεως καὶ ὑγρότητος. ὁτὲ μὲν, καθ' αὑτὴν, ὁτὲ δὲ, λειπομένης
τῆς ἔμπροσθεν ἀφ' ἧς ὁ καρπὸς ἦλθεν. ὥσπερ συμβαίνει καὶ ἐπὶ τῆς συ-
κῆς. ὑπολειπομένης γὰρ πλείονος τῆς τοιαύτης ὑγρότητος, ὅταν
ἀὴρ ἐπιγένηται μαλακὸς καὶ ὑγρὸς καὶ θερμὸς, ἐξεκαλέσατο τὴν
βλάστησιν. ὅτι δὲ τοῦτο συμβαίνει φανερόν. ὅτι ἐκ τούτου τοῦ
μέρους ὁ καρπὸς ἀνίεται, ὅθεν καὶ οἱ πρόδρομοι. τάχα δὲ καὶ οἱ πρό-
δρομοι διὰ τὴν μαλακότητα τοῦ ἀέρος, ὃ προτεροῦσί τι καὶ πέττονται
μᾶλλον. εἰ δ' ἄρα μὴ τοῦτο, ἀλλὰ τἄλλα γε πάντα διὰ τὰς αὐτὰς καὶ πα-
ραπλησίας αἰτίας ἐστὶν, ἤτοι γινομένων τινῶν ὑπολειμμάτων,
ἢ καὶ ταῦτα συνισταμένων ἀμφοῖν. οὐκ ἄλογον δ' οὐδετέρως.
προϋπάρχει γὰρ ἡ τοῦ δένδρου πρὸς ἄμφω φύσις, ὑγρά τις
οὖσα καὶ προβολάς. ὡς τῶν ἰδίαι πλείω χρόνον ἐπιγίνων-
ται, καὶ τοῦ χρώματος ποιεῖν τὴν μεταβολὴν. ἐπεὶ γένη τε χυλῶν
οὐ δύναται πέττειν οὐδαμῶς. αὐτὴ ἡ φαντασία σχεδὸν γίνεται κατὰ τὴν
χρόαν. οἱ δ' ὄλυνθοι, συναναγούσης ἤδη τῆς ὥρας, πεπαίνονται
μέχρι τινός. ἔτι δ' αὐτοί γε κατὰ φύσιν πως εἰσίν. ἀεὶ γὰρ γίνονται
τὴν αὐτὴν καὶ τεταγμένην ὥραν. ὥσπερ καὶ ὁ τῶν διαφόρων συνηθῶς
λεγόμενος καρπός. ἀλλ' ἐπὶ τοσοῦτον τὸ ὅμοιον ληπτέον. ὅτι πα-
ραπλησία τις ἡ αἰτία πάντων, ἐκ τοῦ συνίστασθαι τὴν τοιαύτην ὑ-
γρότητα καὶ δύναμιν. διὸ καὶ ὄπισθεν τῶν φύλλων πάντα ταῦτα γί-
νεται. καὶ οὐχ ὥσπερ τὸ σῦκον ἔμπροσθεν. ἀλλ' αἱ μὲν φύουσι τοὺς προ-
δρόμους, ἀσθενέστεραι τυγχάνουσιν. ὥστε οὐδ' ἔτι μὲν ἐνδύναται τ
τε

βλαστήσεως γινομένης ἐκεῖσε. ὅλως δὲ πολυειδές ἐστι τὸ τῶν συκῶν γένος.
αἱ μὲν γάρ, ὀλυνθοφόροι μόνον, σῦκα δ' οὐ φέρουσιν· οἷον, αἱ τῶν λευ-
κῶν ὀλύνθους φέρουσαι τοὺς ἐδωδίμους. ἕτεραι δὲ φέρουσι καὶ σῦ-
κα καὶ ὀλύνθους μέλανας, ἀβρώτους ἢ καὶ ἐδωδίμους. φέρουσαι δὲ
τὸν ὄλυνθον ὄπισθεν τοῦ θέρους. γίνονται δ' ἐν αὐταῖς καὶ ψῆνες. αἳ ὅλως οὐ
φέρουσιν ὀλύνθους. πάλιν δὲ τοὺς προδρόμους αἱ μὲν φέρουσιν. οἷ-
ον, ἥτε λακωνικὴ καὶ λευκομφάλιος καὶ ἕτεραι πλείους. αἱ δ' οὐ φέρου-
σι. τῶν δὲ φερουσῶν οὐ συνεχής, ἀλλὰ παραλλάττουσα ἡ διαφορὰ
κατὰ τὴν διάθεσιν. ὅτε μὲν γὰρ ἤνεγκαν, ὅτε δ' οὐκ ἤνεγκαν. ἐὰν δὲ κα-
κῶς, οὐκ ἤνεγκαν. φέρουσι δὲ οὐ παρ' αὐτὸ τὸ θεῖον μόνον. ἀλλὰ καὶ
κατωτέρω πολύ. καὶ ἔνιαι γε ἐκ τῶν παχέων σφόδρα. συμβαίνει δ' ἐ-
νίους καὶ ἐκπέττειν τινὰς τῶν ὕστερον. οὐ γὰρ ἅμα πάντας. ἀλλὰ
τοὺς μέν, πρότερον φέρουσι, τοὺς δέ, μικρῷ πρὸ τῶν ἐρινασμῶν. ἐπὶ ὑ-
στεροι δὲ οὗτοι τοῦ βλαστοῦ καὶ τῶν συκῶν. ἀποπίπτουσι δὲ ἔνιοι πρό-
τερον, καὶ ἧττον ἐκπέττονται. τὰ μὲν οὖν συμβαίνοντα, ταῦτ' ἐστίν.
οὐκ ἀλόγως δ' ἂν δόξειεν οὐδέν. τὸ γὰρ μὴ πάσας φέρειν, ἀλλ' ὅσαι ὑ-
γρότεραι καὶ ἰσχὺν ἔχουσαι εἰς τὴν ἐπίτασιν, εὔλογον. ἐκ γὰρ τῆς ὑ-
περλοίπου τροφῆς ἐβλάστησεν ἡ σύστασις. ἐφελκυσαμένη δὲ πλέ-
ον, οὐκ ἄλογον τὸ μὴ πᾶσαν καταπέψαι τότε, τὸ μὴ ἐντελεχὲς αὐ-
τῶν τούτων, διὰ τὸ μὴ ὁμοίας εἶναι τὰς διαθέσεις. ἀσθενεστέρως γὰρ
ἔχουσα καὶ χεῖρον θεραπευθεῖσα, δῆλον ὡς ἐλάττω λήψεται τὴν ὑ-
γρότητα. μὴ λαβοῦσα δὲ πλῆθος, οὐδ' ὑπόλειμμα ποιήσει. ἐπεὶ γε
ὀργηθεῖσα ὁμοίως, καὶ τῶν ἐκ τοῦ ἀέρος συνοργησάντων, ἀποδώσει καὶ
τὸ ὕστερον. ἐνίοτε δὲ κἀκεῖνο συμβαίνει, μὴ τυχούσης θεραπείας.
ὥσπερ τοὺς μὲν προδρόμους ἐνεγκεῖν. τὸν δὲ καρπὸν μὴ δύνασθαι. τοῦ-
το δ' ὅτι τὸ μὲν ὑπῆρχε προκατειργασμένον. θάτερον δὲ ὥσπερ ἐκ κενοῦ ἔ-
δει ποιεῖν. αἴτια μὲν οὐδὲ τὸ ἐκπέττειν τοὺς ἐκ τῶν παχέων, αἴτια τὸ ἄνω
μᾶλλον. ἡ τροφὴ γὰρ ἅμα καὶ ἡ θερμότης ἄνω φέρεται. καὶ ὅλως ἡ τῶν δέν-
δρων ὁρμὴ πρὸς τὴν βλάστησιν. ὥσθ' ἅμα συναναφερομένου καὶ τοῦ θερ-
μοῦ δι' ἀμφοτέρων ἡ ὑπόληψις. διὸ καὶ αἱ κατὰ μέρος αἰσθήσεις καὶ

καρποτοκίαι

καρποτοκίαι τῶν αὐθῶν ὕστερον. ἀλλὰ περὶ μὲν τούτων ἱκανῶς εἰρήσθω. παραπλήσιον δέ τι τὸ συμβαῖνον, καὶ ἐπὶ τῶν ἀμπέλων ἐστί. καὶ γὰρ αὗται προβλαστάνουσιν ἐνίοτε συνηθροισμένης τῆς γονίμου καὶ βλαστικῆς ἀρχῆς. ὁ δὲ τόπος ὡρισμένος αὐταῖς. ἐκ τῶν ὀφθαλμῶν γὰρ ἡ βλάστησις. ὁποῖα δ' ἂν καὶ τὰ τοῦ ἀέρος ἐπιγένηται τι ἐπὶ πόσον χρόνον, οὕτω καὶ τὰ τῆς αὐξήσεως ἀκολουθεῖ. σχεδὸν δὲ καὶ ὅσαι πρωϊβλαστῆ τι πρωϊανθῆ φύσει, ταῦτα τὸ τοῦ τὸ πάσχει κυισκομένου. ἅμα γὰρ ἐν ὥρᾳ προκαλουμένων τῶν ὑδάτων, πολλάκις ἀποτίκτει πρὸ τῶν καιρῶν, καὶ προάγει, μέχρις οὗ ἂν ὁ ἀὴρ ὁμαλίζῃ. τὰς μὲν οὖν παρώρους βλαστήσεις ἐν ταύταις ὑποληπτέον ταῖς αἰτίαις εἶναι. τὰς δὲ μὴ ἐκ τῶν οἰκείων μορίων, ἀλλ' οἷον ἀκρεμόνων τι στελέχους οὐ πόρρω ταύτας. ὅταν ἀθροισμὸς εἰς ταῦτα γένηται τῆς γονίμου δυνάμεως. ἀρχῆς γὰρ ἐπιστάσης ἡ ἐπιρροὴ τῆς τροφῆς ἐξομοιοῦται τῷ ὑποκειμένῳ. καθάπερ ἐν τοῖς ἄλλοις. ἡ δὲ σύστασις οὐκ ἀνάλογος εἰ τοιαύτην τινὰ κατὰ μόριον ἔλαβε κρᾶσιν. ἀλλ' ἀλογωτέρα πολλῷ τῆς ἐν ζώοις γινομένης οἷον εἰ κέρας ἐκ τοῦ στήθους ἤ τι τοιοῦτον ἕτερον. αὕτη γὰρ μείζων ἡ παραλλαγὴ τῶν ἐν τοῖς φυτοῖς, ὅσῳ μᾶλλον ὁμοιομερῆ τὰ φυτὰ τῶν ζώων. ἐὰν δὲ δὴ καὶ προβλάστημά τι γένηται τῷ βλαστῷ, ἔλαττον ἔτι τὸ ἄτοπον. ἐνίοτε γὰρ καὶ φύεται κλῆμα ἐκ τοῦ στελέχους. ἰσχύσαντας δὲ καρποτοκῆσαι ταῦτ' οὐκ ἄλογον. ἀλλ' ὅταν αὐτὸς ὁ καρπὸς ἐκ τοῦ ἀκρεμόνος ἢ τοῦ στελέχους, ἀτοπώτερον. ὥσπερ ἐπὶ τῶν ἑτέρων. αἰτίαν δὲ τὴν εἰρημένην ὑποληπτέον. αἱ δὲ τοιαῦται παραλλαγαὶ τῶν τόπων ἐλάττους εἰσίν. οἷον εἴποτε συκῆ τις ἤνεγκεν ἐκ τοῦ ὄπισθεν τοῦ θρίου τὸν καρπόν. μικρὰ γὰρ ἡ μεταβολὴ καὶ ὁ τόπος ὅλως οὐκ ἀλλότριος τοῦ συμβαίνοντος. αἴτιον δὲ ὅτι τὴν μὲν ἐπιβλάστησιν, ἀσθενῆ. τὴν δ' ἐνταῦθα συρροήν, ἰσχυροτέραν ἔχειν. ὥστ' ὀψιαιτέρας γινομένης τῶν προδρόμων, ἐπέμενέ τε καὶ ἐξέπεμψε. φαίνεται δὲ καὶ τῇδε ἧττον ἄτοπον. ὅτι γένος τί φασιν εἶναι τοιοῦτον δὴ ὃ καλοῦσιν ὀπισθοκάρπιον. εἰ γὰρ ὅλως τί

πέφυκεν οὕτω καρποτοκεῖν τῶν ὁμογενῶν. οὐκ ἄτοπον συμβῆναί ποτε καὶ τοῖς μὴ πεφυκόσι, διὰ ὁμοίας διαθέσεως γινομένης. ἐπεὶ καὶ ἐκ τῶν ἀκρεμόνων ἐνεγκεῖν. τινὰ ὁμοιότητα ἔχει τῇ ἐν αἰγύπτῳ συκαμίνῳ. φέρει γὰρ δὴ κἀκείνη τὸν καρπὸν ἐκ τοῦ στελέχους οὐκ ἐκ τῶν ἀκρεμόνων. ὑλαστής τις οὖσα καὶ αὕτη πως ὡς ἔοικε πρὸς καρποτοκίαν. σημαίνει δὲ τὸ πλεονάκις ἀπὸ τῶν αὐτῶν φέρειν ἀφαιρουμένων. οὐ πεπαίνει δὲ καλῶς μὴ ἐπικνισθέντων καὶ περιαλειφθέντων ἐλαίῳ. καθάπερ ἐλέχθη. διὰ τὴν τροφὴν καὶ τὸ πλῆθος τῆς ἐπιρροῆς. ἀφαίρεσίς τε γὰρ γίνεται τῇ ἐπικνίσει. καὶ τὸ ἔλαιον ἅμα διαθερμαῖνον καὶ ὁ ἥλιος ἀνεωγμένων ταχεῖαν ποιεῖ ταύτην πέψιν. ἔοικε δὲ παραπλήσιον τρόπον τινὰ τὸ συμβαῖνον τοῖς κατὰ μέρος ἀνθοῦσιν, ἀπὸ τῶν κάτωθεν ἀρχομένοις. ἐκείνων τε γὰρ τὰ μὲν ἰσχύοντα καὶ οἷον τετελειωμένα, καὶ ἀνθεῖ καὶ καρποτοκεῖ. τὰ δὲ ἀσθενέστερα καὶ ἐπάνω προαύξεται καὶ βλαστάνει. καὶ ἀεὶ τὸ τελειούμενον ἀνθεῖ. τὴν γὰρ τῆς τροφῆς ἐπιρροὴν, ἕκαστον εἰς τὴν αὑτοῦ φύσιν καταμερίζεται καὶ δύναμιν. καὶ τούτων ὁμοίως μὲν εἰς τὴν βλάστησιν φέρεται τῆς τροφῆς. εἰ δὲ εἰς τὸ ἰσχυρὸν ἤδη καρπογονοῦν. ἐκεῖνο δὲ οὐ δύναται διὰ τὴν ὑγρότητα καὶ τὴν ἀτέλειαν. καὶ περὶ μὲν τούτων. ἀρκείτω τὰ εἰρημένα. τὰς δὲ μεταβολὰς τῶν καρπῶν, ἀεί τινος εἰ ἐκ λευκῶν μέλανος, ἢ ἐκ γλυκέων ὀξεῖς, ἢ ἀνάπαλιν, καθάπερ φασὶν ἐπί τε συκῆς καὶ ἀμπέλου καὶ ῥόας τοῦτο συμβαίνειν. ἐνιαχοῦ μὲν οὐδὲν θαυμαστὸν, οὐδ᾽ ὅλως ἄτοπον φαίνεται. περὶ τὴν φύσιν ὅτε μὲν οὕτως. ὅτε δὲ, ἐκείνως. καὶ τοῖς μέρεσιν ἀνομοίως φέρειν. οἷον, τὴν καπνέων ἄμπελον καλουμένην. αὕτη γὰρ δοκεῖ τοὺς μὲν, λευκοὺς ἐνίοτε. τοὺς δὲ μέλανας. καὶ ὅτε μὲν πάντας τοιούτους. ὅτε δὲ τοιούτοις φέρειν. διὸ καὶ οὐδ᾽ οἱ μάντεις εἰώθασι τοῦτο κρίνειν ὡς τέρας. τὸ γὰρ εἰωθὸς, οὐ τέρας. αἴτιον δὲ τῆς παραλλαγῆς, ὅτι τὸ χρῶμα τούτων τῶν βοτρύων οὔτε μέλαν οὔτε λευκὸν ἔχει, ἀλλὰ καπνῶδες, ὅθεν καὶ τὴν

προσηγορίαν ἔχειν. ἐὰν οὖν μικρά τις ἐναλλαγὴ γένηται, δοκεῖ μεταβεβληκέναι τὴν χρόαν. οὐδὲ γὰρ διειλικρινῶς οὔτε τὸ μέλαν οὔτε τὸ λευκὸν ἔχει. διὸ καὶ ἐνίοτε τῶν βοτρύων ἑτερόχροοί τινες. οἱ μὲν, εἰς τὸ λευκὸν, οἱ δὲ εἰς τὸ μέλαν μᾶλλον ἀποκλίνουσιν. αἰτία δὴ ἡ τροφὴ καὶ ἡ διάθεσις αὐτῆς τῆς ἀμπέλου. οὕτω μὲν οὖν ὥσπερ ἐλέχθη συγχωρεῖται ὥστε μὴ θαυμαστόν. τὸ δ' ἐπὶ τῶν ῥοῶν, εἰ μὲν ὅλων τῶν δένδρων γίνονται μεταβολαί, παρόμοιον ἄν τι τὸ συμβαῖνον ἦν, τοῖς περὶ Κιλικίαν καὶ Αἴγυπτον. εἴπερ αὐτόματος ἡ μεταβολή. τῆς γὰρ χώρας, τὸ πάθος ἢ ἡ δύναμις. εἰ δὲ μὴ ὅλον, ἀλλά ποτε τοῦτο συνέβη, τῇ τροφῇ καὶ τῇ διαθέσει τὴν αἰτίαν ἀπολογητέον. ὡς ἐκ τοιαύτης γενομένης ἢ καὶ κρατηθείσης ὅτι ἂν ἐθίσῃ. εἰ δ' ἀνωμάλους ἤνεγκε, ταῖς ῥίζαις ἡ αἰτία καὶ εἴ τι μέρος ἀλλοκύελον, ὥστε τὸ μὲν τοιαύτην, τὸ δὲ τοιαύτην λαβεῖν, ἢ καὶ ποιῆσαι καὶ ἀμαδύνειν τὴν τροφήν. ἅμα δὲ καὶ τὸν ἀέρα συνεργεῖν τι. καὶ γὰρ ὑπὸ τούτων γίνονται διαφοραί. δόξειε δ' ἂν ἀτοπώτατον ἐνταῦθα εἶναι, τὸ μερίζεσθαι τὰς ῥίζας. ἐνίοτε γὰρ ἐκ θατέρου μέρους οὐκ ἔχει τὸ δένδρον ἢ ἐλάττους. ὁ δὲ καρπὸς ὅμοιος ἂν ἅμα μιγνυμένης. δῆλον ὅτι πανταχοῦ τῆς τροφῆς. οὐ μὴν, ἀλλ' ἴσως ἐὰν μὲν ἐκλείπωσί τινες ἀπὸ τῶν δένδρων, ἡ τροφὴ πᾶσιν. ἐὰν δὲ πανταχόθεν ἔχῃ, τὸ καθ' αὑτὴν ἑκάστη. οὐ κατὰ λόγον ὡς ἄν τις φθάσειεν, εὐθυπορούντων πως τῶν πόρων. ἔνια γὰρ συμβαίνει καὶ ζῇ τῶν φυτῶν ἐκ θατέρου μέρους. αὐξανόμενα γὰρ συνεκπληροῦν πως τὸ ὅλον. τὰ μὲν ἐκ περιλαμβάνοντα. τῶν δὲ καὶ ἀποσπωμένων διὰ τὸ αὖον. εἰ δέ τις καὶ αὐτὴ πίστις ἐστὶν ἐκ τῶν συντιθεμένων κλημάτων μὴ ὁμογενῶν, ὅτι μία μὲν ἡ ἄμπελος, φέρει δ' ἑκατέρων τῶν μερῶν τὸν οἰκεῖον καρπόν. ὡς οὐ μιγνυμένης, ἀλλ' εὐθυπορούσης τῆς τροφῆς, εἴη δ' ἂν καὶ ταύτῃ χρῆσθαι. τοῦτο μὲν ἥκιστα γινόμενον, καὶ ἥκιστα πίστιν ἔχον ἐστίν. αἱ δ' ἄλλαι μεταβολαί, μάλιστα τὰς εἰρημένας ἂν ἔχοιεν αἰτίας, ὁμοίως ἐπὶ πάντων. εἴτε κράμμασιν, εἴτε χυλοῖς, εἴτε ἄλλῳ τινὶ μεταβάλλουσιν. αἱ γὰρ τροφαί, διαθέσεις ἀλλοιοῦσιν.

μεθίστασιν, ὅτε μὲν, κρατούμεναι· ὅτε δὲ, κρατοῦσαι· καθάπερ καὶ ἐν τοῖς ἀπὸ τῶν σπερμάτων φυομένοις. πλὴν ἐνταῦθα ἡ ἔκστασις ἀεὶ πρὸς τὸ χεῖρον. ἀλλ' ἐπὶ τῶν ἐξηγριασμένων καὶ ἡμερωμένων ἔχει τὴν ὁμοίωσιν. ἁπλῶς δ' ὥσπερ ἐλέχθη, μικρά τινα χρὴ νομίζειν ἐν τούτοις εἶναι τὴν μεταβολήν, ὅπου μὴ ἡ χώρα μεταβάλλῃ. τὰ δὲ τοιαῦτα χρόνῳ γίνεται καὶ οὐκ ἐπέτεια. καθάπερ τό, δὲ τὰ ἡμερούμενα καὶ ἀγριούμενα. μέγα δ' οὖν πρὸς πίστιν τῆς μεταβολῆς, τὰ περὶ τὰς χώρας. καὶ ὅτι θεραπεῖαί τινες τῶν ῥιζῶν καὶ τῆς τροφῆς ποιοῦσι μεταβολάς. ἀλλὰ τὰ οὕτως ἐν βραχεῖ χρόνῳ καὶ ταχέως, ἄπιστον. εἰ μή τις ἄμφω ταῦτα συνθήσει. καὶ τὸν χρόνον λανθάνειν, καὶ τὴν μεταβολὴν εἶναι βραχεῖαν. ἐπεί γε τοῖς ἐπετείοις, οὐκ ἄλογον. οὐδ' ὁμοίως ἐφ' ὧν συμβαίνει θαυμαστόν, εἴπερ ἄρα συμβαίνει. καθάπερ ὅταν ἐκ πυρῶν αἶραι γίνονται, διά τε τὸ πολλάκις γίνεσθαι, καὶ διὰ τὸ τὴν αἰτίαν οἴεσθαι πως. αἴτιοι ὑπερομβρίαι ποιοῦσιν. εἰ δὲ καὶ ἐκ τῶν αἰρῶν εἰς πυροὺς πάλιν ἀποκαθίστανται, τοῦτο θαυμασιώτερον. εἴη δ' ἂν ὥσπερ ἀσθένειά τις ἢ νόσος συγγενομένη τῷ σπέρματι, ἥτις ἀπολύεται μεθισταμένων ἅμα τῶν περὶ τὸν ἀέρα καὶ τὴν τροφήν. ἀλλὰ γὰρ ταῦτα μὲν, ἐπὶ πλέον εἴρηται, συμπαραλαμβανόμενα πρὸς τὴν τῆς αἰτίας πίστιν τὰ ὁμολογούμενα. τὸ δ' ἐνεγκεῖν ἄμπελόν ποτε αὐτὴν φύλλα, ὡς μὲν ὅλως εἰπεῖν οὐ πιθανόν. ὡς δὲ μικρᾶς τινος γινομένης βλαστήσεως καὶ ταύτης διὰ τὴν ἀσθένειαν ἀπορυείσης, μᾶλλον πιθανόν ὡς ἐνταῦθα πλείονος καὶ σφοδροτέρας τῆς ὁρμῆς γινομένης. ὅπερ ἐπί τινων δένδρων καὶ συμβαίνει σχεδὸν ὅταν ὑπερκαρπήσωσιν, ὥσπερ ἐπὶ τῆς ἀμυγδαλῆς. διὰ γὰρ τὸ πλῆθος οὐδὲ φαίνεται τὰ φύλλα. καὶ ἄλλα μικρὰ καὶ ἀσθενῆ γίνεται, τῆς φύσεως ἐνταῦθα ὡρμηκυίας. ὥσπερ καὶ ἐν ᾧ αἰθεῖν ἡ ἄμπελος, ὅταν ὀψίσηται διατηρῇ τὸν καρπὸν αὐτὴ τῶν οἰνάρων. ὥσπερ ἡ συκῆ τῶν θείων. ἰσχυρότεροι γάρ· ὅταν ἅπαξ γίνωνται τῶν φύλλων. οἱ μὲν, διὰ τὸν σμίχου τὴν προσάρτησιν. οἱ δὲ διὰ τὸ πο-

λουδᾶι

λύεσθαι τῷ ψύχει· τῶν μὲν γὰρ φύλλων, ἐξαιρεῖ πᾶσαν τὴν ὑγρότητα καὶ τὸν ὀπόν· τῶν δὲ καρπῶν, διὰ τὸ πλῆθος καὶ τὸ μᾶλλον ἔχειν θερμότητα, τοῦτο μὲν οὐ δύναται συμπυκνῶσαι καὶ πιλῶσαι· παραπλήσιον δὲ τούτῳ, καὶ εἴ ποτέ τις ἐλαία, τὰ μὲν φύλλα, ἀπέβαλε τὸν δὲ καρπὸν, ἐξήνεγκεν· ἀσθενέστερον γὰρ ὄν, μᾶλλον ὑπακούει τῷ ψύχει· ἢ εἴ τι πάθος εἴη ἕτερον· πεπανθεὶς μὲν γὰρ ὁ καρπὸς, αὐτόματος ἀπορρεῖ, πρὸ δὲ τοῦ πεπανθῆναι, μᾶλλον ἰσχύει καὶ προσήρτηται· διὸ καὶ ῥαβδίζουσι τὰς ἐλαίας· ταῦτα μὲν οὖν καὶ ὅσα ἄλλα τοιαῦτα φυσικάς τινας ἀρχὰς τὰ μὲν ἐξ αὐτῶν· τὰ δ᾽ ἐκ τοῦ περιέχοντος ἔχει· ἐπεὶ καὶ τὰ αὐτόματα διαβλαστάνοντα ξύλα, καθάπερ τὰ ἐλάϊνα, ἢ εἴ τι ἄλλο τοιοῦτον· ἅπερ εἰς τέρατα καὶ σημεῖα ἀνάγουσιν, οὐκ ἔστιν ἄλογα· φύσει τε γὰρ εὔζωα, καὶ βλαστικὰ διὰ πυκνότητα καὶ τὸ ἔνικμον· καὶ ὅταν ἔξωθεν ἰκμάδα τινὰ λάβῃ, ταχὺ δίδωσιν· ὡς δ᾽ ἐπὶ τὸ πολὺ κατορυττόμενα καὶ ἐν ὑγρῷ τόπῳ βλαστάνει, πλὴν εἴ τι κοπὲν ὕστερον μικρῷ διεβλάστησεν ἔχον ἐν ἑαυτῷ συνηθροισμένην τὴν γόνιμον ὑγρότητα· ἅμα δὲ καὶ τῆς ὥρας ὑποδείου τῆς βλαστητικῆς οὔσης· τούτῳ δὲ ὁμοιότερόν τι καὶ ἐπὶ τῆς σκίλλης καὶ ἐπὶ τῶν ἄλλων τῶν ἐκβλαστανόντων· ὡσαύτως δὲ καὶ τὰ ἐκ τῶν ξύλων ἐκφυόμενα καὶ μάλιστα ἐκ τῶν ἐλατίνων, ἃ καλοῦσιν οἱ μάντεις εἰλυθήας· αἰτία μὲν οὖν γὰρ ὄντος καὶ μαλακοῦ οὐ ἀέρος, ἐκφύεται μάλιστα, ὁπότε ἡ ἐνυπάρχουσα ὑγρότης συρρυεῖσα, καὶ ἡ ἔξωθεν προσαπτουσα συνεπάσῃ, καὶ ἐπρίησεν οἷον σφαιροειδές· ὅμοιοι δὲ καὶ ὅσα δὲ τῶν ξύλων· καὶ γὰρ ταῦτα νοτίου καὶ ὑγροῦ τοῦ ἀέρος ὄντος, τοῦτο πάσχει τε οὐ πάντα· ἀλλ᾽ ἐν οἷς ἐστι λεπτή· οἷον, κέδρου· κυπαρίττου· ἐλαίας, ἃ δὴ καὶ σημεῖα καὶ τέρατα νομίζουσιν, ὅσα τε ἄλλα συμβαίνει καὶ προφέρεται τῶν τοιούτων· οἷον ὥς ποτέ φασιν ἐν πλατάνῳ φῦναι δάφνην· ἢ ἄλλο περὶ τὰς ἐμβλαστήσεις τῶν ἐν ἀλλήλοις, ἐκλανθανούσης ἀρχῆς ὑποληπτέον γίνεσθαι σῆψιν ἢ ἀλλοίωσιν· ἄλλως τε καὶ πολὺ διεστώσης, οὐκ ἄλογον· οἱ δὲ τρόποι τοιοῦτοι· λέγω δὲ λανθανούσης, εἰ ἐπιπέσοι σπέρμα καὶ ἔμβρυον γένοιτο

στῆψιν ἔχοντος γεώδη τινὰ τοῦ δένδρου. βλαστάνει γὰρ αὖ οὕτως ἕτε-
ρον ἐν ἑτέρῳ· ἀλλ' ἡ τοιαύτη κλάστησις ὁμοία τῇ τῶν ἰξύων· ἢ ὡς
διὰ πλείονος ἢ τῇ πλατάνῳ ἐκ τοῦ χαλκοῦ ξίφους. μᾶλλον
δὲ ἀμφότεραι τῇ ἐκ τῆς γῆς· οὐ γὰρ οἷόν τε φῦναι μὴ γεώδους τινὸς
ἐνυπάρχοντος, ὥσπερ οὐκ ἐκ τῶν τοίχων τῶν λιθίνων, ἐὰν μὴ τοι-
αύτη τις συρροὴ γένηται καὶ σῆψις. ἐξ ἧς πέφυκε βλαστάνειν. ἔτι
δ' ὕστερον ἐπιρροιάν τινα λαμβάνει τῆς τροφῆς. οὕτω καὶ αὐτῶν ἡ αὔ-
ξησις. ἀλλὰ τὰ μὲν τοιαῦτα ἢ αὐτομάτως ἢ πάντα ἢ ἔνια γίνε-
ται. τάχα δὲ καὶ σπερμάτων τινῶν καταρρυέντων ἅμα τῇ σή-
ψει, καὶ συστάσει. διαφύη δὲ καὶ εἴ τι τοιοῦτον ἕτερον ἀπὸ τῶν καρ-
πῶν. εἰ δ' ἄρα καὶ τοῦτο ἀπὸ σήψεώς τινος, οὐδὲν διαφέρει πρὸς
τὴν αἰτίαν. εἰ δέ ποτε δένδρον ἐκπεσὸν ὑπὸ χειμῶνος, ἤδη πάλιν
αὐτόματον, ὥσπερ ἐν Φιλίπποις μὲν ἔτι δένδρῳ πλάτανος
καὶ τῆς μὲν, οὐκ ἐναφῃρέθη, πλὴν ὅσοι τῶν ἀκρεμόνων κατεκλά-
σθησαν ἐν τῇ πτώσει τῆς πλατάνου δὲ ἀφῃρέθη· καίτοι παρε-
πελεκήθη. τὴν δ' αἰτίαν ὑπελάμβανεν, ὅτι πεσοῦσα ἐπὶ θάτερον
μέρος ἀνέσπασε πολλὴν γῆν· ἐπιγενομένου δ' εἰς νύκτα τότε πνεύ-
ματος ἐναντίου μεγάλου κινήσαντος αὐτὸ, διὰ τὸ ἐμπίπτειν εἰς
τοῖς ἀκρέμοσι, ῥοπὴν ἐποίησεν ἐγκείμενον τὸ μέρος· καὶ κατα-
σπάσαν ὤρθωσεν. οὕτω γὰρ συνέβη τῷ ἐν Φιλίπποις. τὸ δ' ἕτερον
ἐκινήθη μὲν ὁμοίως, καὶ τὴν ἀνάπαυσιν εἶχε τῆς γῆς. διὰ δὲ τὴν
περικοπὴν, ἀνέστη ῥᾷον. ἀλλὰ γὰρ ταῦτα μὲν ἴσως ἔξω φυσι-
κῆς αἰτίας ἐστίν. ὑπὲρ δὲ τῶν ἐν αὐτοῖς τοῖς φυτοῖς ἐκ τῶν εἰ-
ρημένων πειρατέον μετιέναι καὶ θεωρεῖν. ἑπόμενα δέ πως καὶ
τούτοις εἰπεῖν, ὅσα διὰ τέχνης καὶ παρασκευῆς γίνεται τῶν πε-
ριττῶν. ὑπὲρ ὧν φανερωτέρας αὖτις ὑπολάβοι τις αἰτίας εἶναι
καθάπερ καὶ εἰσίν. ἀγιγάρτους μὲν γὰρ ποιοῦσι τοὺς βότρυς ἐξ-
αιροῦντες τὴν μήτραν ἀφ' ἧς γίνεται τὸ γίγαρτον. ἐκ τοῦ αὐτοῦ
δὲ κλήματος φέρειν λευκὸν καὶ μέλανα βότρυν. ἢ ἐν αὐτῷ τῷ
βότρυϊ τὰς ῥᾶγας τοιαύτας. τὰς δὲ τοιαύτας ὅταν συνέχοντες συμ-

θλῶσιν

θλάσιν ἑκατέρου τὸ ἥμισυ, πλὴν τὴν τοῦ κάτω μέρους, συνδήσαντες καταπήξωσι· συμφύει γὰρ ἀλλήλοις· σύμφυτον μὲν γὰρ ἅπαν τὸ ζῶν τῷ ζῶντι, καὶ μάλιστα τὸ ὁμογενές. ὅταν ἀφελκωθῇ καὶ γένηται μία τις φύσις· ἑκάτερον ἢ καθ' αὑτὸν καὶ τὴν τροφῆς δίδωσιν· ὥστε μὴ ἐπιμιγνύμενον ἀποδιδόναι τὸν οἰκεῖον καρπόν. ὅπερ καὶ οἱ ποταμοὶ ποιοῦσιν οἱ συμβάλλοντες ἀλλήλοις, ὥσπερ ὅτε Κηφισὸς ἐν τῇ Βοιωτίᾳ καὶ ὁ Μέλας· ἑκάτερος γὰρ εἰς τὸν αὑτοῦ πόρον· ἐνταῦθα δ' οὐδὲν συμβαίνουσιν· ἀλλὰ παρ' ἀλλήλας ὀχετεύονται καὶ ῥέουσιν αἱ τροφαί. ταὐτὸ δὲ παραπλήσιον τούτῳ, καὶ ὅτε τὸ αὐτὸ δένδρον παντοδαπὰς φέρει ῥοάς, ἢ μῆλα· τῇ σφύρᾳ γὰρ οἷον μαλάξαντες τὰς ῥάβδους ἵνα συμφύωσιν, ἢ διὰ τὴν ἀφέλκωσιν συνδήσαντες, ἐφύτευσαν· εἶτ' ἐγένετο τὸ μὲν δένδρον ἓν τῇ συμφύσει· διατηρεῖ δὲ καὶ ἕκαστον τὸ γένος· ἕλκει κατ' αὐτὸ τὸ ἐπιτήδειον τὴν τροφήν· οὐδὲν δὲ ἄλλο ἢ περὶ συμφύσεως κοινωθείσης. σχεδὸν δὲ καὶ παρόμοιον τούτῳ καὶ ἐπὶ τῶν μειζόνων γίνεται, καὶ μάλιστα ἐπὶ τῶν ἀγρίων τῇ φύσει, περιπλακεῖσα γὰρ συκῆ καὶ εἴ τι ἄλλο τοιοῦτόν ἐστι, συμφύεταί τε, καὶ ἓν ποιεῖ τὸ στέλεχος· καὶ τούτων τὰ μὲν, ἐξεπίτηδες ποιοῦσιν. ἔνια δὲ καὶ αὐτομάτως λαμβάνει τοιαύτην σύμφυσιν· ὅσα προσφιλῆ τε καὶ μὴ ἐναντία ἀλλήλοις. ὅταν γὰρ ἅπαξ συμπλακῇ καὶ δέξηται, καθάπερ φύσις τις αὕτη μία γίνεται, διὸ κἂν ἀφαιρῇ κἂν λύῃ τις αὐαίνονται. καθάπερ καὶ τῶν μὴ ὁμογενῶν τὰ ὁμοιαλαστῆ· καὶ σύντροφα γενόμενα ἀλλήλοις· ὥσπερ ἐπὶ τῶν ἀναδενδράδος ἐλέχθη καὶ τῆς συκῆς· ἐπεὶ ὅσα γε βλαστάνει, περιφυόμενα καὶ ἐμφυόμενα· καθάπερ ὁ κιττός· ἐκ τούτων γὰρ οὐ γίνεται μία φύσις· αὐαίνεται γὰρ θάτερον. πολυφορεῖν μὲν οὖν τοῦτο διὰ ταύτας ὑποληπτέον τὰς αἰτίας· ὅμοια γάρ ἐστι τρόπον τινά. καὶ ὥσπερ εἴ τις ἐνοφθαλμίσειε δένδρον ἓν ἀπὸ πλειόνων καὶ διαφόρων ἀρχὰς γὰρ πεποίηκε, καὶ φύσεις πλείους ἀπὸ μιᾶς οὐσίας· ἐκεῖνο δὲ ἐξ ἀρχῆς πλειόνων μίαν οὐσίαν τῇ φύσει. τὰ δὲ τῶν καρπῶν μεγέθη

τῶν κατορυττομένων ἐν ταῖς χύτραις· ὅταν κατεαγῶσι τοὺς ἀκρέμονας, οἷον ῥόαν καὶ μῆλον, εὐλόγως γίνεται. τότε γὰρ ὑπό τε τοῦ ἡλίου καὶ τοῦ ἀέρος ἀφαιρούμενον, ἡ χύτρα κωλύει ἀποστέγουσα. καὶ ἅμα τὴν ἐκ τῆς γῆς ἕλκει νοτίδα δι' ἧς τρέφεται. τὴν δὲ ἀπὸ τοῦ δένδρου ἐπίρροιαν οὐκ εὔλογον γίνεσθαι, πόρωρον οὖσαν, ἢ βραχεῖάν τινα παντελῶς. διὸ καὶ ὁ μὲν κόκκος οὐδὲν μείζων τῆς ῥόας γίνεται. τὸ δὲ σίδιον παχύτερον, ὡς οὐδὲ κινουμένης εἰς ἐκεῖνον τῆς τροφῆς. ἔοικε γὰρ ὁ οἰκεῖος χυλὸς τῇ φυσικῇ δυνάμει πάντων γίνεσθαι καὶ πεπαίνεσθαι. διὸ καὶ τὰ μῆλα χείρω καὶ ἀχυλότερα γίνεται. τὸ δὲ σίδιον καὶ ἐκ τῶν ἔξωθεν λαμβάνει αὔξησιν, ὡς ἀλλοτριώτερον τῆς φύσεως. ἡ δ' ὁλκὴ τῆς νοτίδος, ἐξ ἧς ἡ τροφὴ καὶ ἐπίδοσις, οὐκ ἄλογος, ὥσπερ τοῦ ἀέρος καὶ ἑτέρων, ὥσπερ καὶ πρότερον εἴρηται. ὁμοίως δὲ τοῦτο συμβαίνει καὶ ἐν τοῖς λαχάνοις ἐφ' ὧν παχύνουσι τὰς ῥίζας, τῶν μὲν ἀφαιροῦντες τὰ φύλλα, καθάπερ τῆς ῥαφανίδος, ὅταν μάλιστα ἀκμάζωσι τοῦ χειμῶνος· καὶ κατασάττοντες τὴν γῆν· ὥστε καὶ τὸ ὕδωρ ἀποστέγειν. ἐν γὰρ τῷ θέρει γίνονται θαυμασταὶ τῷ πάχει. τοῦ δὲ σελίνου περιορύξαντες κάτω μέχρι τῶν ῥιζῶν, καὶ χεύλιον περιλαμβάνοντες, καὶ ἄνωθεν τὴν γῆν. αἴτιον δέ, ὅτι τὴν τροφὴν ἅπασαν αὗται λαμβάνουσι· καὶ οὐ διαδιδόασιν εἰς τοὺς βλαστούς. μειζομένης δέ, πλείων ἡ αὔξησις. ὅσα μὲν οὖν παραβλαστητικά, οἷον κρόμμυα, ῥίζας ἑτέρας ἀφίησι· καὶ ἄλλα δὲ τῶν ἀγρίων. ἡ δὲ ῥαφανὶς μὴ οὖσα παραβλαστητική, τροφὴν δὲ λαμβάνουσα καὶ οὐ διαπέμπουσα εἰς τὸ ἄνω, παχύνεται καὶ μείζων γίνεται. τοῦ δὲ μὴ συμβαίνειν φθορὰν καὶ σῆψιν· ἡ ἐπίσαξις αἰτία τῆς γῆς· ἀποστέγουσα τὸ ὕδωρ καὶ ὅλως πᾶν τὸ ἀλλότριον. τοῖς δὲ σελίνοις τὸ καχεύλιον θερμὸν καὶ πυκνὸν ὄν, συνανέλκει μὲν τῇ πυκνότητι τὴν τροφήν· κατέχει δὲ καὶ οὐ διαδίδωσιν εἰς τὸ ἄνω. καὶ ἅμα τῇ θερμότητι πέττει. πολλῆς οὖν τροφῆς γινομένης καὶ πεττομένης, πολλὴ καὶ αὔξησις. παραπλήσια δὲ τούτοις

καὶ

καὶ τὰ περὶ τοὺς σικύους δὲ καὶ τὰς κολοκύντας γινόμενα, κατά τε τὴν ἁπλότητα, καὶ τὴν αὔξησιν· οἷον ἐάν τις μικρὰς οὔσας κρύψῃ καὶ μικρούς· οὐδὲν γὰρ ἀφαιρεῖται τῆς τροφῆς· ὁ δ᾽ ἥλιος καὶ τὰ πνεύματα ἀναξηραίνει· καὶ τοὺς ὄγκους ἐλάττους ποιεῖ· ὥσπερ καὶ τῶν δένδρων τῶν ἐν τοῖς προσηνέμοις καὶ εὐήλοις· ὡσαύτως δὲ καὶ οἱ ἐν τοῖς αὐ οις τιθέμενοι· καθάπερ ἐν νάρθηκι ἢ καπῆρσιν· ἡ μὲν γὰρ τροφὴ πλείων, διὰ τὸ μήτ᾽ ἀποπνεῖσθαι μήτε ἀποξηραίνεσθαι μηδέν· ἡ δ᾽ αὔξησις εἰς μῆκος· καὶ διὰ τὸ εὑρεῖν τὴν τροφὴν εὐθυπορεῦσαι, καὶ διὰ τὸ μηδὲν ἀντισπᾶν μηδ᾽ ἂν τι πέπηγεν· ὁμοίως δὲ καὶ τὸ διαμένειν χλωρούς, ἐάν τις φυτεύσας περὶ φρέαρ, ὅταν ὦσιν ὡραῖοι, καθεὶς ἀποστεγάσῃ· ἡ μὲν γὰρ ἀπὸ τοῦ ἡλίου καὶ τοῦ πνεύματος οὐ γίνεται ξηρότης· ἅμα δὲ καὶ ἡ ἀπὸ τοῦ ὕδατος ἀτμὶς οἷον θάλπον τάτε παρέχει, καὶ κωλύει ξηραίνεσθαι· τροφὴν δὲ λαμβάνοντα διαμένουσι σωζομένων τῶν ῥιζῶν. ἔμβιοι δὲ γίνονται καὶ θεραπευόμεναι πλείω χρόνον· διὸ καὶ αὖτις περιτεμὼν τὴν βλάστησιν, ὅταν καρποτοκήσωσι, περισάξῃ τὰς ῥίζας ὡς μάλα τῇ γῇ, καὶ καταπατήσῃ, γίνονται πάλιν ἐκ τῶν ῥιζῶν σίκυοι καὶ πρωϊαίτεροι πολὺ τῶν σπειρομένων· ὅτι προϋπάρχει τὸ τῶν ῥιζῶν· ὅτι δὴ περίσαξις ἀλέαν παρέχουσα, θᾶττον ἀνιέναι ποιεῖ βλαστόν· μέγα γὰρ καὶ ἡ ἀλέα πρὸς τὸ πρωϊβλαστεῖν· σημεῖον δὲ καὶ τούτου φανερόν· ἐὰν γάρ τις χειμῶνος ἐν ταλάροις φυτεύσῃ σικύου σπέρματα, καὶ ἄρδῃ τε θερμῷ καὶ πρὸς τὸν ἥλιον ἐκφέρῃ καὶ πρὸς τὸ πῦρ τιθῇ, καὶ ὅταν ἡ ὥρα, τοῦ σπείρειν καθήκῃ σὺν αὐτοῖς τοῖς ταλάροις φυτεύῃ, πρώϊοι σφόδρα γίνονται· ταῦτα μὲν οὖν διὰ τὰς εἰρημένας αἰτίας συμβαίνει· τῷ δὲ σχήματι καὶ τῇ μορφῇ μεταβάλλει τὸ σέλινον· ἐὰν σπαρὲν καταπατηθῇ καὶ ἐπικυλινδρωθῇ· γίνεται γὰρ οὖλον διὰ τὸ μὴ διιέναι τὴν βλάστησιν, ἀλλὰ διεξομοιοῦσθαι· ἐξομοιοῦται γὰρ ἐν ᾧ ἂν τεθῇ ἀγγείῳ· τοῦτο δ᾽ ὅτι ἡ τροφὴ κωλυομένη καὶ ἀποστεγομένη τῆς πέριξ, φέρεται πρὸς τὸ ἐφελκόμενον καὶ εὐοδοῦν

οἷον γὰρ ὀχετεία τίς ἐστιν· ὥστε λαμβάνει τὴν ὁμοιότητα ὧν περιέχει τι· συμβαίνει δὲ τρόπον τινὰ καὶ ἐπὶ τῶν ζώων τοῦτο, κατὰ μικρότητα καὶ μέγεθος, βραχύτητα καὶ μῆκος· μεμορφωμένα γὰρ εὐθὺς ἐκεῖνα· ταῦτα δ' ἅμα τῇ γενέσει μορφοῦται· διὸ καὶ τὸ σέλινον ὅταν μεταφυτεύηται, κελεύουσιν ὁπόσον ἄν τις βούληται ποιῆσαι, τηλικοῦτον πάτταλον κατορύττειν· ὥστε καὶ πληροῦν πάντα τὸν τόπον τὴν ῥίζαν· ὅμοιον δὲ τρόπον τινὰ τούτῳ καὶ ἡ τῶν ῥιζῶν αὔξησις ἐν τοῖς ἡμερώμασιν· εὐοδοῦσαι γὰρ καὶ ἔχουσαι τροφὴν, αὔξονται μᾶλλον καὶ εἰς μῆκος καὶ εἰς πάχος· ποιεῖ δὲ μεγάλας καὶ τὰς ῥίζας καὶ τὰς κλάσεις· καὶ ἐὰν πλείω τις εἰς ταὐτὸ σπέρματα ξυνδήσας εἰς ὀθόνιον φυτεύσῃ· διὸ καὶ ἐπί τινων τοῦτο ποιοῦσι· καθάπερ ἐπὶ τοῦ πράσου· σελίνου· καὶ ἑτέρων· ἰσχύει γὰρ τὰ πλείω δηλονότι μᾶλλον καὶ ἐξ ἁπάντων γίνεται μία τις φύσις· ἔνια δὲ κατὰ τὴν τῆς σπορᾶς ὥραν λαμβάνει μορφὴν ἀλλοίαν· οἷον ἡ γογγυλὶς ἂν εὐθύς τις ἀπὸ τῆς ἅλω φυτεύσῃ, πλατεῖα γίνεται· τοῦτο δ', ὅτι ῥιζοῦται καὶ ἁδρύνεται μᾶλλον· ὅσα δὲ ἐν χοίνῳ φυτεύουσιν ἢ σκίλλῃ, πάντα τῆς εὐβλαστίας ἕνεκα καὶ εὐτροφίας φυτεύουσιν· ἔχει γάρ τινα ἄμφω θερμότητα καὶ ὑγρότητα· καὶ γίνεται καθάπερ ἐμφυτεία τις· ὁμοίως δὲ καὶ εἴ τι ἕτερον ἑτέρῳ, καθάπερ τὸ πήγανον ἐν συκῇ· δοκεῖ γὰρ δὴ κάλλιστον γίνεσθαι· φυτεύεται δὲ παρὰ τὸν φλοιὸν παραπηγνύμενον, καὶ τῇ γῇ κατακρύπτεται· καὶ ξυμβαίνει δὲ τὸν ὀπὸν ἅμα τῇ τροφῇ διὰ θερμότητα καὶ βοήθειάν τινα ἔχειν εὔκαιρον· ὥσπερ καὶ τὴν τέφραν παττομένην, εἴτ' οὖν πρὸς τὸ μὴ σκωληκοῦσθαι τὰς ῥίζας, εἴτε καὶ πρὸς τὸ τρέφεσθαι ἅλμῃ· ἔχει γάρ τιν' ὁμοίαν θερμότητα· μέγεθος γὰρ γίνεται φακῶν καὶ ἐρεβίνθων· τῶν μὲν, ἂν ἐμβολίτῳ φυτεύηται, εἰς σπέρμα· συνεκτρέχει γὰρ τῇ θερμότητι καὶ ξηρότητι· τῶν ἐρεβίνθων· ἐὰν μετὰ τῶν κελύφων βρεχθέντες· ἔλαττον γὰρ τὸ ἄποσπερμον· καὶ ἡ τροφὴ πλείων ἡ πρώτη· πρώϊοι δ' ἂν ἅμα τοῖς ἄλλοις σπαρῶσι, καὶ ταῦτα μὲν δὴ τὸ θαυμαστὸν ἔχει· καὶ ἔνια δοκεῖ

σι παρὰ φύσιν. αἱ δὲ τοιαῦται μεταβολαὶ καὶ αὐτόματοι γίνονται καὶ τεχνικῶς κατὰ τὴν φύσιν· οἷον ἐπὶ τῶν τίφαις καὶ ζειαῖς περιπλάττομεν· ὥσπερ ὅσα καὶ τῶν σπερμάτων ἐν λίτρῳ προβρεχόμενα, τεραμονέστερα· ἢ ἐν μέλιτι καὶ γάλακτι, γλυκύτερα γίνεται. πέφυκε γὰρ οἷον αὖ παρὰ τὸ τοιοῦτον καὶ γένος αὐτῶν σπείρεται διαλλοιούμενον, καὶ μεταβεβηκός. ἐν ἀμφοῖν δέ πως ἢ ἐν ἅπασι συμβαίνει μετακινεῖσθαι τὴν ἀρχήν. ἔνθα μὲν κατὰ τὸ ποιόν· ἔνθα δὲ καθάπερ τῇ τίφαις καὶ ζειαῖς, καὶ τῷ μορίῳ τι μὴ ἔχειν. ὅπερ ἐξ ἀρχῆς μὲν περιαιρεθὲν οὐκ ἀδυνατεῖ γεννᾶν. πλεονάκις δὲ τοῦτο παθοῦσα καὶ ὥσπερ τελέως συ-μνωθεῖσα καὶ παθητικωτέρα γινομένη· τῷ τε ποιῷ μεταβαίνει καὶ τὸ πλῆθος οὐκ ἴσχει τὸ ἀρχαῖον. συμβαίνει δὲ καὶ ἐν ἄλλοις μορίων τινῶν ἀφαιρουμένων τοιαύτην τινὰ διαφορὰν, ὥσπερ τὰς ἀμπέλους. ὅταν ἡ μήτρα τοῦ κλήματος ἐξαιρεθῇ, τοὺς βότρυς ἀπυρήνους εἶναι· καὶ περὶ τὰ αὐτὰ παράλογοι τῶν ἴσως, τοῖς ἀφ' ἑκάστου τῶν μορίων λέγουσιν ἀπιέναι σπέρμα. λύσις δ' ἥπερ εἴρηται καὶ ἐπὶ τῶν ζώων. αἱ μὲν οὖν τοιαῦται μεταβολαὶ, διὰ τὰς εἰρημένας αἰτίας. ἡ δὲ τοῦ σισυμβρίου εἰς μίνθαν· ὥσπερ ἐναντία δι' ἀργίαν γινομένη. συμβαίνει γὰρ ὅταν μηδεὶς ἐξεργάζηται μηδὲ προσδιδῷ τὴν οἰκείαν θεραπείαν, ἐξιζοῦσθαι μᾶλλον εἰς τὸ κάτω· ἐξιζουμένου δὲ καὶ τὴν δύναμιν ἐκεῖσε ξένου πᾶσαν, ἀσθενέστερον εἴωθε γίνεσθαι. καὶ τὴν δριμύτητα ἀποβάλλειν τῆς ὀσμῆς, ὥσπερ ἐξ ἀμφοτέρων ἡ ὁμοιότης τῆς τε βλάστης καὶ τῆς ὀσμῆς· τῆς γὰρ δριμύτητος ἀφαιρουμένης, ἡ καταλειπομένη ὀσμὴ μαλακή τις οὖσα καὶ αὐξομένη προσεμφερὴς τῇ μίνθῃ γίνεται. διὸ καὶ μεταφυτεύειν κελεύουσι πολλάκις ὅπως τοῦτο μὴ συμβαίνῃ. καὶ τὸ μὲν σισύμβριον τοιαύτην τὴν αἰτίαν ὑποληπτέον· τὸ δὲ ὤκιμον τὸ ἐν τῷ ἡλίῳ πολλάκις κείμενον ἀφερπυλοῦται διὰ τὸ καταξηραίνεσθαι μᾶλλον. καὶ γὰρ τὸ φύλλον ἔλαττον γίνεται, καὶ ἡ ὀσμὴ δριμυτέρα τῶν ξηρῶν. ἐλάττων γὰρ καὶ ἡ τροφή. δεῖ δὲ τὰς μεταβολὰς τοιαύτας ὑπολαμβάνειν, ὡς αὖ ὁμοιότητά τινα ἐχούσας· οὐχ ὡς τελέας. ἡ δὲ λεύκη πλατυφυλλοτέρου τε τῆς αἰγείρου καὶ λειοφλοιότερον καὶ τὸ ὅλον εὐτροφώτερον.

ἀπογηράσκουσιν ἢ καὶ ἐλάττονι τροφῇ χρωμένων, οὐκ ἄλογον καὶ
τὸ φύλλον στενότερον καὶ τὸν φλοιὸν τραχύτερον ἔχειν, καὶ ἔτι ἄλλο συν-
ακολουθεῖ τοῖς μὴ ὁμοίως εὐτρόφοις. τὸ δ' ὅλον οὐκ ἄγαν ἴσως τὸ
συμβαῖνον θαυμαστόν, τό, τε εἰς τὸ σύνεγγυς καὶ εἰς τὸ ὅμοιόν πως με-
ταβάλλειν καὶ ἐπὶ τὸ ὁρμᾶν, καὶ ἐπί γε τῶν ζώων γινομένας τοιαύτας
τινὰς μεταβολάς, τὰς μὲν, κατὰ τὴν γένησιν· οἷον ἐπ' ἄλλων καὶ
ἐπὶ τῶν καλουμένων ψυχῶν· ἐκ κάμπης γὰρ χρυσαλλίς· εἶτα ἐκ ταύ-
της ἡ ψυχή. οὕτω γὰρ ἐπὶ τῶν ψυχῶν οὐδενὸς συμβαίνει. τῶν δὲ, καὶ τε-
λειουμένων ἤδη καὶ τὰ πάθη καὶ τὰς διαθέσεις τοῦ σώματος· αἴτι-
ον δὲ διὰ τὰς ἐπετείους ὥρας, ὥσπερ τῶν ὀρνίθων· ἐπὶ τούτων γὰρ μά-
λιστα λέγεται, καὶ ἔνδηλος τῶν χρωμάτων μεταβολὴ καὶ τῶν ὅ-
λων σωμάτων, ὥστε δοκεῖν ἑτέρους εἶναι. ταῦτα μὲν οὖν ὥσπερ
εἴρηται φυσικῶς ὑποληπτέον. τὰ δ' ἐξ ἀρχῆς λεγόμενα μᾶλλον
κατὰ φύσιν. ἀκόλουθα δέ πως τοῖς εἰρημένοις καὶ ὥσπερ ἐσχάτης
θεωρίας, περὶ νοσημάτων καὶ φθορᾶς εἰπεῖν. ἀμφοτέρων γὰρ με-
τέχοντα τῶν κατὰ φύσιν καὶ τῶν παρὰ φύσιν. φθοραὶ μὲν γὰρ αὐ-
θις αἱ μὲν, οὕτως· αἱ δὲ ἐκείνως λέγονται. νόσοι δὲ, τῇ μὲν ὅλως δό-
ξαιεν ἂν εἶναι παρὰ φύσιν. ἔκβασις γάρ τις ἀεὶ καὶ σύγχυσις οὐ
κατὰ φύσιν ἡ νόσος. ᾧ δ' εἰωθέναι καὶ πολλάκις συμβαίνειν, κατὰ
φύσιν λέγομεν. ὁμοίως ἔν τε ζῴοις καὶ φυτοῖς αὐτὰ ταῦτα διαι-
ροῦντες τὰ βίαια πάθη, καὶ φανερὰ ἀπὸ τῶν ἔξωθεν αἰτιῶν, οἷον τραυ-
μάτων καὶ πληγῶν. τὰ γὰρ ὑπὸ ψύχους ἢ καύματος ἤ τινος ἑτέρου
συμβαινόντων ἐν τῷ ἀέρι παθημάτων, οὐ λέγομεν παρὰ φύσιν·
καίτοι βίαιά γέ πως καὶ ταῦτα καὶ ἀπὸ τῶν ἔξωθέν ἐστιν. ἀλλὰ γὰρ
τοῦτο μὲν, ὅτι ἴδιόν ἐστιν ἐπὶ τῶν φυτῶν ἀλλὰ ἐπὶ τῶν ζώων, ἔτι διά-
φορον πρὸς ὃ νῦν ζητοῦμεν. τῶν γὰρ νόσων ἀρχαὶ καθάπερ τοῖς ζώοις
ἢ ἀπὸ αὐτῶν, ἢ ἀπὸ τῶν ἔξωθεν. καὶ ἡ φθορά, ἢ ὅλως ἢ εἰς καρπογονί-
αν. ἀπὸ αὐτῶν μὲν, ὅταν ἢ πλῆθος ἢ ἔνδεια τροφῆς ἢ ποιότητος·
ἀπὸ δὲ τῶν ἔξωθεν· ὅταν ἢ χειμῶνες ὑπερβάλλοντες, ἢ καύματα
ἢ ἐπομβρίαι· ἢ αὐχμοὶ· ἢ ἄλλη τις δυσκρασία τοῦ ἀέρος. ἔτι δὲ

ὅσα

ὅσα πληγῇ ἢ ἑλκώσει ἢ σκαπάνῃ, ἢ ὡς ἡ τομή· ἢ διὰ καθάρσεως ἢ ὀξ-
ἀγχῆς ἢ τοιαύτης αἰτίας· ὥσγε ἔνια καὶ ἀπὸ τοῦ δαίμονος συμ-
βαίνουσι· καθάπερ ἡ χαλαζοκοπία· εἰ δὲ καὶ ἡ ἔνδεια καὶ ὑπερβολὴ
τῆς τροφῆς τῆς ἔξωθεν ὥς τινές φασιν, οὐδὲν διαφέρει· πάντα γὰρ ἰσχύει
μάλιστα τὰ ἀπὸ τοῦ ἀέρος ἐν τοῖς ἀσθενέσι διακειμένοις· τὰς γὰρ ὑ-
περβολὰς ἧττον δύνανται φέρειν· ἀσθενεστάτη δὲ διάθεσις μελλόντων
τε καὶ ἀρχομένων βλαστάνειν· καὶ πάλιν μετὰ τὴν καρποφορίαν ὥσ-
περ ἐξηραμένων· τότε γὰρ ἐν μεγίστῃ μεταβολῇ· διὸ καὶ τὰ ἄγρια μά-
λιστα πονεῖ πρὸ τῆς βλαστήσεως ἢ ὑπὸ τὴν βλάστησιν· ὅταν χαλαζο-
κοπηθῇ ἢ πνεύματα ἐπιγένηται ψυχρὰ σφόδρα ἢ θερμά· κρατεῖται
γὰρ ταῖς ὑπερβολαῖς· οἱ δ' ὡραῖοι χειμῶνες, ὠφελοῦσι καὶ τὰ ἄγρια καὶ
τὰ ἥμερα· καὶ γὰρ ἰσχὺν ἐμποιοῦσι καὶ τῇ πιλώσει καὶ πυκνώσει καὶ ἀ-
βλαστεῖν· ταῦτα μὲν οὖν ἀμφοῖν κοινά· νοσήματα γὰρ τῶν ἀγρίων οὐ λέ-
γεται· τῶν δ' ἡμέρων λέγεται πλείω· τάχα δὲ καὶ ὅτι διὰ τὴν ἀσθένειαν· ὧν
τὰ μὲν, ἀνώνυμα· τὰ δ' ὠνομασμένα· καθάπερ ἡ ψώρα καὶ ὁ σφα-
κελισμός, καὶ ἀστρόβλητα καὶ σκωληκόβρωτα γίνεσθαι· ἀστροβλη-
τα μὲν οὖν μάλιστα γίνεται τὰ φυτὰ καὶ οἱ μόσχοι, διὰ τὴν ἀσθένειαν· συμ-
βαίνει γὰρ τὸ πάθος, ὅταν ἡ γῆ ξηρανθῇ· καὶ μὴ ἔχωσιν ἑλκύσαι ὑγρότητα·
διὸ καὶ ὑπὸ ἄστρον πλεῖστα· τὰ δὲ πρεσβύτερα διὰ τὴν ἰσχὺν ἀν-
τέχει τε μᾶλλον καὶ ἕλκει πόρρωθεν· ἔτι δ' ὑγρότης ἡ οἰκεία,
ποιοτέρα τε καὶ λιπαρωτέρα καὶ πρωϊκαρποτέρα τῶν νέων·
καὶ ὅσα γὰρ προδείξωσι, πάντ' ἐκφέρουσιν· ὅλως δὲ πᾶσαν με-
ταβολὴν ἧττον δύναται τὰ ἀσθενέστερα φέρειν· ὑπὸ δὲ τὸ ἄστρον
καὶ διϋγραίνεταί πως μᾶλλον τὰ δένδρα· καθάπερ πρότερον ἐλέχθη·
διὸ καὶ ἡ ἐπιβλάστησις· ἡ μὲν οὖν ἀστροβολία διὰ ταῦτα συμβαίνει.
καὶ ἔτι διὰ τὰς πληγὰς τὰς ἔξωθεν καὶ τὰς ἑλκώσεις· ἀσθενέστερα,
γὰρ καὶ ταῦτα γίνεται· καὶ ἐπὶ πλέον αὐτῶν αἱ δυνάμεις διικνοῦνται· σκω-
ληκοῦται γὰρ μᾶλλον τὰ πρεσβύτερα· συμβαίνειν γὰρ δοκεῖ καὶ τοῦτο τὸ
πάθος, ἢ διὰ τὰς ἑλκώσεις τῶν περισκαπτομένων, ἢ ὅταν ἐκδιψήσῃ
διὰ τοὺς αὐχμούς· ἐκ μὲν γὰρ τῆς πληγῆς, σήπεται· διελκουμένων γὰρ τῆς

ἡ ζωογονεῖ· καθάπερ ἐν τοῖς ἄλλοις· ἐκ δὲ τοῦ διαψῦσαι, διὰ τὸ ἔλατ-
τον ἔχειν τοῦ συμμέτρου τὸ ὑγρόν· οἷον γὰρ ἔκστασις γίνεται τῆς οἰκείας φύσεως
ἐν δὲ τῇ ἐκστάσει, μεταβολὴ καὶ ἀλλοίωσις· ἐν δὲ τῇ μεταβολῇ, διὰ
τὴν σῆψιν ἡ ζωογονία. συμβαίνει δὲ τοῦτο ἐν τοῖς ἀφαναι-
νομένοις· ἐνισχύει γὰρ τότε τὸ θερμόν. σκωληκοῦνται δὲ μάλιστα αἱ μη-
λέαι· διὸ καὶ μετὰ τὸ ἔμπυρον φαῦλαι· ταχὺ γὰρ αἱ ῥίζαι ξηραίνονται. κοι-
νότατα δὲ φαίνεται τῶν νοσημάτων εἶναι τοῦτό τε καὶ ἡ ἀστροβολη-
σία· πάντα γὰρ ὡς εἰπεῖν σκώληκας ἴσχει· πλὴν τὰ μὲν, πλείους καὶ θᾶττον ἀ-
πόλλυται· καθάπερ μηλέα, συκῆ, ἄπιος, τὰ δὲ ἐλάττους καὶ βραδύ-
τερον· ἥκιστα δὲ σκωληκοῦται τὰ δριμέα· οὐχ ὅτι ἄσηπτα μόνον,
ἀλλ' ὅτι καὶ ἡ δριμύτης κωλύει ζωογονεῖν· σημεῖον δὲ τὸ τῆς δάφνης
αὐτῆς μὲν γὰρ σήπεται ταχέως· σκωληκοῦται δ' οὐχ ὁμοίως· ἐπεὶ διὰ τοῦτο
οὐκ ἐρινεὸς ὁμοίως τῇ συκῇ· δριμύτερος γὰρ ὁ ὀπός· ὥσπερ γὰρ τὰ
γλυκέα σήπεται θᾶττον, εὐμετάβλητος γὰρ ὁ χυμὸς ἀσθενέστερος
ὤν· διὸ καὶ αἱ μηλέαι καὶ αἱ ῥοαὶ μᾶλλον αἱ γλυκεῖαι τῶν ὀξειῶν· πάν-
των δὲ αἱ ἠριναὶ μάλιστα διὰ τὴν ἀσθένειαν, τοῦ τε χυλοῦ καὶ τῆς ὅ-
λης φύσεως· ἐν γένει δὲ φυτευόμενα πάνθ' ἧττον σκωληκόβρω-
τα διά τε τὴν θερμότητα καὶ τὴν ὀσμήν. ταῦτα μὲν οὖν τὰ νοσήματα συμ-
βαίνει διὰ τὰς ἐνθέσεις αὐτῶν· οἴονται δέ τινες ἐν τῷ σφακελισμῷ ἀπὸ
τῶν πληγῶν καὶ τῶν ἔξωθεν γίνεσθαι τραυμάτων, καθάπερ ἐπὶ τῶν ζώων·
μετενηνέχθαι γὰρ τοὔνομα κατὰ τὴν ὁμοιότητα τοῦ πάθους· οὐ μὴν ἔοι-
κεν ἀληθὲς, τὸ δὲ τοῦτ' ἐπὶ πάντων, εἴπερ ὁ τερέβινθος ἀπόλλυται σφα-
κελίζων· ὅταν αὐθῶσιν ὕδωρ ἐπιγινόμενον ἐπικλύσῃ τῶν ἀλμῶν· τὸ
δὲ ἐφαλμῶν, οἷον σφακελίζειν λέγεται· φαίνεται ὅτι καὶ ἅμα καὶ χωρὶς πληγῆς πά-
σχειν τοῦτο τὸ πάθος· ἔνιοι δὲ καὶ τὸ ἀστροβολεῖσθαι, σφακελίζειν κα-
λοῦσι. τοῦτο μὲν οὖν τάχα ὀνόματος ἂν εἴη διαφορά· δι' ὑπερβο-
λὴν γὰρ καὶ ἔνδειαν τροφῆς, οὕτως ἀπόλλυται τὰ δένδρα· τάχα δὲ
μᾶλλον διὰ ἀπεψίαν καὶ διὰ τὴν τῶν ἔξωθεν δύναμιν, οἷον ὅ-
ταν μετὰ τὴν καρποτοκίαν λεπτῆς οὔσης ἔτι τῆς ὑγρότητος διὰ
τὴν ἀσθένειαν ἐπιγένηται πάγος ἰσχυρός· ἀποθνήσκει γὰρ κατα-

ψυχόμενα,

ψυχόμενα· τὸ γὰρ ὀρρῶδες λεπτὸν ψυχθὲν· τὸ δὲ παχὺ καὶ ὥσπερ
πῖον, θερμαίνεται. αὕτη μὲν οὖν ἔστι διὰ πλῆθος· ἔστι δὲ δι' ἀπεψίαν· ἔστι δὲ δι' ἀμ-
φοῖν ἐπιταθεῖσαν ἡ φθορά· δεῖν δ' ἀξαν δὲ κατ' ἄλλον τρόπον· καὶ ὅτε
αἱ ῥίζαι μετέωροι γένωνται καὶ ἐπιφανεῖς· οὐ γὰρ δύνανται πα-
ρέχειν ἰκμάδα διὰ τὸν ἥλιον· ὥστε συγκαίεται καὶ παχύνεται μᾶλ-
λον τοῦ δέοντος ὁ ὀπός· ἐκ τούτου δ' ἡ νόσος καὶ φθορά. παραπλήσιον
δὲ τὸ συμβαῖνον, καὶ ὅταν ἐξαυχμώσῃ δι' ἀνυδρίαν· οὐδὲ γὰρ τότε δια-
διδόασι. βοήθεια δὲ καὶ φυλακὴ πρὸς τὰς ἐνδείας, τὸ κινεῖν ἀεὶ καὶ
ὁμαλίζειν τὴν γῆν· οὕτω γὰρ τοῦ θέρους ἕλξει τινὰ ἰκμάδα· τοῦ
χειμῶνος ἐνυπάρχει μᾶλλον τὸ θερμόν. ὃ διαδίδωσι τὴν τροφὴν ἐξ ὑ-
περβολῆς διὰ τὴν ἐπομβρείαν· τότε γὰρ διὰ τὴν ἀτροφίαν, ἀτροφεῖ
γὰρ τὸ μὴ κρατοῦν μηδὲ πέττον· ἐκλύει καὶ μὲν γὰρ ἀπόλλυται τὰ δέν-
δρα· καθάπερ καὶ ὁ σῖτος· ἐνίοτε δ' οὐκ ἀπόλλυται μέν, εἰς δὲ τὴν καρπο-
γονίαν νοσοῦσιν· ἀκαρπεῖ γὰρ τὸ μὴ πέττον μηδὲ κρατοῦν. τῆς δὲ συ-
κῆς ἡ νόσος μάλιστα συμβαίνει περὶ τὰς ῥίζας, ὃ καλοῦσι λοπᾶν· τοῦτο δ' οἷον
μάδησίς τίς ἐστι τῶν ῥιζῶν· καὶ μικρὸν ἐπάνω διὰ τὴν πολυυδρίαν ἐξ ὑ-
περβολῆς. δὲ καὶ τὸ ῥαγᾶν τῆς ἀμπέλου· καὶ ὅσοις ἄλλοις ἀκαρπεῖν
συμβαίνει διὰ τὴν εὐβλαστίαν· οὐ δύνανται γὰρ οὐδὲ αὐταὶ ἐκπέττειν· ἀλ-
λ' εἰς τὴν βλάστησιν ἡ ὁρμὴ τρέπεται, καθάπερ ὑπόπω μὲν ἤδη διὰ τὸ πλῆ-
θος· ὡς ἐπὶ πολὺ δὲ καὶ τῶν τοιούτων συμβαίνει, συκῇ μὲν ψωριᾶν· ἐλαίᾳ
δὲ λειχηνιᾶν· ἀμπέλῳ δὲ ῥεῖν· ὥσπερ καὶ Κλείδημός φησι· λεπτὸς γὰρ ὁ καρ-
πὸς ἄπεπτος ὢν καὶ ῥοώδης. ἡ βοήθεια δ' ἐν δυοῖν, ἐν τῷ παραιρεῖσθαι
τὴν τροφὴν, ὥσπερ καὶ τὰς ἀμυγδαλᾶς καὶ τὰς ῥόας τινὲς κολάζουσι, καὶ ἐν
τῷ τὴν δύναμιν τινὰ προστιθέναι τῷ δένδρῳ καὶ ἰσχύν. τοῦτο γὰρ αἴτια
κόψεις ποιοῦσι περὶ τὴν συκῆν, ὅταν ἄρχηται βλαστάνειν· ὅπως μὴ παλισκοῦ-
σαι παχύνηται ὁ ὀπὸς, καὶ αἱ ἀποψιλώσεις τῆς ἀμπέλου, καὶ ἀποκνίσεις
τῶν οἰναρῶν τῶν μεγίστων παρὰ τὸ θέρος· ὥς τινες κελεύουσι· καὶ αἱ πε-
ρικαθάρσεις δὲ τῶν ἄνω τὰ τῶν ῥιζῶν, καὶ τὰ κλήματα τῶν βαλλομένων ὑποκα-
τωρύχα καθιέμενα καὶ ἡ σκαπάνη βοήθεια γίνονται, ἀλλ' ὑμνοῦσα τὰς ῥί-
ζας, ὅπου ἐπιθῶσι πνεύματι καὶ ψύχει· καθάπερ ἔνιοι κελεύουσι πάντ

τοῦ γοῦν ἀναλαβομένους ἅμα, μετὰ ταῦτα δὲ τὴν κατεργασίαν ἀποδιδόναι.
πάντα γὰρ ταῦτα τῆς τροφῆς ἀφαιρεῖ καὶ συναύξει τὴν δύναμιν. ἐ-
ναντίως δὲ τοῖς ἐξηνθηκόσι, διὰ τὴν ἔνδειαν ἡ κατεργασία καὶ
ἡ ἄλλη θεραπεία, τήν τε δύναμιν ἅμα καὶ τὴν τροφὴν ἀποδίδωσι.
τὴν ψώραν οἷον ταύτην τινὰ γίνεσθαι καὶ ἄλλως, οἷον, ὅταν ὕδωρ ἐ-
πὶ πλεῖον ἐπιγένηται μὴ πολύ. τότε γὰρ ἀναζυμοῦται καὶ ἀναθερ-
μαινόμενα, δίδωσιν ἔξω. καθάπερ τὰ ἐξανθήματα. ἐὰν δὲ πολὺ
γένηται, ἀποκλύζεται τὰ αἴτια. τάχα δὲ καὶ διαδίδωσιν εἰς
τὰ ἐντὸς καὶ παύει. συμβαίνει δὲ τότε καὶ τὰ ἐρινὰ καὶ τοὺς ὀλύν-
θους ἀπορρεῖν. δικνεῖται γὰρ εἰς ταῦτα ἡ ὑγρότης. τῆς μὲν
οὖν ψώρας, ταῦτ' αἴτια τῇ συκῇ λέγουσι. τῇ δ' ἀμπέλῳ τὸ ξυ-
ρεῖν, ὅταν ἢ ὑπὸ πνεύματος βλαστοκοπηθῇ. ἢ ὅταν τῇ ἐργασίᾳ συν-
τμηθῇ. ἢ τρίτον ὅταν ὑπτία τμηθῇ. συμβαίνει γὰρ πλείω τὸν ἀθροι-
σμὸν γινόμενον, μᾶλλον εἰς τὴν βλάστησιν σφοδροτέρως ὁρμᾶν.
ὥστε μὴ δύνασθαι καρπογονεῖν. τὸ δὲ ῥοιάδας γίνεσθαι δύο.
αἰτίαι. ἢ ὅταν ἐπινίφῃ κατὰ τὴν ἀπάνθησιν. ἢ ὅταν κραιπαλω-
θῇ. τοῦτο δ' εἰ ἀληθές, ἔοικε κατὰ μὲν τὴν ἀπάνθησιν ὑγρότε-
ρος ὢν ὁ ἀήρ, ὥσπερ ἀπεριστιβοῦν. ἡ δὲ κραιπάλωσις, οἷον ἀντι-
σπᾶν καὶ μεθιστάναι τὴν τροφήν. ὥστε ἐξ ἀμφοτέρων εὔλογον ἀ-
πορρεῖν τὰς ῥαγάδας, καὶ τὰς ἐπιμενούσας ὡς μικρὸν εἶναι. ἡ δ' ἄμ-
βλωσις τῶν ὀφθαλμῶν ὅταν ῥιγῶσι, ταὐτὸν καὶ παραπλήσιόν
ἐστιν. ὅπερ ἐπὶ τῶν ἀγρίων προβλαστάνειν ἀρχομένων, ἐὰν ἐπι-
γένηται χειμών. πάσχει δὲ τοῦτο καὶ ἡ πρόωρος ἄνθησις. ἐπ' ἀσθε-
νείᾳ γὰρ πνεύσας ἄνεμος ψυχρὸς ἀπέκλυσε. ταῦτα μὲν οὖν τῶν
δένδρων αὐτῶν ἐστὶν ὡς νοσήματα καὶ πάθη. τὰ δὲ τῶν καρπῶν, οἷον
τῶν μὲν βοτρύων ὁ καλούμενος κράμβος. τοῦτο δ' ὅμοιον τῇ ἐ-
ρυσίβῃ. γίνεται γὰρ ὅταν ὑπούσης ὑγρότητος μετὰ τὰς ψεκάδας, ἐ-
πικαύσῃ σφοδρότερον ὁ ἥλιος. ὅπερ συμβαίνει καὶ ἐπὶ τῶν οἰνα-
ρων. μηλέας δὲ καὶ ἐλαίας καὶ συκῆς τὸ σκωληκοῦν τοὺς καρπούς. καὶ
τὰς μὲν μηλέας καὶ συκᾶς ἀεὶ διαφθείρουσιν οἱ σκώληκες.

τὰς δὲ

τὰς δὲ ἐλαίας ἐὰν μὲν ὑπὸ τὸ δέρμα γίνωνται διαφθείρουσιν· ὀξε-
θέουσι γάρ· ἐὰν δὲ τὸ μὲν ὑπὸ τὸν πυρῆνα διαφύγωσιν, ὠφελοῦσιν· ἐντὸς
γὰρ ὄντες, οὐχ ἅπτονται τῆς σαρκός· κωλύονται δὲ ὑπὸ τῶν πνευμάτων
ἢ ἐν ὕδασι τοῖς ἐπαρκτούρῳ γινομένων· καταψυχόμενοι γὰρ φώ-
ζθεισι· νοσεῖ δὲ πολλάκις καὶ τὰ σῦκα καὶ οἱ ἄλλοι καρποί· τὸ δ' αἴτιον ὡς
ἁπλῶς εἰπεῖν ἐν δυοῖν· ἢ γὰρ ἀπὸ τοῦ δένδρου καὶ τῆς τούτου δια-
θέσεως· ὥσπερ ὅταν ἐν ταῖς ἀμυγδαλαῖς ἡ ὑγρότης κομμιδώ-
δης ὑπεργίνηται, ἢ ἀπὸ τῶν κατὰ τὸν ἀέρα ξυμβαινόντων· τῇ δ' οὖν ἐ-
λαίᾳ τὸ ἀράχνιον ἐμφύεται δι' ὑγρασίαν τινὰ τοῦ ἀέρος τοῦ περὶ
αὐτάς· ὃ καὶ διαφθείρει τὸν καρπόν· ἡ δὲ ἐκ τοιούτου βλάστησις, ὑδά-
των ἐπιγινομένων γίνεται· διὸ καὶ ἀποβάλλει τὸν καρπὸν, ἐνταῦθα τῆς τρο-
φῆς ῥεούσης, ἅτε καὶ ἰσχύοντος τοῦ καρποῦ· τῆς δ' ὑγρότητος ἠ-
θροισμένης τῆς βλαστήσεως· χείριστον δ' ἂν ἀνθούσαις ἐμφύσῃ καὶ ἐλαί-
αις καὶ ἀμπέλοις καὶ τοῖς ἄλλοις· ἀπορρεῖν τὰ ἄνθη καὶ οἱ καρποὶ δια-
θέμεναι· ἐνιαχοῦ δὲ ἴδια πάθη συμβαίνει· καθάπερ ἐν Μιλήτῳ καὶ
Τάραντι περὶ τὰς ἐλαίας· ἐν Μιλήτῳ μὲν γὰρ ὅταν περὶ τὸ ἄνθος ὦ-
σι, νοτίου ἀέρος ὄντος καὶ ὑδάτων, κάμπαι γινόμεναι κατεσθίουσιν,
αἱ μὲν τὰ φύλλα, αἱ δὲ τὰ ἄνθη, ἕτεραι πρὸς τῷ γένει· βοηθεῖ δὲ πρὸς
ταῦτα, ἐὰν ἐπιγένηται καῦμα· διαρρήγνυνται γάρ· ἐν Τάραντι δὲ περὶ τὴν ἄν-
θησιν, ὁτὲ μὲν ἀπεξυσιβοῦνται διὰ τὴν ἀπνοίαν· ὁτὲ δὲ πνεύματι πνέον
ἐκ τῆς θαλάττης ὁμιχλῶδες καὶ παχὺ προσίζον ἐν τοῖς ἄνθεσιν, ἀπόλ-
λυσι τὰ ἄνθη τῇ ὀσμῇ· διαρυτοκαγίζων ὄντα καὶ μετέωρα τῶν δένδρων.
ἐλάχιστος γὰρ αὐτοῖς ὁ καρπός· ὅλως δὲ ἕκαστοι τῶν τόπων ἴδια ἔχου-
σι κῆρας, οἱ μὲν, ἐκ τοῦ ἐδάφους, οἱ δὲ ἐκ τοῦ ἀέρος, οἱ δὲ ἐξ ἀμφοῖν· ἐ-
κείνη δ' αἰτία κοινὴ πᾶσιν ἡ ἀπὸ τῶν πνευμάτων κατὰ τὴν χώραν ἑκά-
στας ὅσα θερμὰ τοῦ θέρους πνεῖ καὶ τοῦ ἦρος ψυχρὰ σφόδρα, τῶν δένδρων
ἄρτι βλαστανόντων ἢ ὑπὸ τὴν ἄνθησιν· τὸ γὰρ ὅλον ἀληθὲς καὶ ἐπὶ τού-
των· ὅτι δι' ὑπερβολὴν καὶ ἔνδειαν τροφῆς καὶ καύματος καὶ ψύχους νο-
σοῦσιν· ἔτι δ' ἂν μὴ κατὰ καιρὸν τὰ πνεύματα καὶ τὰ ὕδατα τὰ οὐράνια γίνη-
ται· συμβαίνει γὰρ ὁτὲ μὲν ἀποβάλλειν λεγομένων μήνιον μὲν ὑδάτων,

ὥσπερ τὰς συκᾶς· ὅτι δὲ χείρους γίνεσθαι σηπομένους ἢ καταπνιγομένους ἢ πάλιν ἀποξηραινομένους παρὰ τὸ δέον· ἐκκαίεται καὶ καυματοῦται ἔνια· καὶ βοτρύων καὶ ἐλαιῶν ἀποκάει καὶ αὐγὴ τοὺς καρπούς. τῶν δὲ σκωλήκων πολλοὶ διαφέρουσι μὲν καὶ μορφαῖς· οὐ μὴν ἀλλ' ἐκείνη μείζων ἡ διαφορὰ, τὸ μὴ δύνασθαι τὰ ἐξ ἑτέρου δένδρου καὶ καρποῦ μετατιθέντα εἰς ἕτερον γίνεσθαι σώζεσθαι. τούτου δὲ ὁ λόγος· ἑκάστῳ γὰρ ἐκ τῆς οἰκείας ὕλης ἡ τροφή. παρὰ δὲ ἴδιον τὸ περὶ τὸν κεράστην καλούμενον ξυμβαῖνον. τοῦτο δέ φασι ἐν τῇ ἐλαίᾳ γίνεσθαι, καὶ εἰς τὴν συκῆν ἐντίκτειν. ἔχει δὲ ἡ συκῆ καὶ ἐξ ἑαυτῆς σκώληκας, καὶ τοὺς ἐντικτομένους τρέφει. πάντες δὲ εἰς κεράστην ἀποκαθίστανται· καὶ φθέγγονται οἷον τριγμόν. περὶ μὲν οὖν νοσημάτων, ἱκανῶς εἰρήσθω. περὶ δὲ φθορᾶς ἁπλῶς τῶν δένδρων, ἐκεῖνο πρῶτον διαιρετέον, ὅτι εἰσὶν αἱ μὲν κατὰ φύσιν, αἱ γηραιαὶ καὶ δι' ἀσθένειαν αὐάνσεις, ὥσπερ ἀποπνεόντων καὶ ἀπομαραινομένων αὐτομάτων· παρὰ φύσιν δὲ ἀπὸ τῶν ἔξωθεν. τούτων δὲ αἱ μὲν, βιαιότεραι φαίνονται, καθάπερ ἐὰν κοπῇ ἢ πληγῇ· αἱ δὲ ἧττον διὰ χειμῶνας ἢ πνεύματα. πασῶν δὲ ἥκιστα διαμένουσιν ὥσπερ ἐπὶ τῶν ζώων. ἐγχρονίζουσι γὰρ αὗται μάλιστα. διὸ καὶ οὐδὲ φαίνονται παρὰ φύσιν ὁμοίως ἔν τε ζώοις καὶ φυτοῖς. εἴπερ ἐκεῖνο τῆς φύσεως ἡ ἔκλειψις. ἔστι δέ τις ἑτέρα παρὰ ταύτας ἢ διὰ τὴν ἀκαρπίαν ἢ πολυκαρπίαν. τὰ γὰρ μὲν οὖν ὥσπερ ἐλέχθη φύσει βραχύβια, ἐξαναλισκόμενα ἐνταῦθα τῆς οὐσίας, ὅσα πολυκαρπήσαντα ἀφαναίνεται καθάπερ ἐλέχθη. συμβαίνει γὰρ τοῦτο πλείοσιν. ἐπεὶ καὶ ἐλαῖαι αἱ νέαι δοκοῦσι φθείρεσθαι διὰ πολυκαρπίαν· ὅτι οὔπω τετελεσμένην, τὴν τῆς αὐξήσεως τροφὴν ἐξαναλίσκουσιν εἰς τοὺς καρπούς. ταύτην δὲ οὖν κατὰ φύσιν αὐτὶς θείη τὴν φθοράν. οὐ δ' ὥστε ἀπὸ τῶν ἔξωθεν καὶ βιαίως· αἰῶς ἀπαυτῶν. διὰ τὴν ἐπὶ πλέον ὁρμὴν τὴν ἀσύμμετρον πρὸς τὸν καρπόν· ἧς συναίτιός πως καὶ ὁ ἀὴρ καὶ ἡ τοῦ ὅλου κατάστασις· εὐκαρπία γὰρ γίνεται τοιαύτη διὰ τὴν τοῦ ἀέρος εὐκρασίαν. ταύτην μὲν οὖν εἴτε κατὰ φύσιν εἴτε καὶ μέσην τινὰ χρὴ λέγειν, οὐδὲν διαφέρει. τάχα δὲ ἀνάγκη τινὶ δένδρων ἔνια κατὰ φύσιν· αὐτομάτως τε γινόμενον, ἢ οὐ κακουμένης ἀλλ' οὐθενὸς ὄντος οἷον τῆς πεύκης, ὅταν αἱ ῥίζαι δᾳδωθῶσι. πάσχουσι μὲν γὰρ

τοῦτο

τοῦτο διὰ τὴν προθυμίαν καὶ διὰ τὴν περιβολήν· ἅμα δὲ τῇ διαδώσει τῆς τροφῆς ἀδι-
έσται, φθείρονται. ἔοικε παραπλήσιον τὸ συμβαῖνον εἶναι καὶ ἐπὶ τῶν ζώων, ὅ-
ταν ὑπερπαχυνθῶσιν. οὐδ' ὥσπερ μὲν ἐλκῶν τὴν πνοήν, οὐδ' ὅλως τῷ πνεύ-
ματι χρῆσθαι, διὰ τὴν σύμφραξιν καὶ τὴν πύκνωσιν. ἐκεῖ τι ἀποπνί-
γονται καὶ πεῦκαι. διὸ καὶ οὐ κακῶς οἱ ὀρθότυποι τοὔνομα τίθενται. φασὶ γὰρ ἀ-
ποπνίγεσθαι τὴν πεύκην διὰ τὴν πιότητα. πάντα γὰρ ὡς ἔοικε δεῖται
πνεύματος τινὸς ἢ μανώσεως ἢ ἀέρος. τὰς μὲν οὖν τοιαύτας μᾶλλον αὐτὸς
θείη φυσικάς. ἐκείνας δὲ ὁποτέρως δεῖ προσαγορεύειν, μηδὲν διαφερέτω
καθάπερ ἐλέχθη. περὶ δὲ τῶν κατὰ φύσιν λεκτέον. ἐπεὶ δὲ καὶ αἱ κατὰ φύσιν ἁ-
πλαῖ τινές εἰσι καὶ φανεραί. τούτων δὲ σχεδὸν ἐν δυοῖν αἰτίαιν τῶν κατὰ
τὸν ἀέρα γινομένων ὑπερβολῇ ψύχους τε καὶ καύματος. αἱ γὰρ δι' ἔνδειαν
τροφῆς, οἷον ἢ λειψυδρίαν ἢ χώρας κακίαν, ἕτερον εἶδος ἔχουσι, φανε-
ραὶ τῶν εἰρημένων. αἱ μὲν ὑπὸ καύματος, ἐλάττους. αὖ μή τις αὐχμὸς ὑπερ-
βάλλων γένηται. καὶ ἔτος δὲ μάλιστα πολλάκις ἀπόλλυσιν ἢ τὰ δένδρα. ταῦτα δὲ μὲν
συνεχῶς γένηται, καὶ πλείω χρόνον. αἱ δ' οἷα δὲ τὰ ἐπέτεια καύματα γίνεται καὶ
κατὰ τὸν οἰκεῖον καιρὸν οἷον ὑπὸ κύνα. μόνα γὰρ ἀπόλλυται τὰ φυτὰ ἀστροβολού-
μενα. καὶ ἐὰν ἄρα τι τύχῃ πεπηρωμένον ἢ ἀσθενές. τὸ δὲ γὰρ ταῦθ' ὑπομέ-
νει. ὑπὸ δὲ τοῦ χειμῶνος πλείω καὶ κατὰ πλείω τρόπους. ὁτὲ μὲν γὰρ αἱ ὀρεῖαι ἀ-
πὸ γὰρ σφοδρότητες ἐμπνεύσεων. ὁτὲ δ' ἄνεμοι ψυχροὶ πνεύματος
ἐπέκαυσαν. ἐνίοτε δὲ καὶ ἀπνοίας οὔσης, ἢ μετρίας πνοῆς, οὐ καθαροῦ δὲ τοῦ ἀέρος.
ἀλλὰ θολεροῦ καὶ ἐπιφανοῦς. καὶ σχεδὸν οὕτως ἥ γε τῶν δένδρων γίνεται πῆξις. ἐάν
τε αἴθει ἐάν τε μὴ αἴθει ὁμοίως. γίνεται δὲ περὶ μὲν Ἀρκαδίαν καὶ Λύβους, αἴθει
καὶ πνεύματος μάλιστα. περὶ δὲ Θετταλίαν καὶ τοὺς τοιούτους τόπους ἀπνοίας καὶ ἐπινε-
φοῦς. οὐ μὴν ἀλλὰ πνεύματος ὄντος συμβαίνει τὸ πάθος. ὅταν γὰρ τὰ ὄρη λάβῃ
χιόνα τὰ περικείμενα καθ' ἕκαστον τόπον. ἀφ' ἑκάστου γὰρ ἀπὸ πνοίας καὶ τὸ ψύ-
χος τὸ ἀποκάον. ὁτὲ δὲ καὶ νηνεμίας οὔσης εἰσδυόμενος ὁ ἀήρ. ὁ δὲ λέγουσιν ὡς
ἧττον γίνεται περὶ Λύβους καὶ τὸν Βοιωτικὸν ὅταν ἡ Ὀρχομενία λίμνη πληρωθῇ.
τάχ' ἄν τις ἀμφοτέρως λάβοι. καὶ ὡς κατὰ συμβεβηκός, ὅτι ἐπεμβρασυμ-
βαίνει τότε μᾶλλον εἶναι τὰς τῆς χιόνας μὴ ἐπιπίπτειν. καὶ ὡς ὑδρωδεστέ-
ραν τὴν ἀναθυμίασιν γινομένην, διὰ τὸ ἀπὸ πλείονος. ἡ τοιαύτη δ' ἧττον

ψυχρὰ ἀλλὰ κακοποιός· καὶ φανερὸν ἐν τισὶ τόποις γέγονεν· ἀλεεινότεροι γὰρ γεγόνηνται, λιμνωθέντος τοῦ πλησίον. πνεῖ δὲ τὰ πνεύματα, ἀπηκαίου περί τε τῆς κατὰ τὴν ἑλλάδα τόπους ἀπὸ δυσμῶν· ὥσπερ ὁ ὀλυμπίας ὄπισθεν ἄλλοθί τε· ἐν χαλκίδι τὸν καλούμενον κλαυθμόν· ἐν θετταλίᾳ γὰρ ἀμφοτέρωθεν πνέοντες ἐμπηγνύουσιν· ἡ δ᾽ ὥρα καθ᾽ ἣν πνεῖ, ὅτε μάλιστα πως περὶ ξοπ ὑπὸ τὰς τεσσαράκοντα· τότε γὰρ ὁ ἀὴρ ὅλως ψυχρότατος. τὰ μὲν οὖν γινόμενα, ταῦτ᾽ ἐστίν· ἡ δ᾽ αἰτία σχεδὸν ὡς καθόλου τι εἰπεῖν φανερά· τὸ γὰρ θερμὸν ἐξελαυνόμενον ὑπὸ τοῦ ψύχους, συνεξάγεται τὸ ὑγρόν· ὥστε διαπνεῖσθαι· συμβαίνει δὲ τοῦτο θᾶττον ἐπὶ τὸ πλέον ἐν τοῖς ὑπὲρ γῆν· τὰ δὲ κατωτάτω περὶ τὰς ῥίζας ἀπαθῆ. πολλάκις δὲ καὶ αὐτό τι τοῦτ᾽ ἐλέγχει· ὁμοίως γὰρ ἐνίοτε διικνεῖσθαι καὶ πρὸς τὰς ῥίζας, ὥσθ᾽ ὅλον ἐξαυαίνεσθαι τὸ δένδρον· ἁπλῶς γὰρ ἄνωθεν ἡ ἀρχὴ καὶ ἡ παρείσδυσις τοῦ ψύχους· εἶτα ἀπὸ τούτων ὥσπερ ὀχετῶν τινων καταβαίνει πρὸς τὰ κάτω· διὸ καὶ παρ᾽ οἷς συμβαίνει τὸ πάθος, κατακρύπτουσι τὰς ἀμπέλους· καὶ τὰς συκᾶς θαμνώδεις ποιοῦσιν· οὐδὲν δὲ δεῖ πολλῆς γῆς, ἀλλὰ μετρίας· τισὶ ἐπιοῦσα δύναται διατηρεῖν· ἔνιοι δὲ μόνου περὶ τὰ ἀκρατῆ κλήματα καὶ τοὺς κράδους αὐτάς. καθάπερ ἐν τισὶ τόποις τῶν περὶ μήδειαν, οἷον ἐμφράττοντες τὰς ἀρχάς· ἐὰν γὰρ ταῦτα συγκλεισθῇ, καθάπερ ἀλλὰ τὰ γυμνά, οὐδὲν πάσχουσι διὰ τὸ μὴ ἔχειν εἴσοδον· διικνεῖται γὰρ ἀπὸ τῶν ἄνω πρὸς τὰ κάτω καὶ τὰς ῥίζας· ἡ δ᾽ αἰτία διότι ἰσχυρὰ καθάπερ ὑφ᾽ ἡλίου ἐγχρονίου πολλοῦ, διὰ τὴν σφοδρότητα καὶ τὴν ἰσχὺν τοῦ ψύχους· ἐξάγεται γὰρ μᾶλλον καὶ ἀθροώτερον τὸ ὑγρὸν ἅμα τῷ θερμῷ· τὸ δὲ πονεῖν μάλιστα τῶν τόπων, ὅσοι κοῖλοι καὶ αὐλώνες εἰσί, καὶ ὅσοι περὶ τοὺς ποταμούς, καὶ ὅλως τοὺς ἀπνευστοτάτους, οὐκ ἄλογον· ἵσταται γὰρ μάλιστα ἐνταῦθα φερόμενον πνεῦμα καὶ πλεῖστον διατρίβει χρόνον· ὥστε καὶ μάλιστα πεσάζεται. καὶ γὰρ ὅπου μὴ διὰ πνεύματος τὸ πάθος, ἀλλὰ διὰ παρουσίαν καὶ στάσιν τινὰ τοῦ ἀέρος γίνεται· καθάπερ ἐν μακεδονίᾳ τε καὶ θετταλίᾳ, ἐνιαχοῦ καὶ περὶ φιλίππους, ἐνταῦθα οἱ κοῖλοι τόποι μάλιστα πονοῦσιν· ἐφεστηκὼς γὰρ ὁ ἀὴρ, πήγνυται· καὶ πήγνυσι τὸ ὅλον πλείω χρόνον καὶ ἐργάζεται· κατὰ τοὺς ὑπτίους δὲ οὐδὲ γίνεται πῆξις ὅλως· ὥσπερ ἡ τοῦ ὕδατος ἢ πνεύματος· κωλύει γὰρ ἡ κίνησις· ἀλλ᾽ ἐκεῖνο θαυμαστὸν καὶ λόγου δεόμενον, ὅτι οὐ τὰ ἀθερμέστατα

πονεῖ ἔωθεν, ἀλλ' ἐνίοτε τὰ ἰσχυρὰ μᾶλλον· ἐλαίαν γὰρ καὶ συκῆν οὐδὲν ἀλογον ἀπεικάζειν θηλυτέρα· φασὶ μὲν γάρ, μετέωροι τῆς γῆς καὶ μαναὶ ταῖς ῥίζαις· ὥστε δι' ἄνωθεν τὸ ψῦχος διικνεῖσθαι. ἡ δ' ἄμπελος ἔχει τινὰ αἰτίαν ἐκ τῆς φύσεως, καὶ ἐκ τῆς ἑλκώσεως τῆς περὶ τὴν τομήν· ἀλλὰ τὸ τὸν κότινον μᾶλλον πονῆσαι τῆς ἐλαίας, ἄτοπον· καὶ τὸ τὴν ῥόαν μηδὲν παθεῖν, ἀθερμῆ πρὸς τοὺς χειμῶνας οὖσαν· ἐμπήγνυσθαι γὰρ τάχιστα δοκεῖ· καὶ γὰρ ἰδία φθείρουσιν αἱ ἐκ τῆς ξηρᾶς ὑπὸ τῶν πάγων καὶ τῶν πνευμάτων, ὅλως οὐκ ἄλογον, ἀμφοτέρων τὰ ἀσθενέστατα μάλιστα ὑπακούειν. εἰ μὴ ἄρα τὸ αὐτὸ συμβαίνει καὶ ἐνταῦθα τῷ προτέρῳ εἰρημένῳ· μᾶλλον γὰρ καὶ ἐφίσταται καὶ ἐμμένει τοῖς πυκνοῖς ἢ τοῖς μανοῖς· τὰ δὲ μανὰ, δίεισιν· ὃ καὶ τοῦ μὴ ἐκπεπυρῶσθαι τὰς μηλέας αἴτιον ἦν· ἔτι οὐδετέρων ἀσθενεῖς οὖσαι, ὥσπερ καὶ περὶ θετταλίαν· τῇ γὰρ μανότητι δίεισι καὶ οὐκ ἀποστέγει· τὸ δὲ μὴ χρονιζόμενον μηδὲ ἀθρόον, οὐδὲ ἐργαστικόν· ὥσπερ οὐδὲ ἐν τοῖς κεραυνοῖς· δεῖ γὰρ δυεῖν θάτερον· ἢ μὴ δέχεσθαι καθάπερ τὰ πυκνὰ καὶ ἰσχυρά (γίνεται γὰρ ἡ ἄπιος, καὶ τὰ ἄγρια δὲ καὶ τὰ ἄκαρπα ἔτι μᾶλλον· οἷον πτελέα· ὀξύα) ἢ δεξάμενα διιέναι καὶ μὴ κατέχειν· ὑπὲρ μὲν οὖν τούτων ἐνταῦθά που τὸ αἴτιον. ἡ δὲ τῶν πνευμάτων φθορὰ, καθ' ὃν ἂν γένηται τόπον ἐπέκλυσεν, οἷον ποταμός τις ῥυείς· ὥσπερ ἐν τοῖς λοιμοῖς· διὸ καὶ τὰ σύνεγγυς ἀπαθῆ πολλάκις· ἐνίοτε δ' οὕτως εἰς ἀκριβὲς διῆλθεν ὥσπερ τοῦ ἡμίσεος τοῦ αὐτοῦ κλήματος ὀφθαλμῶν, οἱ μὲν, ὑγιεῖς, οἱ δὲ, πεπηγότες εἰσί· πολλάκις δὲ κεκρυμμένης ὑπὸ χιόνος ὅλης τῆς ἀμπέλου (γίνεται γὰρ τοῦτο ἐν τοῖς ψυχροῖς τόποις) ἐὰν λάβῃ γυμνὰ τὰ ἄκρα κλήματα, ταῦτα ἀπέκαυσε, καὶ ἀπὸ τούτων διαδίδωσι πρὸς τὰς ῥίζας· ὥστ' ἐνίοτε ξηρὰν ὅλην δὲ τὸν πόντον, ὑπὸ τῶν πνευμάτων ἐκπῆξις γίνεται, ὅταν αἰθρίας οὔσης καταφέρωνται. ταῦτα δέ ἐστι πλατέα· ἅπαντα φερόμενα μὲν φανερά· πεσόντα δὲ οὐδὲν διαμένει· δῆλον δ' ὅτι πῆξίς ἐστι τῆς ὑγρότητος ἐν τῷ ἀέρι, καθάπερ τῆς πάχνης· ὅταν οὖν τοιοῦτος ὁ ἀὴρ προπίπτων ὑπὸ πνεύματός τινος ᾖ, καὶ ταῦτα συγκαταφέρηται, κατὰ λόγον ἡ ἐκπῆξις γίνεται· τὰ δὲ πνεύματα, τοῖς μὲν ψυχροῖς φύσει τῶν τόπων, ὅπως ἰσχυρότερα ἂν εἴη· καθάπερ ἐν τῷ πόντῳ καὶ τῇ θράκῃ·

τοῖς δὲ λευκοτέροις ἐκ τῆς ἔξωθεν ἢ ἐπιφορᾶς· καθάπερ ἐν εὐβοίᾳ· δῆ-
λοῖ γὰρ ἡ φύσις ὡς αὐτόθεν οὐκ ἐκστασίμου τινὸς ὄντος ὅλου πνεύματος· ἀλ-
λ' ἢ αὐτοῦ τοῦ τύχῃ ξυνέμ· οὐδὲ γὰρ ἂν ἦν ἀκέραια τὰ πλησίον. τῶν μὲν οὖν
πνευμάτων αὕτη τις ἰδιότης. ὁ δὲ περὶ γῆς πάγος χαλεπώτατος,
ὅταν περιβεβοθρωμένα καὶ γυμνὰ λάβῃ τὰ δένδρα. μάλιστα δ' ἐὰν καὶ
ὕδωρ ἐνεστηκός· ἐὰν γὰρ δὴ μένῃ πλείω χρόνον ἐξέπηξε, εἰσελθὸν εἴς τε
τὰ γυμνὰ καὶ τὰς ῥίζας εἰσδυόμενος· ἐπεὶ καὶ ὅλως, ἂν διάβροχα μὲν ᾖ λά-
βῃ τὴν γῆν, χαλεπώτερος· μανῆς γὰρ οὔσης ἐνικνεῖται μᾶλλον. ἀπαθέστε-
ραι δὲ, ἐὰν κεκοπρισμένη τύχῃ· θερμὴ γὰρ ἡ κόπρος οὖσα βοηθεῖ. ὡσαύτως δὲ
καὶ χιόνος πεσούσης, κἂν ἀναζυμωμένης τῆς γῆς ἐπιγένηται (ψύχη γὰρ καὶ
πάχνη καὶ πάγος ἐκπηγνύουσιν) διαλύεται διὰ τὴν μανότητα
καὶ αὐτὴν τὴν πῆξιν. ὁ δὲ περὶ γῆς πάγος ὀλεθριώτερος τοῖς δέν-
δροις· ἅπτεται γὰρ μᾶλλον τῶν ῥιζῶν. ὁ δὲ τοιοῦτος καὶ ἧττον χαλεπώ-
τερος δὲ καὶ οὗτος κἀκεῖνος, ὅταν ἀνειμένης πάλιν ἐπιπηγνύηται, καὶ τοῦ-
το ποιῇ πολλάκις· ἐξαιρεῖται γὰρ τὴν δύναμιν. ὁ δὲ συνεχὴς ἐξίκα-
ται κλείσας τὸ θερμὸν, οὐχ ὁμοίως· πλὴν ἐὰν ὑπερβάλλῃ τῷ χρόνῳ. καὶ χα-
λεπώτερος δ' ὅλως ὁ κάτωθεν πάγος τοῖς μὴ ὑγιέσι μηδὲ πυκνοῖς
μηδ' εὐίκμοις· οὐδὲ γὰρ ὁμοίως θερμαίνει. καὶ διαλύεται δὲ πορρωτέ-
ρω καὶ ἅπτεται τῆς ῥίζης. συμβαίνει δὲ τὰς μὲν τῶν βλαστῶν ἐκ πήξεως καὶ
ἀπωλείας τῶν ἄνω πολλάκις γίνεσθαι· τὰς δὲ τῶν ῥιζῶν καὶ ὅλως τῶν δέν-
δρων, ὀλιγάκις καὶ παρ' ὀλίγοις. αἴτιον δὲ τὸ ἔχειν προβολὴν καὶ οἷον
ἀποστέγασμα τοῦ ψύχους τὴν γῆν. εἰς ἣν καὶ συνελαύνεται τὸ θερμόν.
ἐνίοτε δ' οὐκ ἀπόλλυται οὐδὲ τὰ ἄνω· ἀλλὰ μᾶλλον ἐπικαίεται. καὶ τοῦ-
τ' οὐκ εὐθὺς ἀφαιρεῖν δεῖ. πολλάκις γὰρ ἅμα τῇ ὥρᾳ διεβλάστησε. καὶ
αὐτὰ τὰ φύλλα δοκοῦντα αὐαίνεσθαι, πάλιν ὑγρὰ αὖθις καὶ ἐγένετο χλω-
ρά· διὸ καὶ οὐκ ἄτοπον εἴ τι συνέβη τοιοῦτον, ὥστε ἐλαίας αὐαν-
θείσης καὶ αὐτῶν τῶν φύλλων, πάλιν ἀναβλαστῆσαι· οὐ γὰρ ἦν αὔαν-
σις, ἀλλὰ φαινομένη τις ξηρότης καὶ τῇ ἄλλῃ χρόᾳ· πρὸς δὲ τὴν ἀρχὴν
οὔτε τὴν τῶν φύλλων δύναμιν· ἔτι δὲ ἧττον τῶν βλαστῶν καὶ τῶν ἀκρεμόνων· ὁμοί-
ως δὲ καὶ ἐπ' ἄλλων τινῶν τοῦτο ξυμβαίνει· μάλιστα δ' εἰκὸς ὧν τὸ φύλ-

λον σαρκῶδες

λομσαρκοῦ δὲ καὶ αὐτὰ τῇ φύσει θερμά. τὰ γὰρ ἀσθενικὰ λεπτὰ, τοῦ γὰρ
πάχει, καθάπερ τὰ τῶν μορίων. ἀλλὰ καὶ τὰ χιστώδη κάεται. λεπτὰ γὰρ τ
αὐτὰ τὰ κλωνία καὶ ἅπαλα τῇ φύσει. καὶ ὅλον τὸ δένδρον οὐ θερμόν. διὸ καὶ ἐπι-
γινώσκεται τὰ χιστά. ἡ δὲ αὖ δάφνη καίπερ οὖσα μανὴ, καὶ διαμένει διὰ τὸ θερμόν.
ἡ δὲ ῥόα καὶ ἡ συκῆ, μαναί τε καὶ ὑγραὶ οὐχ ὁμοίως θερμαί. ταχεῖα δὲ ἡ ἐκ τῶν ἐκ-
πήξεων γινομένη ἀναβλάστησις. ὅτι συμβαίνει τὴν ῥίζαν ἰσχυρὰν εἶναι καὶ πλή-
ρη· συνηθροισμένης τῆς ἔσω τροφῆς, ἣν οὐδὲ ἔδωκεν. ἔτι δὲ τῶν πρότερον ὑπολοίπων
καὶ ἰσχυρὰν διαμεμενηκυῖαν, τότε συλλογισθεῖσα λίαν σκεπτέον. ὥστε τῷ λόγῳ καὶ
ἡ αὔξησις ταχεῖα, ἀνίκητος τροκία. τοῦτο μὲν οὖν ὁμολογούμενον γίνεται περὶ ἅπα-
σιν. ὁ δέ τινες θαυμάζουσιν, ὅτι ἡ μὲν χιὼν οὐκ ἐκπήγνυσιν. ἡ δὲ πάχνη, μετρι-
ωτέρα τῆς χιόνος οὔσης, οὐδὲν ἄλογον. πρῶτον μὲν ὅτι ἡ μὲν, οὐκ ἐπιμένει. ἀλ-
λὰ ἀποτήκεται ἀπὸ τῶν κλημάτων καὶ τῶν βλαστῶν. ἡ δὲ πάχνη, ταῦτα προκαθεῖ. ἔπει-
τα ἡ διάθεσις αὐτὴ τοῦ κλήματος. ἡ μὲν γὰρ ἀβλαστοῦς. ἡ δὲ, διαβλαστηκό-
τος ἄρτι περιπίπτει ὅτι ἀσθενέστατον. ἐνίοτε δὲ αὐοιδοῦντος πρὸς τὴν βλά-
στησιν, ὅτι οὐ χειμῶνος εἰπεῖν ὑπάρχει. ἐπὶ πᾶσι γὰρ διυγραινόμενον ἤδη καὶ
μανούμενον ἔτι λεπτοτέρας τῆς χιόνος. ὥστε δι᾽ ἄμφω σφοδροτέραν τὴν
πῆξιν εἶναι. ἡ δὲ χιὼν ὅλως οὐδὲν ἐπιμένει ἐπὶ τοῖς κλήμασι, μὴ κατακρυ-
πτομένης ὅλης. ὅτε δὲ τοῦτο πάθῃ, σκεπάζει ἐπιμένουσα ἐγκατακλείου-
σα τὴν θερμότητα, καὶ ἀποστεγάζουσα τὴν ἔξω καθάπερ καὶ τὴν γῆν. τὸ δ᾽ ὅ-
λον, καὶ τμητικωτέρα δόξειεν ἡ πάχνη τῆς χιόνος εἶναι. διὸ καὶ τοὺς νέους οἷον
ταύτην βελτίους ταύτην ποιεῖ. διὰ χρόνου τὰς βώλους διαδύομένη καὶ διακι-
νοῦσαν τῷ συνεστάναι μᾶλλον. λεπτοτέρα δ᾽ ἐστὶ τῆς χιόνος, ὅτι ἡ μὲν, ἐκ
νέφους, καὶ οἷον ἀφρός τις ἐμπεριειληφὼς πνεῦμα. ἡ δὲ, ὑπὸ τῆς καθ᾽ αὑτὸ
συνεστηκυῖα καὶ ἐκ λεπτοτέρου τινὸς ἀέρος καὶ ὑγροῦ. ἴστων μὲν οὖν ταύτας
ὑποληπτέον τὰς αἰτίας. αἱ δὲ κατὰ πῆξιν ὅλως, πότερον διὰ τὴν παχύ-
τητα τοῦ ἀέρος, ἢ διὰ τὴν λεπτότητα γίνονται. καὶ εἰ δι᾽ ἄμφω, διὰ ποτέρου
μᾶλλον, ἀπορήσειεν ἄν τις. εἰ μὲν γὰρ ὁ δὲ τοῦ ἀέρος γίνεται πῆξις, ὅτε μὴ
αἴθριος ὁ ἀὴρ, μηδὲν τοῦ ἀέρος ἄξιον. ὁ γὰρ αἴθριος λεπτότερος. ἅμα
δὲ καὶ διαλυτικώτερος μᾶλλον ὁ λεπτός. ἡ δὲ κατὰ πῆξις, εἰς δύο μὲν οὖν τοῦ
τέμνοντος. ἔτι δὲ ψυχρότερος καὶ ἀπαθέστερος ὅλως ὁ λεπτός. διὰ τὸ

τὸ δὲ καὶ τὰ ὕδατα τὰ προθερμανθέντα ψύχεσθαι καὶ πήγνυσθαι θᾶττον, ὅτι λεπτύνεται τῇ θερμότητι. συνεπιμαρτυρεῖν δὲ καὶ οἱ τόποι δοκοῦσιν, οἱ ἐναίθριοι λεγόμενοι. πλείω γὰρ ἐκπήγνυσθαι καὶ πολλάκις ἐν τούτοις, ἔνια χωρία, καὶ μικρὰ ὄντα πάνυ διεχόντων ὥσπερ ἐν Κορίνθῳ τὸ Κράνειον καὶ τὸ Ὀλύμπιον· σκληραὶ δὲ αἱ αἴθριαι σφόδρα περὶ τὸ Κράνειον, ὥστε καὶ τῷ φυτῷ καὶ τῇ αἰσθήσει δῆλον εἶναι. ἔνια χωρία δὲ καὶ ἐπὶ πλείονι διαστήματι. ἔτι δὲ ὅλως οἱ πρώτως οὐκ ἐκπηγνύντες τόποι παχέος ὄντος τοῦ ἀέρος, νῦν ἐκπηγνύουσι. καθάπερ οἱ περὶ Λάρισσαν τὴν ἐν Θετταλίᾳ. τότε μὲν γὰρ ἐφεστηκότος ὕδατος πολλοῦ καὶ λελιμνωμένου τοῦ πεδίου, παχὺς ὁ ἀὴρ ἦν, καὶ ἡ χώρα θερμοτέρα. τούτου δὲ ἐξαχθέντος καὶ ἐνίστασθαι κωλυθέντος, ἥ τε χώρα ψυχροτέρα γέγονε, καὶ ἐκπλήξεις πλείους. σημεῖον δὲ λέγουσιν ὅτι τότε μὲν ἦσαν ἐλαῖαι καὶ ἄλλοθι καὶ ἐν αὐτῷ τῷ ἄστει μεγάλαι καὶ καλαί· νῦν δὲ οὐδαμοῦ. καὶ αἱ ἄμπελοι, τότε μὲν οὐκ ἐξεπήγνυντο· νῦν δὲ πολλάκις. ὅτι δὲ τὸ ὕδωρ οὐκ ἀεὶ ψυχροτέρας ποιεῖ, ἀλλ' ὥσπερ καὶ πρότερον ἐλέχθη, σημεῖον τὸ περὶ Αἶνον γινόμενον· αὕτη γὰρ εἱλεινοτέρα δοκεῖ. νῦν δὲ γέγονε πλησιαίτερον ὄντος τοῦ Ἕβρου. ταύτῃ μὲν οὖν δόξειεν ἂν ὁ λεπτὸς ἀὴρ πηκτικώτερος εἶναι. τῇ δέ, πάλιν ὁ παχύτερος· ἀκινητότερος γάρ. ὁ δὲ ἀκίνητος πηκτικώτερος. ὅτι δὲ καὶ αἱ σύγχεις ἐν τοῖς τοιούτοις γίνονται τόποις, αἵπερ μάλιστα εἰσδύονται εἰς τὰ σώματα· φυλάξασθαι γὰρ οὐκ ἔστιν οὐδὲν τοῖς στρώμασι κατακειμένοις. ὑποβεβαιοῖ δὲ καὶ τὸ ἐν τοῖς ὄρεσιν ἧττον, ἢ ἐν τοῖς πεδίοις ἐκπλήξεις γίνεσθαι. λεπτότερος γὰρ ὁ ἀὴρ καὶ εὐκινητότερος. οἱ δὲ καθ' ἕκαστα τόποι καὶ ἐπὶ τούτων πίστιν ἔχουσι. τῶν τε γὰρ ἐν Θετταλίᾳ περὶ Κίθρον μάλιστα ὡς εἰπεῖν, ἐκπλήξεις ἐστίν. ὁ δὲ τόπος κοῖλος καὶ ἔφυδρος. ἔν τε Φιλίπποις πρότερον μὲν μᾶλλον ἐξεπήγνυντο· νῦν δὲ περικαταποθεὶς ἐξήρανται τὸ πλεῖστον, ἥ τε χώρα πᾶσα κάτεργος γέγονεν, ἧττον πολύ. καίτοι λεπτότερος ὁ ἀὴρ δι' ἄμφω· καὶ διὰ τὸ κατειργάσθαι τὴν χώραν (ἡ γὰρ ἀργὸς, ψυχροτέρα) καὶ παχύτερον ἔχει τὸν ἀέρα, διὰ τὸ ὕλης εἶναι. καὶ μήτε τὸν ἥλιον ὁμοίως διικνεῖσθαι, μήτε τὰ πνεύματα διαπνεῖν. ἅμα δὲ καὶ αὐτὴν ἔχειν ὑδάτων συρροὰς καὶ συστάσεις πλείους. ὃ καὶ περὶ τὰς Κρηνίδας ἦν τῶν Θρᾳκῶν κατοικούντων· ἅπαν γὰρ τὸ πεδίον

δένδρων

δένδρων πλήρεσι τῶν ὑδάτων. ὁ ποτὲ νῦν μᾶλλον πρότερον ἐκ πή-
γνυσιν ὀξηραμμένων τῶν ὑδάτων, οὕτω καὶ λεπτότητα τοῦ ἀέρος αἰτια-
τέον, ὥσπερ τινές φασιν. αἱ μὲν οὖν αἰτίαι ὑπὲρ ἑκατέρων, τοιαῦταί τι-
νες. ἴσως δὲ ἀμφοτέρων γινομένων ἐκ πήξεων (τοῦτο γὰρ φανερὸν
ἐκ τῶν εἰρημένων) διαφέρει καὶ τόπος τόπου καὶ τῷ μᾶλλον παχύνε-
σθαι καὶ λεπτύνεσθαι. ὁ γὰρ ὑδατώδης καὶ θαλερὸς, οὐχ ὁμοίως ἐργαστικός.
οὐδ' αὖ πάλιν ὁ λεπτός. ἀλλ' ὁ μὲν ἀκίνητος ἐστὶν οὐ κεκομμένος. ἡ πῆξις δὲ εἰς
χρόνους. ἔτι δὲ καὶ τὰ ἐπιγινόμενα δεῖ ποῖ' ἄττα εἶναι, καὶ τὴν ὅλην κατά-
στασιν, καὶ εἴ τι ἄλλο τῶν ἔξωθεν. εἰ γὰρ μεταβολαὶ παχεῖαι πρὸς τὰς ἀνέ-
σεις, κωλύοιντ' ἂν αἱ πήξεις. ὡς δὲ ἁπλῶς εἰπεῖν ὁ παχύτερος μὲν εἰς
τὸ πάσχειν ὁ λεπτός. ὅταν μέντοι καταψυχθῇ ὁ παχύτερος, ψυχρότε-
ρος ὥσπερ καὶ θερμότερος. ἔμμονος γὰρ μᾶλλον ἡ θερμότης ἐστὶν ἢ ψυχρό-
της, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις τοῖς σωματωδεστέροις. διὸ ἐστὶν εἴπου μὴ ὑδα-
τώδης, ἀλλ' ἅμα τῷ παχεῖ ξηρὸς, οὐκ ἄλογον εἰ μᾶλλον ἐκπηκτι-
κός. ἀλλὰ περὶ μὲν τούτων, ἱκανῶς εἰρήσθω. ἡ δὲ τοῦ καύματος ὑ-
περβολὴ, τὰ μὲν φυτὰ καὶ παντελῶς νέα φθείρει διὰ τὴν ἀσθέ-
νειαν. ὥσπερ καὶ τὰ ἐπέτεια. τὰ δὲ ἐρριζωμένα ἤδη καὶ ἔχοντα μέγεθος, οὐ
φθείρει, διὰ τὸ μὴ δύνασθαι διαφύεσθαι, μὴ δὲ ὁμοίως θιγγάνειν
τῆς ἀρχῆς. ἀλλ' εἴπερ τοὺς βλαστοὺς καὶ τοὺς καρποὺς ἐπικαίειν. καὶ τὸ ὅλον ἴσως
ἀλλοτριώτερον τῇ φύσει τοῦ ψυχροῦ. ἐπεὶ ὥς γε ἁπλῶς εἰπεῖν, ἐπὶ πάν-
των γίνεται ἡ φθορὰ ταῖς ὑπερβολαῖς, ὅσα συνορεῖ πρὸς τὸ ζῆν. καὶ
γὰρ χώρα τις ἄφορος, ἡ μὲν, διὰ λιπαρότητα. ἡ δὲ, διὰ λυπρότητα. ἡ δὲ
διὰ λεπτότητα. καὶ ἀὴρ κωλύει περισκελὴς ὢν ἐφ' ἑκάτερα. καὶ ὕ-
δατος ἔνδεια καὶ πλῆθος. φθείρει γὰρ καὶ τὸ στάσιμον ἐὰν ὑπερβαί-
νῃ τὸ μέγεθος τοῦ δένδρου, καθάπερ ἐν ταῖς ἐπομβρίαις καὶ τοῖς
λιμνώδεσι τόποις. ὃ περὶ Φενεὸν συνέβαινεν. ὅπου δὲ ἀπορρέον γίνεται
καὶ ἔχει βάθος, διαφέρουσι μᾶλλον. βοηθεῖ γὰρ ἡ κίνησις, καὶ τὸ ἱκανὸν ἀεὶ
πρὸς τὸ πίπτειν εἶναι. τούτων μὲν οὖν, ταύτας ὑποληπτέον τὰς αἰτίας. λοιπὸν δὲ δεῖ
εἰπεῖν, περί τε τῶν βιαίων παθῶν, καὶ εἴ τις ἄλλη μὴ ὑπὸ τοῦ ἀέρος καὶ τῶν περὶ
φύσεως ἀλλ' ὑφ' ἡμῶν γίνεται. καθάπερ ἥ τε διὰ τὸν περιφλοισμὸν καὶ διὰ τῶν

ἑλκώσειν τῶν φυτῶν. καὶ ὅσα περιπλεκόμενα περὶ τὰς ῥίζας αὐαίνει· καθάπερ τὰ τῶν κυάμων κελύφη, καὶ ἔτι ἄλλο τοιοῦτον ἕτερον. καὶ περὶ μὲν οὖν ὑπὲρ τῶν κυάμων λέγωμεν· φθείρει γὰρ τὰ τῶν κυάμων κελύφη, περιβαλλόμενα ταῖς ῥίζαις καὶ τοῖς βλαστοῖς, οὐ πάντα ἀλλὰ τὰ ἄρτι ἀναφυόμενα· ταῦτα γὰρ ἀσθενέστερα· φθείρει δ' ὅτι τῇ σκληρότητι ἀφαιρεῖται τὴν τροφήν, τὰ μὲν ἑλκοῦντα αὐτά, τὴν δὲ προστέγοντα· μὴ τρεφόμενα γὰρ φθείρεται. καὶ ταῦτα μὲν καὶ ἔτι τοιοῦτον ἕτερον, ὥσπερ ἐναντία πρὸς τὴν βλάστησιν ὄντα. φθείρει ἔνια δὲ καὶ τῶν οἰκείων καὶ συνεργούντων, ἐὰν πλείω συνενεχθῇ τοῦ συμμέτρου, ἢ ἰσχυρότερα ἢ μὴ κατὰ καιρόν· οἷον ἡ κόπρος, ἢ συνεχῶς ἢ ἰσχυροτέρα παραβαλλομένη· καθάπερ ἡ σκυτοδεψική· πάντων γὰρ ὡς εἰπεῖν αὕτη δοκεῖ φθείρειν, ἄκρατος οὖσα, καὶ μὴ καλῶς κραθεῖσα. καὶ ὅσαι δὲ θερμαὶ καὶ ξηραὶ καὶ ἰσχυραὶ τὸ ὅλον, καὶ μὴ οἰκεῖαι πρὸς ἕκαστον· εἰσὶ γὰρ ὥσπερ εἴπομεν αἱ πρὸς τὰς φυτείας ἁρμόττουσαι. καὶ οὐχ ὥσπερ τὸ ὕδωρ πᾶσι κοινόν· ἀλλὰ τοῦτο ἐνίοτε τῷ πλήθει διαφθείρει, σῆπον τὰς ῥίζας καὶ λίαν ἐκμεθύσκον· ἐὰν δὲ δὴ νέα τύχῃ, καὶ μὴ ἄγαν ὄντα φίλυδρα, καθάπερ ἡ πεύκη, κιττὸς καὶ τἆλλα τὰ ξηρά. καὶ μᾶλλον ἐὰν δή τις μὴ κατὰ καιρὸν ἢ τούτοις ἢ τῇ διακαθάρσει ἢ τῇ σκαπάνῃ χρήσηται. πάντα γὰρ συναίτια γίνεται φθορᾶς· ὁ δὲ καιρὸς καὶ πρὸς αὐτὰ καὶ πρὸς τὰ ἐπιγινόμενα παρὰ τοῦ θεοῦ κατὰ τὰς ὥρας. αὗται μὲν οὖν ἐν τοῖς οἰκείοις αἱ φθοραί. διὰ περιβολὴν ἢ δι' ἔλλειψιν τροφῆς ἢ ἀκαιρίας ἔργων. αἱ δ' ἀπὸ τῶν φυομένων ἢ παραβλαστανόντων αὐτομάτων, τῷ ἀφαιρεῖσθαι τὰς τροφάς· θᾶττον δὲ ἂν ἰσχυρότερα καὶ πλείω, καθάπερ τὰ ἄγρια. καὶ ὅσα δὴ πολύρριζα καὶ πολύτροφα καὶ ὑπερίζοντα, καὶ περιπλεκόμενα, καὶ καταπνίγοντα καὶ ἐμφυόμενα καθάπερ ὁ κιττός· ἐπεὶ καὶ ἡ ἰξία δοκεῖ καὶ ὅλως τὰ ἐμβλαστάνοντα φθείρειν. ὁ δὲ κιττὸς καὶ τὸ ἅλιμον, τῇ τε πολυτροφίᾳ καὶ τῇ ἁλμυρίδι τῇ περὶ αὐτά· ἰσχυρότερόν τε τὸ ἅλιμον διὰ τὸ πλείω ἔχειν. φθοραὶ δὲ καὶ ἄλλοις, οὐ πολλῶν εἰσὶν ἴδιαι, καθάπερ ἐν τοῖς ἐλάττοσι. καὶ γὰρ ἡ ὀροβάγχη καλουμένη τὸ ὄροβον τῷ περιπλέκεσθαι καὶ καταλαμβάνειν· καὶ τὸ λειμόδωρον τὸ βούκερων εὐθὺς τῇ ῥίζῃ παραφυόμενον, καὶ ἄλλα πολλῶν. καὶ ὅσα δὴ συμπτώματα καθ' ἑκάστην ὥραν· οἷον, αἶρα καὶ

αἰγίλωψ

αἰγίλωψ καὶ πυροῖς ἀκεσθεῖσι. καὶ ἡ ἀπαρίνη φακοῖς. καὶ ἕτερα δὲ ἑτέροις. ἅπαντα δὲ τῷ τὰς τροφὰς ἀφαιρεῖσθαι, τάς τε ἐκ τῆς γῆς καὶ τὰς ἀπὸ τοῦ ἡλίου καὶ τοῦ ἀέρος. τούτων μὲν σχεδὸν φανεραί τινες αἱ αἰτίαι. ἡ δ' ὑπὸ τοῦ ἡλίου ἐπὶ τῆς πίτυος καὶ τοῦ στέατος. καὶ γὰρ ταῦτα φθείρει. ἐπὶ μάλιστα τὰ φυτὰ τὰ νέα. ἀλλ' οὐκ ἐῶσιν ἀπίεσθαι ἀπεριπλέκεσθαι ἐν ἐκείναις οὔσαις ταῖς αἰτίαις. ὅτι θερμὰ καὶ λεπτὰ τὴν φύσιν ὄντα, διαδύεταί τε πόρρω καὶ πυκνοῖ ἄνω καὶ κάτω τὸν φλοιόν. σημεῖον δ' ὅτι ἀσκληρύνεται ἀλείφεσθαι πρὶν ἡσσᾶσθαι τοῦ καὶ ἀποσκληρωθέντος οὐδ' ὡσαύτως διιέναι ἡ τροφή. Τοῦ δὲ πικὰ ἄγαν διαδύεσθαι πόρρω κἀκεῖνο σημεῖον. οἱ γὰρ ἡμεροῦντες τὰ θέρος ἐπὶ τὰ ὑπολείμματα τῶν ῥιζῶν, ἔλαιον ἢ πίτταν ἐπιχέουσιν, ἢ τῷ στέατι ἀλείφουσιν, ἅπερ ὅλως ξηραίνουσι. ἃ μάλιστα ἡ πίττα, διὰ τὸ ἰσχυρότατα εἶναι. λοιπαὶ δὲ τῶν φθορῶν ὥσπερ βίαιοι λεγόμεναι. αὗται δὲ γίνονται πληγῇ ἢ περιαιρέσει τινῶν ἢ κολούσει ἢ τοῦ ὅλου ἀφαιρέσει. ἔνια μὲν γὰρ ἑλκούμενα καθύτερον, ἀπόλλυται διὰ τὴν ξηρότητα καὶ ἀσθένειαν. ὁ δὲ φοῖνιξ, τιτρωσκόμενος εἰς τὸν ἐγκέφαλον. ἐν τούτῳ γὰρ ἡ ζωὴ καὶ ἡ βλάστησις. ὅταν οὖν ἀναξηρανθῇ ἢ τὸ ὅλον ἀλλοιωθῇ, παρεμπεσόντος ἀέρος τε καὶ ἄλλου ξένου θερμοῦ, διαφθείρεται. καὶ διαφθειρόμενος, δίεισιν εἰς τὰ κάτω. τούτου μὲν οὖν ἰδία τις ἡ φύσις. ὥστε καὶ ἐμφανὲς εἶναι τὸ κύριον τῆς ζωῆς. ἔνια δ' οὐ πρὸς πληγὴν ἀπαθῆ μόνον, ἀλλὰ καὶ ξύλων ἐξαιρουμένων ἐκ τοῦ στελέχους. οἷον ὅσα φύσει καὶ εὐβλαστῆ καὶ ὑγρά. καθάπερ ἡ πτελέα, πλάτανος, τὰ πολλὰ τῶν παρύδρων. ἡ δὲ πεύκη, καὶ δᾳδοκοπουμένη σώζεται. μέγα δὲ ταύτῃ καὶ ἡ λιπαρότης. ἅπαντα δὲ ταῦτα καὶ τὰ ἄλλα μέγεθος ἔχοντα ὑπομένει. διὸ ἐπὶ τὰ ἐλάσσω πονούμενα σώζεται καὶ ζῇ. ἐπεὶ τὴν πεύκην γοῦν ἐὰν δᾳδουργῶσιν, ἀλλ' ὅταν ἐν ἀκμῇ ἐπὶ πορρωτέρω γίνηται. νέα γὰρ οὐκ ἔχει. διὰ δὲ τὸ μὴ περιττεύειν μηδὲ συναθροίζειν τὸ ὑγρόν, ἀλλ' εἰς τὴν βλάστησιν καὶ τὸ μῆκος καταναλίσκειν. ἅμα γὰρ τῇ εἰς βάθος αὔξῃ καὶ ἡ τοιαύτη διάθεσις καὶ δύναμις ἔοικεν ἀκολουθεῖν. ὅσα δὲ ἀποτετρωμένα καὶ κολαζόμενα βελτίω γίνεται καὶ καρπιμώτερα, δῆλον καὶ ταῦθ' ὑπομένει. πληγὴν μὲν οὖν καὶ διαίρεσιν τὰ τοιαῦτα

δέχεται, σχέσιν τε τοῦ στελέχους πρὸς τούτοις, ἄμπελος, ἡ συκῆ καὶ ῥόα καὶ μηλέα· τὰ δὲ ἄλλα ἀπόλλυται· ὅσα γὰρ αὖ πληγέντα καὶ σχισθέντα συμμύει πάλιν ἢ συμφύεται, ταῦθ' ὥσπερ ὑγιασθέντα ζῇ· ἡ δ' ὅλως περιέκειρε διεχόμενα· τῆς δ' ὑπομονῆς, αἴτιον ἡ ὑγρότης καὶ ἡ φύσει μανότης· τροφήν τε γὰρ ἱκανὴν λαμβάνουσι, καὶ οὐκ ἀναξηραίνεται· διὰ τὴν σχέσιν δ' ὑπὸ τοῦ ψύχους οὐδὲν πάσχουσιν· εἰ δ' οὕτω δεῖ λαβεῖν τὴν σχέσιν, ὥστε ἀνέχεσθαι μὲν, ἃ μόνα δοκεῖ τῶν ἡμέρων τοῦτο δύνασθαι· συκῆ· ἄμπελος· ἐλαία· ἀμυγδαλῆ· διὰ τὸ συμμύειν τάχιστα· διὸ καὶ δύσχιστα τῷ κολλώδη τὴν ὑπόστασιν ἔχειν· καὶ γὰρ ὁ ὀπὸς ὁ τῆς ἐλαίας τοιοῦτος καὶ πάντων τὸ λιπαρόν· τὸ δὲ τῆς ἀμπέλου ξύλον αὐτὸ τοιοῦτον· σημεῖον δὲ ὅτι τὰ σχιζόμενα τὰ κλήματα, καὶ τῆς ἐντεριώνης ἐξαιρουμένης, ταχὺ συμφύεται· ἢ τοῦ ὑγροῦ γε μᾶλλον ὁ κάλαμος· καὶ συνέρχεται αὐτόματος· φασὶ δ' ἔνιοι τὴν ἄπιον σχίζεσθαι· περὶ μὲν οὖν τούτων, σκεπτέον· ἡ δὲ τοῦ φλοιοῦ περιαίρεσις, κοινὴ πάντων ἢ τῶν πλείστων ἐστὶ φθορά· περὶ ἧς εἴρηται πρότερον· εἴτε γὰρ ἐν τοῖς κυρίοις ἐστὶ τὸ ζῆν, εὐλόγως ἂν γίνοιτο· καθάπερ τινές φασιν· εἴτε καὶ ἀπὸ τούτων πυκνουμένων διικνεῖται πρὸς τὸ ὅλον, εὔλογον οὕτω· ἡ δὲ μὴ πᾶσα, μέχρι μὲν τινὸς ἐξαιρουμένη οὐ φθείρει· δι' ὅλου δὲ, φθείρει· καθάπερ οἱ περὶ Ἀρκαδίαν φασὶ καὶ πεύκην καὶ ἐλάτην καὶ ἄλλο τι ἄν· οὐκ ἀλόγως δ' οὐδὲ ταύτης ἡ αἰτία· καὶ ταῦτ' ἔστιν ἐκ τῶν εἰρημένων· ὑγρότατον γὰρ δοκεῖ πως περὶ μάλιστα εἶναι ζωτικόν· σημεῖον δ' ὅτι καὶ τὰ ξύλα καὶ τὰ ἔμμετρα διαστρέφεται καὶ περιγασμένα ἤδη μέχρις οὗ ἂν τελέως ἀναξηρανθῇ· διὸ ἔνια σχιστὰ καὶ οὐκ ἔμμετρα ποιοῦσι τὰ τῆς ἐλάτης καὶ τῆς πεύκης· ταύτης δὲ, μέχρι μέν τινος ἐξαιρουμένης, οὐκ ἄτοπον διαμένειν τὸ δένδρον, ὥσπερ καὶ τοῦ φλοιοῦ μέχρι τινὸς ἀφαιρουμένου· τελέως δ' ἐξαιρεθείσης, ἀναίνεσθαι, καθάπερ ἀρχῆς τινος ἢ καὶ οἰκείου ὑγρότητος συμφύτου στερουμένης· περὶ δὲ τῆς ἐπικοπῆς καὶ τῆς κολούσεως, ἐν ὀλίγοις ἡ σκέψις· ὀλίγα γὰρ τὰ φθειρόμενα· κατὰ μὲν τὴν ἐπικοπὴν, ἐλάτη· πεύκη, πίτυς, φοῖνιξ· ἔνιοι δὲ καὶ κέδρον καὶ κυπάριττόν φασι· καλοῦσι δ' ἐπικοπὴν, ὅταν ἀφαιρεθείσης τῆς κόμης ἐπικόψῃ τις τὸ ἄκρον· οὐκ ἀλόγως δὲ μὲν δόξειε φθείρεσθαι ξη-

ρὰ τῇ

ρα τῇ φύσει, καὶ εὐθυπορώτατα μὲν μονόρριζα δ' ὄντα. ἡ γὰρ αἱ ἑλκώσεις πόνον παρέχουσι· καὶ ἐμπαθέστερα ποιοῦσιν, εἰς τὸ δεῖ κινεῖσθαι καὶ τὸ καῦμα ἢ τὸ ψῦχος· ἄλλως τε καὶ πάντα χόθεν μένουσι, καὶ διὰ τὴν ὀρθότητα ἢ διὰ τὸ εὐθυπορεῖσθαι, τὰ χυλὰ δὲ κινεῖται ἢ πρὸς τὰς ῥίζας· ὥστε πολλαχόθεν ἡ φθορὰ φύσει διὰ παραβλαστάνειν πάντα, καὶ διὰ τὴν ξηρότητα τῶν ῥιζῶν, καὶ διὰ τὴν εἰς τὸ ἄνω φοράν· καὶ ἐπὶ τὸ μονόρριζα καὶ ἐπὶ τὸ βάθος ἐνίας ἔχειν· οὐδαμοῦ γὰρ οὐδὲν περιττὸν, οὐδὲ παροχετευόμενον ἐκπίπτει τῆς τροφῆς, ὥστε μὴ εἶναι βλαστήσεως ἀρχήν· ὅταν οὖν πάντα ταῦθ' ὑπάρχῃ, πᾶσι σχεδὸν ἀναγκαίαν τὴν φθορὰν εἶναι τελείαν· αἱ δὲ κολούσεις φθείρουσιν ὅλως ὀλίγα· μόνον γὰρ μάλιστα τὸ περὶ ἄμπελον φυτὸν ἀπόλλυται, καὶ εἴ τι ἕτερον ἁπαλὸν καὶ ἀσθενὲς καὶ εὐθύπορον· ταῦτα γὰρ αἴτια γ' ἴσως τοῖς οὕτως τῆς φθορᾶς· χείρω δὲ πρεσβύτερα πλείω· καὶ γὰρ ἡ ἀμυγδαλῆ πικρὰ γίνεται· καὶ ἡ ῥόα σκληροτέρα, καὶ τἆλλα μεταβάλλει· τὸ δ' αἴτιον εἴρηται πρότερον· ὅτι τῆς ἀρχῆς ἀνιούσης συναπαλλοιοῦται καὶ τὸ τέλος· χαλεπωτέρᾳ δὲ καὶ ἐπὶ βοσκήσει, ὅτι συνεπικάουσιν ἅμα τῇ τομῇ καὶ ἀφαιρέσει· διὸ ὁ πόνος πλείων· ἴδια δὲ τὰ περὶ τὸν φοίνικα καὶ τὴν πίτυν· ὅταν γὰρ ἐπικολουθῇ, ταῦτ' οὐκ ἀπόλλυται μὲν, ἄκαρπα δὲ γίνεται· τὸ δ' αἴτιον παραπλήσιον ὑποληπτέον εἶναι τὸ πρότερον· ὅτι τῆς ἀρχῆς ἀλλοιουμένης καὶ ἀσθενεστέρας γινομένης, ἀφαιρεῖται τῆς δυνάμεως καὶ μάλιστα τὸ ἔσχατον ὁ καρπός· ἅμα δὲ καὶ ἡ μὲν βλάστησις ὑπάρχει, καὶ ὥσπερ ἤδη λέγομεν· ἐκεῖνο δὲ δεῖ συνεῖσθαι· τὸ δὲ γενέσθαι καὶ μελλήσειν, τοῦ ὄντος ἀσθενέστερον· ἐπὶ τούτων δὲ μάλιστα μόνων, ὅτι ὀλιγόκαρπα καὶ βραδύκαρπα κατά γε τὴν παρ' ἡμῖν φυτείαν· ἐν δὲ ταῖς οἰκείαις χώραις ἴσως οὐκ ἀκαρπίας· οὐδὲ θαυμαστὸν εἰ μὴ ἀκαρπεῖ ταῦτα, ἐκεῖνο κολουόμενον· τὸ δὲ τῆς ἀρχῆς ὅτι μεγάλα, πολλαχόθεν μὲν φανερόν· εἰ δὲ μὴ, καὶ ἐκ τῶν βλαστήσεων, ὅταν κακωθῶσιν, ἐν ἄλλοις τε καὶ οὐχ ἥκιστα ἐν τῇ ἀμπέλῳ· κατίδεσθαι γὰρ ὑπὸ τῶν δινῶν· καὶ οὐκέτι δύναται βλαστάνειν· ἀλλ' αὖ τὴν τῆς βλαστήσεως ἀπόρροιαν ποιεῖται καὶ ἀποσβεννύμενα, ὥσπερ φαίνεται ὥσπερ τυφλούμενα καὶ πηρούμενα πρὸς ἰσχύος γὰρ δὲ ἅπασιν ἡ ἀρχὴ καὶ ἀσθενής· οὐ τὸν αὐτὸν δὲ τρόπον· ἐπεὶ ὅτι βλαστητικὸν

ἡ ἄμπελος καὶ αἱ εἰς τὸν ὕστερον χρόνον ἀναβλαστήσεις μηνύουσι. φθοραὶ δὲ καὶ τῶν σπερμάτων εἰσί τινες τῶν μὲν κατὰ φύσιν σπειρομένων ὁμοίως τῶν τε δενδρικῶν καὶ τῶν σιτηρῶν καὶ τῶν ἄλλων. ὧν καὶ χρόνοι τινὲς εἰσὶν ὡρισμένοι. πάντα γὰρ ζῇ μέχρι τινός, ἐπεὶ τὸ πολὺ ταυτό. ζωὴν δὲ λέγω δύναμιν. φθείρονται δὲ φυσικῶς ἀποξηραινόμενα, καὶ ὥσπερ διαπνεύσαντα τῆς θερμότητος καὶ ὑγρότητος. αἱ δ' ἄλλαι πᾶσαι παρὰ φύσιν. οἷον ὅσα θηριοῦται καὶ ἀνυγραίνεται καὶ ἄλλως πως ἐξίσταται. διὸ καὶ τὰ μὲν πολύλοπα, καὶ πολυχίτωνα, καὶ λιπαρὰ καὶ δριμέα, καὶ πικρά, καὶ ὀστώδη, καὶ ξηρά. πάντα πολυχρόνια. ταχὺ γὰρ ἐξίσταται. τὰ μὲν γὰρ ὑπ' ἀλλήλων θερμαινόμενα, καθάπερ ὁ σῖτος. καὶ τὰ χέδροπα. τὰ δ' ὑπὸ τοῦ ἀέρος καὶ τῶν ἔξωθεν ὑγραινόμενα. καθάπερ τὰ τῶν λαχάνων καὶ τῶν στεφανωμάτων. οἷον γὰρ μαδᾷ, καὶ εἰς διαβλάστησιν οὐ μαδᾷ. ζωοῦται δὲ θάτερον καὶ φθείρεται. τῶν δὲ χεδροπῶν τὰ τεράμονα. γλυκύτερα γάρ. ἐν τούτῳ δ' ἡ ζωοποιΐα. καὶ ἅμα θᾶττον ἐξίσταται, διὰ τὸ ἀσθενὲς αὐτῆς καὶ διὰ τὸ ὥσπερ ἐν πέρατι εἶναι. καὶ τοῦ σίτου δὲ ὡσαύτως ὁ γλυκύτερος. μέγα δ' οἱ τόποι διαφέρουσιν εἰς φυλακήν, ἐὰν ὦσι ξηροὶ καὶ ψυχροί. διαμένουσι γὰρ πλείω χρόνον. ὥσπερ ἐν τῇ Μηδείᾳ καὶ Παφλαγονίᾳ. καὶ τούτων ἐν τοῖς ὑψηλοτέροις χωρίοις. ὡσαύτως δὲ καὶ εἴ που ἄλλοθι τοιοῦτον. ἀμφότερα γὰρ ἐξείργονται, τὰ φθείροντα τό, τε θερμὸν καὶ ὑγρόν. ἔπειτα ἡ διαπεπομένη γῆ τοῦ πυρὸς πιεῖ. ξηραίνει τε καὶ ψύχει. τῶν δὲ δενδρικῶν, ὅσα μὲν μαλακὰ καὶ σαρκώδη, καθάπερ ἡ ἀμυγδαλῆ, καὶ τὸ κάρυον, καὶ ἡ βάλανος, τοῖς περιέχουσι σώζεται. τὰ δὲ ξηρὰ καὶ ξυλώδη, καθάπερ τὸ γίγαρτον καὶ τὰ τοιαῦτα, καὶ ἑαυτοῖς. ὡς δὲ ἁπλῶς εἰπεῖν πάντα πολυχρονιώτερα διὰ τὸ περιέχον. ἐπεὶ καὶ τὸ γίγαρτον καὶ ἡ κέγχραμις καὶ τὰ ἄλλα τὰ τοιαῦτα, πολλῷ μᾶλλον ἀποξηραίνεται γυμνούμενα. μάλιστα δὲ διαμένει τῶν τοιούτων, ὅσα πυρῆνι περιέχεται. καθάπερ τὸ τῆς ἐλαίας, καὶ εἴ τι ὑλῶδες, ἢ ὀστῶδες τυγχάνει. καθάπερ τὸ τοῦ φοίνικος, καὶ ὁ κρῖνος, καὶ τὰ ἄλλα τὰ κνικώδη. συμβαίνει γὰρ πάντα, καὶ προβολὴν ἔχουσι. τὸ δὲ σπέρμα τὸ ἐντός, ὁτὲ μὲν κεχωρισμένον τι καὶ ἀνθηρόν, ὁτὲ δὲ ἀχώριστον καὶ ἀφανές, ὥσπερ τὸ τῶν φοινίκων.

ΤΕΛΟΣ

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΦΥΤΩΝ ΑΙΤΙΩΝ· ΤΟ Ζ'

Περὶ δὲ χυλῶν καὶ ὀσμῶν, ἐπειδὴ καὶ ταῦτα τῶν φυ-
τῶν οἰκεῖα, πειρατέον ὁμοίως ἀποδοῦναι τοῖς πρό-
τερον, τά τε συμβαίνοντα περὶ ἕκαστον εἶδος, καὶ διὰ
τίνας αἰτίας· ἡ μὲν οὖν φύσις, ποία τις ἑκατέρα,
τοῖς γένους ἐν ἄλλοις ἀφώρισται· καὶ ὅτι μικτά πως
ἀμφότερα κατὰ τὸν λόγον ἐστί· χυλὸς μὲν ἡ τοῦ ξηροῦ καὶ γεώδους τῷ ὑγρῷ ἐ-
ναπόμορξις· ἢ ἡ τοῦ ξηροῦ διὰ τοῦ ὑγροῦ διήθησις ὑπὸ τοῦ θερμοῦ· δια-
φέρει δ' ἴσως, οὐδέν· ὀσμὴ δὲ τοῦ ἐν χυλῷ ξηροῦ τῷ ἀφανεῖ· τούτου δὲ κοι-
νὸν ἀέρος καὶ ὕδατος· καὶ σχεδὸν τὸ αὐτὸ πάθος ἐστὶ χυλοῦ τε καὶ ὀσμῆς·
οὐκ ἐν τῷ αὐτῷ δὲ ἑκάτερον. ταῦτα μὲν οὖν οὕτω κείσθω κατὰ τὸν εἰρημέ-
νον ἀφορισμόν. τὰ δὲ εἴδη τῶν χυλῶν, ὡς μὲν ἰσάριθμον ἀποδοῦ-
ναι, ἑπτὰ δ' οὖν· οἷον, γλυκύς· λιπαρός· αὐστηρός· στρυφνός· δριμύς· ἁλμυ-
ρός· πικρός· ὀξύς· ὡς δὲ κατὰ τὴν οὐσίαν ἑκάστου, χαλεπώτερον· αὐτὸ
γὰρ τοῦτο τὸ πρῶτον ἔχει τινὰ σκέψιν· πότερον δὲ τοῖς πάθεσι τοῖς
κατὰ τὰς αἰσθήσεις ἀποδοτέον, ἢ ὥσπερ Δημόκριτος τοῖς σχήμασιν, ἐξ
ὧν ἑκάστοις· εἰ μὴ ἄρα καὶ ταῦτα συνάπτει πως εἰς τὰς δυνάμεις.
κἀκείνων λέγει χάριν, εἰ δὲ ἔστι ἄλλος τρόπος παρὰ τούτους. λέγω
δὲ τοῖς πάθεσι τοῖς κατὰ τὰς αἰσθήσεις· οἷον εἴ τις ἀποδοίη, γλυκὺν μὲν
τὸν διακειτικὸν τῆς ἐν γλώττῃ συμφύτου ὑγρότητος, ἢ χυμὸν λε-
αντικόν, ἢ λεπτὸν ἢ λεῖον· στρυφνὸν δὲ, τὸν ξηραντικὸν ἢ πηκτικὸν ἠρέμα
ταύτης· δριμὺν δὲ, τὸν τηκτικὸν ἢ τμητικὸν ἢ ἐκκριτικὸν τῆς ἐν ἑαυτῇ συμφύ-
τῳ ὑγρότητι θερμότητος εἰς τὸν ἄνω τόπον· ἢ ἁπλῶς χυμὸν καυστι-
κὸν ἢ θερμαντικόν· ἁλμυρὸν δὲ, τὸν δηκτικὸν καὶ ξηραντικόν·
πικρὸν δὲ, τὸν φθαρτικὸν τῆς ὑγρότητος, ἢ πηκτικὸν ἢ δηκτικόν, ἢ ἁπλῶς
τραχὺν, ἢ μάλιστα τραχύν· αὐστηρὸν, τὸν ξυστικὸν τῆς αἰσθήσεως ἢ
τῆς ὑγρότητος τῆς ἐν αὐτῇ· ἢ τῆς ἐπιπολῆς ὑγρότητος δηκτικὸν, ἢ πη-
κτικὸν, ἢ ξηραντικόν· ἢ ἁπλῶς στρυφνότητά τινα ἠρεμαίαν ἢ μα-
λακήν· ἢ πάλιν ὡς Πλάτων καθόλου τὰς διαφορὰς τῶν δυνάμεων ἀ-
ποδίδωσι τῇ συγκρίσει καὶ διακρίσει, κεχρημένος τραχύτητι καὶ λει-

ὅτῳ τινί. καθ' ἕκαστα δὲ διαιρεῖται εἴδεσιν. ὅσα μὲν οὖν καὶ τὰς φλέβας καὶ ἀποξηραίνει καὶ τραχύνουσι, στρυφνά. αὐστηρὰ δὲ τὰ τούτων ῥυπτικώτερα. καὶ πᾶν τὸ περὶ τὴν γλῶτταν ἀποπλύνοντα. ὅσα δὲ ῥύπτει, πέρα μὲν τοῦ μετρίου, ὥστε καὶ ἀποτήκειν αὐτῆς τι τῆς φύσεως, οἷον ἡ τοῦ νίτρου δύναμις, πικρά. τὰ δὲ ὑποδεέστερα τούτου καὶ ὑπὲρ τὸ μέτριον τῇ ῥύψει χρώμενα, ἁλυκά, ἄνευ πικρότητος τραχεῖς, καὶ ὅλα μᾶλλον ἡμῖν. τὰ δὲ τῇ οὐσίᾳ μετὰ θερμότητι κοινωνήσαντα, ἀλεαινόμενα τὸ συνεκπυροῦ μὲν καὶ πάλιν ἀντικάοντα, φορᾷ μὲν δὲ ὑπὸ κουφότητος ἄνω πρὸς τὰς περὶ κεφαλὴν αἰσθήσεις καὶ τέμνοντα, δριμέα. τὰ δὲ προλελεπτυμμένα ὑπὸ σηπεδόνος· εἰς δὲ τὰς στενὰς φλέβας εἰσδυόμενα ἀνακυκῶντα ἀναζυμοῦν τὸ ἀφρίζειν ποιοῦντα καὶ ἕλκειν, ὀξέα. γὰρ δὲ σύμπασι τὸ περὶ ταῦτα πάθος ἐν αὐτοῖς, οἰκεῖον δ' ἐστὶ τὸ γλυκύτητος, ὅταν λεαίνῃ καὶ περιλείφουσα τὰ τραχυνθέντα καθιστᾷ. ἢ καὶ συνάγει τὰ παρὰ φύσιν κεχυμένα. τὰ δ' ἐν συνεστῶτα διαχαλᾷ· καὶ ἁπλῶς ὅ,τι μάλιστα ἄγει μὲν εἰς τὴν φύσιν, γλυκύ. οὗτος μὲν οὖν ὁ τρόπος τῆς δυνάμεσιν ἀφορίζει. Δημόκριτος δὲ σχῆμα περιτιθεὶς ἑκάστῳ, γλυκὺν μὲν τὸν στρογγύλον καὶ εὐμεγέθη ποιεῖ. στρυφνὸν δὲ, τὸν μεγαλόσχημον. τραχὺν δὲ, τὸν πολυγώνιον καὶ ἀπεριφερῆ. ὀξὺν δὲ κατὰ τοὔνομα, τὸν ὀξὺν τῷ ὄγκῳ καὶ γωνοειδῆ καὶ καμπύλον καὶ λεπτὸν καὶ ἀπεριφερῆ. δριμὺν δὲ, τὸν περιφερῆ καὶ λεπτὸν καὶ γωνοειδῆ καὶ καμπύλον. ἁλμυρὸν δὲ, τὸν γωνοειδῆ καὶ σκολιὸν καὶ ἰσοσκελῆ. πικρὸν δὲ, τὸν περιφερῆ καὶ λεῖον ἔχοντα σκολιότητα, μέγεθος δὲ μικρόν. λιπαρὸν δὲ, τὸν λεπτὸν καὶ στρογγύλον καὶ μικρόν. οἱ μὲν οὖν τρόποι, τοσοῦτον διαφέρουσι. τάχα δ' ἂν δόξειεν ὥσπερ ἐλέχθη καὶ ὅτι ἐκείνων εἶναι χάριν. αὐτῶν γὰρ τῶν δυνάμεων οὐκ ἀποδιδοὺς, οἷς τὰς αἰτίας ἀποδιδόασι· δι' ἃς ὁ μὲν, στύφει καὶ ξηραίνει καὶ πήγνυσιν. ὁ δὲ λεαίνει καὶ ὁμαλύνει καὶ καθίστησιν. ὁ δὲ, ἐκκρίνει καὶ διαχεῖ. καὶ ἄλλο τι τοιοῦτον. πλὴν ἴσως ἐκεῖνα ἄν τις ἐπιζητήσειε παρὰ τούτων, ὥστε καὶ ὑποκείμενα ἀποδιδόναι ποιοῦντι. δεῖ γὰρ εἶναι μὴ μόνον τὸ ποιοῦν, ἀλλὰ καὶ τὸ πάσχον. ἄλλως τε εἰ καὶ μὴ πᾶσιν ἐφ' αὐτὸ ὁμοίως φέρεται καθάπερ φησίν. οὐθὲν γὰρ κωλύει τὸ ἡμῖν γλυκὺν ἑτέροις τι-

σιν

σὶ τῶν ζῴων ἐμπειρικῶς· καὶ περὶ τῶν ἄλλων ὁμοίως· δῆλον δὲ ὡς ἐν ᾧ αἰσθητηρίῳ
τίς ἐστιν ἑτέρα διάθεσις· ἐπεὶ τό γε τοῦ χυμοῦ σχῆμα ταὐτό· καὶ ἐν ἄλλῳ
ἔοικεν οὐ ταὐτὸ δύνασθαι πάντα χυμόν. εἰ δὲ τοῦτο ἀληθές, αἰτία ὁμοιότητος
ἂν τῶν ὑπαρχόντων εἴη· διὸ δὴ καὶ λεκτέον ὑπὲρ αὐτῶν. ἅμα δὲ κἀκεῖνο φανερὸν
ὡς οὐ μία τις δύναμις τοῦ αὐτοῦ σχήματος· εἰ δὲ παρ' αὐτά τι πέφυκε πρὸς ἄλ-
λο καὶ ἄλλο. τὸ μὲν γὰρ μὴ παρὰ τὴν τοῦ αὐτοῦ δύναμιν ἀεὶ, οὐχ ὁμοίως ἄτοπον, ὥσ-
περ οὐδὲ τὸ πῦρ κάειν. εἰ δὲ καὶ ἐναντίας ἐμποιεῖ διαθέσεις, οὐ παντελῶς ἄλογον
δεῖ. καίτοι κἀκεῖνο ἔστι τι μάλα λέγειν αἴτιον· περὶ γοῦν τοῦ πυρὸς ὅτι μὴ δύ-
ναται κάειν ἢ τὸ ὕδωρ ὑγραίνειν, οὐδεμία αἰτία καὶ λόγος. εἰ δὲ καὶ τοὐναντί-
ον ἐποίει, μᾶλλον ἂν ἐδεῖτο πλείονος. τούτων μὲν οὖν ὑπὲρ ἁπάντων τούτων
λεκτέον. τὸ δὲ κατὰ τὰς δυνάμεις, ἐκεῖνο μόνον ἀναγκαῖον προϊοῦσι τοῖς αἰ-
σθητηρίοις εἰκάσαι· ἀεὶ γὰρ εἶδέν τι τὴν τούτων φύσιν ἢ διάθεσιν· ἐπείπερ
οὐχ ὅτι ἡ μορφὴ αἰσθητικῶν· ἴσως δὲ καὶ ὅτι ἐκ πλειόνων ἐνίοτε σύγκειται, τὴν κατὰ τὰς
δυνάμεις καὶ οὐδὲ λανθάνειν· ἀρχὴ δὲ κἀκεῖνο τὸ τὰ σχήματα λέγοντας
ἢ τὸ ὁμοίως διαφορὰ κατὰ μικρότητα καὶ μέγεθος· εἰ ὧν μὴ τὴν αὐτὴν ἔχειν
δύναμιν· οὐ γὰρ περὶ τῆς μορφῆς· ἀλλὰ τὸν ὄγκον δυνάμεις, ἃς ἴσμεν τὸ δια-
βιάσασθαι, καὶ ἁπλῶς τὸ μᾶλλον καὶ τὸ ἧττον ταχύ τις ἀποδίδωσι·
εἰς δὲ τὸ μὴ αὐτὸ δύνασθαι μηδὲ περὶ, οὐκ ἄλογον· ἐπεὶ ἐν τοῖς σχήμασιν
αἱ δυνάμεις· εἰ γὰρ ὁμοιοσχήμονα, ταὐτὸν ἂν εἴη τὸ ὑπάρχον· ὥσπερ καὶ
ἐν τοῖς ἄλλοις· τὸ γὰρ τρίγωνον, τὸ πρῶτον, καὶ τὸ μυριόπλευρον, ὁμοίως δυσὶν
ὀρθαῖς, καὶ τὸ μυριάγωνον τέτταρσιν ὀρθαῖς· καὶ τὸ τετράγωνον τέ-
τρασι. καὶ ταῦτα μὲν καὶ κατὰ τὸ ποσὸν διάφορα· τὰ δὲ λόγῳ μὲν ὄν-
τα τὰ αὐτά, οἷον ἡ ἀσυμμετρία καὶ διάμετρος· τὸ δὲ ποσὸν διάφο-
ρον· ὥστε ἐπεὶ ἐκ τούτων ἢ ἀπὸ τούτων ἐστί τι, τὸ μὲν ποσὸν διάφορον
ἂν εἴη, τὸ δὲ εἶδος ἀδιάφορον· ἀλλὰ γὰρ αἱ μὲν κατὰ σχήματα καὶ τὰς μορ-
φὰς δυνάμεις πλείω καὶ περὶ πλειόνων ἔχουσιν ἀπορίαν· ὅτι δ' ἐν ἀπο-
μίξει πως ὁ χυλὸς καὶ ἡ ὀσμὴ, καὶ ἐκ τῶνδε φανερόν· οὐδὲν γὰρ φαίνε-
ται τῶν ἁπλῶν ἔχειν χυλὸν οὐδ' ὀσμὴν, ἐὰν μὴ λάβῃ μίξιν· οἷον, ὁ ἀὴρ
ἢ πῦρ, ἢ ὕδωρ· ἄχυλον γὰρ καὶ τὸ ὕδωρ καθαρόν· διὸ καὶ οἱ παλαιοὶ
φασὶ δ' οἵας ἂν γῆς ᾖ, τοιοῦτο καὶ εἶναι, καὶ ἡ θάλαττα δὲ καὶ τὰ νι-

ζώδη καὶ σαπρὰ καὶ ὀξέα τῷ ὕδατι ἔχει τινὰ μίξιν· ὧν ἐνίους καὶ ἡ ὀσμὴ μάλιστα τῇ θαλάττῃ συνακολουθεῖ· ἐπεὶ δὲ ἐν λίθῳ, ἃ χυλῶν πολλῶν ἐαύτινα τοιαύτην λαβεῖν μίξιν· καίτοι φαίνεταί γε ταῦται μᾶλλον ἔχειν· οἷον ὅσαι θαλαμώδεις, καὶ ὅσαι καὶ ὡς τέφρα πηραὶ καὶ ἔνιαι δοκοῦσιν εἶναι καθάπερ ἐν ἡ ἀργίλῳ· ἅμα δὲ καὶ ὑάλου, εἴπερ ἡ τῆς ὑέλου κονιώδης ἐν αὐτῇ μίξις γίνεται χυλοῦ. τὰ δὲ δὴ μεταλλευόμενα λίθων ἔνια γεῦσιν καὶ ὀσμὴν ἔχει πρὸς τὸν χυλόν· ἅπερ δῆλον αὐτὰ μίξει τινὶ καὶ ἀλλοιώσει ἀεὶ ξύλα φαίνεται καὶ ὀσμώδη· καὶ ἡ τέφρα διὰ τὴν κατάκαυσιν ὀξάλμοις μὴ καὶ ὅσ πυροῦται, λαμβάνει τινὰ χυλόν, τὰ μὲν ἁπλᾶ, τὰ δὲ καὶ μιγνύμενα τοῦ ὕδατος. ἡ μὲν οὖν φύσις, ὅτι τοιαύτη, καὶ πρότερον εἴρηται ἐν νῦν. ἐπεὶ δὲ ἔνεισιν οἱ χυμοί, φυτοῖς τε καὶ ζώοις εἰσί τινες καὶ ὀσμαὶ καὶ χυμοὶ κατὰ τὰς κράσεις, ἐπειδὴ ἐν τοῖς κατὰ τέχνην παρασκευὴν τινα μιγνυμένων, ἢ καὶ ἀρωμάτων ἀλλοιουμένων· ὅτε μὲν ἐπὶ τὸ βέλτιον, ὅτε δ' ἐπὶ τὸ χεῖρον, ὥσπερ τῶν σηπομένων. τὸ μὲν ὑπὲρ ἁπάντων τούτων εἰπεῖν, κοινότερόν τε καὶ καθόλου μᾶλλόν ἐστιν. ὑπὲρ δὲ τῶν φυσικῶν πρῶτον λεκτέον. ἀρχὴ γὰρ ἁπάσιν ἡ φύσις. καὶ τούτων ὅσοι κατὰ τὰ πλεῖστα φαίνονται καὶ ὅλως τὰ ἄψυχα, καὶ ὅσοι κατὰ τὰ φυτὰ καὶ τοὺς καρπούς. ἐν γὰρ αὐτοῖς πρότερον αὐτίς τιθέντο τῶν ζώων· ἅμα δὲ καὶ ἡμῖν ἡ σκέψις ὑπὲρ τούτων οἷον συνεχὴς οὖσα τοῖς πρότερον. οἱ μὲν οὖν ἐν τῇ γῇ ξυνιστάμενοι χυμοὶ τῶν ὑγρῶν. οὗτοι γάρ εἰσιν ἐμφανέστατοι. λέγω δ' οἷον ὀξεῖς, καὶ γινόμενοι δῆλοι· ὅτι τὸν αὐτὸν πως ἢ παραπλησίαν τάξιν ἔχουσι, διὰ ἐν τοῖς φυτοῖς. οὐ μὴν οὔτε ἴσοι τὸ πλῆθος, οὔθ' ὅμοιοι τούτοις· ἀλλὰ ὀλιγώτεροι, διὰ τὸ μὴ τὴν αὐτὴν πέψιν μηδ' ὁμοίως ἔχειν. τὸ δὲ πλῆθος οὐ συμβλητόν. πολλοὶ γὰρ οἱ τῶν καρπῶν ἐν ἀνόμοιοι χυμοὶ καὶ οὐδαμῶς ἐνίοις γε ἐμφαινόμενοι τοῖς ἐκ τῆς γῆς· οἷον, ὁ αὐστηρός, καὶ δριμύς, καὶ ἄλλοι δὲ πλείους. εἰ μή τις λέγοι τῇ μίξει ἐν τῇ κράσει τῶν ἄλλων γίνεσθαι τόπους· τοῖς δὲ γένεσι εἶναι τοὺς αὐτούς. οὕτω δ' ἂν εἴησαν ἄπειροι· ἄπειροι γὰρ οἱ λόγοι τῶν μίξεων. καὶ ἔτι δὲ κατὰ μᾶλλον καὶ ἧττον αἱ διαφοραί. διὸ καὶ οἱ ὁμογενεῖς πλείους, οἷον αὐστηροί· λιπαροί, πικροί· γλυκεῖς. ὅθεν καὶ οἱ παλαιοὶ τῶν φυσιολόγων, ἀπείρους ἐτίθεντο τοὺς χυλοὺς ὥσπερ καὶ μικτῶν ὅρια

γὰρ αὐτῶν ἡ μῖξις καὶ ἡ σύστασις γίνεται· οὐ μὴν γὰρ φυτῶν, τοιοῦτον εἶναι δεῖ καὶ τῶν χυλῶν. οὐ μὴν ἀλλὰ βέλτιον ἴσως ὡρισμένως λέγοντας· ἐκ τούτων δὲ ἤδη κατὰ τὰς μίξεις ποιοῦνται τὰς διαφοράς· ἴδοι δ' ἄν τις ἐκ τῆς γῆς ὁ ἁλμυρὸς· οὐδενὸς γὰρ κατὰ περικάρπιον καὶ κελύφους. ἀλλὰ περὶ μὲν τούτου, τὴν αἰτίαν ὕστερον λεκτέον. αἱ δὲ ἰδέαι τῶν χυλῶν, ἑπτὰ δοκοῦσιν εἶναι· καθάπερ καὶ ὀσμῶν καὶ τῶν χρωμάτων. τοῦτο δὲ αὐτῶν τὸν ἁλμυρὸν οὐχ ἕτερον τιθέντες τοῦ πικροῦ, καθάπερ καὶ τὸ φαιὸν τοῦ μέλανος· ἐὰν δὲ χωρίζῃ, συμβαίνει τὸν ὄγδοον εἶναι· γλυκὺς δὲ λιπαρὸς καὶ πικρὸς αὐστηρὸς· δριμὺς καὶ ὀξύς, καὶ στρυφνὸς ἀριθμοῦνται. προστίθεται δὲ καὶ ὁ ἁλμυρὸς ὄγδοος· οἴονται δέ τινες καὶ τὸν οἰνώδη δεῖν· ἐν τισὶ δὲ τῶν καρπῶν ὑπάρχει πλείοσι· καὶ ἐκ τῆς γῆς ἀναποδίδωσί τις ἐνίας χυλοὺς τῶν χυμῶν· ἔτι δ' οὐδ' ὡς ὁ γαλακτώδης εἰς τὸν γλυκὺν ἀντιθείη, ἀλλὰ ὡς τοῦτον ἐν ἐνίοις ὥσπερ εἶδος ἀντιθεῖ τοῦ γλυκέος, οὕτω τὸν οἰνώδη τῶν αὐγῶν τινὶ προσνεῖμαι ἐξ ἀρχοῦ· αἴτια δ' ἄν τις ἡ φύσις καθ' αὑτὴν ποιεῖ δὲ χρωμένη καὶ τὸ γλυκὺ καὶ τὸ στρυφνὸν καὶ αὐστηρόν· ἀλλὰ ταῦτα μὲν οὐδὲν ἴσως διαφέρει πρὸς τὴν τῶν ἄλλων θεραπείαν· ὁ δ' ἀριθμὸς ὁ τῶν ἑπτὰ, καιριώτατος καὶ φυσικώτατος. πότερον δὲ τοὺς μὲν, ὡς περὶ ἀρχὰς, τοὺς δὲ, ὡς στερήσεις δεῖ λέγειν· οἷον, τὸν μὲν γλυκὺν καὶ λιπαρὸν καὶ ὅσοι σύστοιχοι τούτοις, ἀρχάς· ἐκ τούτων γὰρ αἱ γενέσεις καὶ αἱ τροφαί· τοὺς δ' ἄλλους στερήσεις, ἢ πάντας φυσικούς· ἔοικε γὰρ εἰ μὲν εἰς τὸ ἄριστον δεῖ τάττειν τὴν φύσιν, ἐν τούτοις εἶναι μόνον· ἅμα δὲ καὶ τὸ τῆς τροφῆς, γενέσεως ἀληθινόν· οὐδὲν δὲ ἴσως εἰπεῖν οὕτως στρέφεσθαι δοκεῖ διὰ τῶν ἑτέρων, οὐ τρέφεσθαι· οὐδεὶς τὸ πλεῖον αἴτιον αὐτοῖς ἐκείνοις ὅτε μᾶλλον ἢ οὐχ ἧττον κατὰ φύσιν, ὀλίγοι γὰρ ἐν τούτῳ τῷ μέρει· σχεδὸν δέ τι παρόμοιον καὶ τὸ ζητούμενον, καὶ ἐπὶ τῶν ἄλλων ζώων περὶ τῶν αὐτῶν· πότερον κατὰ φύσιν ἢ κατὰ στέρησιν τὰ ἄλλα. καθάπερ δὲ καὶ φυτῶν ἰδία αἴτιον αἱ οὐσίαι, καὶ τὰ φυτὰ ὅμοια. εἰ οὖν ἡ μὲν στέρησις ἐν ἀτελείᾳ τινὶ καὶ ἐνδείᾳ, αὕτη δὲ γίνεται καὶ ἐκ τροφῆς τὰ ὅμοια καὶ ἰσχυρότερα πολὺ τῶν ἑτέρων οὐκ ἂν εἴη κατὰ στέρησιν· ἐπεὶ ἐν ἐνίοις τοῖς φυτοῖς ἅμα συμβαίνει μήτε λευκοκάρπων, καὶ ἧττον εἶναι πικρὰ τὰ ἐν τούτῳ τῷ γένει· καθάπερ ἐπὶ τοῦ κενταυρίου καὶ ἀψινθίου καὶ τῶν τοιούτων· ὡς ἐκεῖσε τῆς φύσεως φερομένης καὶ τὸν γλυκὺν τινὰ καθάπερ ἀπεψίαν τινὰ οὖσαν ἢ ἔλλειψιν πέψεως. ἀεὶ δὲ ἡ φύσις

ἐξομοιοῦν ἐθέλει τῷ ὑποκειμένῳ καὶ ἐν τοῖς ζώοις καὶ ἐν τοῖς φυτοῖς·
ποιεῖται δὲ καὶ τροφὴ γίνεται πᾶσιν, ὅταν κρατῇ τὸ λαμβανόμενον. εἰ δὲ
δὴ καὶ ἔνια τρέφεται διαθερμαινόμενα ποσῶς· ὥσπερ καὶ τῶν ζώων, ὧν καὶ ἡ γέ-
νεσις ἐκ τούτων, οὐδὲν ἧττον τροφὴ ἱκανὴ πᾶσιν εἴπερ τὸ κατὰ φύσιν, οὐδὲν
προϋπαρχούσης· ἀλλ' ἑκάστου μεμερισμένη κατὰ τὴν μῖξιν. ἐπεὶ οὐδ' οἱ γλυ-
κεῖς χυμοὶ τρόφιμοι πάντες ἡμῖν· ἀλλ' οἱ μὲν ἐκστατικοὶ καθάπερ ἡ ὁ-
μοίας τῷ σκολύμῳ ῥίζα, καὶ ἄλλαι τινές· οἱ δ' ὑπνωτικοί· ἔνιοι δὲ
ὀδυνηροί, καὶ θανατηφόροι, καθάπερ ὁ μανδραγόρας· ἔνιοι δὲ ὁμολο-
γούμενοι ἐπιθάνατοι. πολλοὶ γὰρ ἤδη καὶ πολλάκις ῥίζας φαγόντες
ἃς ἠγνόουν, γλυκείας τῇ γεύσει καὶ ἡδείας, ἀπέθανον· πολλὰ γὰρ τοιαῦτα πλείω
τυγχάνει· τὰ μὲν, βλάπτοντα· τὰ δὲ καὶ ὅλως ἀναιροῦντα τῶν κατὰ τὴν προσφορὰν
ἡδέων ἢ ἀλύπων. ἔνια δὲ πάλιν ὠφελοῦντα ἀηδῆ καὶ πικρά, οἷον καὶ τὰ ἄρτι
λεχθέντα· κενταύριον καὶ ἀψίνθιον· καὶ ὅσα δὲ φαρμακωδέστερα ἔτι τῶν χυ-
μῶν ἔχει. πολλὰ γὰρ καὶ τούτων ὁμοίως ἐστί, καὶ ὅλως οἱ χυλοὶ ἄτροφοι ὡς
περὶ ἡδύσματα τροφῆς εἰσίν· οἷον, ἁλμυρὸς καὶ ὀξύς. οὐδὲ γὰρ δυνάμεθα
κρατεῖν ἀκράτου· καθάπερ οὐδὲ τῶν ἄλλων, ἔνια ζῷα. διὸ καὶ τούτων περιέχομεν
τῶν ἄλλων. ἔνια δὲ καὶ αὐτὰ ἑαυτοῖς εὑρίσκει τὰ πρόσφορα πρὸς τὰ τοιαῦ-
τα ἐπικουρία· ὥσπερ καὶ οἱ ὄρνιθες ἤδη. καὶ φανερὸν ἂν δόξειεν ὡς οὐκ
ἔστιν ἁπλῶς μεμερισμένα. τὸ μὲν ὥσπερ φυσικῶς· τὸ δ' ὡς ἐν στερήσει
καὶ παρὰ φύσιν· ἀλλὰ καὶ τὸ ἡμῖν ἄτροφον, ἄλλοις τρόφιμον· τὸ δ' ἑτέροις
τρόφιμον, ἄλλοις ἄτροφον. ὡς γὰρ αἱ φύσεις ἔχουσι κατὰ
τὰς κράσεις, οὕτω καὶ αἱ τροφαὶ καθ' ἑκάστους ἁρμόττουσιν. ὁμοίως δὲ καὶ αἱ
ἡδοναὶ καὶ αἱ λῦπαι καὶ αἱ βοήθειαι πρὸς τὰ πάθη καὶ τὰς διαθέσεις. ὃ καὶ
φανερὰ ποιοῦσι πολλὰ τῶν ζώων ἐστίν· οὐ πρὸς τὰ συμβαίνοντα πάθη μόνον
αὐτομάτως, ἀλλὰ καὶ κατὰ τὰς ἐδωδάς· ὅταν ἄλλο φάγωσιν
ἕτερον ἐπιζητοῦσι· καθάπερ οἱ ἔχεις τὸ πήγανον, ὅταν τὸ σκόροδον. ἔχει
δὲ καὶ κατὰ ταῦτα ὁμοίως· ἀλλὰ γὰρ ἄλλοις ἐναντίαι καὶ οὐ πρόσφοροι. καὶ οὐ μό-
νον εἰς τὸ μὴ δεῖσθαι, μηδὲ ζητεῖν, ἀλλ' ὑπὸ τῶν ἡδέων ἡμῖν ἀναιρεῖσθαι· κα-
θάπερ οἱ γῦπες ὑπὸ τῶν μύρων· καὶ οἱ κάνθαροι ὑπὸ τῶν ῥόδων. πολεμοῦσι δὲ
δὴ σφόδρα καὶ αἱ μέλιτται τοῖς μεμυρισμένοις. ὅλως μὲν γὰρ ἢ οὐ-

δὲν

δὲν ἢ βραχύ τι πάμπαν ἐστὶν ἐν τοῖς ἄλλοις ζώοις τὸ τὴν εὐωδίαν δι' αὐτὴν χαίρειν. ἀλλ' εἴπερ κατὰ συμβεβηκός, ὧν ἡ τροφὴ τοιαύτη. πρὸς ταύτην γὰρ ἡ ἡδονὴ μία καὶ ταύτης. εἰ δ' ἄρα καὶ τοιοῦτόν ἐστιν, ἡμῖν γε οὐ σαφές. ἐπεὶ καὶ τὴν πάρδαλιν τοῖς μὲν ἀγρίοις ἡδὺ φασὶ δοκεῖν αὐτῶν. διὸ καὶ θηρεύειν αὐτὴν ὅτι κατακάει ἡ ταύτην προσαγομένη. ἡμῖν δ' οὐδεμίαν εὐωδίαν ἐμφαίνει. εἰ μὴ καὶ κεῖνο ἀληθὲς ὥσπερ ἐστὶν ἀληθές, ὅτι χειρίστην ἔχομεν πάντων τὴν ὄσφρησιν. καὶ διὰ τοῦτο ὡς εἰπεῖν πολλαὶ λανθάνουσιν αἱ μὲν ὀσμαί, καὶ τὰ ἡδέα καὶ τὰ λυπηρὰ τὰ κατὰ ταύτην. ὃ δ' ἄν τι δόξειεν ἄτοπον εἶναι, τὸ τὰ γὰρ ζῷα σαφέστερον ἔχοντα μὴ δεῖν αἰσθάνεσθαι, μὴ δ' ἐκείνων τῆς εὐωδίας. οὐκ ἔστιν ἄτοπον. τάχα μὲν γὰρ καὶ αἰσθάνονται. πρὸς δὲ τὴν φύσιν αὐτῶν οὐχ ἁρμόττουσιν. ἀλλὰ τἀναντία καθάπερ ἐπὶ τῶν γυπῶν ἐλέχθη καὶ ὡς τὰ ἐν τοῖς μύρων πᾶσιν ὑπὸ τοῦ ἐλαίου βαρύνεται. φεύγει γὰρ αὐτὰ τὰς ὀσμάς. ἕτερα δ' οὐ φέρει τῆς τινὸς ἴσως. ἄλογον δ' ἂν ταῦτα δόξειεν ἂν συμβαίνειν πρὸς ἐκείνην τὴν ὑπόθεσιν ὁ λιπαρὸς οὐ γλυκὺς χυλός. ἔνια δὲ προσφιλέστατα γλυκεῖ. καθάπερ οἱ κνῖπες. οὐδὲν γὰρ τῶν οἰκείων φθαρτικόν, εἰ μὴ τῇ ὑπερβολῇ. ἀλλὰ τούτου μὲν τὴν αἰτίαν ἐν τῇ δριμύτητι ληπτέον, ὥσπερ καὶ τῶν ὀριγάνου καὶ τῶν τοιούτων. ἅπαντα γὰρ φεύγει. τὸ δὲ μὴ αἰσθάνεσθαι καθάπερ λέγουσιν, οὐ σαφὲς ἡμῖν. εἰ μὴ ἄρα καὶ τοὺς πόρους ἐν τούτοις ἄν τις αἰτιάσαιτο, καθάπερ ἔνιοι τῶν φυσικῶν, τῷ μὴ ἁρμόττειν ἢ μή. διὸ καὶ διαιροῦσι τοῖς μεγέθεσι. τὰ μὲν μικρὰ φάσκοντες τῶν τοιῶνδε αἰσθάνεσθαι. τὰ δὲ μείζω τῶν τοιῶνδε μᾶλλον. οὐχὶ καὶ τὴν δ' οὐκ οἰκείαν ἴσως διαίρεσιν διαιροῦντες. οὐ γὰρ ἐν τοῖς πόροις ἡ αἴσθησις. ἀλλὰ μᾶλλον πρὸς τὴν διάθεσιν αὐτῆς καὶ τὴν κρᾶσιν, τό, τε πάθος ἀποδίδει καὶ τὸ ἀπαθές. ἐν οἷς τὸ ἡδὺ καὶ τὸ λυπηρόν. ὅπερ συμβαίνει καὶ ἐπὶ τῶν ἀνθρώπων. οὐ γὰρ πᾶσιν αἱ αὐταὶ προσφιλεῖς. ἀλλὰ μᾶλλον ἐν τοῖς κακώδεσι καὶ βαρείαις, ὧν ἔνιαί γε κοιναὶ πᾶσιν. οἷον αἱ ἐκ τῶν ἐκπνέουσαι χασμάτων καὶ ἄντρων, θανατηφόροι τοῖς προσπελάζουσιν. εἰ δ' ἄρα καὶ αὐταὶ τοῖς ἀναπνευστικοῖς μόνοις, ἀλλὰ τοῦτό γε φανερόν. ὥσπερ ἐπὶ τῶν χυλῶν, ὅτι καὶ ὀσμαί τινες ἑκάστοις εἰσὶν οἰκεῖαι. καὶ ὅτι τὸ εὐῶδες τὸ μὴ κατὰ τὴν τροφήν, ὀλίγοις ἢ οὐδέσι προσφιλές. εἰ δὲ δή τισι καὶ συμφέρει, ἀδηλότερόν ἐστιν. ἀλλὰ γὰρ ταῦτα μὲν

ἴσως ἐπὶ πλέον εἴρηται τῶν ὑποκειμένων ὅθεν ὁ λόγος, ἐκεῖσε ἐπανιτέ-
ον. ἑκάστου τῶν χυλῶν ἐστι τῶν ὀσμῶν οἰκεία τις φύσις· ὥσπερ καὶ τῶν ζῴων ἡ πρὸς
ἑκάστην διάθεσιν ἁρμόττουσα κρᾶσιν. οὐ μὴν ἀλλ' ὥς γε καθόλου καὶ κοι-
νῶς εἰπεῖν, οἱ γλυκεῖς καὶ οἱ κατὰ ταύτην τὴν συστοιχίαν τροφιμώτεροι καὶ
μᾶλλόν εἰσι κατὰ φύσιν· ἐναντίωμα δέ τι. τάχα δ' οὐκ ἀκόλουθόν ἐστι τὸ
ἀνάλογον· ὁ μὲν χυλὸς μὲν ἅπασι προσφιλὴς ὁ γλυκύς· ὀσμὴ δ' οὐκ ἔστιν οὕτω
λαμπροῦ οὕτω τῶν γλυκέων λανθανόντας, εἰ μή τις ἀναλαμβάνει διὰ τὴν ἡμε-
τέρας ἀσθένειαν αἰσθήσεως· ἴσως δ' οὐδὲ τὸ περὶ γλυκέος εἰρημένον ἁ-
πλῶς ἀληθές. ὑπὲρ μὲν οὖν τούτων ἀρκείτω τὰ εἰρημένα. τῶν δὲ φυτῶν
μᾶλλον δὲ πάντων ἐν οἷς οἱ χυλοί, διὰ τί μὲν ἕκαστα τοιούτους ἔχει· λέγω δ' οἷ-
ον πικροὺς ἢ γλυκεῖς ἢ λιπαρούς, τὴν πρώτην αἰτιατέον σύστασιν, ὑπὲρ
ἧς οἱ μὲν τοῖς σχήμασι διορίζοντες, ὥσπερ Δημόκριτος οἴονται λέγειν τινὰς
αἰτίας· ὁμοίως δὲ καὶ εἴ τις κατὰ ταύτην ἔχει τὸ ἴδιον ἀποδοῦναι περὶ ἑ-
κάστου λόγου· οἱ δὲ κατὰ πέψιν καὶ ἀπεψίαν διαιροῦντες τὰ γλυκέα καὶ τὰ
πικρὰ καὶ τὰ ἄλλα, τάχ' ἂν δόξειαν κωλύειν τὰ μικρῷ πρότερον ἡμῖν
εἰρημένα. πέψει γὰρ πρότερόν τινι φαίνεται πάντα ἐξομοιοῦσθαι καὶ τὰ φυ-
τὰ καὶ τὰ ζῷα· ἀλλὰ τούτοις ὁμοίως λεκτέον· ὅτι καὶ οἱ γλυκεῖς εἰσιν οἱ ἁ-
πλῶς τρόφιμοι χυλοὶ καὶ ὀσμαὶ αἱ εὐώδεις, πέψει τινὶ γίνονται καὶ κα-
τεργασίᾳ. ἔστι ὅτι μᾶλλον ὥστε τὰ γινόμενα λαβεῖν πεπεμμένα τῶν ἑτέρων.
δηλοῖ δὲ ἔστι ἐπὶ αὐτῶν τῶν ὁμογενῶν· καὶ γὰρ εὐχυλότερα καὶ εὐοσμότερα τὰ
πεπεμμένα τῶν ἀπέπτων· ἑκατέρων πεττομένων κατὰ τὴν οἰκείαν πέ-
ψιν. ὑπὲρ μὲν οὖν τούτων, ἐν τοῖς ἑπομένοις ἔσται φανερώτερον. τῶν δ' ἄλλων
ἐκεῖνο δεῖ λαβεῖν πρῶτον ὃ κοινόν ἐστι καὶ τῶν φυτῶν ἐστί· πάντα γὰρ ἐν τῇ
γενέσει τῶν χυλῶν μεταβάλλει μετὰ τὴν πέψιν ἐξ ἄλλων εἰς ἄλλους χυ-
μούς· ὡς μὲν ἁπλῶς εἰπεῖν ἐκ τῶν στερητικῶν εἰς τοὺς κατ' εἶδος· οἷον ἐκ πικροῦ
καὶ στρυφνοῦ εἰς γλυκὺν καὶ λιπαρὸν καὶ εἴ τις ἄλλος ὅμοιος χυλός· ὡς δὲ καθέκα-
στον ὡς αὐτὴ διάκρισις ἔχει τῆς φύσεως· καὶ τὰ μὲν εἰς πλείους, τὰ δ' εἰς
ἐλάττους· τὰ μὲν γὰρ ἐκ τοῦ πικροῦ, καθάπερ ἐλαίας, ἐμφαίνου-
σι πρὸς τὸν στρυφνόν· τὰ δ' ἐκ τοῦ στρυφνοῦ, καθάπερ ἄπιοι καὶ τἆλ-
λα. ἔστι γὰρ τὰ ὀξέα πρότερον στρυφνά· τὰ δ' ἐκ τοῦ στρυφνοῦ, πρῶτον εἰς

τὸν ὀξύν· εἶτ' ἐκ τοῦ ὀξέος εἰς τὸν γλυκύν, ὥσπερ βότρυς. ὡς δ' ὅλως εἰ-
πεῖν πλείστας ἀλλοιώσεις οὗτοι λαμβάνουσι· καὶ ὅλως οἱ οἰνώδεις οἱ χυλοί, τὸν μὲν
γὰρ πρῶτον ὥσπερ ὑδατώδης γίνεται· μετὰ δὲ ταῦτα στρυφνός· εἶτ' ὀξύς· εἶ-
τα τελευταῖον γλυκύς. ὡσαύτως δὲ καὶ τὸ συκάμινον· ἐκ στρυφνοῦ γὰρ ὀξύ· καὶ ἐξ ὀ-
ξέος γλυκύ· καὶ ἐπὶ πάντων δὲ τοῦτο συμβαίνει· τῶν γὰρ οἰνωδεῖ γλυκύτητι, ἐγ-
γυτάτω κεῖται τὸ ὀξύ· διὸ καὶ οἱ ἀποροῦντες, ὅτι τὸ συκάμινον ἐρυθρὸν ὂν,
ὀξύτερόν ἐστιν ἢ λευκὸν ἐγγυτέρω τοῦ ὀψὲ ὄν, οὐκ ὀρθῶς ἀποροῦσι· τότε
γὰρ οἷον γένεσις αὐτοῦ τοῦ οἰκείου χυμοῦ· λευκοῦ δ' ὄντος, ἢ στρυφνότερος πλέ-
ον ἅπερ τῇ μὲν ἧττον κοινότερα· διὰ τοῦτο δὲ καὶ ἐν ταὐτῷ ὅταν ᾖ, ξηρότερόν
ἐστιν· ἐρυθραινόμενον δὲ ὀξύνεται, καθάπερ ἔγχυλον γινόμενον· ὅλως
γὰρ πᾶν τὸ περικάρπιον, ξηρὸν τὸ πρῶτον αὐξάνεται· καὶ ἔστι γένεσις αὐ-
τῇ τῶν χυλῶν ἐπιρρεόντων ὥσπερ δ' εἴρηται πλείονος ἀεὶ τοῦ ὑγροῦ
καὶ ἀεὶ συναυξομένου· ἢ καὶ στρυφνὰ τὰ πολλὰ κατ' ἀρχὰς οὐκ ἀλόγως· ἅτε
γὰρ ξηρὰ ὄντα, ξηρότατα τότε δοκεῖ τῶν ὑγρῶν· ὧν ὀπώδης ἡ ὑγρότης· ὥσ-
περ τῶν συκῶν κατὰ τὸ πάχος· τούτοις μὲν οὖν ὥσπερ ὑλικοί τινες εἰσὶ κατὰ
τὰς στερήσεις· ἐξ ὧν ἡ μετάβασις εἰς τὴν πέψιν· τὸ δ' ἴδιον οὐσίᾳ ταῦ-
τα καὶ τέλη· πολλοὶ γὰρ καὶ ψυχροὶ καὶ στρυφνοὶ κατὰ φύσιν καὶ ὀξεῖς· ὧν ἐξ ἀρ-
χῆς ἧττον ἔγχυλος ἡ ὑγρότης· ἅπαντα δέ πως ἐμφαίνουσιν οἱ καρ-
ποὶ καὶ τὸν τοῦ φυτοῦ χυλόν, ὅπερ ἴσως ἀναγκαῖον ἐξ ἐκείνου γινομένων· ὠ-
μοὶ μὲν ὄντες μᾶλλον· πεπαινόμενοι δ' ἧττον, ἅτε καὶ τῆς ἐκκρίσεως
ἀεὶ καθαρωτέρας γινομένης. καὶ τῶν μὲν τοιαύτη τις σύστασις· ἐνίων δὲ ὥσ-
περ ἀρχὴ ἡ πρώτη καὶ ὑδατώδης· οἷον τῶν σιτωδῶν· ὥσπερ πυροῦ καὶ κρι-
θῆς καὶ τῶν ὁμοίων, ὧν δὴ καὶ τελέωσις εὐθὺς ἐκ ταύτης· οὐ λαμβανούσης πλεί-
ους μεταβολάς· οὐ γὰρ οὐδ' ἡ γλυκύτης πόρρω ταύτης, ὥστε μὴ δεῖσθαι πλειό-
νων· διὸ καὶ φαίνεται διττή τις ἡ γένεσις εἶναι τῶν χυλῶν, ἑκατέρα κατὰ τὴν συγ-
κειμένην φύσιν· ἡ μὲν γὰρ ἐξ ἀπέπτων καὶ πλειόνων μεταβάλλουσα πρὸς
τὴν τελείωσιν· ἡ δὲ, ὥσπερ ἀρχὴ, καὶ ἀηδὴς ἐν ἁπλῇ τινι γενέσει καὶ ἀλ-
λοιώσει, διὰ τὴν ὑποκειμένην φύσιν· ὧν ἑκατέρου ὡς ἁπλῶς εἰπεῖν, τὸ μὲν
ἐν τοῖς ἐπετείοις μᾶλλον· τὸ δ' ἐν τοῖς δένδροις ἐστίν, ὡς πλειόνων δεομένων πέ-
ψεως· τάχα δ' ἀληθέστερον ἐκεῖνο ἀποδοῦναι τὰ μὴ ἐπετείοις καὶ δένδροις.

ἀλλ' ὅλως τῇ κράσει διορίζονται. ὁ τρίτος δ' ἄν τις αὐτὴν τυγχάνῃ, αἱ μὲν μεταβολαὶ συνακολουθήσουσι κατὰ λόγον· ἐπεὶ καὶ ἡ ἀμυγδάλη τὸ πρῶτον ὑδατώδης, ἕως ἂν ᾖ χλωρά· ξηραινομένη δὲ, λίπος λαμβάνει· καὶ ἄλλα δέ τινα τῶν κυρσιωδῶν· ὧν καὶ τὰ κελύφη, στρυφνά· τῶν δὲ, καὶ ὀξέα· καθάπερ τῆς ἀμυγδάλης· ὡς ἐνταῦθα πάντως ἐκκρινομένου τοῦ περιττωματικοῦ καὶ γεώδους. ἡ δ' οὖν φύσις ἔοικεν, ὥσπερ ἐκμεμιγμένων τῶν χυλῶν ἐκκρίνειν τῇ πέψει τὸ ἁπλοῦν· ἣ καὶ δόξειεν ἂν ἐναντίως ἔχειν τῶν ἄλλων. ἐν μὲν γὰρ τοῖς ἄλλοις ἐκ μίξεως ἡ γένεσις· ἐνταῦθα δ' ὥσπερ ἐξ ἀφαιρέσεως καὶ χωρισμοῦ. καὶ ἔνθα μὲν ἐκ τῆς ἀρχῆς, ἔνθα δ' αὖ μετὰ τῆς ἀρχῆς· ἀρχὴ γὰρ τὸ γλυκύ· τούτου δὴ πέψις ὡς ἁπλῶς εἰπεῖν. ἀλλὰ ταῦτα μὲν ὡς ἄλλην τινὰ ἔχει θεωρίαν. ἐπεὶ τὸ κἀκεῖνο ἄτοπον, εἰ οἱ χυλοὶ πάντες ἐκ τοῦ πικροῦ καὶ γλυκέος, μιγνυμένων ὥσπερ ἐκ τῶν στοιχείων τὰ σώματα. πάλιν δ' αὖ θάτερον, εἰ ἐκ μὲν τούτου μηδὲν, ταῦτα δὲ ἐκ τῶν ἄλλων· ὁ γὰρ ἀρχὴ ἤτοι αὐτὴ φύσις. εἰ μὴ ἄρα πλεοναχῶς αἱ ἀρχαὶ, καὶ κατὰ πλείους τρόπους ὅπερ ἔοικεν ὥσπερ κατὰ συστοιχίαν ἐνίων λεγομένων. ἀλλ' οὖν δὴ τούτων μὲν πέρι, λόγος ἕτερος. αἱ δὲ γενέσεις τῶν χυλῶν, ἐν τοῖς εἰρημένοις τρόποις· ἢ ἐκ τοῦ εἴδους εἰς εἶδος, ἢ ἐκ τῶν ἐναντίων εἰς τὰ ἐναντία ἀλλοιουμένων. κοινὴ δὴ ὕλη πάντων τὸ ὑγρόν· ἀλλοιοῖ δὲ καὶ ποιεῖ τὸ θερμὸν τὸ ἐν αὐτοῖς καὶ τὸ τοῦ ἡλίου. οὗτος γὰρ ὥσπερ εἴρηται μάλιστα τῶν φυτῶν οἰκεῖον· οὐχ ὥσπερ τὸ ζῷον τὸ ἐν αὐτοῖς. ἐπεὶ μεταβολαί γε καὶ ἀλλοιώσεις καὶ ἐν ἐκείνοις εἰσὶ τῶν χυλῶν. Δημοκρίτῳ μέν γε πῶς ποτε ὀξεῖα ἡ ἄλλη ἡ γένεσις, ἀπορήσειεν ἄν τις. ἀνάγκη γὰρ ἢ τὰ σχήματα μεταρρυθμίζεσθαι καὶ ἐκ σκαληνῶν καὶ ὀξυγωνίων, περιφερῆ γίνεσθαι πάντων ἐνυπαρχόντων· οἷον τῶν τοῦ στρυφνοῦ καὶ ὀξέος καὶ γλυκέος, ἢ ἐκκρίνεσθαι τὰ τῶν προτέρων ἀεί, θάτερα δ' ὑπομένειν· ἢ τρίτον, τὰ μὲν ἐξιέναι τὰ δὲ ἐπεισιέναι. ἐπεὶ δ' ἀδύνατον μετασχηματίζεσθαι (τὸ γὰρ ἄτομον ἀπαθὲς) λοιπὸν τὰ μὲν εἰσιέναι, τὰ δὲ ἐξιέναι. ἀμφότερα δὲ καὶ ταῦτα ἄλογα. προσαποδοῦναι γὰρ δεῖ, καὶ τί τὸ ἐργαζόμενον ταῦτα καὶ ποιοῦν. ἀλλὰ γὰρ τοῦτο μὲν ὑπὲρ πλειόνων ἴσως ὁ λόγος. ἁπάντων γὰρ οὕτω ποιεῖ τὰς γενέσεις· οἷον ὅσα πάθους ποιότητος. τὸ δ' ἄλλο ὑπὸ τοῦ θερμοῦ πέψις γινομένη, τὰ μὲν, ἐκκρίνει καὶ διατμίζει, τὰ δὲ παχύνει καὶ συνίστησι· τὰ δὲ λεπτύνει.

τὰ

τὰ δὲ ὡς ἁπλῶς εἰπεῖν ἀγνοοῦσι· καθάπερ καὶ ἐν τοῖς πυρουμένοις. ὅλως δ' οὐ τοῦτο ληπτέον ὅτι πάντες ἐνυπάρχουσιν οἱ χυμοὶ δυνάμει προσούσης μεταβολῆς· τὸ δὲ γίνεσθαι καὶ εἶναι κατ' ἐνέργειαν. πεφθέντων δὲ οἱ μὲν εὐθὺς φανεροὶ τῇ αἰσθήσει· καθάπερ ὁ γλυκὺς καὶ ὁ λιπαρός· καὶ γὰρ ἀποπιεζομένου τοῦ στέατος ἐνίων ῥεῖ, καὶ χωρισμὸς ἐκ τούτων πλείστου οὕτως αὐτοῦ· οἱ δ' οὐχ ὁμοίως ἔνδηλοι· καθάπερ ὁ οἰνώδης ἐν τῷ μύρτῳ· ἔτι δ' ἧττον ὁ λιπαρός. ἔχει γὰρ τοιοῦτον ἰὸς ἐφίσταται τῷ οἰνῳ σακκιζομένῳ ὃ ἀφαιροῦσιν αὐτοῦ καὶ κάουσιν ἐπὶ τῶν λύχνων· ἀκρατέστεροι δὲ πάντες γίνονται χωρισθέντες τῶν περικαρπίων· ὅσοι δὲ χρονίζονται μᾶλλον· τότε γὰρ ἥττων ἡ τοῦ ὑδατώδους ἀναπνοή, καὶ ἡ τοῦ γεώδους ὑπόστασις καὶ τὸ ὅλον ἡ τοῦ θερμοῦ τοῦ ἐν αὐτῷ δύναμις. ἐπεὶ ἃ ἀφαιρεθέντων τῶν καρπῶν, ἐν αὐτοῖς τούτοις ἀγνοοῦνται, καὶ τὰ γεκάρυα, ὅσα γε τοῦτον τὸν τρόπον ἐλαιώδη χρονιζόμενα μᾶλλον ἐξελαιοῦται διὰ τὸ εἰρημένον αἴτιον. ἡ δὲ φανερῶς προλέγεται, διότι δυνάμει πάντες ἐνυπάρχουσι τῇ δ' ἐνεργείᾳ, αἱ ἀγνοιώσεις ποιοῦσιν. εἰσὶ δὲ ὥσπερ ἐν αὐτοῖς τοῖς περικαρπίοις ὡρισμέναι μεταβολαὶ χωρισθέντων ὁμοίως εἴς τε τὰς κατὰ τὰς πέψεις, καὶ εἰς τὰς κατὰ τὰς φθοράς. μάλιστα δὲ τοῦτ' ἔνδηλον ἐπὶ τοῦ οἴνου. καὶ γὰρ παρίσταται ἐξίσταται οἷον γηράσκει ἐν ὡρισμέναις τισὶ μεταβάλλει χρόνοις. ἀλλοιωθεὶς δέ, εἰ μὲν ὥσπερ κατὰ φύσιν ὅταν παλαιούμενος ἐκπικρωθῇ, τοῦτο συμβαίνει, διότι τὸ πρότερον ὁ ἀὴρ ἐξάγει καὶ τὸ περιέχον· ἀπιόντος γὰρ τούτου, καταλείπεται τὸ γεῶδες ἔτι πικρόν. ὁ δ' ὥσπερ βίᾳ καὶ παρὰ φύσιν εἰς τὸ ὀξύ· τοῦτο γὰρ ἐναντίον. ἔχει δὲ καὶ ἐπὶ τῶν ἄλλων παραπλησίως συμβαίνει τῷ οἴνῳ τὴν ἐκστατικὴν ταύτην ποιεῖσθαι φθοράν, ὥσπερ καὶ ἡ φυσικὴ γένεσις· ἐκ γὰρ τοῦ ὀξέος καὶ εἰς τὸ ὀξὺ καθάπερ εἰς τὴν ὕλην ἀναλυόμενοι· μεταβάλλουσι δὲ καὶ ἀποκαθίστασθαι πάλιν συμβαίνει μὲν ὡσαύτως ἅπασι. καὶ μάλιστα ὅταν ἡ θάλαττα ὠθῇ ἢ ἐπὶ τοῦ ἄστρου ἐπιτολῇ παρακινήσῃ. ἃ γὰρ τότε παραπλήσιον τὸ πάθος ὄν, τὸ γίνεται σφοδρόν. ἀλλ' οὖν περὶ μὲν τούτων, ἐν τοῖς ἐπομένοις οἰκειότερον ἐπελθεῖν. ἡ δὲ φθορὰ καὶ ἡ ἀλλοίωσις ἐν τεταγμένοις πάθεσιν. ἐπεὶ καὶ τὸ μὲν διαφθειρόμενον ἐξυγραίνεται· τὸ πολλάκις δὲ ἐξοξύνεται. τῇ γηράσκεται δὲ ἃ χρονιζόμενα, ἀποξηραίνεται· καταλειπόμενον καὶ ἐνταῦθα τοῦ γεώδους. ὅλως δὲ καὶ φθει-

ραὶ παρὰ τὴν καταμίξιν τοῦ ἀλλοτρίου, ἢ ἔκλειψιν τοῦ οἰκείου διὰ χρόνον· αἱ δὲ καταμίξεις, ὅτε μὲν, τῶν ἔξωθεν μιχθέντων, ὅτε δὲ τῶν αὐτῶν νοσήσαντος τινὸς καὶ πλεονάσαντος· τάχα δὲ ἀληθέστερον εἰπεῖν· ὅτι κινηθέντος τινὸς ἢ διαφθαρέντος· οὕτω γὰρ ἡ τῶν περικαρπίων φθορὰ καὶ αὐτῶν τῶν ὑγρῶν· οἷον οἴνου· γάλακτος· οὐδὲν δὲ ἧττον τεταγμένη ὑπὸ τούτων ἡ μετάβασις εἰς ἐναντία· πᾶσι τούτων· αἱ δὲ ἐναντιότητες, πλείους· ὥστε οὐ τοῦτο μὲν φανερόν· ἡ δὲ πέψις πάντων τῶν χυμῶν, γίνεται μὲν ὑπὸ τοῦ θερμοῦ καθάπερ εἴρηται· δοκεῖ δὲ τῶν ὀμφακίνων ὑπὸ τοῦ ψύχους διὰ τὴν ὥραν· πέττεται γὰρ ὥσπερ ἀεὶ λεγόμενον τὸ θερμὸν ἀντιπεριϊσταμένου· ἰδίου δὲ τοῦ περὶ τὸ ἔλαιον τὸ συμβαῖνον· εἴπερ ἀληθές· λέγουσι γὰρ ὡς οὐδὲν πλέον ἴσχει τοῦ ἐλαίου μετὰ ἀρκτοῦρον· ἢ ὅσον λαμβάνει τοῦ θέρους· ἅμα γὰρ ἐστὶ ὅπως ποτὲ γίνεται σκληρὸν· μεθ᾽ ὃν οὐκέτι δύναται τὸ ὑγρὸν ἐξελαιοῦν· ὥστ᾽ εἰ μὲν τῷ φυσικῷ πάθει δεῖ καὶ τῷ συμπτώματι τὸν ὅρον λαμβάνειν, τῷ πυρῆνι ληπτέον· εἰ δὲ τῇ ὥρᾳ, τῇ τοῦ ἄστρου δύσει· τάχα δὲ ἄμφω συμβαίνει διὰ τὴν αὐτὴν αἰτίαν τῷ μὲν οἷον πεττομένου· διαμφισβητοῦσι δέ πως τινὲς τῷ εἰκότι προσάγοντες· ὡς ἄτοπον τὸ μηδὲν πληθύνεσθαι τοῦ ἔξωθεν ὕδατος ὑπισταμένου· καὶ τῇ αἰσθήσει φανερὸν εἶναι καὶ τῇ πείρᾳ· λευκὸν γὰρ τριβόμενον ἔλαττον ἀφιέναι· πᾶσι δὲ ἀρίστα ἔχειν τοῦ ἐσχάτου συλλεγομένου· διὰ μὲν γὰρ τὸ τελέωσιν, διὰ τὸ κεχειμάσθαι τὸ ὑδατῶδες ἀφῃρημένου, τὸ λοιπὸν ἐκπέττεσθαι μᾶλλον· ὁ μὲν οὖν λόγος ἀντιλεγόμενος, τοῦτο· ἐνδέχεται δὲ δοκεῖν καὶ φαίνεσθαι πλεῖον, διὰ τὸ ὑδατῶδες εἶναι τῆς ἀμόργης· ἐπεὶ ὅτι γ᾽ ἔχουσι τὸ ἔλαιον πρὸ τοῦ μελανθῆναι, φανερόν· ἀλλ᾽ ὅτι καθαρώτερον καὶ λευκότερον· ἐκ γὰρ τῶν φαυλίων, ὡμὸν τὸ λευκόν· τὸ δὲ ἐμφαίνειν τινὰ πικρότητα τῶν λευκῶν, θλιβομένων, οὐδὲν ἄτοπον, ἢ εἰ ὕστερον ἐκπεφθεῖσι παύεται· οὐ τοῦτο γὰρ οὐκ ὀλιγότητος εἶναι πλήθους σημεῖον· ἀλλ᾽ ὅτι συναπόλλυσί τι καὶ περιξ ὁ χυλὸς ὥσπερ ἐστὶ τῶν ἀγγείων· ὅτι δὲ οὐκ ἀναμένει τὴν τοῦ περικαρπίου πέψιν, φανερόν· ἔστι γὰρ ἐκ τῶν λευκῶν· ὥστε οὐ δεῖ δυνάμει καὶ ἐνεργείᾳ διαιρεῖν ἐστιν· ὅτι, τὴν ὕλην ἐξ ἧς μέλλει πρότερον ἔχει· τίς οὖν ἡ αἰτία, καὶ τίς ὁ τρόπος εἴπερ ἀληθὲς ἢ ἁπλῶς· ἢ ὡς βραχεῖ τινι πλέον· ἀμφότερα γὰρ ἄλογα· μεῖζον δὲ θατέρου· ἢ πρῶτον μὲν οὐχ ἡ αὐτὴ πέψις

τοῦ

τῷ τε χυλῷ καὶ τῷ περικαρπίῳ πρὸς ἐδωδήν· τοῦτο γὰρ δεῖ προσφι-
λὲς εἶναι τῇ γεύσει. τοῦτο δὲ ἦν ἀλλοιώσει τοῦ γεώδους· ὡς δὲ ἔνιοί φασι συνή-
ψει. ἀλλ' οὐδὲ ἡ περὶ τὰς συνήψεις. τὸ δ' ἐλαῖον αὐτῇ τῇ τοῦ χυλοῦ μεταβολῇ.
τοῦτο δ' ὅσῳ χαλεπώτερον, οὐκ ἄλογον ὑπὸ τοῦ πλείονος θερμοῦ δημιουρ-
γεῖσθαι. ἀλλ' εὐθὺς ἀναπομίκτῳ χυλῷ τῷ γεώδει καὶ ὑδατώδει. πρὸς ἀρ-
κτοῦρον μὲν οὖν ἀμφω ταῦτα ἐστὶ, καὶ ἤδη ἡ ὥρα θερμοτέρα καὶ ὁ χυλὸς ἀμιγέστε-
ρος. μετ' ἀρκτοῦρον δὲ εὐαντί. αὔξεται γὰρ ἡ σὰρξ τότε καὶ τελευτᾷ. ὅτι δ' οὐκ
ἐν πλήθει τροφῆς, οὐδ' ἐν εὐσαρκίᾳ τῶν ἐλαῶν τὸ τοῦ ἐλαίου πλῆθος, ἐκ τῶν
φανερῶν. αἵ τε γὰρ ἐπομβρίαι ποιοῦσιν ἔλαττον. αἵ τ' ἀρδόμεναι, χεῖρον ῥέουσιν.
ὧν δ' ἡ σὰρξ πολλή, ὁ δὲ πυρὴν μικρός, ὀλιγέλαιοι καθάπερ αἱ φαυλίαι,
ὡς ἐνταῦθα τῆς φύσεως κεκμηκυίας. οὐ δὴ ἐν τοῖς ψυχροῖς ἰσχύουσιν, αὐξάσας
καρπὸν ὃ καὶ ἀπορροῦσιν. διὰ τί ἡ μὲν ἄμπελος ἐν τοῖς χειμεριωτάτοις
χυλοῖ, ἡ ἐλάα δ' οὔ· αἴτιον δὲ τὸ, τὸ νῦν εἰρημένον ὅτι εἰς τὴν σάρκα ἡ δύ-
ναμις. τῷ βότρυϊ δ' ὁ χυλὸς ἐν αὐτῇ τῇ σαρκί, ἀλλ' ἔτι πρότερον ἴσως καὶ
κυριώτερον, ὅτι ἡ θερμότης ἡ ποιοῦσα τὸ ἐλαῖον, ἀσθενής. ἧττον μὲν γὰρ οὐ γίνεται.
τὸ δὲ θέρος οὐ καλόν, ἀλλὰ τὸ μετόπωρον οὐκέτι δύναται ἐν τούτῳ κατα-
κρατεῖν ὁ ἥλιος. ὃ καὶ σημεῖον ἄν τις λάβοι διὰ τί τοῦ θέρους γίνε-
ται· τὸν μὲν γὰρ οἰνώδη καὶ ὑδατώδη χυλὸν δύναται τὸ ψῦχος ἐκ-
πέττειν, τὸν ἐλαιώδη δὲ ἀδύνατον. τὰ ὑδατώδη δὲ τὰ ἐκ Διὸς γινόμενα,
καὶ τὰ ἐκ τῶν ὀχετῶν ἄρδοντα τὴν σάρκα, πληθύει καθάπερ εἴρηται·
τὸ δ' ἔλαιον ἄμικτον. ὥσπερ καὶ ὅταν τοῦ περικαρπίου χω-
ρισθῇ. ἐν αἰγύπτῳ δὲ τὸ μὲν τῶν αἰγυπτίων καλουμένων ἐλαῶν γέ-
νος, τῶν πολυσάρκων τε καὶ μεγάλων, ἔλαιον οὐκ ἔχει· θάτερον δ' ἐλαιῶ-
δες. πολλὰ γάρ εἰσιν ὥσπερ ἐν ταῖς ἱστορίαις εἴρηται. περὶ μὲν οὖν τῆς
τοῦ ἐλαίου γενέσεως, τοιαύτην τινὰ ὑποληπτέον τὴν αἰτίαν. ὑ-
πὲρ δὲ τῶν ἄλλων τῶν λίπος ἐχόντων ὥσπερ αὐταί. συμφωνοῖ
ταῦτ' ἐκ πάντων. εἰ δ' ἔνια κατ' ἄλλην ὥραν, διαιρετέον ἢ τὰς φύ-
σεις ἑκάστων, ἢ ποιόν τι τὸ λιπαρὸν, ἢ τὸν τρόπον τῆς γενέσεως.
πλὴν χρονιζόμενα καθάπερ τὰ καρυώδη. ταῦτα γὰρ δύναμιν
μὲν ἔχει καθάπερ ἐλέχθη. τὴν δ' ἐνέργειαν ὁ χρόνος ἀποδίδωσι τῷ

μὲν ὑδατώδεις ἀπογινομένων, ἢ λιπαρῶν ἢ ξυνιζανομένων καὶ πεττομένων· τὸ δὲ καὶ κομιδῇ ξηρά τις ἡ λιπαρότης εἰ μὴ ἄρα καὶ αὕτη περιϊσταμένου τοῦ θερμοῦ ἔν τισιν ἐνδέχεται, καὶ τὸ οὖρον ποιεῖν· ἅπαντα δὲ ὅσα χυλὸν ἔχει, τὰ μὲν εὐθὺς καὶ ὀσμώδη τυγχάνει· τὰ δὲ πολλὰ συνεμφαίνει τινὰ γευομένοις ὀσμήν· ἔνια δὲ καὶ θλιβόμενα μόνον ἢ κινούμενα· καὶ πάλιν τὰ ὀσμώδη διαμασώμενα καὶ γευόμενα χυλὸν ποιεῖ. συνεγγίζουσι τῶν αἰσθήσεων κειμένων· ἀνάγκη ὅπου τινὰ καὶ τῶν αἰσθητῶν. ἢ διὰ τοῦ καινοῦ ἂν δόξειε λέγεσθαι τὸ κατὰ τοὺς χυλοὺς τέλος τὰς ὀσμάς· αὕτη γὰρ εἰς ἐκείνην φέρει τὴν δόξαν· ὡς ἐχόντων τινὰ συγγένειαν ἢ ἀπὸ ταὐτοῦ πως γινομένων· ἃ δὴ καὶ δεῖ διελεῖν τίς ἑκατέρου ἢ πῶς ταὐτὸ διαφέρει· τὸ μὲν ἴσως κατά γε τὰς προσηγορίας ἀποδοθήσονται πάσας· πικρὰν γὰρ ὀσμὴν καὶ ἁλμυρὰν καὶ λιπαρὰν καὶ στρυφνὴν οὐκ ἐθέλει λέγειν· οὐ γὰρ οἱ χυλοὶ πάντως κατὰ τὰς ὀσμάς· ὡς οὐδὲν ἧττον οὐδέ πως κατάλληλα καὶ συνακολουθεῖ ἢ θατέρῳ θάτερον· ἑκάστου δὲ τῶν χυλῶν ἰδέαι πλείους· οἷον γλυκέος, πικροῦ, τῶν ἄλλων· ὁ μὲν γὰρ μελιτώδης, ὁ δὲ οἰνώδης, ἢ γαλακτώδης· ὁ ὑδατώδης ἴσως. τάχα δὲ ὁ τῷ μᾶλλον καὶ ἧττον διαφέρουσι· κυριωτάτη δὲ ἡ κατὰ μίξιν τῶν ὑποκειμένων· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· ταῦτα μὲν οὖν σχεδὸν συμφωνοῦσι πάντες· ἡ δὲ τῇ γεύσει τῶν ὀσμῶν αἴσθησις, οὐκ ἄλογος· ἥπερ μάλιστα ἔνδηλος, ἐπὶ τῶν εὐόσμων λεγομένων· τῶν τε λαχανηρῶν, ὥσπερ ἀνήθου, μαράθου, μυῤῥίδος· ἐπὶ δ' οὐκ ἐχόντων ὅλως ὀσμὴν καὶ ἔτι μᾶλλον ἐπὶ τῶν ξηρῶν, ἀόσμων δὲ τελέως· οἷον φακοῦ· κρίκου· τῶν τοιούτων· διαθραυόμενα γὰρ ἅμα τῇ μασήσει καὶ διαθερμαινόμενα, ποιεῖ τινὰ ἀτμὸν ὃς ἀναπέμπεται λεπτὸς ὢν διὰ τοῦ πόρου εἰς τὴν ὄσφρησιν· ἐμφαίνεται δὲ ὁ ἐκ διαμασωμένου χυλός· ὡς ἐπίπαν δὲ τὰ εὔοσμα πάντα πικρά· τούτου μὲν οὖν τὴν αἰτίαν, ὕστερον λεκτέον· ἔοικε δὲ δυοῖν ὄντοιν ἐναντίοιν, οἷον, τοῦ τε γλυκέος καὶ πικροῦ, τὸ μὲν οἷον εὐχυλίας ἀρχὴν, τὸ δ' εὐοσμίας εἶναι, καὶ ζητοῦν τινα μᾶλλον τὸ πικρὸν τῆς εὐοσμίας. εὔοσμον μὲν γὰρ, ἔργον λαβεῖν μὴ πικρόν· εὔχυλα δὲ, πολλὰ ἢ μὴ γλυκέα. σχεδὸν δὲ ταῦτα καὶ ὀσμώδη κατὰ τὴν γεῦσιν ἢ τὴν προσφοράν· ἡ δὲ γλυκύτης σπανίως καὶ ἥκιστα εὔοσμος· καίτοι ἀμφοῖν γε διὰ πέψεως· ἀλλὰ περὶ μὲν τούτων, ὕστερον· ἐπεὶ δὲ οἱ χυλοὶ πλείους· ἀπορήσειεν ἄν τις διὰ τί ποθούμενοι ἄλλοι πάντες ἐν τοῖς φυτοῖς καὶ καρποῖς γίνονται

καὶ γὰρ

ἢ γὰρ πικρὸς ἢ ὀξὺς ἢ δριμύς. ὁ δ᾽ ἁλμυρὸς οὐκέτι· οὐδὲν γὰρ τῶν φυομένων ἁλυκόν· ὥστε ἢ ἐν ἑαυτῷ τοιοῦτον ἔχειν τὸν χυλὸν, ἀλλ᾽ ἐν τῷ περὶ τὰ ἔξω γίνεται τις ἁλμυρὸς, οἷον ἐπὶ τῶν ἐρεβίνθοις. αὐτοὶ δὲ γλυκεῖς. αἴτιον δ᾽ ὅτι ἄτροφον καὶ ὥσπερ ἀγέννητον τὸ ἁλμυρόν. σημεῖον δ᾽ ὅτι οὐδὲ φύεται οὐδὲν ὡς εἰπεῖν ἐν ταῖς τοιαύταις χώραις· διεσθίει γὰρ καὶ ἐξαιρεῖται τὰς δυνάμεις, ὥστε κωλύειν τὴν σύστασιν. ὃ δὲ καὶ τοῖς ἄλλοις τούτου αἴτιον, εὔλογον μηδὲ καθ᾽ αὑτὸ γίνον αὐ· ἐπεὶ καὶ τὰ ἐν τῇ θαλάττῃ φυόμενα, γλυκύτητί τινι καὶ ἑτέροις χυλοῖς φύεται καὶ συνίσταται· καθάπερ ἰχθῦς καὶ τἆλλα ζῷα τὰ ἐν αὐτῇ. καθόλου μὲν οὖν τοιαύτη τις ἡ αἰτία. δεῖ γὰρ ἐξ οὗ τι μέλλει γίνεσθαι μεταβλητικὸν εἶναι. τὸ δὲ ἁλμυρὸν ἀπαθὲς καὶ ἀμετάβλητον· διόπερ οὔτε φύεται οὐδὲν ἐξ αὐτοῦ, οὔτε αὐτὸ τέλος οὐδέν. ὅλως δὲ ἐπὶ τῶν καθέκαστα καὶ ἐν τοῖς παρακολουθοῦσι, καὶ τὰ τοιαῦτα δόξειεν ἂν συμφωνεῖν· οἷον ὅτι ὁ ἥλιος καὶ τὸ ἐν ἑκάστῳ θερμὸν ἕλκει τὸ κουφότατον καὶ τὸ τροφιμώτατον. τὸ δὲ ἁλμυρὸν, βαρὺ φύσει καὶ ἄτροφον· ἐπεὶ τὰ ἀσαπὲς καὶ ἀναλλοίωτον. καταλειπόμενον οὖν καὶ οὐ συνελκόμενον ὑπὸ τῶν ῥιζῶν, οὐκ ἀναμίγνυται τῷ φυτῷ. ἔτι δὲ πείπερ ἀπερίττωτον τὸ φυτὸν οὐδὲν ὑπολείπεσθαι ἢ ἐλάχιστον εἰκὸς τὸ ἄτροφον. ἔδει ἂν ἢ ἐλάχιστόν τινα γίνεσθαι. ἢ διὰ τοῦτο ἥκιστα εὐθὺ ὑπὸ τοῦ ἡλίου ἀναξηραίνεσθαι καὶ ἐπιπολάζειν. πανταχοῦ γὰρ πλατεῖα ἢ μεγάλα τοῦ ὑγροῦ ὑποφέρεσθαι, ἀσύμπλεκτα δὲ καὶ ἄκολλα διὰ τὸ μηδὲν ἔχειν σκαληνόν· ἀλλὰ γωνιοειδῆ τε εἶναι καὶ πολυκαρπῆ· ταῦτα μὲν ἐκώλυε πρὸς τὴν τῶν φυτῶν κατάμιξιν. ἔξεστι σκοπεῖν. πρὸς δὲ τὰ πρότερον εἰρημένα, ζητήσειεν ἄν τις περὶ τὰ καθόλου λεχθέντα· διὰ τί ποτε ἐνίοις ἐγγίνεται ἡ ἐπιστάμενος ταῖς γε· καὶ πόθεν ἡ ἁλμυρίς. εἰ μὲν γὰρ ἐν αὐτοῖς ὑπάρχει, δῆλον ὡς οἰκεῖον αἴτιον τῆς τροφῆς εἴη ἐκ τῆς φύσεως· εἰ δ᾽ ἔξωθεν ἐπιγίνεται, ἢ τοῦτο μὲν ἧττον· ἐκεῖνο δ᾽ ἄν τις ὁμοίως ἀπορήσειε, πόθεν καὶ ὑπὸ τίνος. ἀνάγκη γὰρ ἐκ τοῦ ἀέρος ἢ ἐκ τῆς ἀτμίδος ἀναφερομένης ἢ κατὰ τὰς ῥίζας ἑλκυσθὲν, ἐξανθεῖν οἷον περίττωμά τι. φαίνεται δὲ ἁλμυρὰ καὶ ὅλως ἐπιπολάζειν. εἰ μὲν οὖν οὕτω, φανερὸν ὅτι ἕλκοι ἄν· εἰ δὲ κἂν γάρπου· διὰ τί μόνον ἐπικαθίζει τούτοις οἷ περιέρρε

ἐρεβίνθων καταλαμβάνει καὶ τοῖς τοιούτοις· ὅσα γὰρ ἁλμαινοσηματικῶν ὥσπερ ἡ ῥοδωνιὰ καὶ ἄμαλτα, περὶ οὗ ἕτερος λόγος· τῷ δ᾽ ἐρεβίνθῳ οἰκεῖον φαίνεται καὶ χρήσιμον· ἀποπλυθέντων γοῦν ὅταν ἀνθῶσιν, ἐκφῦσι τὰ ἄρτι συνιστάμενα, ἀπόλλυνται διαφθειρόμενα σφακελίσαντες· ὥστε πρὸς σωτηρίαν ἡ φύσις ἐπάγοι τὰ τοιαῦτα συγγενῆ· φαίνονται δ᾽ ἢ καὶ ὅλως τινὰ ἔχειν τοιοῦτον χυλὸν ἐν τοῖς φύλλοις καὶ κλωσίν, ὅσα καὶ ἀποπλυθέντων ὅλως, ἔνδηλός ἐστι κατὰ τὴν γεῦσιν, οὐ μόνον ἐν τούτοις ἀλλὰ καὶ ἐν αὐτῷ τῷ καρπῷ· δῆλον δὲ τοῦτο ἐν τῇ γεύσει γίνεται, ἐάν τις ἐπὶ τῶν χλωρῶν ἐπανωθῇ, διαμασησάμενος ὅλως· ἐν τῷ κελύφει γάρ ἐστιν ἡ ἁλμυρίς· οὐκ ἐν τῷ ἐντός, ἢ καὶ συνδιατηρεῖ πρὸς τὸ ἀκοπουσθεῖν· καὶ φαίνεται τὴν αὐτὴν ἔχειν τάξιν, εἴπερ καὶ περιφυκότος· ἃ γὰρ ἐν ἀμφοῖν ἔξω καὶ ὥσπερ φυλακῆς χάριν· χλωροῦ μὲν οὖν ὄντος, ἐν τοῖς καυλοῖς καὶ λοβοῖς καθάπερ εἴρηται· ξηραινομένου δέ, καὶ τὸ κέλυφος λαμβάνει τοιοῦτον χυλόν· ὥσπερ ἐκκρινομένου, ἀπὸ τοῦ ἐντὸς ἔξω, ἃ ἀφίστασθαι τὰ τοιαῦτα εὔλογον ὡς ἂν ἀνάξια· καθάπερ καὶ ἐν τοῖς συκίοις ἡ ἐν τῷ χνοῒ πικρότης· καὶ ὡς ἐν καρίᾳ φασὶν ἀπιόντα τιν᾽ ἔχειν χνοῦν ἀνιώδη θαυμαστόν· ὥστε ἂν μὴ ἀποπλύνῃ τις, μὴ δύνασθαι ἐσθίειν· οὐδὲν δὲ τόπου οὐδ᾽ εἰ πλείω τοιαῦτά ἐστιν· ἐπεὶ οὐδὲ τοῦ πόρρω τῶν εἰρημένων οἷον τὸ τοῖς καλαίοις ἐπὶ τῶν ἄκρων τὴν πικρίαν εἶναι τοῦ βολβοῦ ἐν τῇ καλουμένῃ κορυφῇ· καὶ τοῖς σκορόδοις τὴν δριμύτητα ἐν τῷ διήκοντι τῆς γελγίδος· ἀλλὰ ταῦτα μὲν ὡς καθ᾽ ὁμοιότητά τινα εἰρήσθω· ὅτι δὲ φαίνεται φυσικόν τι καὶ συγγενές, ἐκεῖθεν δῆλον· ὅπου γὰρ ἂν σπαρῇ καὶ φυῇ, πανταχοῦ λαμβάνει τὴν ἁλμυρίδα, κἂν μὴ τὸ ἔδαφος ᾖ τοιοῦτον· ἐπεὶ καὶ τά γε ἐν τοῖς ἁλμώδεσι φυόμενα, τῷ ἔχειν ἁλμυρίδα τινά, οὐκ ἄλογον, ὥσπερ ἄλλα τε καὶ τὸ ἅλιμον· ἔνια δὲ καὶ εὐχυλότερα καὶ βελτίω γίνεσθαι· καθάπερ τὰς ῥαφανίδας· ἐξαιρεῖσθαι γὰρ αὐτῶν τὴν δριμύτητα καὶ τὴν πικρότητα ἣν ὑπάρχουσιν· ἅμα δὲ καὶ ἀμέριστόν τινα ποιεῖ περιαιρουμένην τὴν ὑγρότητα τὴν πλείω· δεινοὶ γὰρ οἱ ἅλες ἀφελκύσαι· ἐμφανὲς δὲ τοῦτο ὠμῆς οὔσης· περιπάσσουσι ἐπὶ τῶν κρεῶν ἐνιαθραίνεσθαί φασιν· ὅτε οὖν τοιαύτη καὶ οὕτως ἔχουσα παραδοθῇ τῷ πυρί, κα-

τὰ

τὰ λόγον ἤδη τοῦ χυλοῦ· εἰ καὶ γλυκεῖαν καὶ ἁπαλήν· ἐπεὶ καὶ οἱ τὸ
λίτρον ἐμβάλλοντες, τοῦτο βούλονται ποιεῖν· ἀλλ' ἐξ ὀλίγου ποιοῦσιν· ἡ δὲ φύ-
σις ἐκ πολλοῦ καὶ χρόνου μικρὰς ποιήσασα, τοιαύτην ἐπέδωκεν· ὅθεν οὐδὲ οὐρ-
αλον, τὸ περὶ ζόπυρον τὰ περὶ ἄστυ, ἔνια χεῖρον τὰ ὅλα οὐ θέρους βελτίω κα-
θάπερ ἐν Ἐρετρίᾳ· ὅτι γὰρ μᾶλλον ἡ ἁλμυρὶς ἐργάζεται καὶ κρατεῖ· αὐ-
τὴν μὲν οὖν πλείω τῇ δ' ὑγρότητι ἐλάττου γινομένου ἐν ἐκείνῃ· καὶ τὸ λίτρον
δὲ καὶ τὸ ἐν Αἰγύπτῳ τὰ γὰρ ἐν ἅπασι τοῖς τοιούτοις τόποις εἶναι χερσ... ἀλ-
λὰ γὰρ αὐτὰ μὲν ἴσως ἐπὶ πλέον εἴρηται· ἡ δὲ ἁλμυρὶς εὐθὺς ἀπὸ τῶν ῥιζῶν
ἕλκεται, εὐθὺς ἀπὸ τῆς τοῦ ἡλίου θερμότητος ἀναφέρεται, κατὰ ἀμφοτέρους τόπους
οὐκ ἂν ἀκίνητος ἀπὸ τῆς γῆς εἴη, περὶ δὲ ὧν ὁ ἐξ ἀρχῆς λόγος· ἀλλὰ περὶ μὲν
φυτῶν, ἀλλ' ἐκεῖνο δῆλον ὡς οἰκεῖον τῶν χυλῶν περιττώματα δεῖ διαιρεῖν· οἷον πότερον
μᾶλλον καθήκει γίνεσθαι, ἢ τὸ ξηρὸν ἢ τὸ ὑγρόν, ὥσπερ ὁ ὀξὺς ὑγρότερος δο-
κεῖ μᾶλλον καὶ ὁ αὐστηρός· ὁ δὲ δριμὺς ξηρότερος καὶ ὁ γλυκύς· παχυνόμενα,
διὸ καὶ τὰ ὑγρὰ γλυκύτερα· ὁ δὲ πικρὸς τάχα οὐθὲν ἂν φυτῶν διαφέροι· γι-
νόμενος δὲ πάντων ἐξ ἀμφοῖν, εἰ μὴ αὐτῶν τούτων θάτερον μᾶλλον ὑλικόν,
οὕτω δὲ πάντων ἀπὸ τῶν αὐτοῦ, εἰσὶν ὥσπερ ἐλέχθη πάντες ἐν ξηρῷ· ἀλ-
λὰ τοὺς μὲν ἀποχωρίζομεν αὐτῶν, καθάπερ τό τε ὄξος καὶ τὸ ἔλαιον· τοῦτο
δὲ οὐ πρὸς τὴν χρείαν ὁρῶντες ἐνίοτε δὲ καὶ ὕδωρ ἐπιχέοντες λαμβάνου-
σιν· ὥσπερ τοὺς ἐπὶ τῶν ἀκροδρύων καὶ συνήθων· τοὺς δὲ καὶ ἐξιστάντες τῆς
φύσεως καὶ ὑποστήσαντες, εἰς χυλοὺς ἄγουσι ποτίμους· οἷον, ὡς οἱ τοὺς
οἴνους ποιοῦντες ἐκ τῶν κριθῶν καὶ τῶν πυρῶν· καὶ τὸ ἐν Αἰγύπτῳ καλούμενον
ζῦθος· ἁπάντων δὲ τούτων αἱ μὲν ἀρχαὶ καὶ δυνάμεις, φυσικαί· τὰ δὲ
γινόμενα, τέχνης μᾶλλον καὶ συνέσεως· ἀλλὰ περὶ μὲν τῶν ἀπὸ διανοίας καὶ
τέχνης γινομένων, αὐτὰ καθ' αὑτὰ δεῖ θεωρεῖν· τῶν δὲ φυσικῶν χυλῶν τὰ
πάθη καὶ τὰς γενέσεις, ἐκ τῶν εἰρημένων θεωρητέον· ὑποκειμένων δὲ καὶ διαδεδειγ-
μένων τούτων, ἀπορήσειεν ἄν τις, διὰ τί ποτε οὐκ ἐν τῷ αὐτῷ μέρει ἡ εὐχυλία
καὶ ἡ εὐοσμία γίνεται πᾶσιν· ἀλλὰ τοῖς μὲν ἐν τῷ ἄνω· τοῖς δὲ, ἐν τῷ κάτω καὶ περὶ
τὰς ῥίζας· καὶ οὐδὲ τῶν ἄνω πάντων ἐν τῷ αὐτῷ· ἀλλὰ τοῖς μὲν, ἐν τοῖς περικαρπί-
οις· τοῖς δὲ, ἐν τοῖς φύλλοις· τοῖς δὲ, ἐν τοῖς ἄνθεσι καὶ τοῖς κλωσὶ καὶ μάλιστα αἱ ὀσμαί
τῶν χυλῶν· ἐπεὶ καὶ ἐν τοῖς φλοιοῖς ἐνίων· ἐπὶ δὲ τῆς εὐοσμίας ὅλως ἀκριβῶς εἰπεῖν,

εὔοσμα τὰ ἄνθη, καθάπερ ἐπὶ τῶν λευκοΐων συμβαίνει, ἐλευθέρων· καίτοι κατὰ λόγον ἦν, ὅ γε τοῖς ἀγρίοις εὐοσμότατον, ἀοσμότερον εἶναι. οὕτω καὶ ἐν τῶν εὐόσμων εὐωδέστατον εἶναι. θαυμαστὸν δὲ καὶ τὸ ἐνίων τὸ μὲν ἄνθος ἥδιστον ὄζειν, τῶν δὲ ἄλλων μορίων μηδέν, ὥσπερ ἐπὶ τῶν ἴων καὶ τῶν ῥόδων. ἔχει δὲ καὶ τὸ πρῶτον λεχθὲν ἀπορίαν, ὅσων ἐν ταῖς ῥίζαις ἡ εὐχυλία καὶ ἡ εὐοσμία τυγχάνει. ἀμφοῖν μὲν γὰρ αὐτὰ πέφυκε γίνεσθαι· τὸ δὲ πλεῖστον ἔχει καὶ ἀεὶ καινὴν τροφὴν ἀφ' οὗ τοῖς ἄλλοις ἡ διάδοσις, ἥκιστ' εὔλογον εἰς πέψιν ἥκειν ἢ εὐχυλίαν ἢ εὐοσμίαν· ὥσπερ οὐδὲ τῶν ζώων αἱ κοιλίαι. περὶ δὲ τούτων καὶ τῶν τοιούτων ἀρχὴν ἔχων μέν, τὴν πολλάκις εἰρημένην διότι πέφυκε τινὶ αὐτὰ γίνεσθαι. τὸ μετὰ τοῦτο δεῖ λαβεῖν ἐπὶ τούτων τὸ λεχθὲν πρῶτον· ὅτι αἱ ῥίζαι κοιλίαι τῶν φυτῶν εἰσι πάντως. ἔτι καὶ οὐ τότε τις θείη· διὰ τὸ τὴν τροφὴν ἀλλοιοῦσθαί πως ἐν αὐτοῖς· ἀλλ' ἔκ γε μόνον φανερῶς οὐκ ἔχουσιν εἰς τὸ πέττειν. τοιαύτης δ' οὔσης οὐδὲν κωλύει εὐχυλίαν καὶ εὐοσμίαν ἔχειν, ὅσαι κρᾶσιν εἰλήφασι τοιαύτην· ἐπεὶ καὶ ἐν ταῖς τῶν ζώων κοιλίαις περιττώματα ἐχούσαις, ὅμως ὕπεστιν ὑγρότης εὐχυλία τις οὖσα καὶ πέψις, ὡς μάλιστα τοιαύτης ἀλλοιωσέως ἐνδεχομένης. καὶ ἐπὶ τῶν δένδρων ὄζειν ἂν τυγχάνει· καθάπερ πεύκη· πᾶσα δ' ἔνδαδος ταῖς ῥίζαις, ὥσπερ ἐλέχθη πρότερον. αἴτιον δ' ὅπερ ἐπὶ τῶν ζώων· ἔτι τὸ διαθερμαινόμενον ἀεὶ πεττόμενον καθαρώτατον ὄν, προσίζει καὶ ἀθροιζόμενον καὶ συνωθούμενον ποιεῖ σε τινα ποιότητα· τὸ δὲ ἴδιον εἰς τὰ ἄνω μέρη τροφὴ γίνεσθαι τῶν ὑπὲρ γῆς. οὐ διὰ τῆς ποιότητος ταύτης· ἀλλ' ἑτέρους τινὰς ἑτέρους τρόπους· ἐπεὶ πάντων γε διαδοθέντων, ἀπόλλυται τὰ δένδρα, καθάπερ ἐλέχθη συμπνιγόμενα οὐδεμίαν ἔχοντα δίοδον τῷ πνεύματι· οὕτω δὲ συμβαίνει καὶ ἐπὶ τῶν ζώων ὅσα διαπιαίνεται· ξυμφράττονται γὰρ οἱ πόροι διὰ τὴν πυκνότητα τῆς πιμελῆς, ὥστε μὴ διιέναι εἰς τέλος τὸ πνεῦμα· οἷς μὲν οὖν μὴ ἔνεστιν ὅλως λιπαρότης καὶ ποιότης ἡ αὐτὴ μὴ πολλὴ μηδὲ σωματώδης, τούτοις οὐ γίνεται τοιαύτη πάχυνσις· οἷς δ' ἔνεστι, γίνεται κατά τι αὐξούσης τῆς θερμότητος· παρόμοιον δὲ τούτῳ καὶ τὸ παρὰ τὴν οὐλότητα τῶν ξύλων ὄζειν· οὐλότερα γὰρ ἀεὶ τὰ μὲν ἐν τοῖς στελέχεσιν τῶν ἄνω, τούτων δὲ αὐτῶν τὰ ἄνω καθάπερ καὶ παχύτατα καὶ πυκνότατα· συμβαίνει δὲ τοῦτο, διὰ τὸ μᾶλλον ἀπολύειν

λύειν

λύειν καὶ ξυνίστασθαι τὴν τροφήν. ὅπερ ὅλως ἐστὶν ἡ εἰς βάθος αὔξησις εἰς τὸ ἄνω διιοῦσα πρὸς τὴν βλάστησιν καὶ τὸ μῆκός ἐστιν. ἐφισταμένης οὖν ὥσπερ εἴλου μενούσης ἐνταῦθα ἡ πυκνότης καὶ ἡ οὐλότης γίνεται τῶν ξύλων. ἐκείνη δὲ ἀεὶ διίεται πρὸς τὸ πόρρω. διὸ καὶ οὐκ ἔστιν ἐν τοῖς νέοις οὐλότης, ἅτε καὶ ἐπαυξησίμων ὡς μηκότων· ἀλλ' ὅταν στῇ, τὰ τοῦ μήκους ὥσπερ ἐπὶ τῶν ζῴων. ἡ αὐτὴ δὲ καὶ σύνεγγυς αἰτία, καὶ διὰ τί δᾷδα καὶ πίτταν καὶ ξηρὰ τινὰ ὅλως οὐκ ἔχει τὰ μέσα. καταναλίσκεται γὰρ ἡ τροφὴ πᾶσα πρὸς τὴν αὔξησιν ἐκ τοῦ προσγονίαν. ὕστερον γὰρ ἐκδᾳδοῦται, ἐπεὶ ὅλως τὴν τοιαύτην ὑγρότητα ἐκ τοῦ προσεπιλαμβάνουσιν, ὥστε καὶ πλῆθος εἰπεῖν· τό, τε ὅλον πίλωμα γίνεται τῆς φύσεως, ἀφῃρημένης μὲν τῆς εἰς τὸ μῆκος ὁρμῆς, ἰσχυόντων δὲ μᾶλλον τῶν ῥιζῶν καὶ τοῦ ὅλου δένδρου. ταῦτα μὲν οὖν διὰ τὸ συγγενὲς τῆς αἰτίας, ἔλαβε τὴν χώραν ταύτην. ἡ δ' ἡδυχυμία καὶ ἡ γλυκύτης καὶ ἡδυοσμία ἐνίων ῥιζῶν, ἀντὶ τῶν ἄνω μορίων διὰ τὴν εἰρημένην αἰτίαν γίνεται. φανερὸν δὲ ἐπὶ τῶν ἐλαττόνων ἔτι, οἷον ῥαφανίδων καὶ λαχανωδῶν καὶ ἀγρίων ὑληματικῶν, ὧν αἱ μὲν ῥίζαι γλυκεῖαι, τὰ δὲ ὑπὲρ γῆς οὐχ ὅμοια. λέγω δὲ οἷον ἀγρώστιδος, κυπείρου, ἰωτλίου, σελίνου, ἱπποσελίνου, τῶν ἐν ταῖς λίμναις καὶ τῶν ἐν τοῖς ποταμοῖς φυτῶν φυομένων ἐδωδίμων. αἱ μὲν γὰρ ῥίζαι γλυκεῖαι πολλῶν καὶ ἐδώδιμοι καὶ οἱ καυλοί· τὰ φύλλα δ' οὔ. τὸ δ' αἴτιον ἐπὶ πάντων τῶν τοιούτων, ἐνδόσιμον· ἡ γὰρ ὑγροτέρα καὶ ὑδατωδεστέρα. καθάπερ ἐπὶ τοῦ ἰωτλίου καὶ τῶν λιμναίων· ἅμα δ' ὑδατώδη ἐστὶ λεπτὰ καὶ οὐχὶ πέψιν μὴ ἔχοντα οὐδὲ χυλὸν ἔνδηλον εἰς ἡδονήν. ἡ δὲ ῥίζα καὶ ὁ καυλὸς ἔχουσιν. ἢ πάλιν διὰ ξηρότητα τῶν ἄνω. καθάπερ ἡ ἄγρωστις καὶ ἁπλῶς πάντα τὰ καλαμώδη· ξηρὰ γὰρ τὰ ἐπάνω, τὰ κάτω δὲ ἔνυγρα. χυλὸς δὲ οὔτε ἐν ξηρότητι γίνεται, οὔτε ἐν ὑγρότητος πλήθει. διὸ ἐπὶ τῆς ἀγρώστιδος καὶ τοῦ σισυριγχίου καὶ τῶν ἀγρίων τούτων, αἱ μὲν ῥίζαι γλυκεῖαι, τὰ δὲ ἄνω, ξηρὰ καὶ οὐχ ἡδέα καθάπερ ἄχυλα. τοῦτο δὲ καὶ ἐπὶ τῶν σελίνων καὶ ἱπποσελίνων. αἱ μὲν γὰρ ῥίζαι σαρκώδεις καὶ εὔστομοι· τὰ δὲ φύλλα ξηρότερα καὶ ὥσπερ δριμύτερα. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. ἅπαν δ' ὡς εἰπεῖν ἐνταῦθα τοῦτο τῆς αἰτίας ἐστί. διὸ καὶ ὅτου πλείων ἡ τροφία, καὶ τὰ ἄνω τῇ φύσει ξηρὰ ἐδώδιμα. καθάπερ ἐν Αἰγύπτῳ τὰ καλάμου τὰ ἐν τοῖς ἕλεσιν. ἔχει μὲν γάρ τινα γλυ-

κύτητα ἐπὶ ἄλλως ἐπὶ τῶν ἀκρῶν. ἀεὶ γὰρ ἐπὶ βραχὺ πάντων. ἐν ἐνίοις δὲ διὰ
τὴν ἀτροφίαν ἁπαλὸς γὰρ ἐπὶ πλεῖον οὐδεὶς καὶ γλυκύς. ἔχουσι δὲ ἐπὶ καὶ αἱ ῥίζαι τὴν
γλυκύτητα μέχρις οὗ ἂν ξηρανθῶσιν. ἀναξηρανθεῖσαι δὲ οὐκέτι. τὸ γὰρ
ξηρὸν, οὔτε ἡδὺ ὀσμὴν, οὔτε τὸν χυλόν. διὸ καὶ τῶν καυλῶν ἀκμή τις ἡ ὀσμὴ σχε-
δὸν ἂν ἀπάλιν ἐπί γε τούτων. χλωραὶ μὲν γὰρ οὐχ ὁμοίως. ἀποξηραν-
θεῖσαι δ' ὄζουσιν. ὥσπερ ἐπὶ τῆς ἴριδος. ἡ τῶν καλάμων δὲ καὶ σχοίνων καὶ
ἁπλῶς τῶν εὐόσμων. ἐπεὶ καὶ τὸ κύπειρον, καίπερ ὀσμῶδες ὂν ξηρὸν
ἧττον ὄζει πρόσφατον. ἂν μὴ δέ τις ἐπὶ τούτων. ὥστε τὰ ἄνθη μαραινόμενα
μᾶλλον ἀοσμότερα γίνεσθαι. ἀλλὰ τοῦτο μὲν ὥσπερ σύμφωνον. οἱ δὲ
χυλοὶ καὶ ἐν τοῖς ἄλλοις ὁμοίως ἔχουσι τὰς δυνάμεις. ἐνίων γὰρ καὶ ἐν ταῖς ῥί-
ζαις μάλιστά εἰσι. καθάπερ τῶν δριμέων. οἷον, σκορόδων. κρομμύων. ῥα-
φανίδων. ὡσαύτως δὲ ἐπὶ τῶν φαρμάκων. ἅπασαι δὲ καὶ αὗται σαρκώ-
δεις οὖσαι, ἀλλὰ διαμένουσιν αἱ δυνάμεις τῶν φαρμακωδῶν ἀποξηραι-
νομένων μέχρι τινός. εἶτα ἀκμάζουσιν. ἐπειδὰν λοιπὸν ἰσχυρότεραι ξηραν-
θεῖσαι, διὰ τὸ ἀφῃρῆσθαι τὸ ὑδατῶδες. οὕτω γὰρ καὶ οἱ τόποι πάντες χρήσι-
μοι ἀσωματωθέντες. ἢ διασωματώσεις ἐκκειμένης τοῦ ὑδατώδους. διὸ
καὶ παρασκευάζουσιν αὐτοὶ, τὰ μὲν, ἐγχυλίζοντες καὶ ξηραίνοντες, τὰ
δὲ ἐντέμνοντες. ὅπως ὁ ἥλιος ἢ ὁ ἀὴρ ἀπάξῃ. καθάπερ τὰς ῥητίνας ἐπὶ
ὅσα ἄλλα τοιαῦτα ἐπὶ τὸν λιβανωτὸν, καὶ τὴν σμύρναν, καὶ τὸν ὀπὸν τοῦ σιλφίου.
ἔστι δὲ καὶ τῶν μὲν ἄνω καὶ ἐν ταῖς ῥίζαις ἡ ἐνέργεια. καθάπερ φαρμακωδῶν τε
τινῶν καὶ τοῦ σιλφίου. καὶ γὰρ ἡ ῥίζα καὶ ὁ καυλὸς ἐντέμνεται. ἐπὶ ἑκατέρωθεν ὁ ὀπός.
τῶν δὲ μεμερισμένων, τῶν μὲν, ἐν ταῖς ῥίζαις, τῶν δὲ, ἐν τοῖς καυλοῖς. ὡς ἂν
ἔχωσιν ἑκατέρας φύσεως. ἐὰν μὲν τὰς ῥίζας ξυλοτέρας, ταύτας. ἐ-
ὰν δὲ τὰ ἄνω τοὺς καυλούς. ἐπεὶ ὧν γε ξυραὶ ἐπὶ ξυλώδεις, οὐκ ὀπίζουσιν. ὁ-
μοίως δὲ τῶν αὐτομάτως ἐπιγινομένων δακρύων. οἷον ἐπὶ τῆς ἀκάν-
θης καὶ ἀκάνθαις τισὶ. καὶ ἐπὶ τῶν δένδρων διαδιδόασιν. ὥσπερ ἀμυγδα-
λῆ. καὶ ὁ ἀερίων, ἐλάτη, καὶ τέρμινθος. τούτων δὲ καὶ τὰ μὲν, καὶ εὔσο-
μα. καὶ ὀσμώδη, τὰ δὲ χυλὰ καὶ ἄοσμα. καθάπερ τὸ κόμμι τὸ περὶ τὴν ἄκανθης
τῆς ἐν αἰγύπτῳ. καλοῦσι δὲ τὰ μὲν, ὀπούς, τὰ δὲ, δάκρυα. κοινότερον δὲ
ὁ ὀπός. διαφέρει δὲ ἴσως οὐδέν. ἐπεὶ γὰρ καὶ κοινότατον ἀνωνύμως λεγόμε

νον

νου, ἢ ὑγρότητος οἰκεῖα καθ᾽ ἕκαστον πέψιν ἔχουσα· διὰ δὲ τὸ σω-
ματωδέστερ(ον) εἶναι καὶ γλίσχρας, τὰς δ᾽ ὑδατώδεις, ἀγλίσχρεις, τῶν μὲν
γίνεται πῆξις, τῶν δ᾽ οὔ· πρὸς ἐνίας δὲ καὶ παρεμβάλλουσί τι τοῦ πῆξαι
βουλέσθαι· ὅτι δὲ τὰ μὲν, ἐν ταῖς, ῥίζαις, τὰ δὲ μετὰ τοῦ καυλοῦ τὰς δυνάμεις
ἔχει ταύτας, ἐκείνην χρὴ τὴν αἰτίαν ὑπολαβεῖν τὴν μικρῷ πρότερον λε-
χθεῖσαν· ὧν ἡ φύσις ἑκατέρων σύμμικτος εἰς τὴν δύναμιν, ἔνθα μὲν ὑ-
γρὸν ἱκανόν, ἔνθα δὲ ἔλαττον ἔχουσα ξηρὸν ὡσαύτως· ἔτι δ᾽ ὧν ἡ οὐσία
μᾶλλον ἐφ᾽ ἑκάτερα ῥέπει· καὶ γὰρ ἐπὶ τῆς αὐξήσεως καὶ τοῦ μεγέ-
θους· τουτέστι τὰ μὲν ἐν τοῖς ἄνω, τὰ δὲ ἐν ταῖς ῥίζαις ἔχει μᾶλλον·
οἱ μὲν γὰρ σίκυοι καὶ κολοκύνται καὶ ἄλλα πλείω, τὰ ἄνω μεί-
ζω, ῥίζαν δὲ μικρὰν ἔχουσι· σκίλλα δὲ καὶ βολβὸς καὶ ἁπλῶς τὰ κε-
φαλόρριζα, τὰ μὲν ἄνω λεπτὰ καὶ ἀσθενῆ, τὰς δὲ ῥίζας μεγάλας καὶ
σαρκώδεις· ὅπου γὰρ ἐνυπάρχει δριμύτης ἢ καὶ ἄλλη τις τοιαύ-
τη δύναμις, ἐν ταῖς ῥίζαις γίνεται μᾶλλον· ὥσπερ τοῖς κρομύοις
καὶ τοῖς σκορόδοις καὶ ταῖς σκίλλαις· τοῦτο δ᾽ εὐλόγως ἐνταῦθα τῆς
φύσεως ὡρμηκυίας μᾶλλον· ἀκολουθοῦσι γὰρ ταύτῃ καὶ αἱ δυνά-
μεις· ὃ καὶ ἐπὶ τῶν φαρμάκων ἐστὶ σχεδὸν τῶν πλείστων· αἱ γὰρ ῥίζαι φαρ-
μακωδέστεραι καὶ μᾶλλον ἔχουσι τὴν δύναμιν· ἡ δ᾽ αἰτία δυοῖν ἐκεί-
νοιν ὧν τηρεῖται· ὥστε μὴ κάθυγρα καὶ τότε μὴ καὶ τὰ ξηρὰ γίνεσθαι·
τὰ μὲν γὰρ, οὐκ ἔχει πέψιν διὰ τὸ πλῆθος· τὰ δ᾽ οὐχ ὕλην εἰς τὴν πέ-
ψιν διὰ ξηρότητα· πέψις δὲ ἑκάστων ἐστὶν ὥσπερ εἴρηται πρὸς τὴν
οἰκείαν φύσιν καὶ δύναμιν· ὅτι μὲν οὖν ὥσπερ ἐναντίως, τῶν μὲν
ἄνω, τῶν δὲ κάτω συμβαίνει τοὺς χυλοὺς καὶ τὰς ὀσμὰς καὶ ἁπλῶς
τὰς τοιαύτας δυνάμεις, ἐκ τῶν εἰρημένων δεῖ θεωρεῖν· ὅτι δ᾽ οὐκ ἐν
αὐτοῖς ἄνω πᾶσιν, οὔθ᾽ οἱ χυλοὶ τυγχάνουσιν οὔθ᾽ αἱ ὀσμαί, σχεδὸν
οὐ πόρρω τῶν εἰρημένων, εἴ τινων εἰσίν· ὡς μὲν γὰρ ἁπλῶς εἰπεῖν, ἔ-
χει τὴν ὁμοιότητα καὶ κατὰ τοὺς χυλούς, καὶ κατὰ τὰς ὀσμὰς ἕκα-
στον τῶν μερῶν· διαφέρει δὲ τὸ μᾶλλον καὶ ἧττον· ἐμφανὲς δὲ τοῦ-
το μάλιστα ἐπὶ τῶν ἀκρατεστέρων ταῖς ὀσμαῖς καὶ τοῖς χυλοῖς· οἷ-
ον, ἐλάτης· πεύκης· κυπαρίττου· πίτυος· ἔτι δὲ τῶν εἰρημένων, συ-

κῆς. ἐν τοῖς ὑδαρεστέροις δὲ οὐχ ὁμοίως. ἀλλ' ἐν τούτοις διαφέρουσιν. ὥστε τὰ μὲν
ἔγχυλα. τὰ δὲ, ἄχυλα, καὶ δύσχυλα καὶ δύσοσμα, τὰ δὲ ἄοσμα γίνονται. καὶ δια-
φέρουσι δὲ ταῖς ὀσμαῖς καὶ τοῖς χυλοῖς. ὥσπερ τῆς ἀμπέλου τό, τε οἴναρον
καὶ ὁ βότρυς. εἰσὶ δὲ ἁπλῶς δ' ἐπὶ πάντων καὶ τῶν φύλλων εἰσὶ τῶν καρπῶν. αἴτιον δ' οὖν τι τὸ
μὲν ἄπεπτον. τὸ δὲ πεπεμμένον. τάχα δὲ μᾶλλον ὅτι οὐδὲ ἐκ τῆς αὐτῆς
ὕλης ἑκάτερον. ἀλλὰ τὸ μὲν, ὥσπερ ἐκ καθαρᾶς τινος καὶ εἰλικρινοῦς.
τὰ δ' ἐκ περιττωματικῆς. εἰσὶ δ' ἐκ βλαστοῦ ῥοτικοῦ καὶ σωματωδεστέρας
οἱ βλαστοὶ καὶ ἀκρέμονες εἰσὶν ὁ ὅλος ὄγκος. ὡς τῶν ὁμοίων οὐσῶν, ἀνόμοιον
εἶναι τὸ τέλος ἑκάστου πρὸς τὴν ἰδίαν φύσιν, ὥσπερ ἐν τοῖς ζώοις. ἴσως δὲ ἀ-
νάπαλιν. ἐπεὶ καὶ τὸ τέλος ἑκάστου ἴδιον, καὶ ἡ ὕλη διάφορος. ὡς δ' ἁπλῶς
εἰπεῖν πάντων πρὸς τὴν ὑπερκειμένην φύσιν. ἐπεὶ δ' αὗται διάφοροι
εἰσὶ κατὰ χυλοὺς καὶ ὀσμὰς καὶ ἀοσμίας, ἡ δὲ ἀναφορὰ πρὸς τὴν ἡμετέραν αἴ-
σθησιν, ἐν ταύτῃ παραλλαγὴ γίνεται τῶν μορίων. οὐδὲν γὰρ κωλύει τὴν μὲν ἐν τοῖς
φύλλοις κρᾶσιν ἐνίοτε σύμμετρον εἶναι τῇ γεύσει. τὴν δ' ἐν τοῖς καρ-
ποῖς, ἀσύμμετρον καὶ σφοδροτέραν ἢ κατὰ στρυφνότητα καὶ αὐστηρίαν ἢ
κατὰ πικρότητα εἰς ἄλλην τινὰ διάθεσιν. ὅπερ φανερὸν καὶ ἐπὶ τῶν λαχάνων
ἐστί. τὰ μὲν γὰρ, σύμμετρα εἰς προσφιλῆ. τὰ δὲ σπέρματα δριμέα εἰς
πικρότερα, καὶ τὸ ὅλον ἰσχυρότερα πρὸς τὴν αἴσθησιν. ὥστε σχεδὸν ἀνά-
παλιν ἔχει καὶ ἐπὶ τῶν δένδρων καὶ ἐπὶ τοσούτου. τῶν μὲν γὰρ, οἱ καρποὶ χρήσι-
μοι. τὰ δὲ φύλλα ἀχρεῖα, τῶν δὲ, ταῦτα μόνον χρήσιμα, τὰ δ' ἄλλα ἂν
ἐπὶ φαρμάκου λόγον. ὅπερ οὖν ἐπὶ τούτων, οὐδὲν κωλύει εἶναι ἐπὶ τῆς φιλύ-
ρας καὶ ἐπ' ἄλλων δένδρων τινῶν, ὁ μὲν καρπὸς ἄβρωτος. τὸ δὲ φύλ-
λον γλυκὺ καὶ βρωτόν. ἐκεῖνο μὲν γὰρ ἄκρατον ἔχει καὶ καθαρὸν τῆς φύ-
σεως. εἴτε γὰρ ξηρὸς ἄγαν εἰς ξυλώδης, εἴτ' αὐστηρὸς καὶ πικρὸς, ἢ κακώ-
δης καὶ ἄλλην τινὰ ἔχων δυσχέρειαν, ἄβρωτος γίνεται. τὸ δὲ φύλλον, ὑγρότερον
ὂν καὶ ἅμα κρεμάμενον, ἔχει τινὰ συμμετρίαν. ὃ εἰς ἐπὶ τοῖς λοιποῖς εἰς ἄλ-
λων δριμέων ἐστίν. ἡδὺ γὰρ τὸ φύλλον αὐτοῦ καὶ ὁ καρπὸς ἁπαλὸς
ὢν διὰ τὴν ὑγρότητα τὴν ὑπάρχουσαν. σύμμετρος γὰρ ἡ δριμύτης
γίνεται κραθεῖσα τῷ ὑδατώδει. καὶ ποιεῖ τινα χυλόν. ἀποξηραινο-
μένου δὲ, σφοδρότερον καὶ ἡ τοῦ σπέρματος δ' ἐστὶ μᾶλλον. ὅλως δ' ἐν πολ-

λοῖς τοῦ τε σίτου· ὥστε χλωρὰ μὲν ὄντα βρωτὰ γίνεσθαι, καὶ ἔχειν τινὰ χυλὸν διὰ τὸ ἀναμεμίχθαι τῷ ὑδατώδει· καταξηρομένων δὲ καὶ λυομένης τῆς βρώσεως, ἄβρωτα. καὶ γὰρ οἱ τῶν ἀμπέλων βλαστοὶ καὶ οἱ τῶν ἀκρεμόνων, ἔτι δὲ ἄλλων τινῶν ἀκανθωδῶν, καὶ τῶν χεδροπῶν δὲ ἐνίων, οἷον ὤχρων, κυάμων· καὶ ἁπλῶς ὅσα γλυκύτητά τινα ἔχει. σχεδὸν δὲ ἐστὶ κοινὸν τοῦτο ἐπὶ πάντων, ὧν στρυφνότεροι καὶ πικρότεροι καθ' αὑτοὺς οἱ χυλοί· κεραννύμενοι γὰρ ὑπὸ τῆς φύσεως τῆς ὑδατώδους, βελτίους καὶ γλυκυτέρους ποιοῦσι τοὺς χυλούς. ὅπερ καὶ ἐπὶ τῶν μύρτων γίνεται καὶ τῶν ῥοῶν. εἰ δέ τι τῶν δένδρων καὶ ὅλως τῶν ὑλημάτων τοιαύτη φύσις οὐκ ἔστιν, ὥστε τὰ μὲν καὶ πρὸς ἀμίκτους πρὶν ἔχοντας τὴν οἰκείαν δύναμιν καθαράν, τὰ δὲ φύλλα καὶ ἄλλο τι τῶν μορίων μικρά, τοῦτ' οὐδὲν κωλύει καθάπερ εἴρηται, τὰ μὲν φύλλα βρωτά, τὸν δὲ καρπὸν ἄβρωτον εἶναι. παραπλήσιον δέ τι τούτοις καὶ ἐπὶ τῶν ῥιζῶν τῶν ἐδωδίμων ἐστίν· ὧν τὰ μὲν φύλλα σχεδὸν ἄβρωτα, διὰ τὸ ξηρὰ εἶναι καὶ ἀκανθώδη· οἱ δὲ καυλοὶ ἐδώδιμοι· αὐταὶ δὲ αἱ ῥίζαι καὶ διὰ ταῦτα ἀνάπαλιν· τὰ μὲν ἄλλα βρώματα καὶ ἔχει τινὰ ἡδονήν· αἱ ῥίζαι δὲ ἄβρωτοι διὰ τὸ ξυλώδεις καὶ πικρὰς ἢ ὅλως δύσχυλον ἢ ἄχυλον. διαφορὰ δὲ οὐ μικρὰ καὶ διὰ τὰς φύσεις τῶν ζώων· τὰ μὲν γὰρ ἡμῖν ἄχυλα, τὰ δ' ἄλλοις εὔχυλα φαίνεται, διὰ τὴν ἰσχὺν καὶ τὴν κατεργασίαν· ἄλλοις καὶ ἐκεῖνα προσφιλῆ καὶ κατὰ τοὺς χυλοὺς καὶ κατὰ τὰς διαθέσεις· χαίρει γὰρ τὰ μὲν, τοῖς ἁπαλοῖς, τὰ δὲ τοῖς ξηροῖς μᾶλλον. ἔνια δὲ καὶ ἀνάπαλιν· ἁπαλὰ μὲν ὄντα, ἢ ἄβρωτα· ξηραινόμενα δὲ, ἐδώδιμα· διὰ τὸ συνεκπέττεσθαι καὶ ἐκκαίεσθαι τὸ πικρὸν ὑπὸ τοῦ ἡλίου· καθάπερ τὸ σήσαμον, καὶ τὸ ἐρύσιμον· τούτων γὰρ χλωρῶν ὄντων οὐδὲν ἅπτεσθαι δοκεῖ ζῷον, διὰ τὴν πικρότητα καὶ δυσχυλίαν· ξηρανθέντων δὲ μᾶλλον· οἱ δὲ καρποὶ καὶ ἡδεῖς. ἀλλὰ δὴ τούτων μὲν τοιαῦταί τινες αἰτίαι. ἐπειδὲ τῶν καρπῶν τῶν ἐδωδίμων δῆλον ὅτι, ἑκάστων ὁ λόγος· ἤτοι γὰρ καθαροὶ καὶ εἰλικρινεῖς, οἷον ὀξυνθημένοι πως ὑπὸ τῆς φύσεως ὥστε πλείοσι καὶ μᾶλλον ἁρμόττειν· ἀλλ' ἐπὶ τῶν φαρμακωδῶν καὶ ὅλως κατὰ τὰς δυνάμεις θεωρητέον. καὶ γὰρ ἐν τούτοις οὐθ' αἱ αὐταὶ δυνάμεις, οὔτε ἴσαι πάντων εὐθὺς ἀπὸ τῆς ῥίζης ἀρχομένοις· οὐδὲ δὴ τοῦ αὐτοῦ πᾶσι. οἷον φύλλοις καὶ κλωσὶ καὶ καρποῖς. καὶ τὸ μὲν τῷ μᾶλλον καὶ ἧττον διάφορον, ἔχει τινὰ μὲν ἀλογίαν· τὸ δ' ἄλλο γ' ἔνια μὴ δύνασθαι ποιεῖν ὥσπερ τὰ τῶν

ῥιζῶν, σπέρματα, τοὺς καυλούς. ἢ πάλιν τὰ τῶν φύλλων τοὺς καρ-
ποὺς καὶ τὰς ῥίζας, μᾶλλόν τις θαυμάσειε. τὰς δ' αἰτίας ἐκ τῶν εἰρημέ-
νοις ἀνασκεπτέον. ἑκάστου γὰρ ἰδία κρᾶσις οὖσα καὶ φύσις, διαφόρους
ποιεῖ καὶ τὰς δυνάμεις. ὥστε τὰ μὲν συντήκειν ἢ διακρίνειν, τὰ δὲ μή· καὶ
τὰ μὲν μᾶλλον, τὰ δ' ἧττον· ἢ θερμαίνειν τε καὶ πέττειν· καὶ ψύχειν καὶ ξη-
ραίνειν, ἢ τἆλλα ὡσαύτως. τοῦτο δὴ μάλιστα τοὺς καρποὺς εἶναι τοιούτους,
οὐκ ἄλογον. εἴπερ μηδ' ἡ ὅλη φύσις ὁμοία ῥίζης τε καὶ καρποῦ καὶ τῶν ἄλλων
μορίων. ἀλλὰ τὰ μὲν ὅλως ἄπεπτα, τὰ δὲ πεπεμμένα ἢ ὅλως ἐκ
πλειόνων σύνθετα. διὸ καὶ τοῖς χυλοῖς καὶ ταῖς δυνάμεσιν ἕτερα. τοῦτο γὰρ
καὶ ἐπὶ τῶν ἀγρίων καὶ τῶν ἡμέρων ὁρῶμεν, ὧν αἱ ῥίζαι πικραὶ καὶ ὀπώδεις, τού-
των δὲ τοὺς καρποὺς γλυκεῖς, ὡς ἂν ἐξ ἀπέπτου τινὸς πεπεμμένους ὄντας. ταὐ-
τὸν δὲ καὶ ἐν ταῖς τῶν φαρμάκων δυνάμεσιν ὑποληπτέον συμβαίνειν. ὥσ-
τ' οὐκ ἄλογον ἐνίας μὲν τὰς ῥίζας ἰσχύειν μᾶλλον, ἐνίας δὲ τῶν λοι-
πῶν τι μερῶν. ἐπεὶ καὶ ῥίζαι ῥιζῶν ἐν τοῖς ὁμογενέσι, καὶ σπέρματα σπερ-
μάτων, καὶ τἆλλα μέρη πολὺ διαφέρουσιν ἰσχύι, διὰ τὸν ἀέρα ἑκάστης χώ-
ρας. ὥσπερ καὶ ὁ σῖτος καὶ οἱ ἄλλοι καρποὶ τῇ βαρύτητι καὶ κουφότητι. διὰ
τοῦτο φάρμακα φαρμάκων ἀμείνω, κατὰ τοὺς τόπους οὐ μακρὰν ἀ-
πέχοντας· οἷον ὁ ἐκ τῆς Οἴτης ἐλλέβορος τοῦ ἐν τῷ Παρνασῷ· δοκεῖ γὰρ ἰσχυ-
ρότερος εἶναι οὗτος, καὶ οὐχ ἁρμόττειν εἰς τὴν χρείαν. ἡ δὲ ἰσχὺς ἐκ παρα-
πλησίας τινὸς αἰτίας γίνεται, καὶ ἐπὶ τῶν καρπῶν. καὶ γὰρ ἐνταῦθα σκλη-
ρότητί τε τοῦ ἀέρος καὶ πλήθει τῆς τροφῆς βαρεῖς γίνονται. διὰ τὸ πολὺ τὸ
γεῶδες ἔχειν. ὥσπερ οἱ ἐν τῇ Βοιωτίᾳ. κἀκεῖ διὰ τὰς ὁμοίας αἰτίας.
ἄλλη δὲ πρὸς ἄλλην δύναμιν οἰκεία χώρα, καθάπερ ἐπὶ τῶν καρπῶν.
ἔνια γὰρ οὐδ' ἐκπέττουσιν ὅλως τὰς φαρμακώδεις. ἐπεὶ πολλαχοῦ ἐστι
μέλας ἐλλέβορος ὅτε ἄλλαι τῶν ῥιζῶν. ἀλλὰ μέλαιναι ἀδύνατοι τινές.
ἢ δόξειεν ἂν ψυχροῦ τινος ἀέρος ἅμα καὶ ἄπνου δεῖσθαι, ἔτι τρο-
φῆς συμμέτρου. φαίνεται δ' οὖν ἐν τοῖς ὄρεσι πλεῖστα φάρμακα γίνεσθαι
καὶ ἐν τοῖς ὑψηλοτάτοις καὶ μεγίστοις μάλιστα. καὶ περὶ μὲν τούτων, ἱκα-
νῶς εἰρήσθω. περὶ δὲ τῶν ὀσμῶν, ἐπειδὴ καὶ αὗται κατὰ μέρη γίνονται, τὰς αὐ-
τὰς καὶ παραπλησίας αἰτίας ὑποληπτέον. ἡ γὰρ πέψις τοῖς μὲν, ἐν τοῖς
ἄνθε

ἄνθει μᾶλλον, τοῖς δὲ, καὶ ἐν τῷ καρπῷ· τοῖς δὲ καὶ ἐν τοῖς φύλλοις καὶ ἐν τοῖς κλωσὶ γίνεται. τοῖς μὲν ἐν τοῖς ὑδαρέσι καὶ ὥσπερ ἐν τοῖς ἀχύλοις ἤδη μέσην, ἐν τοῖς ἄνθεσιν, οἷον ῥόδῳ, κρόκῳ καὶ τοῖς τοιούτοις· ὅσα δὲ αὐτῶν μὴ ἄχυλα, ἢ ἐν ταῖς ὀσμαῖς ἐμφαίνεταί τινα βαρύτητα καθάπερ τὸ κρίνον καὶ τὸ λείριον καὶ τὰ παραπλήσια τούτοις. ἔνια δὲ ὅλως οὐδὲ εὐοσμίαν, ἀλλὰ βαρύτητα ἔχει κατὰ τὴν ὄσφρησιν. ἀφανέστερον ὡς ἀπὸ τοῦ χυλοῦ πως εἰρῆσθαι, καὶ οὐκ ἔστιν ἀπηρτημένον τὸ τῆς ὀσμῆς. ὅσα γὰρ ὑδαρῆ καὶ ἄχυλα καὶ ἄοσμα ὡς ἐπίπαν. ἐν δυσὶ γὰρ τούτοις ὡς εἰπεῖν ἡ ἀοσμία, τῷ τε τὸν χυλὸν ὑδαρῆ τινὰ ἔχειν φύσιν, καὶ διὰ τὸ πολὺ τὸ ὑδατῶδες. τὸ μὲν γὰρ, ὥσπερ ἄμικτον· τὸ δὲ ὑπὸ τοῦ πλήθους ἀφανίζεται. διὸ ξηρόν τινα καὶ τοῦθ' ὥσπερ ἀμικρόν· ἐν μίξει δέ τινι καὶ τὸ τῆς ὀσμῆς. ὅσα δὲ ἐν τροφῇ πλείονι βλοσυρωτέρα, καθάπερ τὰ λιμναῖα. ταῦτα καὶ τὰς ὀσμὰς ἔχει παραπλησίας, βαρείας τινὰς καὶ θολεράς. ἐπεὶ δὲ οὐ τῶν μὲν ἐν ταῖς ῥίζαις ἡ τοιαύτη μίξις ἀσυμμετρία, τῶν δὲ ἐν τοῖς κλωσὶ καὶ τοῖς φύλλοις, τῶν δὲ ἐν τοῖς καρποῖς, πλεῖστον δὲ ἐν τοῖς ἄνθεσιν, εὐλόγως εὔοσμα ταῦθ' ἑκάστων. καὶ διὰ τοῦτο ἐν μὲν τοῖς δένδροις τὰ ἐλάττω τῶν ἀνθῶν εὔοσμα, καὶ ἧττον ἐν τοῖς ἄλλοις· ὅτι γεώδες πλέον καὶ ὑγρότης. εἰ δὲ μὴ, ζητητέον αἰτίαν. ἴσως μὲν οὖν καθόλου καὶ ἁπλῶς εἴρηται. ὡς δὲ καθ' ἕκαστον δεῖ σκοπεῖν τὰς εἰρημένας συμμετρίας, οὐκ ἂν δόξαιεν ἀλόγως ἐν τῷ ἄνθει τοῖς πλείστοις. ἐν τούτῳ γὰρ οἷον πρώτη καὶ ἐλαφροτάτη πέψις, ἀποξηραινομένου θᾶμα μεταβάλλοντος. ὅταν δὲ εἰς τὸν δὲ τὸν καρπὸν ἔλθῃ πλείονος τῆς ὑγρότητος οὔσης, οὐκέτι διαμένει τὸ τῆς ὀσμῆς, ἐφ' ὧν μὴ φύσει τοιοῦτος ὁ χυλός. ὥσπερ ἐπὶ τὸ πᾶν ἐν τῶν ἡδυνῶν τισι καρπῶν ἡ εὐοσμία· τοιοῦτο γὰρ καὶ τὸ μῆλον, καὶ τὸ ἄπιον, καὶ τὸ μέσπιλον, καὶ τῶν εὐσόμων δι' ἀδριμύτητα τινά· οἷον κεδρίδες τε καὶ τερμίνθου καὶ τῶν τοιούτων, καὶ τῶν λιπαρῶν, ὥσπερ ὅ τε τῆς ἐλάτης καὶ τῆς πεύκης καὶ τῆς πίτυος καὶ τῆς δάφνης. τῶν δὲ γλυκέων οὐδεὶς ὡς ἐπεὶ μὴ ἐπὶ μικρόν. ἐπεὶ καὶ τὰ μῆλα τὰ γλυκέα πάντων ἥκιστα εὔοσμα καὶ ὅσῳ ἂν γλυκύτερα, ἧττον. ἅμα δὲ καὶ ταῦτ' ἔχει πως οἰνώδη τὸν χυλόν. αἴτιον δ' ὅτι παχύτερος καὶ γεωδέστερος ὁ γλυκὺς χυλός. ἀλλ' ὅπως τε καὶ ἐν τῷ πε-

περικαρπίῳ μεμιγμένος· ἡ δὲ ὀσμὴ λεπτοτέρου τε ξηροτέρου καὶ διὰ πνευμάτων μᾶλλόν ἐστιν· ὑπὲρ ὧν καὶ ὕστερον διασαφητέον. ἀλλ' ὥσπερ ἐπὶ κεφαλαίων, ἐν τούτοις τοῖς γένεσιν ἡ εὐοσμία. τῶν δὲ φύλλων καὶ κλάδων, καὶ ὅλως τῶν δένδρων καὶ ὑλημάτων· ἐν οἷς καὶ δριμύτης τις ὑπάρχει καὶ λιπαρότης· ὧν ἅπερ ἀμέλει προφερόμενοι κατὰ τρῖψιν. καὶ ἐπὶ τῶν οἰνωδῶν καὶ ἐνίων· ὁ γὰρ τῆς μυρρίνου καρπὸς οἰνώδης· εὔοσμος δὲ καὶ αὐτή, καὶ εἴ τις ἄλλη τοιαύτην ἔχει δριμύτητα, εἴτε λιπαρότητος, εἴτε οἰνώδους, εἴτε καὶ ἄλλου χυλοῦ κατά τινα κρᾶσιν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν στεφανωμάτων, οἷον ἑρπύλλου· σισυμβρίου· καὶ ἐπὶ τῶν ἄλλων· οἷον, πηγάνου· σελίνου· μίνθης· τό, τε ξηρὸν καὶ δριμὺ, καὶ στυπτικὸν πως ἐν δῆλον· οὐκ ἐπὶ τοῖς καρποῖς οὐδὲν τοῖς ἄλλοις ἐχόντων τὴν ὑγρότητα τοιαύτην· ἐν ἅπασι δὲ ὑπάρχει καὶ τούτοις καὶ τοῖς ἄλλοις τὸ κατὰ τὸν διορισμὸν τοῖς εὐώδεσιν· ὥστε τὸ ἔγχυλον ξηρῷ ἀτμιζόμενον ἐμφαίνειν τινὰ δύναμιν· εὐοσμότερα δὲ καὶ ἡδίω καὶ ὅλα καὶ κατὰ μέρος ἐν τοῖς εὐπνόοις καὶ ξηροῖς τόποις. ἀφῃρημένου τοῦ ὑδατώδους καὶ τοῦ καταλοίπου πεπεμμένου μᾶλλον. ὡς γὰρ ἁπλῶς εἰπεῖν ἡ ξηρότης οἰκειοτέρα ταῖς ὀσμαῖς, καὶ μᾶλλον ἐν ταῦθ' ἅπερ κλίνει πάντα. σημεῖον δὲ καὶ τὸ ἐν ταῖς θερμοτέραις χώραις πλείω γίνεσθαι, καὶ μᾶλλον τὰ εὔοσμα πεπεμμένα γάρ, δῆλον ὅτι μᾶλλον καὶ ἔνια ξηραινόμενα ὄζει· χλωρὰ δὲ οὐκ ὄζει· καθάπερ ὁ κάλαμος καὶ ὁ σχοῖνος· τὰ δὲ, καὶ μᾶλλον ὄζει ξηρανθέντα· καθάπερ καὶ ὁ μελίλωτος· οὕτω δὲ καὶ οἰνάνθης εὐοσμότερος· οὐ μὴν πάντα οὕτως· ἀλλ' ἔνια καὶ ἀνάπαλιν· ἃ δεῖ διαιρεῖν. ἁπλῆ δέ τις ἡ διαίρεσις. τῶν μὲν γὰρ ἀσθενεῖς αἱ ὀσμαί· τοιαῦται δὲ ὡς ἐπὶ τὸ πᾶν τὰ ἄνθη μάλιστα, τὰ μὲν εὐοσμότερα χλωρὰ καὶ πρόσφατα· χρονιζόμενα δὲ ἀμβλύνεται διὰ τὴν ἀπνοιάν· ὧν δὲ ἰσχυρότεραι· τοιαῦται δὲ ὅσα γεωδέστερα, καὶ γεωδεστέροις· καὶ οὐ μεθίησι τὸ τῆς ὑδατώδους δυνάμεως ταῦτα τὸ ξηραινόμενα καὶ παλαιούμενα μέχρι τινός· ὧν καὶ τὰ μῆλα τὰ κυδώνια· καὶ ὅσα τῶν τε στεφανωματικῶν δριμεῖαν ἔχει τὰς ὀσμάς· οἷον, τὸ ἀβρότονον μάλιστα καὶ τὸ ἀμάρακον καὶ ὁ κρόκος· ἅμα γὰρ ἀποπνεῖ ταῦτα τῷ ὑδατώδει, καὶ ἡ ἐκ τῆς τροφῆς ἐπιρροὴ παύεται καὶ ὥσπερ πέψιν ἐν ἑαυτοῖς ἔνια λαμβάνει· διὸ

καὶ

καὶ ἀφαιρεθέντα ἀπὸ τοῦ φυτοῦ εὐωδέστερα· καθάπερ τὰ μῆλα. καὶ ἄλλα πλείω·
συμβαίνει δὲ ἐπὶ τῶν ὀπωρῶν ἔνια, χλωρὰ μὲν ὄντα μὴ ὄζειν διὰ τὴν ὑγρότητα·
ξηρανθέντα δὲ, καθάπερ ἄλλα τε καὶ τὸ βούκερας. ἐπεὶ καὶ ὁ οἶνος τότε
μάλιστα παρίσταται, καὶ ὀσμὴν λαμβάνει, ὅταν ἀποκενωθῇ τι ὑδατῶδες αὐ-
τοῦ· τὰ μὲν οὖν τοιαῦτα πιέντα, παλαιούμενα εὐοσμότερα. τὰ δ᾽ ἀνθινά, ταχὺ
διαπνεῖται καθάπερ τὰ ἴα καὶ τὰ λευκὰ, πικρὰ καὶ κακώδη παλαι-
ούμενα· καὶ οὐχ ὥσπερ τὰ ῥόδα διατηρεῖ τὴν εὐοσμίαν ἀποξηραινόμενα· μέχρις οὗ
ἂν ἐκλείπῃ. πλὴν τὰ μὲν χλωρὰ καὶ πόρρωθεν ὄζει. ταὐτοῦ δὲ τὸ αἴτιον, ὅτι
καὶ κατεσκληκότως, ἐκλελοιπότος τοῦ οἰκείου θερμοῦ, καὶ οὐ δίδωσιν ἀπο-
πνοήν. ἐπεὶ πρός τε τὰς χρείας οἱ μυρεψοὶ καὶ ταῦτα ἀποξηραίνουσι μέχρι
τινὸς, ὅπως ἄκρατον καταλίπωσι τὴν ὀσμήν. ὁ δὲ μελίλωτος καὶ εἰς πλείω
χρόνον εὔοσμος διαμένει. οὐ μὴν ἀλλ᾽ ἔνιά γε τῶν εὐωδῶν ἅπαν καταξηραινόμενα
χείρω ἔχει τὰς ὀσμὰς, τῷ δριμύτερα εἶναι καὶ σκληρότερα· ὄζει γὰρ τρόπον τινὰ ὥσπερ
καὶ οἶνος καὶ ὁ παλαιὸς χυλὸς σκληρότερος καὶ ἰσχυρὸς, οὕτω καὶ ὀσμή· ὥσπερ τῶν ἀγρίων ἔνια
ὅμοια δοκεῖ πρὸς τὰ ἥμερα πεπονθέναι, καθάπερ ἕρπυλλος καὶ τὸ σισύμ-
βριον, καὶ τῶν λαχανωδῶν μάλιστα τὸ πήγανον. σκληραὶ γὰρ αἱ ὀσμαὶ καὶ ἄγαν
κ. αἱ δὲ τῶν ἡμέρων ἔχουσί τινα ἁμαυρὰν ὑφειμένως γλυκύτητα καὶ λειμένην εἰ-
δὴ, ὥσπερ ἐν χυλοῖς καὶ ἡ ὀσμὴ γλυκύτης. σχεδὸν δὲ καὶ ἄγαν προσηνεῖς
τῶν εἰδῶν, ὥστε πόρρω τῆς φύσεως ἑκατέρας οὔσης. ἀλλ᾽ αἱ ἄγριαι μέν τινες
ὀσμαὶ χρόνιαι, καὶ ἄγριαι ξηραινομένων εὐοσμότεραι, καὶ τἆλλα τὰ τούτοις
ὅμοια. διὰ τῶν εἰρημένων θεωρείσθω καὶ ὅσα μὴ εἴρηται, ῥᾴδιον ἐκ
τούτων συνιδεῖν. ὅσα δὲ μὴ κατὰ μέρος εὔοσμα, ἀλλ᾽ ὅλα τυγχάνει, πε-
ρὶ τούτων ἀπορήσειεν ἄν τις, ὃ καὶ πρότερον ἐλέχθη, διὰ τί τὸ ἄνθος οὐκ
εὔοσμον αὐτοῦ, ἢ οὐκ ἔλαττον· ἐνδεῖ γὰρ καὶ τοῖς ἄλλοις μὴ οὖσιν εὐόσμοις.
τούτοις μάλιστα διὰ τὸ προϋπάρχειν τὴν φύσιν. αἴτιον δὲ φαίνεται,
διότι πέψις τίς ἡ ἄνθησις· τὸ δὲ πεπτόμενον ἐν μεταβολῇ τοῦ ὑπάρχον-
τος. ὅσα μὲν οὖν αὐτὰ μὴ ὀσμώδη, τούτων πεπτομένων τῶν χυλῶν, ὅσα δ᾽ εὔ-
οσμα τούτων διὰ τὴν μεταβολὴν, λαμβάνει τινὰ τὸ ἄνθος εὐοσ-
μίαν. ἐπείπερ ἡ πέψις ἐν μεταβολῇ ἀναγκαῖον ἐξαλλάττειν τὴν ὀσ-
μήν· ὀσμῶν δ᾽ ὄντων, ἧττον εὔοσμον ἔσται τὸ ἄνθος. αὐτὴ γὰρ ἐξαλλαγὴ ἔοι-

κεν ὥσπερ ἐξάνθησίς τις ἐστὶ τῆς προϋπαρχούσης ὀσμῆς καὶ δυνάμε-
ως. διὸ καὶ αὐτά φασιν ὄζειν ἔτι. τοῦτο μὲν οὖν εἰ γίνεται σκεπτέον. φέρει γάρ τι-
να πίστιν. φαίνεται δὲ παρόμοιον συμβαίνειν, ὥσπερ ἐπὶ τῶν χυλῶν τῶν πρώ-
των καὶ τῶν ἐν τέλει καὶ πεπεμμένων πρὸς τοὺς ἀπέπτους, ὅταν πυρῶνται
καὶ ἡλιῶνται. μεταβολῆς γὰρ γινομένης, οἱ μὲν εἰς τὸ βέλτιον, οἱ δὲ εἰς τὸ χεῖρον
μεταβάλλουσι. τοὺς μὲν γὰρ πέττει. τῶν δὲ ἰδίου ἐξίστησι τὸ θερμόν. ἀνάγκη
γὰρ ὅταν ἐν τῷ τέλει γένηται, τὴν μεταβολὴν εἶναι πρὸς τὸ χεῖρον. ὃ δὴ καὶ ἐν
ταύταις φαίνεται συμβαῖνον, μαλακωτέρας τῆς ὀσμῆς γινομένης. οἷον
γὰρ ἄνεσίς τις γίνεται τοῦ ἀκράτου. ἅμα δὲ καὶ διυγραίνεσθαι συμβαίνει, ξη-
ρὸν ὂν φύσει κατὰ τὴν αἴσθησιν. ὧν γένεσις οὐκ ἄνευ τούτων, κἂν ταύτῃ γίνοι-
τό τις ἄνεσις. εἰ δὲ μὴ ὑγρότης, ἀλλ' οἷον γλυκύτης ἔοικε πρὸς τὴν τοῦ
καρποῦ γένεσιν. ἅπαντα γὰρ ἐκ γλυκέος γεννᾶται. διὸ καὶ τὰ πολλὰ τῶν
ἀνθῶν ὀξυγλυκέα. καὶ τοῦτο κατὰ λόγον, ἐκλελυμένην τε καὶ θηλυτέραν εἶναι
τὴν ὀσμὴν οἷον ὑπογλυκαίνουσαν, ἀφῃρημένης τῆς ἀκράτου δριμύτη-
τος. τούτων μὲν οὖν τοιαύτην τινὰ αἰτίαν ὑποληπτέον. διὰ τί δὲ οἱ ἄ-
γριοι καρποὶ τῶν ἡμέρων εὐοσμότεροι τῶν ὁμογενῶν, οἷον μηλέαι τε, καὶ ἀ-
χράδες, καὶ ὄα, καὶ μέσπιλα καὶ τἄλλα. καὶ αὐτῶν δὲ τῶν μήλων, ἔν τε τοῖς ἀγρί-
οις τὰ στρυφνότατα καὶ τοῖς ἡμέροις εὐοσμότατα, καίτοι διὰ πέπτου γι-
νομένης τῆς ὀσμῆς, προσῆκεν εὐοσμεῖν τὰ μάλιστα πεπεμμένα. πε-
ρὶ δὴ τούτων, ἔστι μὲν ἁπλῶς εἰπεῖν, ὅτι τὰ ἄγρια ὡς σκληρότερα. κα-
θάπερ ἐν τοῖς ἄλλοις ἔτι δὲ καὶ οἰκειοτέρως, εἴ τι δύναιντο διελθεῖν τῆς πέψεως.
τήν τε τοῦ χυλοῦ καὶ τὴν τῆς ὀσμῆς ἐν τισὶν ἑκατέρα γίνεται. φαίνεται γάρ τινα ἔχειν
διαφορὰν, εἴθ' ἑτέρων ὄντων, εἴτε τοῦ αὐτοῦ μεταβάλλοντος. τοῦτο μὲν
οὖν καθόλου διαίρεσιν ἔχει. πρὸς δὲ τὸ νῦν, ἱκανὸν τοσοῦτον ὅπερ καὶ φανερόν.
ὅτι ἡ μὲν γλυκύτης καὶ ὅλως ἡ εὐοσμία, παρέχει γίνεται τῶν χυλῶν. διὸ καὶ γηρά-
σκοντες οἱ καρποὶ καὶ ἡλιούμενοι, πάντες γλυκύτεροι. παχύνονται γὰρ ἀ-
φαιρουμένου τοῦ ὑδατώδους. ἡ δὲ τῶν ὀσμῶν ἐν προτέρᾳ τινὶ καὶ ἀτελεστέ-
ρᾳ πέψει. σημεῖον δὲ καὶ ὅτι αὐτὰ τὰ εὐώδη καθάπερ ἄπιοι καὶ μηλέαι καὶ
τὰ ἀγαμαῖον εὔοσμα γίνεται, μὴ τελέως ἐκπεπανθέντα. καίτοι τότε τοῦ χυ-
λοῦ μάλιστα ἡ πέψις. καὶ ἔοικεν ἐν ταῖς προτέραις μεταβολαῖς τῶν χυλῶν. πλεί-

ους γὰρ εὐοσμίας γίνονται, καθάπερ ἅμα πνευματικῆς τις οὔσης, καὶ ὅτι τὸν
τὸν χυλὸν τὴν οἰκείαν ἔχουσι φύσιν, ὅταν εἰς ταύτην ἐπέλθῃ, παχυνθεὶς καὶ
πεφθείς, τὰ μὲν τῆς τροφῆς ἐλάττω, τὴν δὲ γλυκύτητα τὴν οἰκείαν καὶ ὅλως
τὴν τῇ αἰσθήσει πρόσφορον λαμβάνει. τὰ μὲν οὖν ἄγρια, μέχρι τῆς προτέ-
ρας περιόδου, διὰ τὸ εὐωδίαν ἔχει καθόλου. τὰ δὲ ἥμερα τελειούμενα τῇ πέ-
ψει καὶ τῆς τροφῆς, διὰ τὴν κατεργασίαν μεταβάλλει τοὺς χυλοὺς εἰς γλυκύτητα καὶ
εὐοσμίαν. ἅμα δὲ καὶ τὴν ὑγρότητα, καὶ τὴν ξηρότητα, καὶ τὴν πολυτροφίαν καὶ ὀλιγο-
τροφίαν, καὶ τὴν εὔπνοιαν, εἰκός τι συμβαίνεσθαι πρὸς τὰς ὀσμάς. εἴπερ
ὅλως καὶ τὰ ξηρὰ καὶ ἐν ξηροῖς καὶ ὀλιγοτροφίᾳ καὶ ἐν εὐπνοίοις εὐοσμότερα. μι-
γνυμένη γὰρ ἡ πλείων ὑγρότης, ἀμβλύνει τὴν ὀσμήν. διὸ καὶ ἐν τοῖς πα-
λισκίοις καὶ ἐφύδροις, οὐκ εὔοσμα. καὶ μάλιστα δὲ τῇ πέψει κα-
θάπερ εἴρηται λαμβάνει τὴν μεταβολήν. ὡς δὲ ἁπλῶς εἰπεῖν καὶ
ξηρότερα καὶ ἄγρια καὶ ὀλιγοτροφώτερα καὶ εὔπνοα μᾶλλον καὶ
ἐν ἡλιώσει, καὶ ἔτι λεπτοχυλώτερα καὶ οὐχ ὁμοίως τὸν χυλὸν ἔ-
χοντα ἀναμεμιγμένον τῇ σαρκὶ τοῖς ἡμέροις. ἅπαντα δὴ ταῦ-
τα συμβάλλεται πρὸς εὐοσμίαν. ἰδεῖν δὲ τοῦτ᾽ ἔστι καὶ ἐπὶ τῶν οἴ-
νων. οἱ μὲν γὰρ γλυκεῖς ὅλως εὔοσμοι καὶ οἱ μαλακοί. τῶν δὲ ἄλλων
οἱ λεπτοὶ μᾶλλον εὐώδεις καὶ θᾶττον τῶν πιόνων παριστάμενοι καὶ
παχέων. ἔτι δὲ ἅμα τῇ εὐοσμίᾳ συμβαίνει καθάπερ χωρισμόν τι-
να γίνεσθαι τοῦ ὑγροῦ καὶ τοῦ γεώδους, ὑφισταμένης τῆς τρυγὸς καὶ πρὸς
τούτοις ἀποπνοὴν τοῦ ὑδατώδους. ὥστε διὰ πάντων εἶναι τὴν
εὐωδίαν, λεπτότητός τε καὶ χωρισμοῦ καὶ διαπνοῆς. ἐπεὶ καὶ αὐτοῦ
τοῦ κεραμίου τὸ πρὸς τῇ τρυγὶ ἧττον εὔοσμον. ἡ αὐτὴ δὲ αἰτία, καὶ τοῦ θᾶτ-
τον παρίστασθαι τοὺς ἠθικοὺς τῶν οἴνων. λεπτότεροι γὰρ καὶ ὥσ-
περ εὐθὺς ἄμικτοι. συνεπιμαρτυρεῖ δὲ καὶ ἐκ τῶν λεπτοτέρων καὶ
εὐχύλων καὶ εὐπνόων εὐωδεστέρους γίνεσθαι, καὶ ἐκ τῶν πρεσβυτέρων
ἢ νεωτέρων. ἔτι δὲ ὡς πολύοσμοι καὶ ἰσχυροὶ ταῖς ὀσμαῖς· οὐκ ἔχουσιν
δὲ τῇ γεύσει τὸ μαλακόν, ὡς οὐκ οὔσης ἅμα τῆς τε κατὰ τὸν χυλὸν εὐοσ-
μίας καὶ πολυοσμίας καὶ ἰσχύος. ὅπερ ἐπὶ τῶν μύρων, καὶ ἐπὶ τῶν θυμιαμά-
των, καὶ ἐπὶ τῶν στεφανωμάτων, καὶ ἐπὶ τῶν ἄλλων τῶν εὐοσμωδῶν

συμβαίνει· πόντικα γὰρ πικρὰ καὶ δύσχυλα ταῦτα· καθάπερ αἱ ἀμυγδάλαι· καὶ οἱ ὀρεινοὶ δὲ τῶν οἴνων, ὀσμὴν μὲν ἔχουσιν ἔνιοι· σκληροὶ δὲ τοὺς χυλούς· ἐξ ἁπάντων οὖν δῆλον, ὡς ἕτερον τὸ τὴν εὐοσμίαν ποιοῦν, ἣν συμμεξίαν τινὰ λάβῃ τῆς κράσεως· ἥδιστον δὲ τὸ ἐξ ἀμφοῖν· ἄλλως τε ἐπὶ τῶν ἐν αὐτοῖς ἀγρίων τινῶν ἔφαμεν λυπεῖν τὸ δριμὺ καὶ ἄκρατον· ὥσπερ ἐξ ἑρπύλου καὶ ἀβροτόνου καὶ πηγάνου· μιχθείσης δὲ ὑγρότητος συμφύτου, μᾶλλον εὐκρατοῦσιν ἑαυτὰ καὶ ἡδύτερα· μίγνυται γὰρ ἐπὶ τῶν χυλοτέρων ἢ μονίμων· ἐὰν δὲ ὑπεραίρῃ θάτερον, ὥσπερ εἴρηται μὲν τὸ ἐλλεῖπον· ἁμαρτάνεται πως ἡ ἀπόλαυσις ἐν τοῖς τοιούτοις τῶν γευστῶν ὀσμῶν καὶ χυλῶν· χρὴ δὲ πειρᾶσθαι καθόλου διαιρεῖν ὥσπερ εἴπομεν ἐν τοῖς χυλοῖς μὲν ἡ εὐοσμία ἐπὶ γλυκύτητος· ἀπὸ τοῦ χυλοῦ δὲ ἡ ὀσμή· τὸ ἴσως ἑκάστου καὶ τῶν ἔχων· ἐκεῖνο δὲ ὡς φανερὸν ἐκ τῶν εἰρημένων ὅπερ ἐξ ἀρχῆς ἠπορήθη· διὰ τί οἱ ἄγριοι τῶν καρπῶν εὐοσμότεροι· φαίνεται δὲ κἀκεῖνο συμβαίνειν, ὥσπερ ἐν τοῖς ἀτελέσι καὶ τοῖς στερητικοῖς χυλοῖς μᾶλλον εἶναι τὴν εὐοσμίαν· εἶναι τὰ μὲν, πικρά· τὰ δὲ, δριμέα· τὰ δὲ αὐθηρά· τὰ δὲ, στρυφνά· τὰ δὲ ἄλλως ἔχοντα δυσχερῆ· οὐκ ἀλόγως δὲ ἴσως· ἡ πνοὴ γάρ τις μᾶλλον ἀπὸ τούτων· ὥστε ἐὰν μὲν εὔκρατα λάβῃ, σύμμιξον εἶναι πρὸς τὴν ὄσφρησιν· ἐὰν δὲ ὑπερβάλλοντα, δυσχερῆ καὶ βαρεῖαν ἤδη· καὶ οὐκ ἂν δόξειεν ἐν στερήσει τοιοῦτον εἶναι γένος· ἀλλ' ἑτέραν τινὰ φύσιν ἔχει· εἴγε ἔνια τοικτι κατὰ τὴν ἀκμήν· ἡ μὲν οὖν ἀοσμία, διὰ τοῦτο ἐν τοῖς γλυκέσι καὶ δυσχύλοις μᾶλλον· ὡς δὲ εἰπεῖν, τῶν ὀσμῶν, ἡ μὲν ἰσχὺς ἑκάστων, δῆλον ὅτι κατὰ τὴν ὑποκειμένην φύσιν· οὐ μὴν ἀλλ' ἔνιά γε τῶν ἀνθέων ὀξύτερα ἀποστάντα, ἢ πλησίον ἐλθοῦσιν, εὐοσμότερα· καθάπερ καὶ τὰ ἴα δοκεῖ· τὸ δ' αἴτιον, ὅτι πρὸς μὲν τὰ πόρρω, καθαρὰ φέρεται καὶ ἄμικτος ἡ ὀσμή· πλησίον δὲ ὄντων, ὅτι συναπέρχεται καὶ ἀπὸ τῶν ἄλλων μορίων ἅπερ οὐδὲ κινεῖται πρὸς τὰ πόρρω, διὰ τὸ γεωδέστερα καὶ παχύτερα εἶναι· καθόλου δὲ τῶν μὲν ἀνθηρῶν ἐστὶ τῶν ὀσμῶν, ἡ ἀμιξία· τῶν δὲ ἰσχυροτέρων ἐνίοις, αἱ μίξεις αἱ οἰκεῖαι χρησιμώτεροι καθάπερ τῶν χυλῶν· οἷον, καὶ ἡ μυρρίνη δοκεῖ ὡς ἄμικτος θυμιᾶσθαι· κατὰ βραχὺ δὲ μελικράτου ἡδυκεῖ· μαλακωτέρα ἡ ὀσμὴ κεραννυμένη καὶ γλυκυτέρα γίνεται· ταὐτὸ δὲ τοῦτο συμβαίνει καὶ ἐπὶ τῶν χυλῶν· ἔνιοι δὲ δέονται μίξεως πρὸς εὐοσμίαν·

ὡς δὲ ἁπλῶς

ὡς δὲ ἁπλῶς εἰπεῖν, ἕως ἂν ᾖ, ὀσμαὶ πλεῖσται καὶ ἀκρατέστεραι. προϊού-
σης δὲ τῆς μεσημβρίας, ἧττον· παραλθούσης δὲ τῆς μεσημβρίας, ἥκι-
στα· διὰ τὸ ἀναξηραίνεσθαι τὸν ἥλιον. ὥσδ᾽ ἐν ταῖς τῆς ἡμέρας ὥραις, ὁμοί-
ως καὶ ἐν ταῖς τοῦ ἐνιαυτοῦ κατὰ λόγον. πλὴν εἴ τινων ὀσμαὶ καὶ πεπάνσεως
τοῦ ἀέρος σύμμιξις πρὸς τὰς ὀσμάς, ὥσπερ καὶ καθ᾽ ἡμέραν ἐστὶν ὧν τε
ἑσπερίδος καλουμένης· αὕτη γὰρ τῆς νυκτὸς ὄζει μᾶλλον. κατὰ δὲ τὰς ἡ-
λικίας, οὐκ ἐν ταῖς ἀκραῖς ἀλλ᾽ ἐν ταῖς ἀκμαῖς εὐοσμότατα, μικρόν γε
παρεκκλίνοντα τὴν ἀκμήν. οὐ γὰρ ἴσως καὶ αὐτοῦ χυλοῦ καὶ ὀσμῆς πέψις.
τὸ μὲν γὰρ νέον, ἅτε ἠλίω τροφὴν ἐπισπώμενον, ἄπεπτον. τὸ δὲ γηρα-
κόν, ἐξασθενεῖ δι᾽ ἔνδειαν θερμότητος. οὐ μὴν ἀλλὰ ταῦτά γε εὐοσμότε-
ρα τῶν νέων. ἐλάττων γὰρ ὑγρότης· ὥστ᾽ ἐπικρατεῖ μᾶλλον, ὥσπερ καὶ τὰ
ἐν ταῖς χώραις ταῖς λεπτογείοις. ὡς δ᾽ ἁπλῶς εἰπεῖν τὰ ἐν ἀκμῇ, ἡ περὶ τὴν
χυλίαν ἀρίστη καὶ πρὸς εὐοσμίαν· ὡς ἑκατέροις ἐνταῦθα τὸ τέλος. ἐν δὲ
τοῖς ψύχεσι καὶ πάγοις, ἀμβλύτεροι καὶ οἱ χυλοὶ καὶ αἱ ὀσμαὶ διὰ τὴν πῆ-
ξιν. πεπηγότα γὰρ οὐ διαδίδωσιν· ἅμα δὲ καὶ ἀφανίζεται πως ὑπὸ
τοῦ ψύχους κρατοῦντος μᾶλλον κἀκεῖνα καὶ ἡ αἴσθησις. ἀμφότερα δ᾽
ἐξίστησιν. ἐκεῖνα δὲ μᾶλλον. ἐπεὶ καὶ τῶν καρπῶν ἐξαιρεῖται τὴν γλυ-
κύτητα, διὰ τὸ μεῖζον τῆς πήξεως καὶ ἐξαιρεῖν. ὡσαύτως δὲ ἐπὶ τῶν καυμά-
των ὑπερβολὴ τοὺς χυλοὺς λυμαίνεται. τὰ μὲν γὰρ κατακαίει· τὰ δέ, ὑ-
περπέττει· τὰ δ᾽ ὥσπερ σήπει καὶ διυγραίνει· καθάπερ ἐπὶ τῶν σύκων ἐλέχθη.
τὰς δ᾽ ὀσμὰς ἴσως ἐνίων μᾶλλον διατηρεῖ. τάχα δὲ ἐπιτείνει τάς γε ἐν
τοῖς ξηροῖς γινομένας. ἄκρατοι γὰρ αὗται. τὰς πολλὰς δὲ ἐπιφθείρει. τὰς δὲ ἐν
τοῖς καρποῖς ἐγχυλοτέρας καὶ μεμιγμένας τινὰς εἶναι ἀεί. μὴ ἐπιπαινομένας δὲ κα-
λῶς, οὐ γίνεται. τὸ δ᾽ ὅλον ἐν συμμετρίᾳ τινὶ τὴν μῖξιν ὑπάρχειν, ἀεὶ ἐμφαίνε-
σθαί πως τὴν τοῦ ξηροῦ φύσιν ἐν ταῖς ὀσμαῖς. τοῦτο γὰρ τὸ τὰς ὀσμὰς
ποιοῦν, ἢ πάντων ἢ τινῶν. ὅπερ φανερὸν εὐθὺς ἐπὶ τῶν τῆς γῆς ἐστιν ἐν τοῖς
τοιούτοις ὑετοῖς διακεκαυμένης ἐν τῷ θέρει, τὸ θερμόν πως τὸ ὕ-
δωρ ποιεῖ τὴν εὐωδίαν. ταῦτα δὲ ποιεῖ ἐν ἄλλοις. καὶ γὰρ τὸ περὶ
τὴν ἴριν λεγόμενον, ὡς ὅπου ἂν κατάσχῃ, ποιεῖ τὰ δένδρα τὸν τόπον
εὐώδη, τοιοῦτόν ἐστι. ποιεῖ γὰρ οὐ πάντως, ἀλλ᾽ ἐὰν ὕλη τις ᾖ νεόκαυτος. ὁ

δ' ἴσως καθ' αὑτήν, ἀλλὰ πρός τινα κατὰ συμβεβηκός. ἐφ' ὧν γὰρ ὅπου ἀνέψυξις τῆς πεπυρωμένης τῆς ὕλης· ἢ κατάμιξις ποιεῖ τὴν ἀτμίδα εὐώδη ἄν· οὐδὲ γὰρ οὐδὲ εἰ μίγνυται πλήθει ὕδατος· ἀλλ' ὥσπερ οὖν τὸ πολὺ ψεκτέον· ὥστε συμμετρίαν εἶναι πρὸς τὴν θερμότητα καὶ ξηρότητα. δεῖ δὲ καὶ αὐτὴν τὴν ὕλην ποιάν τινα προϋπάρχειν· οὐ γὰρ ἐν πᾶσι ἁπάντως· ὅλως δὲ καὶ ἐν ἀγγείοις ἥ τε πύρωσις καὶ ἡ κατάμιξις τῶν πεπυρωμένων ποιεῖ τινὰς εὐωδίας, καὶ τὸ ὁλομόσμας, ἐὰν ἔχῃ τὸ σύμμετρον. ἐπεὶ καὶ τὰ θυμιάματα ταῦτα, πυρώδη τε ταύτην εὐωδίας· μαλακῇ γὰρ καὶ οὐ κατακαυσῃ· τὸ γὰρ σύμμετρον οὕτω πρὸς ὀσμήν· ἐκείνως δὲ φθορά. παρείσδυσις δὲ καὶ τὸ ταὐτό πως τούτῳ. καὶ τῶν μὲν τῶν δένδρων καὶ ὅλως τῶν ὑλημάτων, εὔοσμα πολλά· ζώων δ' οὐδέν, εἰ μὴ τὴν πάρδαλίν φασι καθάπερ ἐλέχθη τοῖς θηρίοις· τὰ μὲν γὰρ θερμὰ καὶ ξηρὰ τὴν φύσιν ὥς γε ὑπόπτερα, καὶ καθαρωτέρα τις ἡ αὐτῶν ἀναπνοή· τὰ δὲ ὑγρότητι πλείονι καὶ μηλωδέστερα· διὸ καὶ ἡ ἀναπνοὴ ποιά τις· καὶ ὅλως ἡ τροφὴ τῶν μὲν ἁπλῆ καὶ ἀπεπτοτέρα· τῶν δὲ, ποικίλη καὶ περιττωματική. συμβαίνει δέ τι καὶ ἕτερον πρὸς εὐοσμίας, ὅτι ἡ φύσις ἅμα προϋπάρχει ποιά τις· ἀρχὴ γὰρ αὕτη καὶ πρῶτον. ἐπεὶ οὐδὲ τὰ δένδρα πάντα εὐώδη, διὰ τὸ μὴ τὰς ὁμοίας ἔχειν κράσεις. τάχα δὲ καὶ ἡμῖν οὐκ ἔνδηλον ἐκ τῶν ζώων τὸ εὔοσμον· διὰ τὸ χειρίστην εἶναι τὴν ὄσφρησιν. ἐπεὶ τά γ' ἄλλα καὶ πόρρωθεν αἰσθάνεται· καὶ ταῦτα ἐγγὺς ἀκριβέστερον. ἢ καὶ τὰ μὲν. ἴσως αὐτοῖς εὐώδη, τὰ δ' ἔστι, καὶ ἀηδῆ πάντα φαίνεται· καθάπερ καὶ ἡμῖν ἑτέρων ἕτερα μᾶλλον· ἔνια δὲ καὶ ὅλως φεύγομεν. ἀλλ' ἐκεῖνο ἄτοπον ὅπερ πρότερον εἴπομεν· εἰ τὸ ἡμῖν κακῶδες καὶ ἄοσμον, ἐκείνοις εὔοσμον γίνεται. τάχα δ' οὐκ ἄτοπον· ὁρῶμεν δὲ τοῦτο καὶ ἐφ' ἑτέροις συμβαῖνον τῶν ἑαυτοῦ εὐθὺς τῆς προφάσεως· ὃ μάλιστ' ἄν τις αἰτιάσαιτο τῆς κράσεως ἀνωμαλίας γεύσεως. ἐπεὶ τάς γε ῥῆμα Δημοκρίτου καθάπερ ἐλέχθη τεταγμένας ἔχειν τὰς μορφάς, τεταγμένα καὶ τὰ πάθη. καίτοι οὐκ ἔχειν ποιεῖν· ἀλλὰ ταῦτα μὲν οὕτω λεκτέον· ὃ δὲ μικρῷ πρότερον ἐλέχθη, καὶ νῦν πάλιν εἴπωμεν· ὅτι καὶ ἡ εὐοσμία καὶ ἡ εὐχυλία ζητεῖ τινὰ καὶ χώρας ἀέρος ποιότητα καὶ τροφῆς· δεῖ γὰρ μήτε ὑπερβάλλειν, μήτε ἐλλείπειν μήτε ἀναξίαν εἶναι τοῖς ὑποκειμένοις τὴν τροφήν· ὥστε τὸ μὲν πλῆθος κωλύει τὴν

πέψιν

πέψιν· τὸ δ' ἐνδεὲς οἷον ὕλην οὐκ ἔχει· τὸ δὲ μὴ οἰκεῖον, οὐ ποιεῖ τὸ τῆς φύ-
σεως. τοῦτο δὲ μάλιστα ἐν τῷ ποιόν τι ποιεῖν τὸ ἔδαφος εἶναι καὶ τὸν
ἀέρα καὶ τὴν θερμότητα τὴν ἡλίου· ταῦτα γάρ ἐστι τὰ τὰς τροφὰς καὶ τὰς
πέψεις οἵας δή ποιοῦντα. πρὸς ἑτέρους δὲ καρποὺς καὶ χυλοὺς ἑτέρα ἡ
διάφορος. ὅτι δ' ἀληθὲς τὸ λεγόμενον, ἐκ πολλῶν φανερόν· ἄλλαι γὰρ ἐν ἄλ-
λῃ χώρᾳ καὶ εὔοσμα καὶ εὔχυλα, καὶ κάρπιμα καὶ ἄκαρπα, καὶ βλαστητικὰ
καὶ ἀβλαστῆ· ἅπερ ἐν ταὐτῷ ὑπὸ τὴν αἰτίαν αὐτὴν πίπτει· περὶ ὧν οὐ
δυνατὸν τὸ αἰτιάσασθαι τὸ παρὰ τὴν ἐκ τοῦ ἀέρος κρᾶσιν καὶ τὴν ἐκ τοῦ
ἐδάφους τροφήν. καὶ γὰρ τὰ κωλύοντα καὶ αὔξοντα, ταῦτα καὶ τὰ τὴν πέ-
ψιν ποιοῦντα καὶ εὐχυλίαν. ἐπεὶ δὲ καὶ αἱ ὀσμαὶ καὶ οἱ χυλοὶ πολυειδεῖς, διὰ
τοῦτο οὐ μία κρᾶσις οὐδὲ μία τροφὴ πᾶσι πρόσφορος· ἀλλ' ἑκάστοις ἡ
πρὸς τὴν ἰδίαν φύσιν. ὅθεν καὶ ταύτης τῆς ἀπορίας λύσις, διὰ τί πο-
τε μᾶλλον οὖν τῶν εὐόσμων τῶν θερμῶν τόπων, οὐχ ἅπαντα ἐν ἅπασι τοῖς
θερμοῖς εὔοσμα· ἔτι μᾶλλον διὰ τί ποτε τὰ μὲν παρ' ἀρίσταις οἷς ἀ-
οσμα, παρὰ τούτοις εὔοσμα, καθάπερ κάλαμος καὶ σχοῖνος· ἐν Συρίᾳ τὰ
δὲ παρ' ἀρίσταις εὔοσμα, παρ' ἐκείνοις οὐδὲν μᾶλλον, ὥς δέ τινες φασὶ καὶ
ἧττον. καίτοι κατὰ λόγον ἅπαντα μᾶλλον. ὑπὸ γὰρ τὴν λεχθεῖσαν αἰτίαν
ἅπαντα ταῦτ' ἐστίν. ἡ γὰρ ἀνωμαλία τοῦ ἀέρος καὶ τῆς τροφῆς ἑτέρων
ὄντων τῶν εἰδῶν ἄλλη πρὸς ἄλλους ἁρμόττει. διὰ τοῦτο γὰρ καὶ αὐτῆς τῆς
Συρίας βραχύς τις τόπος καὶ τοῦ καλάμου καὶ τοῦ σχοίνου· καὶ πάλιν τὸ
ἀποβάλσαμον καὶ τῶν ἄλλων τὰς εὐοσμίας ποιούντων, πρὸς μὲν τὴν
οἰκείαν· πρὸς δὲ τὰ παρὰ τοῖς ἄλλοις εὐώδη παραπλησίαν ἢ χείρω
κρᾶσιν ἔχει· καθάπερ συμβαίνει καὶ ἐπὶ τῶν καρπῶν. οὐ γάρ ἐστιν ἴσης πάντως δεῖ-
ται θερμότητος οὐδὲ μιᾶς· ἀλλὰ τὰ μὲν, πλείονος· τὰ δὲ ἐλάττονος
καὶ μαλακωτέρας· ὥσπερ καὶ ἐπὶ τῶν ἑψομένων καὶ ὅλως τῶν κατὰ τὰς τέχνας
γινομένων. ἐνιαχοῦ δὲ καὶ ῥίς καθέκαστα εὔδηλον· ἐν Αἰγύπτῳ γὰρ χεί-
σα τὰ ἄνθη καὶ τὰ στεφανώματα ὡς εἰπεῖν, ὅτι ὁ ἀὴρ ὁμιχλώδης καὶ δρο-
σοβόλος. ἐν δὲ ταῖς τοιαύταις χώραις οὐ γίνεται τὸ ὅλον εὐωδία, διὰ τὸ μὴ
γίνεσθαι πέψιν. ἀλλὰ μᾶλλον ἐν τῇ κατὰ ξηρόν· ἐν ταύτῃ ἡ ἐκ πέψεως. ἐπεὶ
τὰ περὶ Κυρήνην διὰ ταῦτα εὔοσμα· τὰ δ' ἄλλα καὶ μάλιστα τὸ ῥόδον καὶ ὁ κρό-

κεν· ἡ γὰρ χώρα λεπτή ἐστι ξηρὰ καὶ οὐκ ἄγαν θερμή· καθαρῷ τε γὰρ τῷ ἀέρι καὶ ἀνύδρῳ πρὸς εὐωδίαν αὐτὴ αἱ τοιαῦται τροφαῖς συμμεξοῦνται· τὸ δὲ ῥόδον καὶ ὁ κρόκος ὁ λισσὸ τροφα· διὸ καὶ τῶν ἄλλων εὐοσμότερα· θαυμασιώτερον δ' εἶναι αὐτῷ τὸ περὶ τῶν μύρων, ὅτι τῶν ἄλλων ὄντων ἀόσμων ὑπερβάλουσιν αὗται τῇ εὐοσμίᾳ· ἀλλ' ἡ ξηρότης καὶ ἡ θερμότης οὐχ ἧττον αἴτια μᾶλλον ἐν τισιν ὑπάρχει τῶν λοιπῶν· καὶ τὰ ἄλλα δὲ ἔχει δὲ πρὸς τὴν αἴσθησιν· ὅτι μὲν δὴ κατὰ γένος ἴσως, ὃ μεταφυτευόμενα εἰς ἑτέρας χώρας, οἷον Κύπρον, Ῥόδον, Κνίδον, ἐμφαίνεται τὴν δύναμιν· οὐθὲν μέντοι τῶν αὐτῶν ἀλλὰ καὶ πλατυφυλλότερα γίνεται. λεπτὴ γὰρ ἐκείνη καὶ τὴν εὐωδίαν οὐκ ἐγγὺς τῆς ἐκείνην ὁμοίαν ἀλλά γε πλεῖστον τῇ χώρᾳ τὸ αἴτιον, καὶ τὴν ἰδιότητα περὶ πρὸς τὰ ἄλλα τὴν θαυμαζομένην· τὸ γὰρ αὖ πάλιν μήτε καρπὸν εἶναι μήτε λευκὴν ἀλλὰ μέλαιναν, οὐχ ὑπεναντίον πρὸς τὴν εὐωδίαν· ἄμφω γὰρ ξηρότης· αἰτιῶνται δ' ὡς μικρόμυρτον, διὰ τὸ μὴ γίνεσθαι τὸ οὐράνιον ὕδωρ ὡς ἐπιζητοῦντα τὸν καρπόν· τὰς δὲ δρόσους οὐ βοηθεῖν· τοῦτο μὲν οὖν καὶ εἴ τι τοιοῦτον ἕτερον, ὃ συμβαίνει δυνάμεις ἰδίας ἔχειν παρὰ τὰ ἄλλα κατὰ τόπους ἐνίους, ἰδιωτέρων δεῖται λόγων· ὁ δὲ κοινὸς ὅτι πολλὰς ἀνωμαλίας αἱ χῶραι φέρουσιν, ἀληθὴς μέν· προσαπαιτεῖ δ' ἐστὶ τὰς οἰκείας δυνάμεις καὶ διαφοράς· ἔοικεν οὖν ὁμοίως καὶ τὸ ἐν Λυκίᾳ περὶ τὰς ῥόας συμβαῖνον· ὥσπερ γὰρ ἐκεῖ περὶ τὸν χυλόν, ἐνταῦθα περὶ τὴν ὀσμὴν ἡ δύναμις καὶ ἡ ἰδιότης· ἐκεῖ μὲν οὖν αἰτιάσαιτ' ἄν τις τὴν τοῦ τόπου συμμετρίαν τε καὶ φύσιν· ἡ γὰρ ῥόα, φίλυδρον· ἐστὶ μεταβάλλει φασὶν ἐξ ὀξέος εἰς γλυκὺ, ἐὰν ἔχῃ πολυϋδρίαν· ὥστε διαρρέων ὁ ποταμὸς ἅμα τῷ πλήθει καὶ τῇ ποιότητι ποιεῖ τοιαύτην μεταβολήν, οὐδὲν ἄτοπον· ἐνταῦθα δὲ πειρᾶσθαι γέ τινα δεῖ ζητεῖν ἰδίαν, ἥτις οἰκεία πρὸς τὴν εὐοσμίαν· ἔοικε δὲ μάλιστα τοιαύτη τις εἶναι, συντιθεμένων εἰς ταῦτα πάντων, οἷον τοῦ τε κοινοῦ καὶ τοῦ ἰδίου γένους τῆς μυρρίνης καὶ τοῦ ἐδάφους καὶ τοῦ ἀέρος· αὐτὸ δὲ τὸ φυτὸν ὅλως ξηρὸν καὶ τὸ γένος τοῦτο μᾶλλον τῶν ἄλλων· δῆλον δὲ ἡ στενοφυλλία, καὶ ἡ μικροκαρπία, καὶ ἡ χρόα τοῦ καρποῦ· πάντα γὰρ ταῦ ξηρότητος· τὸ δὲ ξηρόν, ὀλίγον ὑγρὸν ἔχει· τὸ δ' ὀλίγον εὔπεπτον· ἡ δ' εὐωδία

δεῖν πέψει τῇ πρὸς ὄσφρησιν· αὐτὴ δ᾽ ἄγλυκύς τε καὶ οὐκ ἄχυλος· ἀπὸ μὲν οὖν τοῦ φυτοῦ ταύτῃ προσυπάρχονται· ἀπὸ δὲ τοῦ ἐδάφους τε τοῦ ἀέρος, ὅτι τὸ μὲν ξηρόν, ὁ δὲ ἠρεμαῖος μαλακός· ἄμφω δὲ ταῦτα εἰς πέψιν· ὁ μὲν, τῷ συνέψειν· ὁ δὲ τῷ καθυγραίνειν· ἐπεὶ καὶ ἐνταῦθα αἱ ἄγριαι αἵ τε τῶν ἡμέρων εὐοσμότεραι. καὶ αἱ ἐν προσηλίοις τῶν ἐν παλισκίοις, καὶ μάλιστα αἱ πρὸς μεσημβρίαν· ἅπασαι δ᾽ εὐτραφεῖς ἐλάττω γε τὸ πέταλον ἔχουσιν· διὸ καὶ οὐδ᾽ αὐξεῖς εἰς μῆκος ἀλλὰ θαμνωδέστεραι· καὶ πάχος λαμβάνουσι καὶ χρῴζονται μᾶλλον, διὰ τὸ πολλὰς λαμβάνειν ἀρχὰς πέττοντος τοῦ θερμοῦ· καὶ μυρίζονται πάντα γε· τὸ δ᾽ ἐν τοῖς παλισκίοις εἰς ἓν μόνον ἡ ὁρμή· διὸ καὶ μήκη μὲν αἱ ῥάβδοι μᾶλλον λαμβάνουσι, πάχη δ᾽ οὔ· καὶ ἐκ τούτων αἱ βακτηρίαι καθάπερ ἄλλοθί τε καὶ ἐν ἰλλυρίᾳ· κοινὸν δὲ τοῦτ᾽ ἴσως ἐπὶ πάντων τῶν δένδρων ἐστί. λοιπὸν δ᾽ ὧν εἴπομεν, διὰ τί ταῦτα οὐκ εὐώδη· τούτων δ᾽ αἰτιατέον δ᾽ ὅσον τὸ πρόσηλον· αὐτὴ δ᾽ ἐπὶ πολὺ πέττουσα καθυγραίνεται, τὰ μὲν αὐτὰ καὶ ὑγρότερα τὴν φύσιν ὄντα, μᾶλλον· τὰ δ᾽ ἄμικτα καὶ ξηρὰ ἐλάττω καὶ ἀσθενέστερα· διὸ καὶ κρατεῖ τι μᾶλλον ἀπὸ τῆς αὐτῆς ὑγρότητος· ὁ δὲ μύρρινος σημεῖον δ᾽ ἂν καὶ τὸ εἰρημένον ὑπὲρ αὐτοῦ· μικρόκαρπος γὰρ εἶναι δοκεῖ, διὰ τὸ μὴ λαμβάνειν τὸ κατὰ κεφαλῆς ὕδωρ ἱκανόν· ὥστε τὸ μὲν μυρρίνου, διὰ τούτων πειρατέον ἀναζητεῖν τὰς αἰτίας. τῶν δ᾽ ἐν τοῖς ψυχροῖς εὐόσμων, τὴν θερμότητα τὴν ἐν τῇ γῇ νομιστέον εἶναι· πάντως γὰρ θερμὸν τὸ πέττον· ἄλλοτε μὲν εὐθὺς προσαπίπτον· ὁτὲ δὲ καταλαβόμενον· ὥσπερ καὶ ἐν τῇ τῆς ὀπώρας πεπάνσει· παραπλήσιον γὰρ τὸ συμβαῖνον· αὐτίκα μὲν ἴσως ἡ τοιαύτη θερμότης εἰς τὴν γῆν καὶ συνελαυνομένη, πέττει· δεῖ δὲ καὶ τὴν γῆν, μήτε ἐπιλόφην, μήτε πίειραν εἶναι, μήτε ὀλίγην· καὶ διὰ τὴν ὑγρότητα ὁμοίως ἐργάζεσθαι τὸ θερμόν· ἀλλὰ μὴ τοιαύτην· ὥστε μήτε τὸ ἐκ τοῦ ἀέρος δέχεσθαι ψυχρόν, τό τε ἐν αὐτῇ θερμὸν, ἀποστέγειν καὶ τηρεῖν. διὰ τοῦτο γὰρ καὶ ἐν τῇ ἰλλυρίδι βελτίων ἡ ἶρις ἢ ἐν μακεδονίᾳ· ἐν δὲ τῇ θράκῃ καὶ ταῖς ἔτι ψυχροτέραις ἅμα καὶ ἀπεπτοτέραις ἄλλως ἄοσμος· ἐν γὰρ ταύταις ἡ γῆ πίειρα· καὶ ἡ ὑγρότης πολλή· καὶ ὁ χειμὼν ἔκτοπος· ἐν δὲ ταῖς ἀλεειναῖς λεπταῖς διὰ τὴν μαλακότητα τοῦ ἀέρος εὔοσμα· οὐκ ἴση γὰρ ἡ ἀντιπερίστασις· ἐξ ἀμφοῖν δ᾽ ἐζητητέον, ὥσπερ καὶ ἐν τοῖς ὑπὲρ γῆς εὐόσμων.

καὶ ἐκ τοῦ ἐδάφους καὶ ἐκ τοῦ ἀέρος, τὰς δυνάμεις τὰς εἰς τὴν περίψυξιν συνερ-γούσας. ὑπὲρ μὲν οὖν τούτων, ἱκανῶς εἰρήσθω. τὰς δ᾽ ὀσμὰς ἤδη δεῖ τὰς ἀ-πὸ τῶν μήλων οἰκείας τινὶ μὲν οὐχ ἕλκουσιν. οὐδ᾽ ὅλως οὐδὲν τῶν ἐν τοῖς φυτοῖς μο-ρίων, ὥστε γε καὶ τοῦτό τι δῆλον. ὥστε καὶ παραφυτευόμενα γίνεται δρι-μέα, οἷον κρόμμυα καὶ σκόροδα, τοῖς στεφανώμασι. φασὶ γὰρ ὠφελεῖν εἰς εὐ-ωδίαν. τοῦτο δ᾽ εἴπερ ἀληθές, δυοῖν θάτερον αἰτιάσαιτ᾽ ἄν τις. ἢ ὡς τὸ κακῶδες ἀφαιρουμένων ἑκατέρου γὰρ δὴ τρέφεσθαι τῷ οἰκείῳ, καὶ ἕλκειν τὸ συγγε-νές. ἀφαιρεθέντος δὲ τοῦ αἰγοξίου, καθαρώτερον καὶ εὐωδέστερον τὸ λοιπόν. ἢ ὥσπερ καταξηραινόντων τὸν τόπον διὰ τὴν θερμότητα τὴν πολυξοΐαν. εὐωδέ-στερα τοῖς ξηροῖς, ἅπαντα εὐοσμότερα. τῶν μὲν οὖν ὡς ἂν καθ᾽ ὑπόθεσιν εἰρήσθω. οἱ δὲ χυλοὶ χωρισθέντες ἕλκουσι. καὶ μάλιστα τό, τε ἔλαιον καὶ ὁ οἶνος. ὅθεν δὴ ἀλλο-τριοῦ φαίνεται, τί δή ποτε, τὸ μὲν ὕδωρ καὶ λεπτομερὲς ὂν τοῦτο καὶ ἄοσμον ἄχυλον, καὶ ὅλως οὐδὲν δέχεται, οὐδὲ χεῖται. τὰ δ᾽ ἔγχυλα καὶ εὐοσμώδη ἀπαχύ-τερα. δέχεται δ᾽ ὁ οἶνος καὶ ἐμβαλλομένων ἀλλὰ πλησιαζόντων. ἕλκει γὰρ ὡς ἔχων τινὰ θερμότητα ἐν ἑαυτῷ. τοῦτο γὰρ ἕλκον. τὸ δ᾽ ὕδωρ ἥκιστα ἔχει. φύσει γὰρ ψυχρόν. τὸ δ᾽ ἀποδεξάμενον τὰς ὀσμὰς καὶ διατηρῆσον, μήτε οὕτως στενὸν ὡς λεπτὸν ἀφυλακτικὸν εἶναι. τὸ μὲν γὰρ δέχεσθαι, ὥσπερ εἴθισται ὑγρὸν ἔ-χον ὃ στέγει. τὸ δ᾽ ἔσω μανώδεστερον καὶ πυκνότερον εἰς τὸ δέξασθαι καὶ τη-ρεῖν εὐφυές, πρὸς ἄμφω συμμετρίαν ἔχον. ἅπερ ἀμφότερα τῷ οἴ-νῳ καὶ τῷ ἐλαίῳ συμβέβηκε. ἀλλ᾽ οἱ μυρεψοὶ τὰς ὀσμὰς εἰς τὸ ἔλαιον τίθενται. καὶ γὰρ ἄγαν ἁρμόττον πρὸς τὴν χρείαν, καὶ ἅμα δύναται μάλιστα θησαυ-ρίζεσθαι διὰ τὸ ἀμετάβλητον. τὸ δ᾽ ὕδωρ εὐθὺς διαπνεῖ, ἅπαξ ὥσπερ ἐκπλύ-νει καὶ διΐστησιν. ἡ δὲ λεπτότης ὥσπερ εἴρηται μὲν ἀχρήσιμος. ἐπεὶ οὐδ᾽ ὁ ἀὴρ δύναται κατέχειν, ἀλλὰ διαπέμψαι μόνον. τῶν δὲ ξηρῶν, μάλιστα μὲν ὅ-σα μανὰ καὶ ἄοσμα καὶ ἄχυλα. καθάπερ ἔρια καὶ τὰ ἱμάτια. καὶ ἔτι ἄγαν τοιοῦτον. οὐ μὴν ἀλλὰ καὶ ὅσα χυλοὺς ἔχει καὶ ὀσμάς, ὥσ-περ καὶ τὸ μῆλον. καὶ γὰρ τοῦτο δέχεται καὶ ἕλκει τὰς ἐκ τῶν χυλῶν ὀσμάς. ἐξ χυ-λοῦ γὰρ αὐτὰ μάγον. χρὴ γὰρ ὡς ἁπλῶς εἰπεῖν, μήτε κατάξηρον εἶναι τὸ δεξάμενον. ὥσπερ τέφραν ἢ ἄμμον, μήτε καθύγρον. τὸ μὲν γὰρ διιὸν οὐχ ἅπτεται. ἐν δὲ τῷ, διαχεῖται καὶ ἐκκλύζεται. διὰ τοῦτο γὰρ καὶ τὰ ἴχνη τῶν λαγῶν εὐσημό-

τερα,

τερα, ψεκαθέντα μαλακῶς ὑποιοῦσι τὴν τῆς κωνήσιαν· ἐμμένει δὲ
μᾶλλον διὰ τὸ σφοδρῶς ἀπερείδεσθαι εἰς βάθος, καὶ οὐχ ὥσπερ ξηρὸς
ὀστηρὸς τὸ λῖος, οὐδὲν ἐπιλώδους, ὥσπερ ἐφ' ὕδατι πλυνομένων· ἐναντία γὰρ
καὶ τὰ πνεύματα καὶ τὰ ὕδατα· καὶ τὴν λῦσιν ἄμφω τὰς ὀσμάς· ἀλλὰ δεῖ
καθάπερ ἀπομάγματα τῶν δακτυλίων μέσην τινὰ ἔχειν κρᾶσιν. καὶ
περὶ μὲν τούτων, ἅλις. ἐπεὶ δὲ τὰ μὲν ἥμερα, τὰ δ' ἄγρια τῶν εὐόσμων, οὐκ ἀ-
κολουθεῖ κατὰ τὸ γένος ὅλως τὸ εὐοσμότερον, καθάπερ τὸ ῥόδον· ἔνθα δὲ τὸ ἄ-
γριον· ὥσπερ τὸ ἴον τὸ μέλαν καὶ ὁ κρόκος· ὁ δὲ ἕρπυλλος καὶ τὸ ἐλένιον δριμύτε-
ρα· καθάπερ καὶ τῶν λαχανωδῶν τὸ πήγανον· αἴτιον δὲ ὡς μὲν εἰπεῖν καθό-
λου, τὸ καὶ πρότερον λεχθέν· ὅτι τὴν συμμετρίαν ἑκάτερα λαμβάνει
δι' ἑκατέρου δι' ὑγρότητος καὶ ξηρότητος ὀξεῖαι αἱ ὀσμαί· ὡς δὲ καθ' ἕκα-
στα, φανερὸν ἐπισκοποῦσι· τὸ μὲν γὰρ ἴον τὸ μέλαν, καὶ ὁ κρόκος, οὔτε πολλῆς
δεῖται τροφῆς, ὀξεῖαι αὐτῶν καὶ κεφαλόρριζα· ὥστε ἐν τοῖς ἡμέροις ἡ πλεί-
ων ἀπεπτοτέρα· διὰ τοῦτο γὰρ καὶ τῶν μὲν, τέφραν περιβάλλουσι.
τὰ δὲ πάττουσι· τὸ δὲ ῥόδον καὶ ὁ ἕρπυλλος· καὶ ὅσα ὅμοια τούτοις, ἄγρια μὲν
ὄντα ξηρότερα τοῦ συμμέτρου γίνεται· διὸ τὸ μὲν ῥόδον ἀσθενές, οἷον τὸ ἄοδ-
μον ἀνίκμον ὄν· οὐδὲ γὰρ τὸ ἴον τὸ λευκὸν ἐν τοῖς ἀτενξηροῖς καὶ λεπτοῖς εὔοσμ-
ον δ' ὅπου θερμὸς σφόδρα καὶ ἔμπυρος ὁ ἀήρ· ἀναξηραίνει γάρ· ὁ δ' ἕρπυλλος
ἐπὶ τὸ ἐλένιον καὶ τὰ ἄλλα τὰ τοιαῦτα διὰ τὴν ξηρότητα δριμέα γὰρ οὖν ἴσχει ἐπὶ σκλη-
ρὰς τὰς ὀσμάς· ἡμέρων δὲ μὲν, μαλακώτερα· καὶ ἡ συμμετρία, διότι καὶ ὑπέρ-
τριε εἰς τὴν εὐοσμίαν, φανερόν· ἐπεὶ καὶ τῶν εὐωδῶν, ὀσμαὶ, πρὸς ὥραν κατὰ τὴν φύσιν καὶ
τὴν τοῦ ἀέρος εὐκρασίαν ἀπαιτοῦσιν, ὥστ' ἀναμίγνυνται μήτε κωλύε-
σθαι μηδ' ὑφαιρεῖν· ἔοικε δὲ τοιοῦτόν τι συμβαίνειν ἐπὶ τοῖς χυμοῖς τῶν λαχανωδῶν ὡς
ἀρτίως ἐμνήσθημεν· ὅτι δὲ θέρους εὔοσμα, ὅτι χειμῶνος, ὅτι ἦρος· ἀλλὰ
μάλιστα τοῦ φθινοπώρου· χειμῶνος μὲν δὲ ὑγρά· θέρους δὲ ὑπὸ ξηρανθέν-
τα· διὸ καὶ μεσημβρίας χείριστα· τοῦ δ' ἦρος αἱ τῶν ἀνθῶν ὀσμαὶ πλεονάζουσι·
τὸ δὲ μετόπωρον σύμμετρον ἔχει πρὸς ἅπασαν τὴν ὄρασιν· περὶ μὲν οὖν
ὀσμῶν καὶ χυλῶν τῶν ἐν τοῖς φυτοῖς καὶ καρποῖς, ἐκ τούτων θεωρητέον·
ὅσα δ' ἤδη κατὰ τὰς μίξεις καὶ τὰ πάθη πρὸς ἄλληλα καὶ τὰς δυνάμεις,
ταῦτα καθ' αὑτὰ λεκτέον:~

ΤΈΛΟΣ

MASSACHUSETTS HORTICULTURAL SOCIETY
COMMUNE BONUM
INC. JUNE 12 1829

Library
of the
Massachusetts
Horticultural Society
Boston
Gift of
Albert Cameron Burrage
1859-1931
June 28, 1931